Translationem celebramus sanctorum Patrum nostrorum et confessorum, Theodori præpositi Studii, et Josephi ejus fratris, qui Thessalonicæ archiepiscopus fuit. Illi ex Photino et Theoctiste nati, sub imperio Theophili vixere. Ob venerandarum sanctarumque imaginum adorationem sanctus quidem Theodorus diversa perpessus exsilia, et plagas, et flagella, tanquam egregius Christi confessor; regnante Michaele Amorrhæo solvitur vinculis, et ab exsilio revocatur; exiguaque ærumnarum intermissione potitus, cum bona spe requievit in Domino: cujus corpus in insula principis depositum est. Josephus vero archiepiscopus germanus ipsius frater diversis carceribus et cæteris ærumnis conflictatus, die Julii decimo quarto ad æternam requiem appulit. Horum sacrosancta corpora post annos decem et octo in regiam urbem pompa solemni asportata sunt (tunc enim cessavit Ecclesiarum bellum, quod invisus Theophilus excitarat) quam translationem præcipue peregit sanctissimus patriarcha: is erat Methodius. Ac universus cleruset monachi, sæculariumque ex urbe multitudo affluens cum lampadibus et thuris suffitu sana corpora et miro adhuc odore fragrantia repericntes, sublatis manibus exceperunt, et in sancti Platonis thecam reposuere. Cui et alacriter, ut æquum erat, parentarunt.

Τὴν ἀνακομιδὴν ἐπιτελοῦμεν τῶν ὁσίων Πατέρων ἡμῶν καὶ ὁμολογητῶν Θεοδώρου ἡγουμένου τῶν Στουδίου, καὶ Ἰωσὴφ ἀδελφοῦ αὐτοῦ ἀρχιεπισκόπου γενομένου Θεσσαλονίκης. Οὗτοι ὑπῆρχον ὑπὸ τῆς βασιλείας Θεοφίλου καὶ υἱοὶ Φωτεινοῦ καὶ Θεοκτίστης. Διὰ τὴν προσκύνησιν νῶν σεβασμίων καὶ ἁγίων εἰκόνων ὁ μὲν ἅγιος Θεόδωρος διαφόροις ἐξορίαις προσταλαιπωρήσας καὶ πληγὰς καὶ μάστιγας, οἷα διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἐπὶ τοῦ νώτου δεξάμενος, ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Ἀμορρέου B ἀνακαλεῖται τῶν δεσμῶν καὶ τῆς ἐξορίας, καὶ μικρὸν ἀνεθεὶς μετὰ χρηστῆς τῆς ἐλπίδος ἀνεπάυσατο ἐν Κυρίῳ, καὶ ἀναθεῖται τὸ σῶμα αὐτοῦ ἐν τῇ τοῦ Πριγκίπου νήσῳ. Ὁ δέ γε αὐτάδελφος αὐτοῦ ἀρχιεπίσκοπος Ἰωσὴφ καὶ αὐτὸς διαφόροις φυλακαῖς προσομιλήσας, καὶ τῇ λοιπῇ κακοπαθείᾳ πυκτεύσας ἀπαίρει πρὸς τὴν αἰώνιον λῆξιν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ Ἰουλίου. Τούτων τὰ ἱερὰ καὶ ἅγια σώματα λαμπρῶς τῇ βασιλίδι μετὰ χρόνους ἀνακομίζονται ὀκτωκαίδεκα. Τηνικαῦτα γὰρ ὁ τῶν Ἐκκλησιῶν πέπαυται πόλεμος, ὃν στυγητὸς Θεόφιλος ἀνερρίπισεν. Ὧν καὶ τὴν ἀνακομιδὴν μάλιστα ὁ θειότατος πατριάρχης, Μεθόδιος δὲ ἦν οὗτος, καὶ κλῆρος ἅπας καὶ μοναστῶν πλήθη καὶ μιγάδων μετὰ λαμπάδων καὶ θυμιαμάτων προχυθέντες τῆς πόλεως καὶ ταῦτα χερσὶν ὑπτίαις δεξάμενοι καὶ σῶα εὑρόντες καὶ ἄρτι ἀρρύτου εὐωδίας πλησύμενα τῇ θήκῃ γε τοῦ ἱεροῦ κατατιθέασι Πλάτωνος, καὶ ἐνθύμως αὐτῷ ὡς ἀληθῶς κηδεύουσι τίμια.

Ex Synaxario collegii nostri Parisiensis 4 Februarii.

Eodem die memoria agitur sanctis Patris nostri Nicolai confessoris Studiensis. Ille quidem sanctus ex Creta insula oriundus erat. Cognatum autem suum Theophanem videre desiderans, Constantinopolim adiit: eumque inter fratres Studitas ascriptum cum invenisset, ipse quoque monasticam vitam amplectitur. Ibi omni eruditione excultus, et monasticæ vitæ rationem apprime edoctus, presbyter ordinatur; ad altissimum enim virtutis culmen evaserat. Postea autem quid? cum Theodoro monasterii præposito divinus Nicolaus exsilio damnatur. Unde revocati a Leone, qui merito feræ cognomine dictus, et Christi hostis fuit, bubulis nervis verberantur, quod divinarum imaginum essent adoratores. Deinde in custodiam detruduntur, et rursus interrogati cæduntur, ac vincti in carcerem conjiciuntur: cumque ibi per tres annos famen, sitim, nuditatem pertulissent, Smyrnam ablegantur: ubi flagellis cæsi, et in carcerem conjecti, ligneis, compedibus vinciuntur. Elapsis autem mensibus viginti, moritur Leo, et ad divinum judicium rapitur. Tunc dimissi beati confessores

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Νικολάου τοῦ ὁμολογητοῦ καὶ Στουδίτου. Οὗτος ὁ ὅσιος ἔφυ μὲν ἐν τῆς τῶν Κρητῶν νήσου. Τὸν συγγενέα δὲ αὐτοῦ Θεοφάνην βουλόμενος θεάσασθαι, τὴν Κωνσταντινούπολιν καταλαμβάνει· καὶ τοῦτόν συγκατηλεγμένον τῇ ἀδελφότητι τῶν Στουδίου εὑρών, καὶ αὐτὸς τὸν μονήρη βίον ὑποδύεται. Διὰ πάσης δὲ παιδεύσεως διελθών, καὶ τῆς μοναχικῆς ἀγωγῆς τὰ σύμβολα ἀκριβέστατα διδαχθεὶς, χειροτονεῖται πρεσ- D βύτερος· εἰς γὰρ τὸ ἀκρότατον τῆς ἀρετῆς ἔφθασεν. Τί τὸ ἐντεῦθεν; Ἐξορίαν σὺν Θεοδώρῳ τῷ τῆς μονῆς προεστῶτι ὁ θεῖος Νικόλαος κατακρίνεται· κἀκεῖθεν ἀνακληθέντες βουνεύροις τύπτονται παρὰ Λέοντος τοῦ θηριωνύμου καὶ μισοχρίστου, ὅτι προσκυνηταὶ τῶν θείων εἰκόνων τυγχάνουσι· εἶτα φρουροῦνται, καὶ αὖθις ἐρωτηθέντες μαστίζονται, καὶ τῇ εἱρκτῇ δεσμευθέντες ἐναποῤῥίπτονται· τρισὶ δὲ ἔτεσι τῇ φρουρᾷ προσκαρτερήσαντες, καὶ λιμῷ καὶ δίψῃ καὶ γυμνότητι προσπαλαίσαντες ἐν τῇ Σμυρναίων ἐκπέμπονται· κἀκεῖσε μαστιχθέντες, καὶ τῇ φρουρᾷ ἐμβληθέντες, ξύλῳ τοὺς πόδας ἐμβάλλονται. Εἴκοσι δὲ μηνῶν παρψηκότων, τελευτᾷ τὸν βίον, καὶ πρὸς τὰ ἐκεῖθεν

δικαιωτήρια παραπέμπεται. Τότε οἱ μακάριοι τοῦ Χριστοῦ ὁμολογηταὶ ἀνεθέντες τὴν Χαλκηδόνα καταλαμβάνουσι, καὶ τὸν τρισόλβιον Νικηφόρον πατριάρχην κατασπασάμενοι, διῆγον ἄμφω. Καὶ μετὰ μικρὸν ἐν τῇ Προύσῃ περιορίζονται, Μιχαὴλ τοῦ Καίσαρος τοῦτο προστάξαντος· εἶτα ἐν τῷ Ἀκρίτα, ἐν ᾧ καὶ ὁ πολύαθλος Θεόδωρος πρὸς Κύριον ἐξεδήμησεν. Ἀλλὰ Μιχαὴλ τοῦ ἄνακτος ἀπολιπόντος, καὶ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ τῆς βασιλείας δραξαμένου, πάλιν κατὰ τῶν εὐσεβῶν βαρὺς ἀνερρίπίζετο πόλεμος· καὶ αὐτοῦ δὲ τοῦ Θεοφίλου τὸν βίον καταστρέψαντος, καὶ Θεοδώρας τῆς εὐσεβεστάτης καὶ Μιχαὴλ τοῦ ταύτης υἱοῦ τῆς βασιλείας ἐπειλημμένων, καὶ εἰρήνης σταθηρᾶς γενομένης, ἐπεὶ Βασίλειος ὁ ἐκ Μακεδονίας τὴν βασιλείαν διεδέξατο, τὸν ὅσιον τοῦτον καὶ πολύαθλον Νικόλαον πολλαῖς παρακλήσεσι πείσας, ἡγούμενον τῶν Στουδίου καθιστᾶσι. Τοσούτους οὖν καὶ τηλικούτους ἀγῶνας ὁ τρισόσιος διανύσας καὶ ὑπὸ τῆς πολλῆς κακουχίας τρυχωθεὶς ἑβδομήκοντα καὶ πέραν χρόνους, τελέσας ἐν εἰρήνῃ ἀνεπαύσατο.

A Christi Chalcedonem perveniunt, ac ter beatum patriarcham Nicephorum cum salutassent, ambo istic degunt. Paulo post Prusam relegantur, jussu Michaelis imperatoris : deinde in Acritam, ubi vir multorum certaminum Theodorus ad Dominum migravit. Sed Michaele imp. mortuo, cum ejus filius Theophilus imperium iniisset, grave contra religionis cultores bellum rursus exarsit. Verum ipso etiam Theophilo e vivis sublato, sanctissima Theodora ejusque filio Michaele imperium administrantibus pace stabilita, postea Basilius Macedo imperii regimen accepit : qui sanctum illum et multis nobilem certaminibus Nicolaum precibus adduxit, ut Studii monasterium regendum susciperet. Igitur vir sanctissimus tantis talibusque functus certaminibus, et plurimis ærumnis confectus, septuagenario major in pace requievit.

B

Ex ms. Regio n. 709 (3).

Ἐπίγραμμα εἰς τὸν ὅσιον Πάτερα ἡμῶν καὶ ὁμολογητὴν Θεόδωρον ἡγούμενον τῶν Στουδίου.

Ἐτελειώθη ἐν Κυρίῳ ὁ ὅσιος καὶ μέγας Πατὴρ ἡμῶν, ὁ Χριστοῦ θεράπων καὶ ὁμολογητὴς Θεόδωρος, ὁ πολυθρύλλητος ἡγούμενος τῶν Στουδίου· ὁ καὶ τὴν ἱερὰν ταύτην καὶ ψυχωφελῆ συγγραψάμενος βίβλον ἐν τῷ δωδεκάτῳ ἔπει τῆς ὑπὲρ ἀληθείας Χριστοῦ τριτης αὐτοῦ ἐξορίας ἐν τῇ νήσῳ τοῦ ἁγίου μεγαλομάρτυρος Τρύφωνος· πλησίον τοῦ ἐμπορίου τοῦ ἐπονομαζομένου Ἀκρίτα τῆς Βιθυνῶν ἐπαρχίας, μηνὶ Νοεμβρίῳ, ἐνδεκάτῃ, ἡμέρᾳ πρώτῃ, ὥρᾳ ἕκτῃ, ἰνδικτιῶνος πέμπτης, ἔτους ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστοῦ τριακοσιοστοῦ τριακοστοῦ πέμπτου. Οὕτω δὲ ὡς ἐν ἐπιτομῇ τὰ κατὰ τὸν θεσπέσιον Πατέρα ἡμῶν διεπράχθη. Ἐκ νεαρᾶς ἡλικίας τέλειος τῷ φρονήματι ἀναδειχθεὶς, καὶ θείας χάριτος καταξιωθεὶς, τῷ εἰκοστῷ δευτέρῳ τῆς ἑαυτοῦ ἡλικίας χρόνῳ τὸν τοῦ Κυρίου ἀράμενος σταυρὸν, ὑπὸ τὸν αὐτοῦ ζυγὸν τὸν ἑαυτοῦ καθυπέταξεν αὐχένα, εὐαγγελικῶς ἀποταξάμενος. Ὁσίως καὶ πατρικῶς πολιτευσάμενος, τρισκαίδεκα ἔτη ὑποταγεὶς ἄριστα, καὶ τὸν τῆς ἀθλητικῆς ὑποταγῆς διηνυκὼς γενναίως δρόμον· ἐκλογῇ θεοκρίτῳ τὴν ἡγουμενικὴν προστασίαν διαδεξάμενος, κἀν ταύτῃ τριάκοντα καὶ δύο διαπρέψας χρόνους· ἀσκητικοῖς τε πόνοις καὶ ἐπιμόνῳ ἐγκρατείᾳ νεκρώσας ἀποστολικῶς τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· πᾶσάν τε ἀρετὴν κατορθωκὼς ὡς ἕτερος μίαν· θλίψεσί τε πλείοσι καὶ πειρασμοῖς ποικίλοις ἐκ τῆς ἀκριβοῦς φυλακῆς τῶν τοῦ Κυρίου ἐντολῶν, καὶ τῆς τῶν θείων Γραφῶν ἐρεύνης περιελθών· πλεῖσθά τε μονάστήρια συστησάμενος καὶ

Epigramma in sanctum Patrem nostrum et confessorem Theodorum Studii præpositum.

Obdormivit in Domino sanctus et magnus Pater noster, Christi famulus et confessor Theodorus, celeberrimus Studii præpositus (qui sacrum hunc librum et animabus utilem duodecimo tertii sui pro Christi veritate exsilii anno conscripsit) in insula sancti et magni martyris Tryphonis, prope locum qui dicitur Acrita in provincia Bithyniæ, mense Novembri, die undecima, quæ fuit Dominica, hora sexta, indictione quinta, anno a creatione mundi sexties millesimo trecentesimo tricesimo quinto. Ut autem uno verbo complectar præclara sancti Patris nostri facta : juvenilibus annis sensu perfectus, et gratia ditatus, in monasterium susceptus est : et crucem Domini a vicesimo secundo ætatis suæ anno tollens, cervicem illius jugo submisit, nuntium remittens mundo juxta Evangelii præceptum. Cumque Patrum vestigiis sancte institisset, per annos tredecim rite obedientiæ subjectus, in eoque curriculo strenue certavisset, divina electione munus præfecturæ suscepit, in eaque annis triginta duobus egregie versatus est, asceticis laboribus diuturnaque abstinentia *membra quæ sunt super terram* cum Apostolo *mortificans*[3]. Virtutibus omnibus addictus, quemadmodum alius uni, cuilibet singillatim : ærumnas complures, variasque tentationes, tum ob exactam mandatorum custodiam, tum ob divinarum Scripturarum indagationem ac studium sustinuit. Plurima exstruxit monasteria, plures ad veritatis agnitionem deduxit,

C

D

[3] Coloss. v, 3.

NOTÆ.

(3) In fine illius codicis, post Theodori scripta pro sacris imaginibus, et Epistolarum libros.

multorum pater et magister nuncupatus : quos ad Deum adduxit, et ad perfectionis apicem provexit. Igitur a gratia vocatus, et antequam nasceretur prænotus ac prædestinatus, ad summum confessionis gradum conscendit : in quo divino æstuans amore, zeloque legis decertans, multis antecelluit : cum et liberius quam quivis alius veritatem auderet profiteri, eamque, tum voce, tum scriptis prædicaret, sicut ab illo scripta monumenta testantur. Quapropter in illum persecutores dirum in modum desævientes, multis eum plagis, exsiliis carceribus vexavere. In his sancte perseverans absque ulla offensione, et, ut ita dicam, repubescens, multis laboribus defunctus fortissimus Pater, sexagesimo septimo vitæ præsentis anno solutus corpore migravit ad Dominum : additus sanctis et beatis patribus suis, et cum illis fruens sempiternis bonis, grandævus et plenus dierum. Hæc quasi obscura in imagine adumbravi ; velut ex pelago guttam hauriens, et unum ex millibus attexens, ista præcipue ter beati Patris, et diuturnis certaminibus exerciti facinora, et res præclare gestas spontanei martyris, illiusque virtutum radios commemorans. Cujus intercessionibus luce scientiæ collustrati, postquam Domino placentes servierimus, peccatorumque remissionem obtinuerimus. utinam et regnum cœlorum humiles consequamur Amen.

A πολλοὺς ὁδηγήσας πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν πολλῶν τε πατὴρ καὶ διδάσκαλος χρηματίσας, καὶ θεῷ τούτους προσαγαγών, καὶ εἰς ἄκρον πολιτείας ἐλήλακώς. Οὕτως ὑπὸ τῆς χάριτος προκληθεὶς ὁ πρὸ γενέσεως καὶ προγνωσθεὶς καὶ προορισθεὶς, ἐπὶ τὸν τῆς ὁμολογίας ἄνιστι βαθμὸν · κἂν τούτῳ ἐρῶτι θείῳ πυρπολούμενος, ζήλῳ θεσμιτικῷ συναμιλλώμενος · τοὺς πολλοὺς ὑπερακοντίσας · διὰ τὸ ὑπὲρ πάντας καὶ παῤῥησιάζεσθαι τὴν ἀλήθειαν · καὶ κηρύξαι καὶ ἐγγράφως καὶ ἀγράφως, καθὼς καὶ αὐτὰ μαρτυρεῖ τὰ παρ' αὐτοῦ συγγράμματα, ὡς κάντευθεν σφοδρότερον κατ' αὐτοῦ τανῦναι τοὺς διώκτας · καὶ πολλαῖς αὐτὸν πληγαῖς, ἐξορίαις τε καὶ φυλακαῖς καταδικάσαι. Ἐν τούτοις διατελῶν καὶ διεξερχόμενος ἀνολιγώρως, καὶ, ὡς ἂν εἴποι τις, ἀκμάζων τὴν ἡλικίαν ὁ πολύαθλος καὶ πολυκαρτερώτατος Πατὴρ, B ἐν τῷ ἑξηκοστῷ ἑβδόμῳ τῆς παρούσης ζωῆς χρόνῳ ἐκδημήσας ἐκ τοῦ σώματος ἐνεδήμησε πρὸς Κύριον, προστεθεὶς τοῖς ἁγίοις αὐτοῦ καὶ μακαρίοις πατράσι καὶ σὺν αὐτοῖς τῶν αἰωνίων ἀπολαύων ἀγαθῶν, πρεσβύτης καὶ πλήρης ἡμερῶν. Οὕτως ὡς ἐν ἀμυδρᾷ φέρε εἰπεῖν εἰκόνι · ἐκ πελάγους ῥανίδα ὡς καὶ ἐκ μυριάδος μονάδα τῶν πολυχρονίων ἀγώνων τοῦ τρισολβίου Πατρὸς τὰ ἐξαίρετα καὶ ταῦτα τοῦ προαιρετικοῦ μάρτυρος τὰ ἀριστεύματα, καὶ τοῦ τῶν ἀρετῶν ἡλίου τὰ ἀπαυγάσματα. Οὗ ταῖς πρεσβείαις ἐλλαμφθέντες τὸ φῶς τῆς ἐπιγνώσεως καὶ εὐαρέστως λελατρευκότες Κυρίῳ, ἄφεσιν τε ἁμαρτιῶν εὑρηκότες, τύχοιμεν οἱ ταπεινοὶ βασιλείας οὐρανῶν. Ἀμήν.

Ex Græcorum Menologio Sirleti cardinalis. Canisii tom. II, p. 908.

Die 11 Novembris commemoratio sancti Patris nostri Theodori cognomento Studitæ. Hic fuit sub imp. Constantino Copronymo divinis litteris eruditus, et vitæ sanctitate insignis, post venerabilem C Platonem abbas monasterii Studitarum, sæpe in exsilium missus, sub Michaele imperatore rerevocatus, paulo post requievit in Domino.

Ex Menologio Basilii imperatoris. Cod. Vatic. n. 1613.

Eadem die memoria agitur sancti Patris nostri Theodori, sanctissimi monasterii Studitarum præpositi.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου ἡγουμένου τῆς εὐαγεστάτης μονῆς τῶν Στουδίου.

Hic regnante Constantino Callinico natus est Constantinopoli. Omnium scientiarum cognitionem adeptus, regnante Irene in Saccudionis monasterium se recepit. A Platone ipsius avunculo factus est monachus, et a Tarasio patriarcha presbyter ordinatus. Triginta deinde annos natus præficitur monasterio. Thessalonicam relegatus ideo fuit, quod imperatoris adulterio non consentiret. Ve- D rum ab Irene Augusta revocatus est, atque a Saracenorum regina viatico recreatus, regendum accipit Studiense monasterium : sed iterum similem ob causam pellitur in exsilium a Nicephoro imperatore, qui in Bulgaria cæsus est. Postea ob sanctas imagines a Leone Iconomacho relegatur ; multaque pro religione perpessus, et plurimis fun-

Ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Καλλινίκου ἦν οὗτος ἐν Κωνσταντινουπόλει γεννηθείς. Πᾶσαν δὲ γνῶσιν τῶν μαθημάτων ἐκμαθών, ἐπὶ τῆς βασιλείας Εἰρήνης ἀπελθὼν ἐν τῇ τοῦ Σακκουδίωνος μονῇ, ὑπὸ τοῦ θείου αὐτοῦ Πλάτωνος γέγονε μοναχὸς, καὶ παρὰ Ταρασίου πατριάρχου χειροτονεῖται πρεσβύτερος. Εἶτα τριακονταέτης ὢν γίνεται καὶ ἡγούμενος τῆς ὑπ' αὐτὸν μονῆς. Ἐξωρίστη δὲ εἰς Θεσσαλονίκην, διὰ τὸ μὴ συνθέσθαι τῇ μοιχείᾳ τοῦ βασιλέως. Ἀλλ' ἐκλήθη πάλιν διὰ τῆς βασιλίσσης Εἰρήνης. Καὶ διὰ τὴν Σαρακηνῶν ἔφοδον τὴν βασιλεύουσαν καταλαμβάνει, καὶ τὴν μονὴν τοῦ Στουδίου παραλαμβάνει. Καὶ πάλιν ἐξορίζεται παρὰ Νικηφόρου βασιλέως τοῦ σφαγέντος ἐν Βουλγαρίᾳ, ἐπὶ τῇ ὁμοίᾳ ὑποθέσει. Εἶτα ἐξορίζεται διὰ τὰς ἁγίας εἰκόνας ἐπὶ Λέοντος τοῦ

Εἰκόνομάχου · καὶ πολλὰ τιμωρηθεὶς ὑπὲρ τῆς εὐσεβείας, καὶ ἀγωνισάμενος, καὶ ὕμνους εἰς Θεὸν συγγραψάμενος, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν.

A ctus certaminibus, conscriptis in Dei laudem hymnis quibusdam, ad summam provectus senectutem migravit ad Dominum.

Card. Baronii testimonia tum de Theodoro, tum de interpretatione Sirmondiana.

Ad an. 798, *n.* 7.

Hactenus de scriptis Theodori Studitæ Michael ejus discipulus : quæ quidem magna ex parte desiderari videntur. Quas autem ex Columnensi bibliotheca nacti sumus epistolas ad Annales spectantes, eas una cum vita ipsius a dicto Michaele conscripta Sirmondus Parisiensis theologus Soc. Jesu professor, me rogante Latinitati tradidit: quo nomine non ego solum, sed universa ei plu- B rimum debeat Christiana religio. Nos eas suis locis pro temporis ratione reddemus. Utinam inveniatur aliquis vir doctus qui majori otio cuncta sanctissimi atque doctissimi viri egregia monumenta e blibliothecarum diversarum latebris aliquando in lucem vindicet, eademque Latinitati, beneficio omnium donet.

Ad an. 814, *n.* 23.

Exstant ipsæ quidem (Theodori Epistolæ) ; magno namque Dei beneficio factum est, ut ipsæ aliæque eodem argumento, hac urgente persecutione conscriptæ, ad nostra tempora integræ servatæ sint. Habet eas idem qui supra sæpe citatus est vetus codex bibliothecæ Columnensis, quæ cardinalis C Sirleti doctissimi viri cum esset, ab Ascanio Columna diacono cardinali, de antiquitatibus ecclesiasticis adeo bene merente, ut Romæ consisteret, nec alio transferretur, empta ab ejus hæredibus fuit.

Ad an. 814, *n.* 43.

Hæc ipse de scriptis ab eo multiplicibus in carcere litteris, quæ ferme omnes quod integræ ad hæc tempora fuerint divinitus custoditæ, et in his et aliis Orientalis Ecclesiæ naufragiis fuerint illæsæ servatæ, Deo ipsi optimo maximo iterum atque iterum plurimas agimus gratias.

Ut autem hisce, lector, et tu ipse divitiis potiaris, ex eis aliquas hic tibi pro temporis ratione describere operæ pretium judicavimus ; utpote quæ D tanquam monilibus quibusdam auro gemmisque progrediantur decoratæ, nempe catenis, plagis, vibicibus, sacrisque Christi stigmatibus gloriosæ : quæ et apostolico spiritu scriptæ repræsentent etiam apostolicam dictionem.

Ad an. 816, *n.* 24.

Vides ex his, lector, orthodoxos omnes in unum Theodorum, ad consulendum eum, respexisse, et de rebus dubiis habuisse confugium : relictum ipsum in ecclesia illa, cui incubabat hæreticus patriarcha, tanquam divinum oraculum vocale omnibus eum interrogantibus, jam et voce sanguinis vehementius clamans, ut plane vel in Theodoro apostolica sententia appareat experimento probata qua Paulus apostolus de seipso dicit: *Pro Evangelio labore usque ad vincula, quasi male operans : sed verbum Dei non est alligatum* [4]. Etenim neque carcere, neque vinculis, neque custodibus valuit impediri vel præpediri, neque communationibus vel pœnis potuit prohiberi, terroribusque vetari, neque verberibus iteratis contineri, vel inedia arctari atque constringi, vel quid minimum detineri, quominus liber animo perseveraret, et libere curreret, longe lateque per universum Orientalem orbem excurreret Spiritus pennis verbum Dei, instar columbæ deargentatæ [5] quocumque velit pro voluntate volantis.

Credi vix potest, quot hoc tempore litteras scripserit : hortatorias ad martyrium, catecheticas ad instructionem, dogmaticas adversus hæreticorum objectiones, consolatorias ad concaptivos, luctuosas ad lapsos, canonicas ad resipiscentes, remedia ex præscripto canonum continentes : ut plane in summo otio et maxima libertate eum constitutum fuisse quis dixerit, qui cuncta ab eo hoc tempore scripta consideret : et plures illi inservisse notarios, famulos astitisse tabulas ex confertis armariis ministrantes, et ad scriptionem ceram parantes : tabellariosque crediderit etiam plurimos singulis diebus ad iter accinctos, expeditos, in diversas orbis partes mittendos, pro foribus semper astitisse paratos... Numerum excedit ducentarum epistolarum summa, quas Theodorus persecutionis tempore exul et in carcere constitutus conscripsit. Exstant ipsæ regulæ, ex quibus paucas, quæ magis ad contextum historiæ spectare noscuntur, hic tibi annis singulis quibus sunt scriptæ curavimus describendas, apostolici quidem spiritus odore fragrantes, eorumdemque gloriosa stigmata referentes, dum quot apices, tot vibices gloriosæ confessionis legentibus repræsentent, et in charta versus fluentes ex ejus corpore rivos sanguinis manifestent.

Ad an. 825, *n.* 72.

Cæterum quanti faciendæ sint epistolæ ejusdem sanctissimi viri, Deus ipse insigni miraculo com-

[4] II Tim. II, 8. [5] Psal. LXVII, 14.

probavit, quod inter alia Michael Studita ejus discipulus, scriptor fidelis ita describit (*Vide* Theod. Vitam, col. 214). Ex his tu, lector, intelligas quot Theodori historicis epistolis Annales intexti sunt, tot eosdem pretiosissimis velut contextam coronam micare gemmis. Sed et si earum vim consideres, totidem esse fulmina cœlitus missa dices, quibus omnes hagiomachi, et Iconomachi, stolidi novatores, fæces hæreticorum percussi valide penitus conterantur. Nam vel unum hunc ostendere catholici dogmatis defensorem, virum Dei amicum, sapientia et scientia affatim prædituni, iteratis crebo confessionibus celebrem, sanguine sæpe fuso decorum, vitaque ab adolescentia optimis moribus instituta fulgentem, ingentibusque miraculis illustratum, ad victoriam satis: cum ab illorum parte nonnisi scelestissimos omnium homines pabeant, quos ostendant.

Ad an. 826, *n.* 50.

Sed jam ultimum S. Patris elogium proferamus, nempe illud quod suis a se scriptum tunc tradidit Testamentum, spiritualium divitiarum depositum, Latinisque hactenus incognitum, ex eodem depromptum codice Columnensi, quod et Græce pariter scriptum exstare novimus in Sforziana bibliotheca, ab eodem Sirmondo Parisiensi Soc. Jesu professore in nostrum sermonem conversum, in medium afferamus:

« Qui igitur, ut nuper audisti, nihil remisit studii quo suis vivens prodesse posset, ut post mortem iisdem profuturus esset, testatam suam publico monumento voluntatem voluit reliquisse. Cum enim gravissima illa, ut adisti, infirmitate detentus, nec loqui præ anguslia afflicti spiritus præsentibus cuncta quæ vellet, neque longius ipsi, etiam si vellet, alloquendi facultas esset: divina illa ardens charitate magis quam febre, accepto absque arbitro calamo, conscripsit istiusmodi testamentum, » etc.

De Theodoro, deque rebus ad ipsum pertinentibus videri præterea possunt:

Naucratii confessoris encyclica de obitu sancti Theodori Studitæ, tom. II Auctarii ad *Bibliothecam PP. Græc.*, pag. 855.

Vita sancti Platonis, auctore ejus nepote et discipulo sancto Theodoro Studita, apud Henschenium ad 4 Aprilis: Latine pag. 364; Græce vero ad calcem ejusdem tomi pag. XLVI;

Vita sancti Nicolai Studitæ archimandritæ, tom. II Auctarii ad *Biblioth. PP. Græc.*, pag. 890; necnon apud Bollandum ad 4 Februarii, pag. 538;

Vita sancti Nicephori patriarchæ CP. Apud Henschenium 13 Martii: Latine quidem pag. 293; Græce vero pag. 704;

Vita sancti Nicetæ Hegumeni Mediciensis, auctore Theosterieto ejus discipulo, apud Henschenium 3 Aprilis: Latine quidem, pag. 253. Græce vero ad calcem ejusdem tomi pag. XXII;

Vita sancti Tarasii patriarchæ CP. auctore Ignatio ejus discipulos qui præsens morienti afuit; ibid. ad diem 25 Februarii, pag, 572;

Vita sancti Theophanis Sygriensis abbatis, ibidem ad 12 Martii, Latine pag. 213; Græce vero pag. 700.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΤΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΤΩΝ ΣΤΟΥΔΙΩΝ ΗΓΟΥΜΕΝΟΥ,

ΣΥΓΓΡΑΦΕΙΣ ΠΡΟΣ ΜΙΧΑΗΛΟΥ ΜΟΝΑΧΟΥ (1).

—

VITA ET CONVERSATIO

SANCTI PATRIS NOSTRI ET CONFESSORIS

THEODORI PRÆPOSITI STUDITARUM,

CONSCRIPTA A MICHAELE MONACHO

—

Καὶ πᾶσι μὲν ἡδὺς καὶ τοῦ παντὸς ἄξιος, ὁ μέγας A
Πατὴρ ἡμῶν καὶ ὁμολογητὴς Θεόδωρος. ἀσκήσει τε
βίου καὶ πάθεσι τοῖς ὑπὲρ Χριστοῦ διαλάμψας ἐπι-
φανῶς (1) καὶ τῷ ἐν ἑκατέροις ὑπερβαλεῖν, ὑπερβάλ-
λουσαν τὴν ἀρετὴν καὶ ἀπαράμιλλον ἐσχηκὼς, πολλῷ
δὲ μᾶλλον οὗτος ἡδίων καὶ λυσιτελὴς τοῖς τὸν μονα-
δικὸν μετιοῦσι βίον, καὶ ἀγωγὴν ὑπελθοῦσι τὴν κρείτ-
τονα. Οὗτοι γὰρ καὶ πάντων οὐχ ἥκιστα καὶ τιμῶσιν
ἐκεῖνον, καὶ στέργουσι· καὶ ὡς τινα νόμον ἄλυτον τὰ
τούτου κατέχουσι παραγγέλματα, γλώσσης τρυφὴν
ἐκπεντὸς τὸν ἄνδρα ποιούμενοι, καὶ πόθοις ἀῤῥήτοις
τούτῳ συνδούμενοι. Ἐπεὶ γὰρ οὗτος τὸν Χριστὸν
ἐκ πάντων ἐπόθησε, πάντας ἔσχε τοῦτον ἀντιπο-
θοῦντας, καὶ τιμῆς ἀξιοῦντας τῆς μείζονος. Ἀμέλει
καὶ τοῖς βουλομένοις ἐπιγνῶναι ἡλίκης κάνταῦθα τῆς B
δόξης ἐκλάμπεται ὁ θαυμάσιος· ἵνα μὴ τὴν ἐκεῖθεν
λέγω, ἧς ἡ ἀπόλαυσις ἄῤῥητος· ἔξεστι μοναστὰς
ἅπαντας καὶ μιγάδας ἰδεῖν τούτου καὶ πρὸς ἔπαινον
κινουμένους, καὶ στοργῇ τῇ πάσῃ προσφυομένους,
καὶ λαμπρᾷ τὴν εὐφημίαν τῷ λαμπρῷ τὴν ἀρετὴν
ἀναῤῥίπτοντας. Ἐῶ γὰρ λέγειν τὴν περιώνυμον τοῦ
Στουδίου μονὴν, ἧς αὐτὸς ἀλείπτης καὶ παιδο-
τρίβης· πῶς οὐδέποτε λήγουσιν οὗτοι τιμαῖς ἐκεῖ-
νον ταῖς φιλοτίμοις τιμῶντες, καὶ διὰ θαύμα-
τος ἄγοντες τὸν θεόληπτον· οἵγε δὲ καὶ τῷ παρ'
ἐκείνου οὕτω πεπαιδεῦσθαι, καὶ ἐπὶ μέγα πολιτείας
προῆχθαι, ὑπόδειγμα καὶ αὐτοὶ εὐσεβείας, καὶ ἀρε-
τῆς ἀρχέτυπον τοῖς πολλοῖς καθεστήκασι. Πάντα γὰρ
οἱ καλοὶ οὗτοι τὰ κάλλιστά τε ἅμα καὶ λυσιτελέστατα,
ὥσπερ ἐν κοινῷ ταμιείῳ, τῷ ἑαυτῶν ψυχῇ συνελέ- C

Est quidem acceptus omnibus, atque omni æstimatione dignus, eximius Pater noster et confessor Theodorus, quippe qui tum exercitatione vitæ, tum obitis pro Christo laboribus conspicuus emicuerit, et utraque laude excellens, insigni fuerit supra cæteros, nec cuiquam conferenda virtute ornatus : multo autem acceptior idem utiliorque iis qui monasticum vivendi genus ingressi sunt, ac sanctiori se disciplinæ subdiderunt. Hi enimvero cum illum præ cæteris studiosius colum et amant, tum ejusdem præcepta instar perpetuæ legis amplectuntur. virum hunc unum semper in ore ac sermone habent, huic inexplicabili quodam desiderio copulantur. Nam postquam ille Christum propter omnes dilexit, omnes eum vicissim studio et honore majori prosecuti sunt. Utique si qui nosse velint, quantam sit in hoc sæculo vir admirabilis gloriam adeptus ; ut illam alterius ævi omittam, cujus explicari suavitas nequit ; licet omnes monachos ac sæculares intueri in illius laudem effusos, eidem omni charitate addictos, et, quod eximiæ commendationis instar habet, virtutem eximio illi viro referentes acceptam. Tacitus enim prætermitto percelebre Studii monasterium, cujus ipse magister et institutor fuit : quomodo nullum ii finem faciant illum honoribus certatim afficiendi, divino afflatum numine virum instar prodigii habentes. Qui quidem sic ab illo instituti et ad excellentem vitæ rationem informati, pietatis et ipsi exemplar, ac virtutis forma plurimis effecti sunt. Nam viri illi egregii quidquid est

NOTÆ.

(1) Πρὸς Μιχαήλου Μοναχοῦ. Ita in Columnensi et in Vaticano codice. In alio autem, ut monuit Sirmondus, auctor dicitur Theodorus magister Daphnopates. Theodorus quidem ὁ Δαφνοπάτης *historiam sui temporis emisit in lucem* (inquit Vossius lib. III *De hist. Gr.*), *ut constat ex Cedreno, in proœmio : item ex Joan. Curopalate, itidem in præfat. ; sed apud hunc Theodotus appellatur.*

eximium idemque utile, tanquam in communi penu, ad profectum animi compararunt : vitam eximiam, mores utiles, jucundam consuetudinem, concinnam psalmodiam, et quidquid est aliud piorum hominum æstimatione ac prosecutione dignum. Sed enim quia horum omnium causa profecto et auctor exstitit Pater, qui fundamenta jecit, talesque effecit monachos : consentaneum omnino est et eorum meminisse quæ gessit, et illius labores et certamina dicendo persequi, et quæ alia pertulit propter Christum : cujus et stigmata scilicet in carne portavit, ut Apostolus loquitur (*a*). Proinde istud optandum mihi est, ut ne rerum omnium magnitudine obruar, quod accidisse his intelligo qui ipsius res gestas prosecuti sunt : sed ut possim vel pauca ex iis quæ gessit afferre in medium : ut, si quidem aliud nihil efficiam, tamen id quod propositum animo fuit, exhibeam. Quin, nihil est quod reformidem, cum audendi fiduciam afferat noster in illum amor, qui et orationem suggeret, et tam præclara enarrandi vim ac facultatem. Quare mihi et pro viribus quæ divinum virum spectant sic dicenda sunt, ut neque omnia percenseam, quod fieri omnino non potest, neque præcipua quæ fuerint negligam, quod utique damnosum foret.

A ξαντο, βίον ὑπερφυῆ, τρόπον ἐπωφελῆ, ἐπιτερπῆ πολιτείαν, ἐμμελῆ ψαλμῳδίαν, καὶ ὅσα ἄλλα τίμια τοῖς ἐναρέτοις καὶ περισπούδαστα. Ἀλλὰ γὰρ ἐπεὶ τούτων ἁπάντων αἴτιος ἄρα καὶ προβολεὺς ὁ τὴν κρηπῖδα καταβαλόμενος Πατήρ, καὶ μοναστὰς τηλικούτους καταστησάμενος · εἰκὸς πάντως καὶ τῶν πεπραγμένων τούτῳ μνησθῆναι, καὶ ἀγῶνας τοῦδ καὶ ἆθλους διεξιέναι, ἄλλα τε ὅσα διὰ τὸν Χριστὸν καθυπέστη εἰπεῖν · οὗ καὶ τὰ στίγματα δηλαδὴ ἐν τῇ σαρκὶ ἐβάστασε, κατὰ τὸν Ἀπόστολον. Οὐκοῦν καὶ εὐχῆς ἔργον ἐμοί, μὴ πάντων τῶν πραγμάτων ἀπολειφθῆναι · ὅπερ καὶ παθεῖν οἶδα τοὺς τὰ ἐκείνου διεξιόντας · ἀλλὰ δυνηθῆναι κἂν μικρὰ τῶν ἐκείνου ἐρεῖν · ὡς ἂν εἴ μή τι ἄλλο, τήν γοῦν πρόθεσιν παραστήσαιμι. Οὐκοῦν οὐκ ἀποκνητέον ἐμοὶ τὴν ἐγχείρησιν πρὸθ τῷ πρὸς ἐκεῖνον θαρρήσαντι · ὃι' ὃν μοι B καὶ ὁ λόγος μάλιστα, καὶ ἡ τῶν τηλικούτων διήγησις. Ὅθεν μοι καὶ ὡς οἷόν τε τὰ κατὰ τὸν θεῖον ἄνδρα λεκτέον · μηθ' ἅπαντα διεξιόντι, ὅτι καὶ ἀδύνατον πάντως · μήτε τὰ καίρια παρορῶντι, ὅτι καὶ ἀσύμφορον δήπου.

I. *Theodori patria et genus.* — Huic igitur eximio Patri patria magni nominis civitas Constantinopolis fuit, quæ et nova Roma potissimum appellata est. Parentes tum generosa stirpe insignes, tum innumeris opibus abundantes : qui una cum splendore generis nobilitatem morum secuti, cum C Deo ut plurimum versabantur, suspensamque ex illius præceptis vitam agebant. Parentum alteri nomen Photinus fuit, alteri Theoctista : congruas quidem moribus suis appellationes, si ulli alii, uterque sortitus : ille, quod plurimis facem ad divina contemplanda prætulit : ista, quod nova quædam Dei creatura exstitit, et spiritum rectum, ut loquitur David, in visceribus suis excepit (*b*). Horum enimvero pietatem imprimis tempus aliquando prodidit, cum quidvis perpeti maluere, quam fidem abjicere, in qua educati fuerant. Quantumvis enim alios cernerent suam Iconomachis sententiam ultro addicere : ipsi tamen minime iis cessere, aut eorum ullatenus excepere sermones. Quinetiam ut majus erga Deum studium præ se D ferrent, idque reipsa viderentur esse, quod ipso antea nomine præferebant, gloriam, et opes, et aulæ dignitates, ceu pedum pulverem non multo post excutiunt, Deum instar omnium amplectuntur, quo frui, quem complecti, rem quovis emendam pretio putabant. Et si enim Photinus non vulgari magistratu apud imperatorem fungeretur (nam quæsturam is gerebat), cum nihil tamen iis

Δ'. Τούτῳ τοίνυν τῷ μεγάλῳ Πατρὶ πατρὶς μὲν ἡ μεγαλώνυμος αὕτη Κωνσταντινούπολις, ἣ καὶ νέα μάλιστα προσωνόμασται Ῥώμη. Πατέρες δὲ λαμπροὶ τὸ γένος, καὶ πλούτῳ μυρίῳ κομῶντες · οἳ σὺν ἅμα τῷ γένει καὶ τὸν τρόπον ἐξευγενήσαντες, Θεῷ τῷ πλείστῳ μέρει συνέζων, καὶ τούτου τῶν ἐντολῶν ἤρτηντο. Ὄνομα τῷ μὲν τῶν γονέων Φωτεινὸς, τῇ δὲ, Θεοκτίστη (2) · τὰς κλήσεις, εἰ καὶ τινες ἄλλοι, πρὸς τοῦ τρόπου λαβόντες · τῷ τὸν μὲν, πολλοὺς φωτίσαι πρὸς τὰ θειότερα · τὴν δε, καινήν τινα κτίσιν γενέσθαι Θεοῦ, καὶ τὸ εὐθὲς, κατὰ τὸν Δαβὶδ, πνεῦμα ἐν τοῖς ἐγκάτοις εἰσδέξασθαι. Τούτων γὰρ τὴν εὐσέβειαν μάλιστα τηνικαῦτα καιρὸς ἔδειξεν, ὅτι πάντα παθεῖν εἵλοντο μᾶλλον, ἢ τὴν πίστιν προέσθαι, μεθ' ἧς συνετράφησαν. Εἰ γὰρ καὶ τοὺς ἄλλους ἐώρων τοῖς Εἰκονομάχοις τὴν οἰκείαν προπίνοντας δόξαν · ἀλλ' αὐτοὶ οὐμενοῦν τούτοις ὑποκλινόμενοι ἦσον, ἢ λόγους τοὺς ἐκείνων συνάλωσ παραδεχόμενοι. Οἵ γε ἵνα καὶ μειζόνως τὸν πρὸς Θεὸν ἔρωτα δείξαιεν, καὶ φανεῖεν ἀληθῶς ὅπερ ἤδη καὶ προεκλήθησαν, δόξαν μὲν καὶ χρήματα καὶ τὴν ἐν βασιλείοις τιμὴν, ὡς κόνιν ποδὸς μετ' οὐ πολὺ ἀποτίθενται, Θεὸν δ' ἀντὶ πάντων λαμβάνουσιν, ὃν κατασχεῖν καὶ λαβεῖν τοῦ παντὸς ἐνόμιζον ἄξιον. Εἰ γὰρ καὶ ὁ Φωτεινὸς τὴν οὐ πολλοστὴν ἀπὸ βασιλέως διεῖπεν ἀρχὴν, καὶ αὐτῷ τὰ χρήματα ἐταμίευσεν, ἀλλ' οὐδὲν τούτων οὔτ' αὐτὸς, οὔθ' ἡ ὁμόφρων σύζυγος ὑπειδόμενοι, πάντα λιπόντες, μόνου τοῦ σκοποῦ γίνονται, καὶ τὸν ἀναχωρητικὸν εἶτ' οὖν μοναδικὸν βίον ἀσπάζονται, Θεῷ συνόντες, Θεοῦ

(*a*) Galat. VI, 18. (*b*) Psal. L, 12.

NOTÆ.

(2) Θεοκτίστη. Ejus laudes oratione funebri sive ἐπιταφίῳ λόγῳ prosecutus est ipse Theodorus, et supremo morbo decumbenti epistolam scripserat pietatis et amoris tenerrimi plenam, quæ in codice ms. Columnensi sexta est libri primi Epistolarum ipsius.

μόνου τῇ συνουσίᾳ ἡδόμενοι. Τοῦτο δ' οὐ μόνον ἡ καλὴ αὕτη συζυγία δεδράκασιν· ἀλλὰ καὶ οἱ ἐξ αὐτῶν φύντες, καὶ οἱ ἄλλως ὄντες πρὸς γένος, πρᾶξαι ἤδη προήχθησαν, Θεοῦ καὶ τῆς ἀρετῆς οὐδὲν θέμενοι προτιμότερον. Ὧν σαφέστατα καὶ τὴν ἀγωγὴν, τούς τε χρόνους καθ' οὓς τὴν ἀποταξίαν ἀνείλοντο, ἐν τῷ περὶ τὴν μητέρα ἐπιταφίῳ ὁ μεγαλοφυὴς ἀνεῖπε Θεόδωρος, δηλώσει δὲ καὶ ὁ παρὼν γόγος μικρὰ ἤδη περὶ αὐτῶν.

A rebus aut ipse aut uxor ejusdem consilii socia afficeretur, relictis omnibus, voti compotes ambo fiunt, ac solitariam sive monasticam vitam amplectuntur, cum Deo agentes, Dei unius consuetudine gaudentes. Atque id non solum conjugum par illud nobile præstitit: sed et qui ex iis prognati, et qui genere affines, id efficere jam aggressi erant, Deo et virtute nihil esse præstabilius arbitrati (*c*). Quorum vitæ institutum perspicue, tempusque quo mundo nuntium remiserunt, in matris epitaphio egregius vir Theodorus edisserit: declarabitque nonnulla de ipsis et præsens oratio.

Β'. Ἐκ τοιούτων οὖν πατέρων ὁ θαυμαστὸς οὗτος γεννᾶται ἀνὴρ, Κωνσταντίνου τοῦ Κοπρωνύμου τὴν βασιλείαν κατέχοντος, καὶ Χριστιανοὺς πάντας ἐξάρνους τῶν ἱερῶν εἰκόνων γενέσθαι καταναγκάζοντος· ὃς τῇ ὑπερβολῇ τῆς κακίας καὶ αὐτὸν τὸν φύσαντα (Λέων δ' οὗτος ἦν ὁ Ἴσαυρος, ὁ καὶ πρῶτος τολμήσας τὰ θεῖα καθελεῖν ἐκτυπώματα) πολλῷ τῷ μέτρῳ νικῆσαι ἐφιλονείκησε, δύσνους τὰ μάλιστα τοῖς Χριστιανοῖς ὤν, καὶ τὴν ὠμότητα, οὐδ' ὅσον εἰπεῖν, βαρύτερος ἐκείνου καὶ χαλεπώτερος. Τούτου οὖν, ὡς οὐκ ὤφελε, κακῇ μοίρᾳ τῆς ἀρχῆς ἐπειλημμένου, εἰς φῶς, ὡς ἔφαμεν, πρόσεισιν ὁ Θεόδωρος, κοινὸν οἷα δῶρον ἐσόμενος τῇ πατρίδι, καὶ ζόφου τοῦ ἐπιπροσθοῦντος διαυγία. Ὃς γε καὶ ἐπὶ νέῳ τῷ σώματι τοῦ θείου βαπτίσματος καταξιωθεὶς, καλῶς τε τὰ πρῶτα τῆς ἡλικίας παρὰ τῶν τεκόντων διαπλασθεὶς, καὶ γραμματιστῇ ἐφ' ᾧ τὴν προπαίδειαν ἐκμαθεῖν παραδίδοται, ᾧ καὶ ἐπιχαρίτως μάλα συνῆν, οὐ τωθασμοῖς χαίρων, οὐ θεάμασι προσανέχων, οὐ παιδιαῖς καὶ ταῖς ἄλλαις ἀνέσεσιν, οἷα δὴ νέος καὶ τοσούτου οἴκου, τὴν ψυχὴν ἐφηδύνων· ἀλλὰ μόνῃ σχολάζων, ὡς εἰκὸς, τῇ ἀναλήψει τῶν μαθημάτων, τούτοις καὶ τὴν διάνοιαν ἔτερπε, καὶ τὴν ἐξ αὐτῶν ἐπιεικῶς ἐτρύγα ὠφέλειαν. Ὡς δὲ καὶ ὁ χρόνος αὐτῷ καὶ τὸ φρόνημα ἐπεδίδου· συνανιόντα τε ἀλλήλοις καὶ συναυξόμενα· καὶ παιδείας τῆς θύμαθεν ἥπτετο ὃς καὶ σπουδῇ χρώμενος ἐναμίλλῳ τῇ εὐφυΐᾳ, γραμματικὴν ἣ γλῶσσαν οἶδεν ἐξελληνίζειν, καὶ ποιήμασι προσανέχειν τάχιστα παραλαμβάνει. Ὧ οὐ τὸ μυθῶδες, ἀλλὰ τὸ ὠφέλιμον κατασχὼν, τὸ περιττὸν διεῖδε καὶ κατεφώρασεν. Εἶθ' ἑξῆς καὶ ῥητορικὴν μετιὼν οὐ κατὰ ῥήτορας δεῖν ᾤετο ἔχειν τὸ ἦθος. Οὔκουν οὐδὲ τοῖς τούτων ψεύδεσι συνεχρῆτο, ἢ ταῖς ἄλλαις τῶν λόγων κενολογίαις καὶ ἀντιῤῥήσεσιν· ἀλλ' ὅσα πρὸς τὸ χρήσιμον φέρει μόνον, καὶ συνθήκην λόγου καὶ ἁρμονίαν ἀπολαβὼν, τὰ ἄλλα παρῆκε τοῖς ἄλλοις, οἷς καὶ ἡ ματαιότης τῶν λογισμῶν, καὶ ἡ τῶν ῥημάτων κομψεία ἐπιτεχνάζεται.

B II. *Ortus et pueritia.* — Ex talibus itaque parentibus vir admirandus ortum habuit, Constantino Copronymo imperium administrante, eodemque Christianos omnes adigente ut sacras imagines abnegarent: qui est improbitatis exsuperantia genitorem suum (fuerat is Leo Isaurus, qui primus omnium ausus est divinas effigies dejicere) multis partibus vincere studuit, Christianis in primis infensus, et crudelitate, ut levissime dicam, gravior illo atque acerbior. Cum ille igitur, quod utinam nunquam evenisset! pessimo fato rempublicam capessivisset: in lucem, ut diximus, prodiit Theodorus, futurus utique novum patriæ munus, et incumbenti caligini discutiendæ fulgor. Qui quidem in recenti corpore divina ablutus unda, et prima ætate egregie a parentibus informatus et a magistro cujus in disciplinam traditus fuerat, ut primas artes edisceret, quicum et suavissime versabatur: nec dicteria solitus est in quemquam jacere, nec spectaculis affici, nec ludis, cæterisque avocationibus, quibus id ætatis ac generis adolescentes oblectare animum solent: sed uni, ut par erat, litterarum cognitioni deditus, et mentum his oblectabat, et ex iisdem miram admodum utilitatem capiebat. Postquam vero judicii vim perfecit ætas, ut sunt ea inter se connexa unaque crescunt, externas quoque disciplinas attigit: ad quas cum studium et diligentiam afferret non minorem ingenio, linguæ Græcæ facultatem et copiam adeptus est, et ad rem poeticam confestim animum adjecit: quo in genere, non quod fabulosum, sed quod est utile arripiens, quod erat optimum perspexit et intellexit. Rhetoricam mox deinde ingressus, minime arbitratus est, ex præceptis rhetorum fingendos esse mares. Itaque nec falsis horum commentis utebatur, nec inanibus orationum argumentis et controversiis, sed ad ea modo appellens animum, quæ ad utilitatem conferrent, et ad concinnam orationis ac verborum structuram, cætera reliquit ac permisit aliis, quibus ars una est argutiarum inanitas, ac festivitas vocum.

C

D

Γ'. Ἐπεὶ δ' οὗτος καὶ φιλοσόφοις συγγινόμενος ἦν, συλλέγων κατὰ τὸ τῆς μελίσσης φιλόπονον ἐκ πάντων τὰ κάλλιστα, οὐ κατὰ πάρεργον ἤδη τούτοις ἐτυγχανεν ὁμιλῶν· ἀλλὰ σπουδῇ πάσῃ πᾶσαν ἐπῄει φιλοσοφίαν, ὅσον τε ἠθικὸν ταύτης, καὶ ὅσον δογματικὸν, καὶ

III. *Philosophiæ studet.* — Ubi vero cum philosophis consuetudinem habuit, sedulitatem apum imitatus, atque ex omnibus optima colligens, non jam remisse et oscitanter cum his versatus est: sed omni studio ad omnem philosophiæ partem incu-

(*c*) Vide infra n. 5.

buit, et ad eam quæ mores spectat, et quæ dogmata tradit, et quæ in disserendi arte posita est ac demonstrationibus. Cum vero plurimos ille interim intelligeret versutiis orationum et adulterinis quæstionibus perturbare fidem ac pervertere : emnem adhibuit operam, ne cum his societatem iniret, aut sermonis consortium. Quamobrem sedulo cavit ac prospexit, ne vel leviter horum argutiis caperetur, sed ut excellenti vi doctrinæ hostes feriret ac propelleret, eorumdemque sermonum fallacias confutaret. Verumenimvero, cum tantam ille comparasset vim eruditionis, dos illius propria et peculiaris fuit modestia, morum gravitas, affectuum diligens cura : qui et cogitationem ad altiora confestim adjiciens, disciplinas aliaque omnia posteriore loco habet, omne autem studium ad virtutes adipiscendas convertit, curam et laborem omnibus horis adhibens, qua ratione temperantiæ ac fortitudinis compos fieret, qua arte prudentiam ac justitiam, qua mansuetudinem et abstinentiam compararet, cæterasque quæ sub his virtutum generibus continentur. His Theodorus incumbens, divinas Scripturas strenue versabat, earumque sensum mire colligebat, ita ut non id modo quod est in his vulgare et in promptu positum, sed et quod intime abditum latet, penitus introspiceret. Sacras ædes idem plurimum frequentabat, nocturnis pervigilationibus carnem macerans, et dum noctem agit insomnem, animo stans erecto. Qui etiam consulto ac dedita opera, ne somno premeretur, cibis utebatur levissimis, quidquid stomachum oneraret, veluti gravem molestamque sarcinam devitans. Volebat is enimvero jam ante accuratiom vitam acrioribus se ipse laboribus assuefacere : ut hos in incurrentes.

IV. *Mors Copronymi. — Synodus apud Nicæam.* — Postquam autem qui Christianos vastabat imperator, et Christi, heu ! imaginem contumelia affecerat, turpissimo leti genere animam exhalavit, hujus filius Leo administrandum suscepit imperium, cui nomen a matre Chazarus fuit, paternis omnino et ipse moribus, nihilo remissius agens parente. Citius autem ille cum imperio vitam amisit. Irene vero hujus uxor, una cum puero Constantino, rerum potitus est. Quæ ut rebus ipsis nomini suo fidem faceret, perturbationem Ecclesiarum omnem luctumque sedavit: quippe jamdudum exosa pravis opinionibus infectos, ac revocata palam securitate et pace, pristinum iisdem cultum, et detractam coronem restituit. Itaque rem urgens acriter (erat enim impense pia) confestim ad se Patres omnes evocat, cum ipsis quid facto esset opus deliberatura, et cum eo qui Ecclesiæ præerat. Is Tarasius fuit : qui haud ita pridem sedi impositus, synodum ad Nicæam in Bithynia cogit, et pro recta fide decertans, sacras ut prius imagines coli et honorari præcipit. Adfuere convocati Patres ad trecentos et quinquaginta inter quos et sanctissimus ille Plato interfuit, Theodori avunculus, qui

A ὅσον ἐκείνην ἐν διαλέξει καὶ ἀποδείξεσιν. Ἐπεὶ γὰρ ἐώρα πολλοὺς τηνικαῦτα ταῖς τῶν λόγων στροφαῖς καὶ τοῖς νόθοις προβλήμασι τὴν πίστιν διακυκῶντας καὶ παρατρέποντας· ἔμελλε ὁ αὐτὸς ὅσον οὔπω καὶ συμπλέκεσθαι τούτοις, καὶ εἰς λόγους ἰέναι. Τούτου ἕνεκα καὶ ἀσφαλῶς ἑαυτὸν ἔρραττεν, ὡς ἂν μηδ' ἐπ' ὀλίγον ἐκείνοις ἀλίσκοιτο· ἀλλὰ πολλῷ τῷ περιόντι βάλλοι τοὺς ἀντιτεταγμένους καὶ διωθοίη, καὶ λόγους αὐτῶν σοφισματώδεις ἐλέγχοι. Ἀλλὰ γὰρ ἐκείνῳ καὶ τοσαύτην συλλέξαντι παίδευσιν, μετριότης τὸ ἐπίσημον ἦν, καὶ τρόπος σεμνός, καὶ ἦθῶν ἐπιμέλεια· ᾧ καὶ θᾶττον ὁ λογισμὸς τοῖς ὑψηλοτέροις προσχὼν, λόγους μὲν καὶ τ' ἄλλα πάντα δευτέρου ποιεῖται τοῦ λόγου· τὴν δ' ἅπασαν τρέπει σχολὴν περὶ τὴν κτῆσιν τῶν ἀρετῶν· μεριμνῶν ὅσαι ὧραι καὶ διαπονούμενος,

B πῶς ἄρα κατορθωθείη αὐτῷ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία· πῶς ἡ φρόνησις καὶ ἡ δικαιοσύνη· πῶς τε ἡ πραότης καὶ ἡ ἐγκράτεια, καὶ ὅσαι ἄλλαι ταῖς γενικαῖς ὑποδιήρηνται ἀρεταῖς. Τούτοις ἔχων ὁ Θεόδωρος καὶ Γραφαῖς φιλοπόνως ὡμίλει ταῖς θεοπνεύστοις, καὶ τὸν ἐν ταύταις νοῦν θαυμασίως ἀνέλεγεν· ὡς ἂν μὴ τὸ πρόχειρον τούτων, ἀλλὰ καὶ τὸ ἐς βάθος κείμενον διορᾷν ἔχοι. Ἦν δὲ αὐτῷ διὰ πολλοῦ καὶ τὸ πρὸς τοὺς ἱεροὺς οἴκους φοιτᾷν, ἀγρυπνίᾳ ὑποσπῶντι τὰς σάρκας, καὶ στάσει παννύχῳ τῆς ψυχῆς ἀναστηλοῦντι τὸ ὄρθιον. Ὃς καὶ κατ' ἐπιτήδευσιν, ὡς ἂν

C μὴ τῷ ὕπνῳ ἁλίσκοιτο, καὶ τροφῇ ἐχρῆτο τῇ λεπτοτάτῃ, πᾶν τὸ βαρύνον γαστέρα, ὥς τι ἄχθος καὶ παρενόχλημα ἐκτρεπόμενος. Ἐβούλοτο γὰρ καὶ πρὸ τοῦ ἀκριβεστέρου βίου πόνοις ἑαυτὸν τοῖς τελειοτέροις ἐθίζειν· ἵν' ἔχοι τούτους ἐπὶ καιροῦ μᾶλα ῥᾳδίους αὐτῷ, καὶ ἀλυπότερον συνεισπίπτοντας.

tempore facillimos offenderet, ac sine ægritudine

Δ'. Ἐπεὶ δὲ ὁ πολλὰ Χριστιανοὺς λυμηνάμενος βασιλεὺς, καὶ τὴν εἰκόνα Χριστοῦ, φεῦ ! καθυβρίσας, καὶ αἰσχίστῳ θανάτῳ τὴν ψυχὴν ἐναπέρρηξε· διεδέξατο δὲ τὴν ἀρχὴν Λέων ὁ τούτου υἱὸς, ὁ καὶ προσονομασθεὶς ἀπὸ τῆς γεννησαμένης Χάζαρος, τὰ πάντα καὶ οὗτος πατρώζων, καὶ μηδὲν καθυφεὶς τοῦ γεννήτορος· θᾶττον δὲ καὶ αὐτὸς σὺν τῇ βασιλείᾳ καὶ τὴν ζωὴν προσαφῄρητο. Εἰρήνη ἡ τούτου ὁμόζυγος μεθ' ἅμα καὶ τοῦ παιδὸς Κωνσταντίνου ἐπὶ τῶν σκήπτρων καθίσταται· ἥ καὶ τὴν ὁμωνυμίαν τοῖς πράγμασι

D πιστουμένη, ταραχὴν μὲν πᾶσαν καὶ ἀθυμίαν τῶν Ἐκκλησιῶν ἀπελαύνει· οἷα καὶ πάλαι τοὺς κακοδόξους μυσαττομένη, εἰρήνην δὲ ταύταις καὶ εὐθυμίαν ἐπιβραβεύει, τὴν παλαιὰν ἀναδοῦσα εὐπρέπειαν, καὶ ὃν ἀφῄρηντο στέφανον. Ἡ γὰρ θεοφιλὴς αὕτη, μηδὲ βραχὺ μεθιεῖσα, τάχει πολλῷ πρὸς ἑαυτὴν Πατέρας πάντας μετακαλεῖται, μεθ' ὧν καὶ ὅ ρι δέοι πράττειν βουλευσαμένη, σὺν ἅμα καὶ τῷ τῆς Ἐκκλησίας προεδρῳ, Ταράσιος δ' οὗτος ἦν, ὁ καὶ πρὸ μικροῦ τὸν θρόνον ἐγχειρισθεὶς, σύνοδον ἐν τῇ κατὰ Νίκαιαν Βιθυνίᾳ κροτεῖ· καὶ τῆς ὀρθῆς ὑπεραγωνίζεται πίστεως, τὰς θείας ὡς τὸ πρὶν εἰκόνας σέβεσθαι καὶ τιμᾶσθαι θεσπίσασα. Ἦσαν δὲ οἱ συνειλεγμένοι Πατέρες ἄχρι καὶ εἰς τριακοσίους ἀριθμούμενοι καὶ

πεντήκοντα. Ἐπεὶ δ' εἷς τῶν συνεληλυθότων καὶ Πλάτων ἐτύγχανεν ὁ ἱερώτατος, ὁ καὶ πρὸς μητρὸς θεῖος τῷ Θεοδώρῳ ὃς καὶ τὸν Ὄλυμπον ἐκ νέου οἰκῶν, τηνικαῦτα παρῆν τῆς συνόδου μεθέξων.

Ε'. Τότε μὲν πολλοὺς καὶ ἄλλους ὁ θεῖος οὗτος ἀνὴρ πρὸς φιλοσοφίαν ἐθήρασε (καὶ γὰπ ἦν, εἰ καί τις ἄλλος, τοῖς ἐντυγχάνουσι χαριέστατος), πρὸ πολλῶν δὲ καὶ ἀντὶ πολλῶν τὸν καλὸν τουτονὶ Θεόδωρον, ἐξ ἀδελφῆς ὄντα ἀνεψιὸν, καὶ πάλαι ἤδη, ὡς ὁ λόγος, φιλοσοφεῖν καὶ παρ' ἑαυτοῦ ἐλόμενον · οὐ μὴν ἀλλὰ καὶ πατέρας τοῦ Θεοδώρου καὶ ἀδελφοὺς, Ἰωσὴφ καὶ Εὐθύμιον, σὺν ἅμα καὶ μικρᾷ ἀδελφῇ. Πρὸς [ἐπὶ] τούτοις ὁ Πλάτων καὶ ἀδελφοὺς τοὺς οἰκείους αἱρεῖ τρεῖς κἀκείνους τυγχάνοντας. Τούτους οὖν ἅπαντας ὥσπερ ἐξ ἑνὸς συνθήματος, τοῦ κοινωνικοῦ βίου τὸν ἄζυγα προτιμήσαντας πρὸς ἑαυτὸν οὗτος λαμβάνει, καὶ ἀγωγὴν ὑφηγεῖται τὴν κρείττονα. Οἳ θᾶττον καὶ οὐσίαν καὶ ὕπαρξιν καὶ χρήματα ἄλλα κόλποις πενήτων ἐναποθέμενοι, πρὸς δὲ καὶ οἰκέτας, οὐδ' ἀριθμῷ λῃστοὺς, ἐλευθερίᾳ τιμήσάντες, τῆς Βυζαντίδος ἐξίασι, Θεῷ καὶ τῷ ἄγοντι Πατρὶ ἑφεπόμενοι.

Ϛ'. Ἐπεὶ δ' ἀγρόν τινα ὁ Θεόδωρος τῶν οἰκείων ὃ τὸ Βοσκύτιον οὕτω διωνομάζετο, πρὸς ἱερὸν ἀπέταξεν διαίτημα · ᾧ καὶ τόπος ἐτύγχανε προσεχὴς τοῦ Σακκωδίωνος οὕτω καλούμενος · ἐκεῖσε ἤδη κοινῇ πάντες φοιτήσαντες, Θεῷ τὰ ὑπεσχημένα πληροῦν ἔσπευδον. Οὐδὲν δὲ οἷον βραχέα καὶ περὶ τοῦ τόπου ἐρεῖν, οὐκ ἄχαρί γε μὴν ὄν, οὐδὲ περιττὸν τὸ διήγημα. Τούτῳ τοιγαροῦν ἄνωθεν μὲν καὶ κατὰ κορυφὴν δένδρα ποικίλα καὶ παντοδαπὰ ἵστανται, τὰ μὲν τέχνῃ εἰργασμένα, τὰ δ' αὐτομάτως φύσαντα · ἃ καὶ κύκλῳ συνηρεφοῦντα, καὶ πανταχόθεν εἰς ἄλληλα συστοιχοῦντα μηνοειδῆ τὸν τόπον ἀποτελοῦσιν, ἀμφόδῳ μόνῃ μιᾷ τοῖς εἰσιοῦσιν ἀνιέντα τὸ βάσιμον. Ἥπλωται δ' ἐν αὐτῷ κάτωθεν καὶ πεδίον ἡδιστον ἅμα καὶ εὔχαρι, ἀνέμοις πραέσι καταπνευόμενον · καταῤῥεῖ δ' ἐν ἐκείνῳ καὶ ὕδωρ διειδές τε καὶ πότιμον, οὐ ῥαγδαίως καταφερόμενον, ἀλλ' ἀψόφως χεόμενον. Καὶ ἵνα τἄλλα τὰ τοῦ τόπου παρῶ · μέγιστον θεαμάτων ἁπάντων, τὴν ἡσυχίαν τοῖς οἰκοῦσι παρέχει Θεῷ καταμόνας συγγινομένοις καὶ ἠρεμίαν ἄγουσιν ἀπὸ τῶν αἰσθήσεων. Τί γὰρ ἂν καὶ φαίην περὶ τοῦ ἐκεῖσε ἱδρυμένου ναοῦ ; ὃν εἰπεῖν καὶ δηλῶσαι, ἔργον ἐμοὶ καὶ λόγου οὐκ ἐλαχίστου.

Ζ'. Τούτῳ οὖν τῷ τοῦ Βοσκυτίου χώρῳ σὺν τῇ καλλίστῃ ἐκείνῃ συνοδίᾳ ὁ γενναῖος Θεόδωρος ἀφικόμενος, πρὸς πόνους ἀσκητικοὺς παρετάττετο, ὧν οὐδὲ πάλαι ἀμελέτητος ἦν · οὐ γὰρ μαλακόν τι οὐδ' ὑφειμένον, ἀλλ' ἀῤῥενωπὸν καὶ ἀνδρῶδες βλέψας τῆς ψυχῆς τε ἐκ πρώτης ἐνέφαινε τὸ παράστημα, καὶ τοῦ ἑξῆς βίου ἀῤῥαγεῖς τοὺς θεμελίους ἐβάλλετο, ὧν τὸ κράτιστον ὑπακοὴν ἐγίνωσκε καὶ ταπείνωσιν. Ἐπεὶ δὲ μετὰ βραχὺ καὶ τρίχας ἐκείρατο πρὸς τοῦ Πλάτωνος, καὶ ἐσθῆτα τὴν μοναδικὴν περιεβάλετο, τότε καὶ μᾶλλον στερρότερων ἅπτεται τῶν ἀγώνων, τήκων τε τὴν σάρκα τῇ ἀσιτίᾳ, καὶ πόνοις αὐτὴν ἐκπιέζων βιαιοτέροις. Οἷς οὐκ ἀρκούμενος, πάντα καὶ τὰ δοκοῦντα τῶν διακονιῶν φαυλότατα, περιουσίᾳ ταπεινώσεως ἑαυτῷ δήπου προσεπετίθει. Χεῖρας γὰρ

A Olympum a puero incolens indidem, ut synodo interesset, profectus est.

V. — Tunc quidem et multos alios divinus ille vir ad philosophiam pellexit (erat enim in consuetudine familiari gratus ut qui maxime), ac præ cæteris illum, qui multorum unus instar erat, clarissimum Theodorum, suum e sorore nepotem, qui et ipse olim sua sponte animum ad philosophiam appulerat; imo et Theodori parentes et fratres Josephum et Euthymium, una cum sorore parvula. Quibus et suos ipsius fratres, qui tres quoque erant, Plato adjunxit. Hos igitur omnes tanquam ex composito cælibem vitam conjugio anteponentes apud se accipit, iisque viam excellentiorem commonstrat. Illi statim suis omnibus fortunis in sinum pauperum depositis, necnon servis, nulla numeri habita ratione, libertate donatis, Byzantinis migrarunt finibus, Deum et Patrem ducem secuti.

VI. *Boscytii descriptio.* — Subinde Theodorus unum e suis agris, Boscytium nomine, ubi sanctiorem quam meditabantur vitam instituerunt, assignavit, non procul ab eo loco cui Saccudionis nomen est. Eo postquam omnes convenere, quæ Deo voverant implere studebant. Nihil porro vetat quominus pauca de loco illo disseramus, nec erit opinor injucunda, neque supervacanea narratio. Illius itaque vertex variis arboribus consitus est, partim sponte natis, partim arte : quæ in orbem opacum digestæ, ac certis ordinibus inter se dispositæ, lunæ crescentis speciem referunt, aditumque uno duntaxat bivio patentem præbent. In summo apice peramœnus campus ventis leniter spirantibus aperitur : neque abest aqua pellucida, et ad potum idonea, non præceps torrentis instar, sed placide prefluens : atque, ut cætera loci hujus omittam, illud maxime omnium spectandum est, quod incolis tranquillitatem præstat, per quam a sensibus abducti et feriati, versari cum Deo seorsum soli possint. Quid autem dicam de templo ibidem excitato ? de quo si narrare vellem, utique longiori sermone opus foret.

VII. *Vita in Boscytio.* — In hunc igitur Boscytii locum Theodorus adveniens cum suis illis præclaris comitibus, ad exercitationes pias se contulit, in quibus jampridem erat versatus. Non enim molle aliquid aut remissum, sed masculum et virile meditans, animi robur ab ipso initio demonstravit, ac solida insequentis vitæ fundamenta jaciebat, in quibus non ignorabat eminere obedientiam et humilitatem. Cumque non ita multo post comam sibi auctore Platone attondisset, habitumque monasticum induisset, multo asperiora certamina capessit, carnem inedia macerans, ac duriore labore subigens. Quibus minime contentus, quæcunque in ministeriis abjectissima videbantur incredibili humilitate sibi omnia imponebat. Gravioribus

enim laboribus teneras antea manus adhibebat: illis non tantum secans ligna, aut aquam comportans, sed humum etiam versans, maxime quæ inarata foret, aut in hortum præparanda: multo cum sudore glebas exportans, aliaque omnia maxime laboriosa exercens. Videres illum sæpe mulorum stercora ferentem humeris, idque noctu, ut lateret, vel etiam de medio die. Quo tempore cum agnosceretur, movebat ea res omnibus qui hominem norant, admirationem, cum apud se reputarent talem virum, isto genere natum, rem tam nulli imitabilem simpliciter ac humiliter præstare, eamque gloriam vel maximam ducere, si vitam ingloriam viveret. Atque hæc ille cum faceret, nihil faceret quidquam tamen sibi videbatur. Quamobrem suam his finibus alacritatem non continebat, sed iis qui cum ipso versabantur, fratribus operam navabat, illis præsertim quos videbat valetudine aut alio incommodo teneri ne imperata faceren. Illis sese dabat ultro citroque cursitans, ubique subserviens, et omnes labores levans, adeo ut omnes ipsi fausta precarentur, et hunc fructum ac mercedem tantorum laborum egregiam referret.

A ἐκείνας τὰς πρὸ τοῦ μαλακὰς τοῖς ἀδροτέροις ἐδίδου τῶν ἔργων, οὐ ξύλα κλῶν μόνα, οὐδ' ὕδωρ ταύταις μετακομίζων, ἀλλὰ καὶ γῆν ἀμῶν, ὅση τε ἀνέργαστος, καὶ ὅση κηπεύσιμος· καὶ βώλους ἐκεῖθεν σὺν ἱδρῶτι ἀνέλκων· καὶ πᾶν ἄλλο δρῶν, καὶ τὸ κομιδῇ ἐργωδέστατον. Ὅς γε πολλάκις καὶ κόπρον τῶν ἡμιόνων ἐπὶ τῶν ὤμων φέρων ὁρᾶτο, νυκτὸς ὥστε λαθεῖν, ἢ καὶ ἡμέρας μεσούσης πράττων τουτί. Ὃ καὶ τῷ χρόνῳ πρὸς γνῶσιν ἐλθὸν, θαῦμα ἐνεποίει τοῖς ἐπιγνοῦσιν ὅτι τηλικόσδε ἀνὴρ καὶ τοσούτου οἴκου, πρᾶγμα οὕτως οὐδενὶ μιμητὸν εὐτελῶς ἄγαν ὑπῆλθε καὶ ταπεινῶς, δόξαν καὶ τὴν μεγίστην τὸ ζῆν ἀδόξως ἡγούμενος. Πλὴν καὶ οὕτω πράττων, οὐδὲν οὐδαμῶς πράττειν ἐδόκει· ὅθεν οὐδ' ἵστη τούτοις τὴν προθυμίαν· ἀλλὰ καὶ τοῖς συνδιάγουσιν ἀδελφοῖς ἐπικουρῶν ἦν· καὶ μάλισθ' οὓς ἑώρα μὴ ἐπικαίρως τὰ ἐπιτα- B χθέντα πληροῦντας, τῷ ἀδυνάτως, ἢ καὶ ἄλλως ἀνωμάλως ἔχειν κατὰ τὸ σῶμα. Οἷς καὶ ἑαυτὸν ἐδίδου, ἄνω καὶ κάτω θέων, καὶ πανταχοῦ ἐπιών, καὶ πάντας τῶν πόνων κουφίζων· ὡς ἂν ἔχοι τὴν παρὰ πάντων εὐλογίαν καρποῦσθαι, καὶ μισθὸν οὕτως ὑπερφυῆ πόνων τοσούτων κομίζεσθαι.

VIII. — Illud autem imprimis ipsi curæ erat, ut quidquid ageret, vel mente versaret, Patri suo aperiret, satis gnarus humilitatis opus esse vel maximum arcana animi detegere. Ob eas dotes cum esset omnibus omnino acceptissimus, tum vero illum sanctissimus Plato præcipua quadam charitate complectebatur, et in ejus congressu familiari suavissime acquiescebat. Suspiciebat enim in illo admirabilem prudentiam, modestiam singularem, animi robur præcellens: eoque, utptote tanta virtute prædito, præ cæteris utebatur, et in rebus gerendis solertem adjutorem adhibebat.

Οὐδὲ γὰρ οὐδ' αὐτὸς ὁ πατριάρχης τό γε ἐφ' ἑαυτῷ ἢ τῷ γενομένῳ συνῄνεσεν, ἢ μὴ φαῦλον τοῦτο καὶ τῆς Ἐκκλησίας ἔκρισεν ἔκφυλον, ἢ τοῖς Πατράσιν οὐ συνέπασχε πάσχουσιν · ἀλλὰ σοφόν τι ἐν ἑαυτῷ οἰκονομῶν, καὶ ὃ βαθείας ἦν καὶ τῆς τούτου φρενὸς, οὐκ εἶχε τέως τοὺς δεδρακότας ἀμύνασθαι, τοῦ καιροῦ μὴ διδόντος αὐτῷ πρᾶξαι κατὰ βούλησιν. Διὰ τοῦτο καὶ αὐτὴ ἡ βασίλισσα, τὸ εὐσύνετον ἑκατέρων ἀποδεξαμένη, καὶ ἐν πολλῷ θεῖσα ἐπαίνῳ, πολλὴν ἑκατέροις ἐμαρτύρει καὶ τὴν ἀρετὴν, καὶ τὴν τοῦ λυσιτελοῦντος διάγνωσιν. Ἀνθ' οὗ μὲν πατριάρχης μικρὸν τῆς ἀκριβείας καθυφεὶς τοῦ μείζονος ἐντεῦθεν κακοῦ, τὸν ἀπονενοημένον ἐπέσχε βασιλέα, διαπει-

D XXVI. — Neque enim vel patriarcha ipse, quantum in eo erat, au factum id approbabat, aut non absurdum illud et alienum ab Ecclesia judicabat, aut Patrum ærumnis non compatiebatur : sed sapiens quoddam consilium, et alta mente, qualis ejus fuit, dignum agitans, non habuit tunc facultatem ulciscendi auctores, temporis injuria, quæ vellet agere, non permittente. Quamobrem regina ipsa utriusque prudentiam amplectens, et magnopere collaudans, summam utriusque virtutem, et in utili dijudicando intelligentiam boni consulebat : quod patriarcha quidem de summo jure nonnihil remittens, vesanum imperatorem a graviori malo

[g] Prov. IV, 19.

hac ratione revocasset; minantem jam se, majorum exemplo, sacrarum imaginum hostem fore, nisi quod animo concupierat, peragere sincretur: Pater autem, flagitium propalam arguendo, et acri reprehensione atque objurgatione longius progredi prohibendo, tum eos qui peccarant, tum cæteros omnes qui simile aliquid meditabantur, effectibus suis non intemperantur uti edocuisset. Prorsus autem et relaxare interdum aliquid de judicio, bonum est; et exactum jus non præterire, utilissimum; unum in finem utrumque spectans, ut quod melius est, id pro re nata præstetur. Quod nimirum divini ambo ratiocinantes, aliiore quam captus noster ferat consilio, præsentia administrabant ita, ut charitatis vinculum nulla ratione solveretur, quod conjuncti semper fuerant, et divino inter se spiritu colligati. Quod nos certe persuadere nobis debemus, et opportune de his quæ opportune gesto sunt, judicare; ut propositium utrique finem laudemus et amplectamur, et eos qui aliter sentiunt vel affecti sunt, de sententia dimoveamus.

XXVI. *Theodorus relicta regia urbe in Saccudionem redit.* — His ergo in hunc modum transactis, Theodorus regia urbe relicta, in monasterium revertitur, optimique pastoris instar segregatus oves convocat, quas se absente prædones animarum abegerant, et in omnes circum montes disperserant. Accurrit insuper innumerabilis aliorum tam monachorum quam sæcularium multitudo, et magni Patris reditui gratulatur, divulgante illum ubique fama, Theodorumque celebrante, et Saccudionem. Respondebat autem exitus opinioni, et famam res ipsa confirmabat. Quicunque enim accedebant, meliores ab eo fiebant, et præstantiorem inde vitam auspicabantur. Plurimi ex eo tempore Byzantio profecti, ad sanctum protinus advolarunt, ejus tanquam Sirenum minime fallacium vocibus repente capti, redeundi curam penitus abjecerunt, obtestantes, accidentes, omnia supplicum more facientes, ut sibi cum illo esse et vivere liceret, melius longe atque utilius id existimantes quam in sæculo versari. Quos ille cunctos excipiens, eorumque fidem amplectens, Deo offerebat, et in virtutis disciplina exercebat.

XXVIII. *Arabum incursio.* — *Constantinopolim venit Theodorus.* — *Studii monasterio præficitur.* — Verum impiis Arabibus Romanum imperium per id tempus infestantibus, cum sedes passim servitutis metu verterent, non solum propinqui, verum etiam remoti ac procul dissiti, necessario faciendum Patri visum est ut tempori cederet, nec manifesto periculo se sociosque (quod amentis erat) objiceret. Quare in regiam urbem se recipit, patriarchæ optabilis, et Augustæ, quibus adventu suo lætitiam incredibilem attulit. Qui mox summis ab eo precibus contenderunt, ut Studii moderator cœnobii, quod in urbe erat, esse vellet: et in eo monasticæ exercitationis scholam collocare, ut hæc ratione a tanto viro civitatum princeps ornaretur.

A λοῦντα ἤδη ἔξαρνον καὶ αὐτὸν κατὰ τοὺς προλαβόντας τῶν θείων γενέσθαι εἰκόνων, εἰ μὴ τὸ ἐφετὸν κατεπράξοιτο· ὁ δέ γε Πατὴρ περιφανῶς τὸ ἀνόσιον στηλιτεύσας, καὶ τῇ πολλῇ ἐνστάσει καὶ τῷ ἐλεγμῷ τῆς πρόσω φορᾶς εἶρξας, οὐ μόνον τοὺς δράσαντας, ἀλλὰ καὶ τοὺς τοιοῦτόν τι δρᾶν ὑπηγμένους, μὴ τῶν παθῶν ἀκρατῶς ἔχειν ἐδίδαξε. Πάντως δὲ καὶ τὸ οἰκονομῆσαί τι ἐν κρίσει καλὸν, καὶ τὸ μὴ λιπεῖν τὴν ἀκρίβειαν, ὠφελιμώτατον· ἀμφότερα πρὸς τὸ χρήσιμον νεύοντα, καὶ πρὸς τὴν φυλακὴν τοῦ βελτίονος. Ὃ δὴ μάλιστα καὶ οἱ παρ' ἡμῖν θεοφόροι συνεγνωκότες, λογισμῷ ἢ καθ' ἡμᾶς κρείττονι διετίθουν τὰ ἐκιόντα, πρὸς τῷ μηδὲ τὴν ἀγάπην λιπεῖν, ἣν ἀπαρχῆς εἵλοντο, καὶ ἢ ἀλλήλους θείῳ συνήρμόσαν πνεύματι. Τοῦτο δὲ πάντως καὶ ἡμῖν στερκτέον, καὶ μετὰ τοῦ
B καιροῦ τὰ τοῦ καιροῦ λογιστέον· ὡς ἂν καὶ τὸν ἀμφοτέρων σκοπὸν ἐπαινεσώμεθά τε καὶ ἀποδεξώμεθα, καὶ τοὺς ἄλλο τι ὑπειλημμένους ἢ· ἔχοντας, μὴ οὕτως ἔχειν διδάξοιμεν.

Ὁ τοίνυν Πατὴρ ἡμῶν Θεόδωρος τὴν βασιλίδα πόλιν μετὰ ταῦτα ἀπολιπὼν ἔρχεται πρὸς τὸ ἑαυτοῦ μοναστήριον, καὶ συνάγει αὐτῷ οἷά τις ποιμὴν ἄριστος τὰ ἀποφοιτήσαντα πρόβατα, ἃ καὶ οἱ τῶν ψυχῶν ἅρπαγες τῇ αὐτοῦ ἀπουσίᾳ ἐξωσάν τε καὶ ἐπὶ πᾶν ὄρος διέσπειραν. Συντρέχει δὲ καὶ πλῆθος μοναστῶν τε ἄλλων καὶ μιγάδων ἀριθμοῦ κρεῖττον, καὶ τῇ τοῦ μεγάλου παρουσίᾳ συνήδεται, τῆς φήμης πανταχοῦ διαβοωμένης, καὶ Θεόδωρον κηρυττούσης, καὶ Σακκουδίωνα. Ἐδείκνυ δὲ ἡ πεῖρα τοὺς λόγους, καὶ τὴν
C φήμην τὰ πράγματα. Οἱ γὰρ παραγενόμενοι, βελτίους τὰς ψυχὰς γινόμενοι, πρὸς βίον ἤδη τὸν κρείττονα μετετάττοντο. Ἐκ δὴ τούτου πολλοὶ καὶ τῶν ἀπὸ τῆς Βυζαντίδος ἐξήεσαν, καὶ ἡ τάχος τῷ ἁγίῳ προσήεσαν· οὗ καὶ τῶν λόγων οἷα σειρήνων ἀψευδῶν εὐθὺς ἁλισκόμενοι, ὑποστροφῆς οὐδ' ὅλως ἐμέμνηντο· ἀλλ' ἠντιβόλουν, προσέπιπτον, πάντ' ἐποίουν ἃ τοὺς δεομένους εἰκός· ἵν' αὐτῷ μόνῳ συνῶσιν, αὐτῷ καὶ συμβιοτεύοιεν, κρεῖττον πολλῷ καὶ λυσιτελέστερον τοῦ ἀνεστράφθαι κόσμῳ τὸ συμπεριπολεῖν τούτῳ κρίνοντες. Καὶ μέντοι καὶ δεχόμενος πάντας, καὶ τῆς πολλῆς ἀποδεχόμενος πίστεως, θεῷ τε προσῆγε καὶ ἀρετὴν ἐξεπαίδευσεν.

D Ἀλλὰ τῶν ἀθεωτάτων Ἀράβων τὴν Ῥωμαίων τηνικαῦτα κατατρεχόντων, καὶ ἀναστάτους διὰ φόβον ἀλώσεως τούς τε πόρρω ποιούντων καὶ τοὺς ἐγγὺς, ἀναγκαῖον ἐφάνη καὶ τῷ Πατρὶ δρᾶσαι τὰ τοῦ καιροῦ, καὶ μὴ προφανεῖ κινδύνῳ, ὅπερ εὔηθες κομιδῇ, ἑαυτόν τε καὶ τοὺς συνόντας ῥίπτειν· ὅθεν καὶ τὴν βασιλεύουσαν καταλαβών, ἀποδεκτέος τὰ μάλιστα τῷ τε πατριάρχῃ γίνεται καὶ τῇ Αὐγούστῃ, ἡδονὴν αὐτοῖς ὅτι πλείστην τῇ παρουσίᾳ ἐνθέμενος. Οἵγε καὶ λιπαροῦσιν αὐτὸν, ἐγκρατῆ τῆς τοῦ Στουδίου γενέσθαι μονῆς, ἣ κατὰ ταύτην τὴν βασιλίδα τυγχάνει· κἀν ταύτῃ τὸ τῆς ἀσκήσεως πήξασθαι διδασκαλεῖον, ὡς ἂν ἐπὶ τοσούτῳ ἀνδρὶ ἡ πρώτη κοσμοῖτο τῶν πόλεων. Ὑπερφερὴς δὲ πάντως ἐν τῇ μονῇ ναὸς, καὶ τῷ τε κάλλει καὶ τῷ μεγέθει, ὀλίγων μέ-

λστα δεύτερος. Οὐκ ἄκαιρον δὲ ἴσως καὶ ὅθεν συνέστη δηλῶσαι τὸ καταρχάς.

spectes, paucis concedens. Non erit autem abs re fortasse, unde illiud initium sumpserit, a principio declarare.

Ἀνήρ τις τῶν εὐγενῶν, καὶ τὰ μεγάλα δυναμένων ἀπὸ Ῥώμης ἐπανήκων, Στούδιος τῷ ἀνδρὶ ὄνομα· Εὐπρέπειον δὲ τοῦτον ἡ καθ' ἡμᾶς γλῶσσα οἶδε καλεῖν· ὃς καὶ τῷ τοῦ πατρικίου καὶ ὑπάτου τετίμητο ἀξιώματι. Οὗτος τοίνυν ἐνταυθοῖ κατεσκηνωκὼς, καὶ πάντα τὰ αὐτοῦ διὰ μέγεθος ἀρετῆς τῷ Θεῷ ἀνατεθεικὼς, καὶ τὸν περιφανῆ τοῦτον σηκὸν τῷ μεγάλῳ Προδρόμῳ καὶ Βαπτιστῇ ἀνιστᾷ, μοναστῶν καταγώγιον ἀποτάξας αὐτόν. Ἐν ᾧ δὴ καὶ, ὡς εἰκὸς, ἄλλοτε ἄλλοι τῶν ἀποτασσομένων συνειλεγμένοι κατὰ καιροὺς καὶ ἀρετῆς ἔργα ὅτι μάλιστα ἐπιδεδειγμένοι, οὐ διελίμπανον ἀλλήλοις συνόντες· ἕως ὁ θεομισὴς Κοπρώνυμος Κωνσταντῖνος πάντας τε ἄλλους μονάζοντας τῆς Βυζαντίδος ἀπήλασε, καὶ δὴ μετὰ τῶν ἄλλων καὶ τούτους. Ἐπεὶ δ' αὖθις ταῖς Ἐκκλησίαις ἐπανῆλθε τὰ πράγματα, καὶ ὁ διωγμὸς τοῦ σχίσματος [a] πέπαυτο, ὀλίγοι μὲν, πλὴν καὶ αὖθις μοναχοὶ, τὸν τόπον κατῴκησαν, δώδεκα, ὡς φασι, καὶ οὐ πλείους τυγχάνοντες.

Τὸν οὖν τόπον ὁ Πατὴρ σὺν τῷ περιφανεῖ ναῷ μοναζόντων ἐνδιαίτημα εὐπρεπέστατον ἀνευρὼν, καθὰ δὴ καὶ τῷ πολίσαντι ἔδοξε, τοῦτον εὐθὺς παραλαμβάνει, καὶ τοὺς ἑαυτοῦ κατασκηνοῖ φοιτητάς. Ἔδει γὰρ ὡς ἀληθῶς τὸν μείζονα πάντων ἐν γεννητοῖς, τῷ μείζονι πάντων κατ' ἀρετὴν τὸν ἴδιον παραθέσθαι ναὸν, καὶ τούτῳ χρήσασθαι καὶ οἰκήτορι καὶ ποιμένι, καὶ ποιμένων ὅτι μάλιστα τῷ κρατίστῳ, οὗ τὰ πρόβατα τῇ τε ἀρετῇ ἐπισημότατα, καὶ τῷ ἀριθμῷ πολυπληθέστατα. ὯΙ γὰρ πᾶσα καὶ ἡ μεγίστη σπουδὴ ὅσαι ὧραι τοὺς ὑπ' αὐτῷ βελτιοῦν, καὶ πᾶν εἴ τι κάλλιστον καὶ ὑποτιθέναι καὶ διδάσκειν, καὶ ἑαυτοῦ σωτηρίαν τὸ ἐκείνους σεσῶσθαι νομίζειν, τούτους εἰκὸς καὶ ἐπιδιδόναι καὶ ηὐξῆσθαι, καὶ βίου ἐπειλῆφθαι τοῦ κρείττονος. Ἐξ ὧν καὶ ἡ παρ' αὐτοῖς μονὴ ὀνόματος λαμπροτάτου τετύχηκε, καὶ τοῖς ὅλοις περισημοτάτη γεγένηται. Ἀμέλει καὶ πολλοὺς εἶχεν, ἐφ' οὕτω δόξης προβᾶσα, τοὺς ἀνὰ πᾶσαν ἡμέραν [εἰς] ταύτην συῤῥέοντας, τοῦτο μὲν, λαϊκοὺς, τοῦτο δὲ καὶ μονάζοντας· ἔτι μὴν, καὶ τοὺς ὅσοι βίου τοῦ ἑῤῥοτέρου ἦσαν καὶ ἡδονικοῦ, καὶ οἷς οὐδείς που περὶ ἀρετῆς λόγος ἐμέλησεν. Οὓς δὴ καὶ πάντας φιλοφρόνως δεξιούμενος ὁ Πατὴρ, λόγοις τε τοῖς ἀπὸ τῶν θείων κατήχει Γραφῶν, καὶ παρεδίδου τὰ κρείττονα, μηδενὸς ἄλλου ἢ ἀρετῆς μόνης πείθων ἐξέχεσθαι, κτήματος ἀθανάτου καὶ διαμένοντος. Τὰ γὰρ τοῦ κόσμου, φησὶν, ἴσα καὶ εἰρινοῖς [b] ἄνθεσι διαῤῥεῖ· παίζοντα ἡμᾶς ταῖς ἀγχιστρόφοις μεταβολαῖς, καὶ πρὶν ὀφθῆναι ἱπτάμενα. Καὶ ὅτι δεῖ τοὺς ἀποτασσομένους, ἀπερίττους εἶναι καὶ κατὰ τὸ ἐνὸν εὐσταλεῖς· ἵν' ἐξῇ τούτοις καὶ ῥᾷον εὐθυπορεῖν πρὸς τὰ ἄνω, καὶ πᾶν διαλύειν τὸ προσιστάμενον. Ὅς γε καὶ τ[οι]οῦ-

A Magnificum plane ac præcellens ejus cœnobii templum, sive pulchritudinem, sive amplitudinem

XXIX. *Studii origo.* — Venerat ab urbe Roma vir genere et opibus præstans, Studius nomine (Euprepium lingua nostra vocare solet), qui et patricii et consulis honorem fuerat adeptus. Hic, cum in hac urbe domicilium collocasset, et omnia sua bona ingenti excelsitate animi Deo consecrasset, præclarum hoc templum magno Præcursori Baptistæ posuit, monachorum deputans habitationi. Et quidem nullo unquam tempore defuerunt, qui communem in eo vitam agentes, præclara virtutis ac religionis

B suæ argumenta darent : quoad Deo invisus Constantinus Copronymus, indicto monachis bello, cum cæteris omnibus hos pariter Byzantio ejecit. Postquam vero in pristinum statum res Ecclesiæ redierunt, cessavitque monastici habitus persecutio, eumdem locum monachi iterum, sed perpauci, nec plures, ut ferunt, numero, quam duodecim, inhabitarunt.

XXX. *Theodori vita in Studio.* — Hoc ergo cœnobium Pater cum insigni templo aptissimum et ornatissimum nactus, ex conditoris mente scincet, adiit, discipulosque suos in eo constituit; sic enim revera conveniebat, eum qui major est inter natos mulierum, ei qui cæteris omnibus major erat virtute,

C suum ipsius templum apponere, et eumdem ejus incolam ac pastorem esse, ac pastorem longe præstantissimum, cujus oves et numero plurimæ et virtute perinsignes essent. Cui enim et cura omnis et studium erat fidei suæ creditos, meliores in horas reddere, et quidquid pulchrum ac honestum esset, eis proponere atque inserere, eorumque salutem suam salutatem ducere; hos par erat augeri maximis incrementis, et vitæ perfectioris apicem capessere. Quorum sane monasterium propterea clarissimum nomen obtinuit, omniumque aliorum celeberrimum evasit. At enim cum multi, crescente ejus fama, quotidie confluerent, partim laici, partim monachi, nonnulli etiam delicatæ vitæ dediti, et voluptuariæ, quibus adeo nulla virtutis cura fuisset,

D benigne omnes Pariter excipiebat. et divinæ Scripturæ documentis instruebat, atque ad meliora ducebat, nullius rei præterquam virtutis studio capi docens, boni immortalis ac perpetui. Res enim mundanæ, inquit, perinde ac flores verni dilabuntur ac celeri conversione nobis illudentes, prius avolant quam conspici potuerint. Oportet autem eos qui mundo renuntiarunt, omni negotio vacuos esse, et quantum fieri potest expeditos, ut ipsis promptum sit recta tendere ad cœlestia, et obvia quæque perrumpere. Is igitur amorem virtutis tan-

VARIÆ LECTIONES.

[a] σχήματος. [b] f. ἐαρινοῖς.

tum in ipsis excitavit, ut absque mora ulla et cunctatione, prout animi impetus ferebat, ab jectis rebus omnibus totos se Deo dederent, quoddam animæ repagulum esse rati vel respicere ad divitias. Qui et vitam vita permutantes, mollem asperiori, humilitatis et fortitudinis temperationem didicerunt animum ad nullam rerum inferiorum deprimentes. Neque hoc solum, sed monachos etiam, quotquot ad illum ventitarent, cum eoque manere, et ipso duce et magistro juti cuperent, excipiebat animo paterno, omnemque ipsis curam impendebat, non aliter ac proprios filios excolens et amans, et quæcunque velle ipsos sentiret, abunde præstans : neque anteponens eos qui apud ipsum comam deposuerunt, nec secundo loco alios habens quo affectu homines vani et ambitiosi duci solent : sed unam eamdemque esse vitæ formam intelligens, gens, quocunque tempore illam quis amplectatur : quemadmodum baptismatis vestis una in omnibus nec dispar est : unicuique pro ratione virtutis, pro, que eo quod in singulis erat boni studio, quæ necessaria forent impendebat, et honoris mondum statuebat. Ita ut hoc uno nomine quæ quisque vellet, seu plus seu minus, auferret : quo magis illos hac ratione incitaret ad virtutem, ipsamque præcipue dignam esse honore ostenderet.

XXXI. *Ratio gubernandi.* — Adeo erat videbaturque sublimis hæc vita, ut cuncti præclare secum agi putarent, si vel modicam illius instituti partem in se exprimerent, indeque ad virtutem formarentur dirigerenturque. Sed præter incrementum virtutis, augescente etiam ipsorum multitudine, adeo ut prope ad decem centuriarum numerum pervenisset, facile non erat' Theodoro, sed prope impossibile, singulos viritim recensere et cognoscere, eorumque sermones et cogitationes explorare. Quonam enim modo unus tam multos ad minima usque perspectos haberet ? Rem excogitavit quæ utilior nobis, ac ejus magnitudine animi digna, maximeque tum ipsi tum monachis foret opportuna. Fratrum præstantissimos elegit et quos major virtus commendabat, eosque cæteris præfecit, ut inspicerent si quid non recte ab aliis fieret, et ad communem magistrum referrent : neque latere posset quod tam multi cernerent et expenderent. Hos propriis et idoneis nominibus appellavit, epistemonarchas, taxiarchas, observatores, excitatores. Tum ex istis eos qui magis progressi erant ac sublimiorem vitam sequebantur, alia nuncupationa donavit, hunc quidem a præposito secundum appellans, alium œconomum, alium subœconomum. Alius cognomen pro ministerii ratione, et operis tractatione sortiebatur.

A τον αὐτοῖς ἔρωτα ἐνετίθει τῆς ἀρετῆς, ὡς μὴ ὅπως πρὸς ἀναβολὰς καὶ μελλήσεις, ἀλλ' ὡς εἶχοτ ὁρμῆς, πάντα ἀποδομένους, Θεῷ προσχωρεῖν, ψυχῆς ὥσπερ ἐμπόδιον καὶ τὸ μόνον προσβλέψαι τὸν πλοῦτον νομίζοντας. Οἳ καὶ βίου βίον ἀμείψαντες, τοῦ ἁπαλοῦ τὸν τραχύτερον, ταπεινώσεως μέτρα καὶ ἀρετῆς ἔμαθον, μηδενὶ τῶν κάτω τὴν ψυχὴν ὑποκλίναντες. Οὐ μὴν ἀλλὰ καὶ ὅσοι τῶν εἰσροιτώντων μοναχῶν παρ' αὐτῷ μένειν ἐβούλοντο, καὶ αὐτῷ χρῆσθαι ὁδηγῷ καὶ καθηγεμόνι, καὶ τούτους σπλάγχνοις ἐδέχετο πατρικοῖς, καὶ προνοίας ἠξίου τῆς πάσης, ἴσα τοῖς ἰδίοις τέκνοις καὶ περιέπων καὶ στέργων, καὶ πάνθ' ὅσα βουλομένους ἐώρα ἀποπληρῶν · οὐ προτιμῶν μὲν τοὺς παρ' αὐτῷ τρίχα [a] ἀποκειραμένους, ἐκείνους δὲ τοῖς δευτέροις ἐναριθμῶν, ὅπερ ἄν τις πάθοι τῶν φιλοτίμων καὶ περιττῶν, ἀλλ' εἰδὼς ὡς
B ἓν καὶ τὸ αὐτὸ σχῆμα, κἂν ὅποι τις αὐτὸ περιβάλοιτο, καθάπερ δὴ καὶ ἡ περιβολὴ τοῦ βαπτίσματος ὁμοία ἐν πᾶσι, καὶ οὐ διαλλάττουσα, κατὰ τὴν ἀρετὴν μόνον καὶ τὴν τοῦ καλοῦ πρόθεσιν, ἑκάστῳ τὸ δέον ἀπένεμε, καὶ τῆς τιμῆς τὸ μέτρον προσένεμεν. Ὡς ἐντεῦθεν καὶ μόνον πλεῖον ἔχειν ἢ ἔλαττον τὸν βουλόμενον, ἵνα καὶ μᾶλλον σπουδαστὰς ποιοῖτο τῆς ἀρετῆς, καὶ αὐτῆς μόνης εἶναι δεικνύοι τὸ τιμιώτερον.

Ἦν καὶ ἐπὶ τοσοῦτον ὤφθη ὁ βίος ἀνῳκισμένος, ὡς ἀγαπᾷν πάντας, εἰ μικρὰ τῆς ἐκείνων πολιτείας ἐναπομάττοιντο, κἀντεῦθεν εἴη αὐτοῖς τὸ τυποῦσθαι πρὸς ἀρετὴν καὶ εὐθύνεσθαι. Ἀλλὰ τούτων πρὸς τῇ ἐπιδόσει, καὶ εἰς πλῆθος κεχωρηκότων πολυάριθμον,
C ὡς εἰς δέκα ἑκατοντάδας ὑπερταθῆναι μικροῦ δέοντός · ἦν δ' οὐκ εὐχερὲς τῷ Πατρὶ, ἀλλ' οὐδὲ σχεδὸν δυνατὸν, κατ' ἄνδρα ἕκαστον καὶ ἐξετάζειν καὶ ἐρευνᾶν, καὶ λόγους αὐτῶν καὶ λογισμοὺς ἀκριβοῦν. Πῶς γὰρ ἂν καὶ μόνῳ οἱ τοσοίδε [b] ἄχρι καὶ μικροτάτου καταθεῷντο ; Ὁ τῶν ἡμετέρων τὸ κρεῖττόν ἐστιν, ἐννοεῖ τι, τῆς αὐτοῦ μεγαλονοίας ἄξιον · καὶ ὃ μᾶλλον αὐτῷ τε κἀκείνοις λυσιτελεῖν ἔμελλε, τοὺς ἐξέχοντας ἐπιλεξάμενος τῶν ἀδελφῶν · καὶ οὓς ὁ βίος μείζω τῶν ἄλλων ἐμαρτύρει τὴν ἀρετὴν, τούτους εἰς ἐπισκοπὴν προὐστήσατο τῶν λοιπῶν · ἵν' εἴ τι καὶ πραττόμενον οὐ καλῶς τοῖς ἄλλοις ἐστὶν, αὐτοὶ καὶ ὁρᾷν ἔχοιεν, καὶ εἰς τὸν κοινὸν ἀναφέρειν διδάσκαλον · καὶ μὴ ἄν τι δύναιτο λαθεῖν ἐν τοσούτοις ὄμμασιν ἔνδηλον ὄν, καὶ ὑπὸ τοσούτων σταθμώμενον.
D Οὓς δὴ καὶ κλήσεσιν οἰκείαις καὶ προσφυέσιν ὠνόμασεν · ἐπιστημονάρχας, ταξιάρχας, ἐπιτηρητὰς, καὶ διυπνιστὰς τούτους καλέσας. Τούτων δέ γι πάλιν αὐτῶν τοὺς διαβεβηκότας, καὶ τὸν βίον ὑψηλοτέρους, ἄλλης ἠξίωσε κλήσεως · τὸν μὲν, δευτερεύειν μετὰ τὸν καθηγούμενον φάμενος · τὸν δ' οἰκονόμου τὴν κλῆσιν φέρειν · τὸν δὲ παρ' οἰκονόμου [c] · τὸν δ' ἑτέρας μεταλαχεῖν, κατὰ τὴν ἑκάστῳ ἀποταχθεῖσαν καὶ διακονίαν καὶ ἔργου ἐγχείρησιν.

VARIÆ LECTIONES.

[a] al. τρίχας. [b] al. τοσοῦτοι. [c] al. παροικονόμου.

Ἐξέθετο μέντοι καὶ Παραγγελίας ἐγγράφους, διὰ στίχων ἰάμβων, πῶς ἑκάστῳ μέλλον ἐστὶ τὰ ἐπιτεταγμένα πληροῦν. Μᾶλλον δὲ τῶν στίχων ὑπηγορία [7] ἀπ' αὐτοῦ ἤρκται τοῦ ἡγουμένου, καὶ καθεξῆς ἅπαντας διοῦσα, μέχρι καὶ τοῦ πάντων ὑστάτου· Διωρίσατο δὲ καὶ τίσιν ἐπιτιμίοις ἢ ἀφορισμοῖς ἢ γονυκλισίαις τοσαῖσδε, ὁ τῶν θείων ὕμνων καθυστερῶν ὑπαχθήσεται, ἢ ὁ σκεῦος συντρίβων, ἢ εἰκαίως ῥίπτων καὶ παραμελῶν· ἢ ὁ τὸν ἀδελφὸν ἔν τινι διαπληκτίσας, ἢ ὁ λόγον περιττὸν περιττῶς ὁμιλῶν, καὶ μὴ γλώσσης εἰδείη κρατεῖν. Τούτοις πᾶσιν ἀναλόγως τοῖς πραττομένοις, καὶ τὰς ἐπιτιμίας προσέθηκεν· ὥστ' ἔχειν τοὺς παρὰ τοῦ Πατρὸς καταστάντας ἀρχηγοὺς ἔργον ὅτι μάλιστα τοῦτο καὶ σπούδασμα, πάντα διασκοπεῖν τὰ τῶν ἀδελφῶν, πάντα ἀνερευνᾷν, πᾶσι δεόντως προσφέρεσθαι· συνεφάπτεσθαι δὲ καὶ τὸν μέγαν τοῦ κόπου αὐτοῖς, ἅτε καὶ μᾶλλον αὐτὸν τὰ πάντων ἐπηχθισμένου· καὶ εἶναι οἷόν τινα κυβερνήτην ὑψοῦ καθήμενον, καὶ τῶν ἀνέμων ἐπιτηροῦντα τὰ πνεύματα· ἢ στρατηγὸν ἄριστον, ἁπάντων ὑπερπονοῦντα καὶ κινδυνεύοντα, καὶ δοκιμὴν ἁπάντων λαμβάνοντα· ὡς πληροῦσθαι ἐπ' αὐτῷ καὶ τὸ τοῦ θείου Ἱερεμίου, ὅτι Δοκιμαστὴν δέδωκά σε τοῦ λαοῦ μου, καὶ γνώσῃ ἐν τῷ δοκιμάζειν σε τὴν ὁδὸν αὐτῶν.

Θαυμάζεται παρὰ πάντας Μωσῆς, ἐπεὶ καὶ θεοφανείας ἠξίωται, ὅτι δεῆσαν αὐτῷ τὸν ὑπὸ χεῖρα εὖ διαθεῖναι λαόν, ἑκατοντάρχους τούτοις, καὶ πεντηκοντάρχους, καὶ δικάρχους ἐπέστησεν, ἵν' ἔχοιεν ἐκεῖνοι τὰ τοῦ πλήθους ἐπανοιθοῦν, καὶ πᾶν εἴ τι τούτοις ἐστὶ διαλύειν ἀμφιφθητούμενον. Ἀλλὰ Μωσῆς μὲν οὐ παρ' ἑαυτοῦ, οὐδὲ μόνος τοῦτο ἐφεῦρεν, ἀλλά τῆς ἑτέρων ἐδεήθη συμβουλίας, ἐξ ὧν ὑπήχθη πρὸς τὸ λυσιτελοῦν τῷ λαῷ. Καὶ Μωσῆ μὲν οἱ καταστάντες ἀρχηγοί, μικρῶν καὶ περὶ τῶν σωματικωτέρων καὶ ὧν μικροπρεπὴς ἡ διάταξις, τὰ τῆς ἀρχῆς διετίθουν· ὁ δὲ παρ' ἡμῖν ὑποφήτης, καὶ μόνος καὶ παρ' ἑαυτοῦ, καὶ περὶ τῆς πάντων κρείττονος ἐπιστασίας· εἴπερ κρεῖττον ἁπάντων ψυχὴν καθαίρειν, καὶ τὸν ἐντὸς ἄνθρωπον· τὰ βεβουλευμένα οὖν δράσας, οὐμενοῦν οὐδ' ὅσον εἰπεῖν, μείζονος ἄξιος καὶ τοῦ θαύματος, καὶ διαφορωτέρας τῆς ἀναῤῥήσεως.

Ἐπεὶ δ' οὐδὲν οὕτως πρὸς ἕνωσιν ἄριστον ὡς ἰσότης καὶ κοινωνία ἐν ἅπασιν (ἀπείη γὰρ ἐν τοῖς κατὰ Θεὸν πολιτευομένοις, τὸ ἐμὸν λέγεσθαι καὶ τὸ σὸν, καὶ τὸ μεῖζον καὶ ἧττον, τὰ φαῦλα ταῦτα καὶ τῆς ὁμοφροσύνης διαστατικὰ), κοινὰ τὰ πάντα ἔχειν καὶ τὰ ἐνδύματα διετάξατο· ὡς ἂν ἕκαστος τοῦ χρῄζοντος γίνοιτο, καὶ μὴ ἀποκεκληρωμένος τοῦ ἰδιάζοντος. Ἀποτάξας πᾶσι καὶ οἴκημα ἕν, ἵν' ὁ βουλόμενος, ἐκεῖ τὸ ἱμάτιον τιθεῖτο [8], εἶτ' ἀπορῥιφθῆναι δέον, εἶθ' ὑφανθῆναι· καὶ ἀναλαμβάνειν παρὰ τοῦ ταῦτα ἐπιτεταγμένου καινὸν ἄλλο καὶ ἄῤῥυπον. Ὧν γὰρ ὁ βίος κοινὸς καὶ δίαιτα καὶ τράπεζα, καὶ πάνθ'

A XXXII. *Iambici ad monachos.* — Edidit prætera Institutiones iambicis versibus conscriptas, quemadmodum unumquemque imperata facere oporteret. Quorum versuum contextus initium a præposito ipso duceret; tum deinde cæteros omnes ad infimum usque percurrens, definit ac statuit, quibus pœnis, quibusque separationibus aut genuflexionibus affici debeat, qui ad divinas laudes tardius venerit, qui vas confregerit, aut temere projecerit, ac negligentius tactavit; qui fratrem in re quapiam offenderit, qui in loquendo modum excesserit, et linguæ frenum non injecerit. Quibus omnibus congruentes pro delicti modo pœnas imposuit. Ita u qui sub Patre ipso præfecti erant, iis præcipua cura esset et labor prospicere fratum rebus, vestigare
B omnia, universis prout res poscebat opitulari. Ipse autem illorum laborem sublevabat pater, utpote qui omnium molestias maxime sentiret : ac navarcho similis erat in specula sedenti, et flatum ventorum observanti : vel duci eximio majorem laboris ac periculi partem in se suscipienti, ac suorum experimentum facienti : ita in ipso impleretur illud divini Jeremiæ : *Probatorem dedi te populi mei, e scies, et probatis viam eorum* (*h*).

XXXIII. *Confertur cum Moyse.* — Magna est Moysis apud omnes admiratio, quod postquam Dei aspectu dignatus esset, quia gubernari ab ipso populum oportebat, præfecit ipsi centuriones et quinquagenarios et decuriones, qui multitudinem rite moderarentur, et controversias quæcunque orirenC tur dirimerent. At istud Moys haud per se neque solus invenit, sed opus habuit aliorum consilio, a quibus ad id quod populo conducibile erat, adductus fuit. Et quidem qui sub Moyse præerant, minoribus prospiciebant rebus atque ad corpora pertinentibus, et quarum administratio levioris momenti erat. Noster vero antistes hoc et solus, et ex seipso præstitit, ac sapientia quadam excellenti : siquidem mentes et interiorem hominem procurare res est omnium præstantissima. Cum igitur animi sui consulta perfecerit, admiratione supra quam dici possit ac singulari præconio dignus est.

XXXIV. *Studium communis vitæ et æqualitatis.* — Quoniam autem nulla res magis ad concordiam facit, quam rerum omnium communio et æqualitas
D (nam in ea quæ secundum Deum est vivendi ratione dici non debet meum et tuum, aut majus et minus, quæ prava sunt et concordiæ inimica), constituit ut communia essent omnia, etiam vestes : quo unusquisque sortiretur quidem ea quibus indigeret, proprium autem nihil sibi vindicaret. Unum voluit et locum esse ubi singuli possent vestem, sive illam prorsus abjici, sive sarciri oporteret, deponere, et novam ab eo cui id negotii commissum

(*h*) Jerem. VI, 27.

VARIÆ LECTIONES.

[7] al. ἐπηγορία. [8] Al. τιθοῖτο.

erat, accipere. Quorum enim vita et institutum et mensa una est, et omnia in commune posita, vel, ut aliquid sublimius dicam, quorum animæ ipsæ et ad Deum exaltatio et ascensio communis erat, illos decebat omnia, etiam minima quæque, tanquam communia accipere, ut apud ipsos communitas rerum omnium et æqualitas servaretur, juxta id quod ab Apostolo dictum est, quia *Multitudo credentium erat cor unum et anima una : nec quisquam eorum quæ possidebat aliquid suum esse dicebat, sed erant illis omnia communia* (*i*). Quare nequeque ipse Pater penes se quidquam habebat proprium aut non de medio septum : sed in eodem ac cæteri vestiario tunicam deponens, illam sumebat quæ prima occurreret, et quam videret asperrimam, ut hac etiam in re cunctis esset humilitatis exemplar.

XXXV. *Laboris studium.* — Memor autem beati Paulis dicentis : *Neque gratis panem manducavi; sed manus istæ mihi, et iis qui mecum erant, ministraverant* (*j*) ; laborare et ipse constituit, manus continuo versans in codicibus, operamque suam ad eos adjungens ex discipulis, qui opus manu faciebant. Exstant apud nos ad hunc diem ejus manu scripta pulcherrima. Composuit et libros alios, quos propria lingua dictavit, quorum sensus manisfestam quamdam divinæ gratiæ vim ostendunt.

XXXVI. *Theodori scripta Catechesis Parva.* — In his primum locum tenet, qui Parva dicitur Cachesis, quatuor et triginta supra centum distincta sermonibus, quos quidem fratribus ipse pronuntiavit, congruentes cuique diei singulos, lectissimis sententiis, verbisque ornatissimis, scite admodum pertractans, nunc de animi fortitudine adversorumque contemptu, de monasticæ observationis perseverantia, et membrorum mortificatione ; nunc de constantia in quotidianis certaminibus, et præstanti adversus casus omnes animi contentione. Ex hoc libro tres sermonum particulæ prima quaque die hebdomadis apud nos in Ecclesia recitari consueverunt, quæ nobis rerum agendarum memoriam refricant, et ad vitam deinceps instituendam conducunt.

XXXVII. *Catechesis Magna.* — Alterum deinde librum elaboravit. Magnum Catechisticum, tribus membris seu partibus comprehensum ; qui egregia cœnobii instituta singillatim declarat, disciplinam tradens supra quam dici queat, utilissimam. Quantum vero utrique insit gratiæ, cœlestisque philosophiæ, cuivis notum, qui eorum lectionem vel leviter attigerit. Etenim multi sane libros multos, eosque utiles elucubrarunt, elegantia et sermonis ornatu excellentes : mihi tamen sic persuadeo, nullo ex alio tantum lucis, tantumque compunctionis haurire animam, quantum ex Patris Catechesibus, quæ singularem cum suavitate persuadendi vim habent, et conjunctam cum utili gratiam præ se ferunt.

XXXVIII. *Panegyrici.* — Scripsit præterea vir

(*i*) Act. IV, 32. (*j*) II Thessal. III, 8.

A ὁμοῦ, ἤ, ἵνα τὸ ὑψηλότερον φῶ, ὧν αἱ ψυχαὶ κοιναί, καὶ ἡ πρὸς Θεὸν ὕψωσις καὶ ἀνάβασις· τούτους τι ἄλλο, καὶ οὐχὶ μέχρι τοῦ μικροτάτου πάντ' ἐχρῆν ἐλέσθαι κοινά; ἵνα διὰ πάντων αὐτοῖς καὶ τὰ τῆς κοινωνίας σώζοιτο καὶ ἰσότητος, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου, ὅτι Τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ εἷς τις τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Τούτου ἕνεκα καὶ αὐτὸς ὁ Πατήρ, οὔτε τι ἰδιάζον εἶχε παρ' ἑαυτῷ, οὔτ' ἄλλως ὑπεξῃρημένον· ἀλλ' ἐν τῷ αὐτῷ ἱματοφυλακίῳ τὸν χιτῶνα ἔσα τοῖς ἄλλοις ἀποτιθέμενος, τὸ προστυχὸν καὶ οἷον μᾶλλον ἐώρα τῶν ἐνδυμάτων τραχύτερον ἀνελάμβανεν· ὡς ἂν εἴη κἀν τούτῳ τύπος τοῖς ὑπ' αὐτὸν ταπεινώσεως.

B Μνημονεύων δὲ ἀεὶ τοῦ μακαρίου Παύλου εἰρηκότος, ὅτι Δωρεὰν ἄρτον οὐκ ἔφαγον· ἀλλ' αἱ χεῖρες αὗται ἐμοὶ καὶ τοῖς σὺν ἐμοὶ διηκόνησαν· ἐργάζεσθαι καὶ αὐτὸς ἤθελε πάντοτε τὰς χεῖρας ταῖς δέλτοις κινῶν, καὶ τὸν ἴδιον κόπον τοῖς ἐργοχείροις συνεισφέρων τῶν μαθητῶν. Ἐξ ὧν καί τινα τῶν βιβλίων ἔτι μέσουσι παρ' ἡμῖν τῆς αὐτοχείρου γραφῆς κάλλιστα ὄντα πονήματα. Συνέταξε δὲ καὶ βίβλους ἑτέρας, ἃς οἰκείᾳ γλώσσῃ ὑπηγόρευσε· καὶ τὸν ἐν αὐταῖς νοῦν θείας εἶναι τὸ πλέον ἔδειξε χάριτος.

Καὶ πρώτη μὲν βίβλος αὐτῷ, ἡ Μικρὰ λεγομένη Κατήχησις, τεσσάρων οὖσα καὶ τριάκοντα λόγων πρὸς τοῖς ἑκατόν· ἣ τοῖς ἀδελφοῖς ἐπὶ στόματος ὡμιλήθη, καὶ τὰ πρόσφορα ἑκάστῃ ἡμέρᾳ, ἐννοίαις ὑπερφυέσι καὶ ῥήμασι θειοτέροις, εὐσκόπως ἐν αὐτῇ C ἐνεσημάνθη, τοῦτο μέν, ἀνδρεία ψυχῆς καὶ τῶν δεινῶν ὑπερφρόνησις· τοῦτο δὲ, καρτερία περὶ τὴν ἄσκησιν καὶ τῶν μελῶν νέκρωσις· τοῦτο δ' ἐν τοῖς καθ' ἡμέραν ἀγωνίσμασι, στερρότης νοῦ, καὶ τῶν ἐπιόντων ἀντίστασις. Ταύτης τῆς βίβλου τρεῖς λόγων περικοπαὶ κατὰ μίαν τῶν ἑβδομάδων παρ' ἡμῖν ἐπ' ἐκκλησίας ἀναγινώσκονται· ὑπόμνησίν τε ἡμῖν δηλαδὴ τῶν πρακτέων, καὶ τοῦ ἐξῆς βίου εἰσηγούμεναι τὴν ὠφέλειαν.

Δευτέρα δὲ μετ' ἐκείνην, ἐπονήθη βίβλος αὐτῷ, ἡ Μεγάλη καλουμένη Κατηχητική, ἐν τρισὶ τμήμασι διαπλουμένη· ἥ καὶ ἀνὰ μέρος τὰ καλὰ τοῦ κοινοβίου διεμφαίνει παραγγέλματα, τὴν διδασκαλίαν ὡς οὐκ D ἂν τις εἴπῃ διεξιοῦσα εἰς τὸ ὠφελιμώτατον. Οσης δὲ ἀμφότεραι χάριτος καὶ φιλοσοφίας τῆς ἀνωτάτω, παντὶ γνώριμον, τῷ καὶ μικρὸν ἐπιστήσαντι. Καὶ γὰρ πολλοῖς μὲν ἄλλοις βίβλοι πολλαί τε καὶ ὠφέλιμοι ἐξειργάσθησαν, κάλλει τε καὶ ῥᾴσει ὑπερφερεῖς· ἀλλὰ πείθομαι μὴ τοσοῦτον ἀπ' ἄλλης φωτισμοῦ οὕτω πληροῦσθαι καὶ κατανύξεως τὴν ψυχὴν, ὅσον ἀπὸ τῶν τοῦ Πατρὸς Κατηχήσεων, πολὺ τὸ ἐπαγωγὸν μετὰ τοῦ ἡδέος ἐμφαινουσῶν, καὶ μετὰ τοῦ ὠφελίμου τὸ χαριέστατον.

Καὶ Πανηγυρικὴν δὲ βίβλον συνέταξεν ὁ θεόληπτος,

ἵνθα τὰς περιφανεῖς τοῦ Δεσπότου διέξεισιν ἑορτὰς, καὶ λόγοις εὐγενέσι κοσμεῖ· οὐ μόνον δὲ, ἀλλὰ καὶ τῆς Θεομήτορος καὶ τοῦ Προδρόμου ὡσαύτως καὶ Βαπτιστοῦ· οὗ καὶ τὸ τῆς πολιτείας ἀνφκισμένον ἐπιχαρίτως ἐξύμνησε.

A divinus Panegyricum volumen, in quo insignes Domini dies festos enarrat, et præclaris orationibus exornat; nec Domini solum, verum etiam Deiparæ, et Præcursoris item Joannis Baptistæ; cujus etiam solitudinem, vitamque ab hominum congressu semontam, eleganti hymno celebravit.

Συνετέθη δ' αὐτῷ καὶ βίβλος διὰ στίχων ἰάμβων· τήν τε πλάσιν τοῦ γενάρχου διαλαμβάνουσα καὶ παράβασιν, καὶ φθόνον τοῦ Κάϊν, καὶ χεῖρα, φεῦ, κατὰ τοῦ ἀδελφοῦ ἐπανατεινομένην, καὶ φόνον ἐργαζομένην τὸν ἀδικώτατον. Καί μέντοι πάλιν καὶ τοῦ Ἐνὼχ εὐαρέστησιν, καὶ τοῦ Νῶε καὶ τῶν ἐξ αὐτοῦ δὲ φύντων γέννησιν, βίον, διαγωγήν. Ἀπηριθμήσατο δὲ ἐν αὐτῇ καὶ πᾶσαν τὴν τῶν Εἰκονομάχων αἵρεσιν, οὓς καὶ ὡς κακῶν σπουδάρχας, τῷ ἀναθέματι καθυπέβαλεν.

XXXIX. *Iambici.* — Scripsit et librum iambicis versibus, in quo et primi parentis ortum lapsumque descripsit, Cainique invidiam, ac manum, quæ fratri, heu! injecta, cædem patravit iniquissimam. Enoch[1] deinde gratam innocentiam, ac Noe, ejusque filiorum exortum, vitam, conversationem. Recensuit insuper eodem opere universam Iconomachorum bæresim, quos ut malorum fautores atque auctores anathematis nota perstrinxit.

Αἱ δὲ τῶν Ἐπιστολῶν αὐτοῦ βίβλοι πέντε, αἱ παρ' ἡμῖν οὖσαι τέως· ἐν αἷς καὶ τὸ πεπαρρησιασμένον τοῦ Πατρὸς δείκνυται, καὶ τὸ τῆς ψυχῆς μεμεριμνημένον καὶ σπουδαιότατον· καὶ ὅπως κἂν τοῖς πάθεσιν ἀνίλωτος ἔμεινε καὶ ἀήττητος, μηδὲν τῶν δεινῶν τρέσας, μηδὲ καθυφεὶς τοῦ φρονήματος ἐν τοσαύταις ἐπαγωγαῖς τῶν καιρῶν καὶ ἐπαναστάσεσι.

XL. *Epistol. libri quinque.* — Epistolarum autem ejus libri quinque sunt numero, qui apud nos hactenus asservantur: in his et singularem Patris libertatem videre est, sollicitudinem ac sedulam industriam; et quemadmodum inter calamitates orectus semper manserit, et invictus, nullis ærumnis fractus, nihil remittens de mentis proposito, in tantis incursibus et temporum injuriis.

Πρὸς πᾶσαις δὲ καὶ βίβλος Δογματικὴ τῷ φιλολόγῳ ἐξείργασται· ἐν ᾗ στερρόλ λόγοι καὶ ἀντιῤῥητικοὶ θεσμασίως τούτων ἐξησκημένοι, καὶ τὰ τῶν Εἰκονομάχων σοφίσματα διαλύοντες· ἄγχοντες αὐτοὺς, καὶ οὐδ' ἀναπνεῖν συνόλως ἐῶντες, ἀλλὰ ταῖς ἀληθιναῖς τῶν δογμάτων προτάσεσι τὸ ψεῦδος αὐτῶν καταβάλλοντες. Ἔνθα καὶ κατὰ τῶν δυσσεβῶς βεβασιλευκότων πολὺς πνεῖ, στίζων κἀκείνους λόγοις τοῖς πρέπουσι· καὶ οἷς ἂν διαπαντὸς ὁ βίος αὐτῶν στηλιτεύοιτο.

XLI. *Dogmaticus liber.* — Præter hos omnes, Dogmaticum etiam librum composuit, in quo validæ insunt disputationes refutatoriæ mirabiliter contextæ ad dissolvenda Iconomachorum sophismata, quibus illi sic urgentur et anguntur, ut nec spirare eos sinat, verisque dogmatum argumentis illorum mendacia expugnet ac dejiciat. Contra impios autem imperatores multis invehitur, illos pariter congruenti oratione contingens, quæ illorum vitæ moribusque perpetuam notam inussit.

Αὗται αἱ βίβλοι, ἃς ὁ θεοφόρος Πατὴρ ὑπηγόρευσε, καὶ γλώσσῃ σοφωτάτῃ ἐτράνωσεν. Εἶχε γὰρ ἀεὶ ἐν αὐτῷ τὴν ἀληθινὴν σοφίαν καὶ πρώτην ὑπηχοῦσαν ἐντῷ καὶ τὸ φῶς τῆς γνώσεως ἐπιλάμπουσαν· μικρὰ ἢ οὐδὲν τῆς κάτω δεύμενος σοφίας, καὶ ἧς ἦν πάλαι ἐπιδών, ἀφ' οὗ πρὸς τὴν ἄνω διέκυψεν· ὅθεν καὶ τῇ χάριτι πλεονάζων, πολλὴν κατὰ πᾶσαν ἡμέραν τὴν ἐργασίκν ἐπῆγε, γράφων αὐτὸς, ἄλλοις ὑπαγορεύων, τὰ πρακτέα ὑποτιθείς, τοῖς θείοις πείθων ἐμμελετᾶν· ἑνὶ λόγῳ πάντας ὠφελῶν, πᾶσι παραδιδοὺς τὰ σωτήρια.

XLII. — Atque hi sunt libri quos deifer Pater ore suo edidit, ac disertissima lingua explanavit. Semper enim præsentem habuit secum veram sapientiam primam omnium intus insonantem, et mentis aciem illustrantem; parum aut nihil penitus egens humana sapientia, quam contemnebat jamdudum, ex quo ad sublimiorem illam oculos converterat. Quo fiebat, ut abundantis gratiæ ope nixus, multa quotidie indefessus præstaret, scribens ipse, aliis dictans, facienda præcipiens, divinis rebus incumbere persuadens, atque, ut uno verbo dicam, omnibus commodans, omnes aptis ad salutem rebus instituens.

Ἀλλ' οὐκ ἔμελλεν οἴσειν ὁ πονηρὸς, οὐδὲ ἀνέχεσθαι, εἰ μὴ πάλιν τῷ δικαίῳ ἐπίθοιτο, οἷα βασκαίνων αὐτῷ πάντοτε, καὶ ποιοῦντι καλῶς ἐγκοτῶν. Τὸν γὰρ τῶν σκήπτρων τηνικαῦτα ἐπειλημμένον ἀτυχῶς ὑπελθὼν, Νικηφόρον φημὶ τὸν δύστροπον, τὸν καὶ τὴν θεοφιλῆ Εἰρήνην τῆς βασιλείας ἐξώσαντα, καὶ ἑαυτῷ ταύτην ἐπὶ κακῷ περιθέμενον τῷ ἑτέρῳ, δι' ἐκείνου κακώσειν τὸν ὅσιον, ἔργον ὁ ἀναιδὴς τίθεται. Ὅτῳ δὲ τρόπῳ, ὁ λόγος ἤδη ἐρεῖ. Οὗτος τοιγαροῦν ὁ Νικηφόρος, τῷ μὲν δοκεῖν Χριστιανὸς τυγχάνων, καὶ ἡμῖν κοινωνῶν τοῦ ὀνόματος,

D XLIII. — *Imperator restitui Jubet Josephum.* — Sed ferre non poterat inimicus, nec tenere se, quin Theodorum iterum aggrederetur, tanquam invidens ipsi perpetuo, ejusque recte factis succensens. Eum enim qui sceptris per id tempus potiebatur, Nicephorum dico improbum illum, qui piam Irenen imperio spoliavit, et imperium ipse per vim atque injuriam invasit; hunc, inquam, ad oppugnandum sanctum virum Theodorum impudens excitavit. Quonam autem pacto, deinceps exponam. Hic ergo Nicephorus, specie quidem Christianus, eamdemque

VARIÆ LECTIONES.

[1] al. τό.

nobiscum communionem habens nominis, revera autem, factisque ipsis, Christi hostis (quod omnium pessimum erat) conquiescere nequibat, tanquam ad malum natus, nisi omnia miscere conaretur, et quidquid in animum venisset, nihil intentatum relinqueret. Cui inter cætera nulla cura, nulla sollicitudo fuit, res Ecclesiæ perturbare, ut ad majora, et qualia ipsum decebant, ejus malitia progrederetur. Hac enim pace, quam paulo ante adepta vix fuerat, frui non ferens, multis nuper agitatam tumultibus, alia rursum ratione conatus est in novos motus seditionesque conjicere. Josephum siquidem illum, communi Ecclesiæ calculo a Tarasio, ut dictum est, jure olim ejectum ob manifestum ab eo commissum crimen, quod nemini obscurum est, non dubitavit iterum tyrannice et contra canones, heu ! in Ecclesiam revocare, atque ademptum illi sacerdotium restituere. Quid novus hic dogmatum auctor non erat dicens? quid non agens? quod denique sceleris genus prætermittens, ut cogitata et inchoata perficeret? adeo ut, quod omnium absurdissimum erat, hæc jam dicere non puderet : Nihil novi, inquit, aut temerarii alioqui fecerimus, si ab alio pulsum ipsi recipiamus. Quinimo charitatis legem observabimus ; in quo quidem et obsequentes universos habebimus, et suffragatores atque socios. Et legem hoc loco charitatis, (o legum æquitas, et sacri sermones !) impudens commemorabat, cui nec quid lex, quid charitas sit, exploratum unquam fuit ! Quem si nihil aliud, hoc certe cogitare oportebat, quamvis amens et vecors in cæteris esset : tametsi hunc patriarcha Tarasius deposuerit, qui a nobis nunc abiit, et ad superas sedes emigravit ; tametsi suis aliis eum sententiis damnaverint : at nobis non solum quæ ab illis statuta sunt transilire nefas est, sed eadem confirmare vel maxime convenit, cum eadem nobis atque illis sit gratia : ne Patrum nostrorum leges mutare videamur, et studio impii esse.

XLIV. *Patriarcha restituit Josephum.* — Quorum ille nihil prorsus recogitans, patriarcham vi aggreditur : Nicephorus is erat Tarasii successor : omnibus eum machinis oppugnans, ut vel invitus voluntati ejus obsequeretur, et sacerdotium redderet Josepho. Quod ille sane vi tandem ægre adductus præstitit, veritus, opinor, vir Dei, ne atrocius quippiam insanus ille moliretur, Ecclesiamque vehementius exagitaret, si quod tantopere concupierat, non obtineret.

XLV. *Theodorus ideo se subtrahit a patriarcha.* — Verum hæc audacia denuo scidit Ecclesiam, eosque qui antea concordes erant, rursus divisit. Etenim Pater noster Theodorus indigne ferens quæ gesta fuerant, statim ipse cum omnibus monachis abscessit : cum eorum, cui facinus illud patraverant sententiæ aut, consilio neque ser-

A τῇ δὲ ἀληθείᾳ καὶ οἷς εἶχε πράττειν, μισόχριστος, καὶ πολλῷ τούτου χεῖρον, οὐμενοῦν οὐδ' ἐν ἑαυτῷ μένειν ἐδόκει, οἷα τῷ πονηρῷ πραθείς, εἰ μὴ πάντα διαπράττειν ἐπιχειροίη, εἰ καὶ μηδενὰς τῶν κατὰ γνώμην ἀπέχοιτο. Ὅς γε πρὸς τοῖς ἄλλοις, καὶ τὴν Ἐκκλησίαν διαθεῖναι κακῶς, οὐδὲ μικρᾶς ἔθετο τῆς ροντίδος · ἵνα ἔχοι καὶ μᾶλλον ἐπὶ [τὰ μείζω τὴν κακίαν ὁδεύουσαν, καὶ ἐφ' ἃ τούτῳ πρέπον ἐστίν. Οὐκ ἐνεγκὼν γὰρ ταύτην μένουσαν ἐπὶ τῆς εἰρήνης ὁρᾷν, ἣν μόλις ἀπέλαβεν ἔναγχος, πολλαῖς πρότερον κλονηθεῖσαν ταῖς ταραχαῖς, πειρᾶται καὶ τρόπον ἄλλον ὁ βάσκανος, στάσιν αὐτῷ καὶ ταραχὴν ἐμβαλεῖν. Τὸν γὰρ Ἰωσὴ ἐκεῖνον, τὸν πάλαι ψήφῳ κοινῇ τῆς Ἐκκλησίας ἐνδίκως, καθὰ καὶ εἴρηται, πρὸς τοῦ ἐν ἁγίοις ἀπωσθέντα Ταρασίου, ἐφ' ᾧ τὸ περιφανὲς

B ἐκεῖνο εἰργάσατο τόλμημα, ὃ τῶν πάντων οὐδεὶς ἀγνοεῖ, τοῦτον τολμᾷ πάλιν τυραννικῶς, φεῦ ! καὶ ἀκανονίστως τῇ Ἐκκλησίᾳ εἰσαγαγεῖν, καὶ τὴν ἀφαιρεθεῖσαν δοῦναι ἱερωσύνην · τί μὲν ὁ καινὸς οὐ λέγων δογματιστής ; τί δ' οὐ πράττων ; ποῖον δὲ πονηρίας εἶδος μεθείς, ὥστε εἰς εἰς ἔργον αὐτῷ χωρῆσαι τὸ σπουδαζόμενον ; ἔνθα καὶ τὸ πάντων εἰρηκέναι καταγελαστότατον, ὡς Οὐδὲν, φησὶ, καινὸν, ἢ ἄλλως παρακεκινδυνευμένον δράσοιμεν, εἰ τὸν ὑπ' ἄλλου ἐξωσθέντα, αὐτοὶ προσλαβοίμεθα. Μᾶλλον μὲν οὖν καὶ νόμον ἀγάπης τιμήσαιμεν · ἐφ' ᾧ δὴ καὶ πει-

C θομένους ἕξομεν ἅπαντας, καὶ ταῦτα ἡμῖν συμφρονοῦντας καὶ πράττοντας. Καὶ νόμου ἐνταῦθα καὶ ἀγάπης, ὦ νόμων εὐθύτης καὶ ἱεροὶ λόγοι, ὁ ἀναιδὴς μέμνηται, ὁ μηδὲ ὅ τί ποτέ ἐστι νόμος ἢ ἀγάκη πώποτε εἰδώς. Ὅς εἰ μή τι ἄλλο, τοῦτο γοῦν δίμως ἐχρῆν συνιδεῖν, τἄλλα καίπερ ἀσυνετῶν, ὅτι κἂν ὁ πατριάρχης Ταράσιος τοῦτόν ἐστι καθελὼν, ὃς νῦν ἡμᾶς ἀπέλιπε, καὶ πρὸς τὰ ἄνω διέδη, κἂν ἄλλοι τούτῳ τὴν καταδικάζουσαν ἤνεγκαν, ἀλλ' ἡμᾶς γε, οὐχ ὅπως τὰ ὑπ' ἐκείνων παραβαίνειν, ἀλλὰ καὶ βεβαιοῦν ἐς ὅ τι μάλιστα χρὴ, μιᾶς οὔσης ἡμῖν τε κἀκείνοις τῆς χάριτος · ὡς ἂν μὴ δόξωμεν Πατέρων

D νόμους μεσακινεῖν, καὶ ἀσεβεῖν ἐξεπίτηδες.

Ὧν οὐδὲν ἐκεῖνος ἐννοεῖν ἔχων, ἐπιτίθεται βιαίως τῷ πατριάρχῃ. Νικηφόρος δ' ἦν οὗτος ὁ κοῦ Ταρασίου διάδοχος · ἀνάγκην οὐδὲ φορητὴν τούτῳ ἐπάγων. ὡς ἂν πράξοι καὶ μὴ βουλόμενος, τὸ ἐκείνῳ δοκοῦν, καὶ τὴν ἱερωσύνην ἀποδοίη τῷ Ἰωσήφ. Καὶ δὴ πράττει τοῦτο βίᾳ καὶ μόλις · δείσας, οἶμαι, ὁ τοῦ Θεοῦ ἄνθρωπος, μή τι ἄλλο χεῖρον νεωτερίσῃ ὁ παραπλὴξ, καὶ τὴν Ἐκκλησίαν βλάψῃ μειζόνως, ἀποτυχὼν οὗ νῦν ἐφετῶς ἔχει.

Ἀλλὰ τοῦτο τὸ λῆμμα [10] καὶ τὴν Ἐκκλησίαν πάλιν διέτεμε πρὸς ἑαυτὴν, καὶ τοὺς πρὶν ἡνωμένους ἀπ' ἀλλήλων διέστησεν. Ὁ γὰρ Πατὴρ ἡμῶν Θεόδωρος, οὐδ' ἀνεκτῶς ἔχων ἐπὶ τοῖς γεγενημένοις, ἀφιστᾷ ἑαυτὸν παραχρῆμα, σύναμα πᾶσι τοῖς μοναταῖς, τῆς τῶν δρασάντων καὶ γνώμης καὶ βουλῆς μηδὲν τὸ παράπαν κοινωνήσας αὐτοῖς, μὴ λόγου, μὴ

VARIÆ LECTIONES.

[10] f. τόλμημα.

ἔργου, μὴ ἄλλου τῶν πάντων μηδενός. Συναφίσταται αὐτῷ καὶ τοῦ λαοῦ οὐκ ἐλάχιστον· καὶ τούτων αὐτῶν μάλιστα, ὅσοι τῶν πάντων ἔκκριτοι, καὶ τὴν πολιτείαν ἐξειλεγμένοι. Οὐ γὰρ ἡμέτερον, φησὶν ὁ γεννάδας καὶ ἀληθὴς τῶν τοῦ Θεοῦ νόμων ὑπέρμαχος, Πατέρων οὕτω μεθιστᾷν ὅρια, καὶ τὰ καλῶς δεδογμένα τούτοις λύειν· καὶ ἐπὶ βλάβῃ τῇ σφῶν, περιττά τινα καὶ τῆς Ἐκκλησίας οἰκονομεῖν ἔκφυλα. Μὴ γὰρ οὕτω ποτὲ καὶ φρενῶν σχοίημεν, ἵν' ἐπηρεαστὰς ἑαυτοὺς ποιησαίμεθα πράγματος, καὶ τὰ τῶν ἀνθρώπων τοῦ Θεοῦ προτιμήσαιμεν, τὰ δοκοῦντα τῷ δεῖνι, καὶ πᾶσιν ἁπλῶς τοῖς καινοτόμειν ἐθέλουσιν, αὐτοὶ πράττοντες· καὶ ταῦτα πρὸ ὀμμάτων ἔχοντες κακὰ ἐπενεχθέντα ἡμῖν ἐξ οὐρανοῦ δείματα, ἡνίκα βασιλεὺς ἐν ταυτῷ καὶ λαὸς παρηνόμει, καὶ αὐτὸς οὗτος ὁ τούτου συνωμότης ἱερεύς, μικρᾶς δόξης χάριν, τὸ μέγα τῆς εὐσεβείας ἐξωρχεῖτο μυστήριον. Ἔτι γὰρ τούτοις σαγευομένην ἔχοντες τὴν διάνοιαν, δέος ἡμῖν μὴ καὶ πάλιν τῆς τοῦ Θεοῦ ὀργῆς πειρασώμεθα, ἐκ τοῦ πάλιν τοῖς αὐτοῖς περιπίπτειν, καὶ ἐκεῖνα συνιστάνειν ἐπιχειρεῖν, ὧν ὡς βλαβερῶν ἀποστῆναι ἐσπεύσαμεν.

Τούτοις ὁ Πατὴρ καὶ γνώμης ὅπως εἶχε καὶ λογισμοῦ διαῤῥήδην ἐμφήνας, ἀποδίσταται, ὡς ἔφημεν, συνόλως αὐτῶν, μηδενὸς τὸ παράπαν πεφροντικὼς, μὴ βασιλέως τὰ δεινὰ ποιήσειν αὐτὸν ἀπειλοῦντος, μὴ τῶν ἐκείνου συμφρόνων, μυρίαν αὐτῷ τὴν βίαν ἐπαγόντων, μὴ τῶν ἄλλων τῇ ἀρχῇ συμπραττόντων, ἱερέων τε καὶ λοιπῶν τῶν ἐν τέλει. Μόνου γε μὴν τοῦ πατριάρχου ἀπευκτὴν ὅλως καὶ οὐδὲ φορητὴν τὸ παράπαν ἐνόμιζε τὴν διάζευξιν· οἱονεὶ διχοτομίας ἑαυτοῦ ἐπαισθόμενος, καὶ ὀδύναις ἀῤῥήτοις διὰ ταύτην βαλλόμενος. Ἀλλ' ἐπειδὴ οὐκ ἦν ἄλλως αὐτῷ τὸ συνοῖσον ἑλέσθαι, ἔμενε φέρων τὰ λυπηρὰ, πάντα μᾶλλον αἱρούμενος, ἤ τι πρᾶξαι τῶν μὴ δοκούντων Θεῷ, καὶ φανῆναι ἄντικρυς, ἄλλο τι πρὸ ἐκείνου τιμῶν.

Ἀλλ' ἴσως ἐρεῖ τις· Πότερος τούτων τετήρηκε τὸ καλὸν, καὶ τὸν καιρὸν εὖ διατέθεικεν; ὁ ἐκεῖνα οἰκονομήσας, καὶ τοῦ πρέποντος καθυφεὶς, ἢ ὁ ἐν πᾶσι μείνας ἀπρόσκλιτος, καὶ μηδὲν μηδαμοῦ τῆς ἀκριβείας ὑπεκστάς; Ἀλλ' εἴποιμεν ἂν πρὸς αὐτὸν, ὅτι Μικρὰ, ὦ οὗτος, πᾶσα ἀνθρωπίνη διάνοια πρὸς τὴν τῶν τηλικούτων κατάληψιν. Θεὸς δὲ μόνος, ᾧ καὶ πάντα περιληπτὰ, ὁ καὶ τὸν [11] βέλτιον ἰδεῖν ἱκανὸς καὶ κρῖναι τοῖς πράγμασι τὸ ἀληθὲς δυνατός. Ἐμοὶ δὲ τοσοῦτον εἰπεῖν, ὅτι ᾔδει καὶ ὁ πατριάρχης μὴ καλῶς ἔχον τὸ πρᾶγμα, μηδὲ τοῖς ἱεροῖς κανόσι στοιχοῦν. Πῶς γὰρ οὔ, ὁ τὰ θεῖα ὡς οὐλ οἶδ' εἴ τις ἄλλως [12], μεμαθηκὼς ἄνωθεν; Οὐκ εἶχε δὲ ὅπως μὴ τῷ βασιλεῖ γένοιτο καταπειθὴς, τὸ τούτου δύσνουν ἐκ μακροῦ ἐπιστάμενος, καὶ τὸ τῆς γνώμης κακὸν ἐπικαιρότατον, ᾧ καὶ κακουργῆσαι πάντα καὶ συγχέαι, ἴσον ἐδόκει καὶ τὸ πρᾶξαι μηδέν. Ὁ δὲ Θεόδωρος τούτων μὲν ἐφρόντιζεν οὐδαμῶς· μόνου δὲ τοῦ Θεοῦ ἐχόμενος ἐν παντὶ, οὔτε τοῖς καιροῖς μεταβάλλεσθαι,

mone neque facto, neque alia ulla re communicavisset. Abscessit una cum ipso pars populi non parva, atque ii maxime qui præcipui omnium et stratu aliquo insignes erant. Non enim nostrum est, inquiebat strenuus ille et verus legum Dei defensor, transgredi terminos quos posuerunt Patres nostri, et præclara eorum instituta abrogare, aut non sine proprio damno quædam supervacanea et Ecclesiæ ignota instituere. Nunquam enim sic animis affecti erimus, ut hujusmodi negotii vindices velimus esse, et humana divinis anteponamus, ea facientes quæ homini nescio cui, et universim omnibus nova molientibus placent: cumque hæc ante oculos versentur, nec non pavor cœlitus nobis tunc injectus, cum imperator una cum populo errabat, et ille ipse, qui cum imperatore conspirabat, sacerdos, tenuis gloriæ studio magnum pietatis mysterium prætendit. Animum quippe rebus istis adhuc perturbatum occupavit timor, ne iram Dei rursus experiamur in eadem prolapsi, eaque approbare aggressi a quibus tanquam perniciosis abscedere studuimus.

XLVI. — Itaque cum Theodorus, quis esset ipsius super ea re sensus et cogitatio, plane aperuisset, ab istis, sicut jam diximus, prorsus abscedit, minime curans imperatorem quantumvis gravia comminantem, nec eos qui cum imperatore consentiebant, cæterosve imperii administros, vel sacerdotes, vel alios magistratus. Sed præcipue patriarchæ detestandum neque tolerabile discidium esse censebat, tanquam si ipse scinderetur sentiens, indeque incredibili dolore affectus. Sed quoniam aliter id quod utile erat tenere non poterat, has molestias ferebat patienter, nihil non eligens potius, quam aliquid committeret contra Deum, aut ullam rem pluris quam ipsum facere videretur.

XLVII. *Ut egerit rectius, Theodorus, an patriarcha?* — Sed dicet fortasse quispiam: Uter honestum servavit et opportunitate recte usus est? isne qui ut se accommodaret rebus, aliquid officii sui prætermisit, an qui inexorabilis in omnibus permansit, neque de exacta justitia quidquam remisit? Huic autem ita respondebimus: Angustior est humana mens, o bone vir, quam ut res tantas possit comprehendere. Solus vero Deus est qui omnia comprehendat, atque id quod melius est cognoscat, et quid verum sit in rebus discernat. Mihi autem satis sit dicere, patriarcham, quam injusta et abhorrens a sacris canonibus res esset, non ignoravisse. Quid enim aliter? cum cœlitus divina sic didicisset ut nemo alius. Non debuit autem imperatori morem gerere, cum jampridem cognosceret pravam ejus mentem et varium pro tempore ingenium, cui pro nihilo erat pervertere omnia et confudere. At Theodorus Deo uni addictus, cætera

VARIÆ LECTIONES.

[11] f. τό. [12] al. ἄλλος.

non curabat uliatenus, ac prorsus alienum a se existimabat servire tempori, aut potentiorum gratiæ quidquam concedere : sed *Testimonia Dei loquebatur in conspectu regum* (*k*), non reformidans diem hominis, ut divinus Jeremias ait [l], neque se potestatibus submittens, aut aliud quidpiam earum rerum quæ videntur suspiciens. Cujus excelsitatem animi laudabant omnes ac mirabantur. Patriarcha autem multo etiam magis reverebatur libertatem loquenti cum sapientia conjunctam, ac propterea nec remittere quidquam voluit de sua erga eum propensione, ipso etiam discedii tempore, neque omnino sententiam mutare, nec observantiam singularem qua eum prosequebatur imminuit, aut de illa vel mimimum remisit. Neque ullum porro ex communi Ecclesiæ discidio fructum cepit is qui scandali causa fuerat, et zizaniorum sator : sed postquam ipsius defensor obiit, ipseque amisso sacerdotio sacris septis ejectus fuit, in fœdiorem etiam quæ antea calamitatem incidit : ut ipsa re disceret non liceret iniqua patrantibus pœnam declinare, etiamsi ea non statim ingruat. Sed ad illa quæ dicere instituimus oratio nostra revertatur.

XLVIII. *Theodorus pellitur in insulam prope Byzantium.* — Ut enim vidit impius imperator, nulla in re Theodorum virum sanctum flecti, nec cedere sibi, nec factis suis assentiri, monasterio illum suo atque urbe pariter extrudit, relegatque in insulam quamdam ex iis quæ proximæ sunt Byzantio : eadem pœna in Josephum fratrem, Platonemque sapientem decreta ; haudquaquam una utrosque custodia includens, sed singulos seorsum, ita ut mutuus eis conspectus negaretur, quod unicum est in carcere solatium.

XLIX. *Imperator Studitas frustra tentat.* — Reliquam vero discipulorum turbam, ut Patre suo orbatam vidit, importunis minis aggressus, obscuros etiam in carceres conjecit, addita militum custodia, qui eos custodirent, quoad ipse de illis quæstionem exerceret, Statuta igitur die, adduci omnes, et coram sisti jubet : tum ipse prior gravi supercilio considens, oculisque ac vultu, totoque corporis habitu, latentem animi asperitatem ostentans, separari ante omnes illos jubet, atque in duas partes distribui, majores et judicio præstantes a reliquis secernens, quo faciliorem sibi concertationem efficiat. Atque hos quidem prius aggreditur : ita enim expedire sibi existimabat, quoniam cæteros, ut mentis acie inferiores, secuturos esse non dubitabat. Hos igitur omnibus machinis adoritur, partim rationibus, minisque interjectis, partim blanditiis ad duriesimum quemque emolliendum idoneis, partim suppliciis cruciati-

A πολλοῦ γε καὶ δεῖ, συμφέρειν ἐνόμιζεν ἑαυτῷ, οὐτε τοῖς κρατοῦσι καὶ μικρὸν ἐνδόσιμος γίνεσθαι · ἀλλ' Ἐλάλει τὰ μαρτύρια τοῦ Θεοῦ καὶ αὐτῶν βασιλέων ἔμπροσθεν · μὴ ἡμέραν ἀνθρώπου, τὸ τοῦ θείου Ἱερεμίου, φοβούμενος, μὴ δυναστείαις ὑποκλινόμενος, μὴ ἄλλο τι τῶν φαινομένων καταπλητόμενος. Οὗ τὸ τῆς διανοίας ὑπερανιστηκὸς καὶ πάντες μὲν δι' ἐπαίνου εἶχον καὶ θαύματος. Ὁ δέ γε πατριάρχης καὶ πολλῷ πλέον, τὴν μετὰ συνέσεως τοῦ ἀνδρὸς ἀποσεμνύνων παρρησίαν διαπαντός · καὶ διὰ τοῦτο, μηδὲ τῆς πρὸς αὐτὸν διαθέσεως καθυφεῖσθαι θελήσας ποτὲ, μηδ' ἐν αὐτῷ τῷ τῆς διαστάσεως καιρῷ · μὴ τὴν γνώμην συνόλως μεταβαλεῖν · μὴ τὴν τιμὴν τὴν [13] ὑπερβαλλόντως ἐκεῖνον ἐτίμα, σμικρύναι, ἢ καὶ βραχὺ παραπέμψεσθαι. Πλὴν ἀλλ' οὐδὲ τὸ B κοινὸν τῆς Ἐκκλησίας πρόσκομμα ὁ τῶν σκανδάλων αἴτιος καὶ τῶν ζιζανίων σπορεὺς, ἐπὶ πλέον τοῦ ἱρμαίου ἀπώνατο · ἀλλ' ἅμα ὁ τούτου συνασπιστὴς ἀπεβίω · ἅμα καὶ οὗτος τὴν ἱερωσύνην ἀφῄρητο, καὶ τῶν θείων ἀπελήλατο περιβόλων, αἴσχροτέραν ἢ πρόσθεν τὴν ἔκπτωσιν ὑποστας. Ἵν' ἔργῳ μάθῃ, ὡς οὐκ ἐνὸν διαδρᾶναι τὴν δίκην, κἂν μὴ παρὰ πόδας ἡμῖν, κἂν μὴ εὐθὺς ἀπαντήσῃ, τὰ ἄθεσμα πράττουσιν. Ἀλλ' ἡμῖν γε ὁ λόγος πρὸς τὰ εἰρημένα ἐπανακτέα.

Ὡς γὰρ εἶδεν ὁ παράνομος βασιλεὺς πρὸς μηδὲν αὐτῷ τὸν ὅσιον εἴκοντα, μήτε μὴν οἷς πράττει συνεπινεύοντα, ἀπελαύνει τῆς μονῆς τοῦτον πικρῶς καὶ τῆς Βυζαντίδος · καὶ ἐν νήσῳ ὑπερορίζει τῶν πρὸ τοῦ ἄστεος, τὰ αὐτὰ καὶ πρὸς τὸν ἀδελφὸν Ἰωσὴφ δράσας, καὶ Πλάτωνα τὸν σοφόν · οὐ συναλλήλους τοὺς ἀμφοτέρους καθείρξας, ἀλλὰ χωρὶς καὶ C καθ' ἕνα · ἵνα μηδ' αὐτὸ μόνον, ὁρᾷν ἀλλήλους ἔχοιεν, ὃ μόνον τοῖς ἐν φρουρᾷ παραμύθιον.

Τό γε μὴν ἄλλο πλῆθος τῶν μαθητῶν ἐπεὶ γυμνωθέντας ἑώρακε τοῦ Πατρὸς, ἀπειλαῖς οὔτι μετρίαις προϋπελθὼν, φυλακαῖς καὶ τούτους ἐγκλείει ζοφώδεσιν, ἐπιστήσας καὶ στρατιώτας αὐτοῖς, ἵν' ὑπ' ἐκείνων φυλάττοιντο, εὐκαίρως τὰς κατ' αὐτῶν ἐρωτήσεις μέλλων ποιήτασθαι. Οὓς καὶ ἡμέρᾳ ῥητῇ ἀχθῆναι προστάξας, αὐτὸς πρότερον μετὰ σοβαροῦ τοῦ φρυάγματος καθίσας, καὶ βλέμματι καὶ προσώπῳ, καὶ πᾶσιν οἷς ἐωρᾶτο, τὴν ἔνδον ὑπεμφαίνων τραχύτητα, διαιρεθῆναι πρό γέ τινος ἄλλου τούτους D ἀπ' ἀλλήλων κελεύει, καὶ εἰς μέρη ἀποταχθῆναι δύο, τοὺς μείζω καὶ λόγῳ προέχοντας ἀποκρίνας τῶν ἐναντίων · ὡς ἂν οὕτω ῥᾷδιον αὐτῷ γένοιτο τὸ ἀγώνισμα. Καὶ δὴ πρῶτα προσβάλλει τοῖς πρώτοις, λυσιτελοῦν οὕτω δόξαν αὐτῷ · ἔψεσθαι γὰρ καὶ τοὺς ἄλλους τούτων χειρουμένων, τῇ διανοίᾳ ἀνέπλαττεν. Οὓς καὶ παντοίως μετελθὼν, τοῦτο μὲν λόγοις μεμιγμένοις καὶ ἀπειλαῖς, τοῦτο δὲ θωπείαις, καὶ τὸν ἄγαν μαλαττούσαις σκληρὸν, τοῦτο δὲ καὶ βασάνων

(*k*) Psal. CXVIII, 46. (*l*) Jerem. XVII, 16.

VARIÆ LECTIONES.

[13] f. ἣν.

προτάσεσιν, ὡς ἂν ἑνί γε τρόπῳ τοῦ Πατρὸς ἕλοι, καὶ πρὸς ἑαυτὸν ἐπισπάσοιτο.

busque propositis, si qua tandem via possit a Patris partibus abductos in suas pertrahere.

XIII. Iis qui pervicacius contradicunt, quique Christum, cum pingitur, in duos filios aiunt dividi, sicut divisit Nestorius, respondendum est minime id esse Christum dividere, sed potius quæ rectissima sunt sapere. Nam ut in theologia, id quod personarum proprium est, minime dividit singularem divinitatis naturam, sed quod naturam communem habet, discretum est personis : ita in œconomia e contrario, quod naturarum proprium est non dividit singularem Dei Verbi personem, sed quod personam communem habet, naturis discretum est. Si autem in circumscriptione, id quod naturæ humanæ proprium est, **induceret** divisionem : ergo et in istis, quæ sunt *ingenitum*, *genitum*, et *procedens*, id quod trium personarum proprium est, naturam singularem divideret. Atqui non dividit certe, quantumvis illa sint inter se diversa. Ergo neque istic personam Christi singularum incircumscriptio divinitatis et circumscriptio humanitatis, quantum vis inter se opponantur.

XIV. Si non licet, ex eo quod Deus Verbum carnem induit, affirmare, Patrem et Spiritum sanctum corporatos fuisse, quamvis Trinitas individua sit secundum naturam, pariter non licet ex eo quod circumscriptus idem fuit secundum humanitatem, affirmare, divinitatem simul circumscribi, quam-

ΙΑ'. Ἐξ ἀπεριγράπτου καὶ περιγραπτοῦ, οὐκ ἀπερίγραπτον μόνον, ὦ οὗτοι· ὡς οὐδὲ ἐκ θεότητος καὶ ἀνθρωπότητος Θεὸς μόνος. Εἰ γὰρ οἱ φύσεις αἱ ἑνωθεῖσαι καθ' ὑπόστασιν, τὴν εἰς ἀλλήλας μεταβολὴν οὐ προσήκαντο· οὔτε μὴν τὰς οἰκείας προσηγορίας ἠμείψαντο· σώζουσι δὲ τὸ ἰδιικὸν καὶ μετὰ τὴν ἕνωσιν ἐν μοναδικῷ προσώπῳ, καὶ τοῖς πράγμασι καὶ τοῖς ὀνόμασιν· ἆρα καὶ αἱ τούτων ἰδιότητες ὡσαύτως ἔχουσι, μὴ μεταβληθεῖσαι τῆς φυσικῆς ποιότητος· μηδὲ τὴν ἰδιικὴν ὀνομασίαν ἀπολέσασαι· μένουσι δὲ ἐν Χριστῷ ἀλώβητοι· ἀφ' ὧν περιγραπτός τε καὶ ἀπερίγραπτος ὁμολογουμένως, κἂν μὴ βούλησθε, ἀθεΐζοντες.

ΙΒ'. Εἰ, ὡς φησιν ὁ θεῖος Ἐπιφάνιος, ὅσα ἐν ἀνθρώπῳ καὶ ὁ ἄνθρωπος· καὶ εἴ τί ἐστιν ἄνθρωπος, ταῦτα ἐλθὼν ἀνέλαβεν ὁ Μονογενής· ἵνα ἐν τῷ τελείως ἀνθρώπῳ τελείως τὸ πᾶν τῆς σωτηρίας, Θεὸς ὤν, ἀπεργάσηται, μηδὲν ἀπολείψας τοῦ ἀνθρώπου· οὐ περιγραφόμενος δὲ σώματι, ἀπολείποιτο οὐ τὸ τυχὸν, ἁπλῶς, ἀλλ' αὐτὸ τὸ Κύριον καὶ καιριώτατον· εἴπερ πρώτιστον ἰδίωμα ἀνθρώπου, ἡ τοῦ σωματικοῦ χαρακτῆρος ἐξεικόνησις· ἆρα οὐχ οὗτος ἀπαγορεύει Χριστὸν ἐγγράφεσθαι, ὦ ἄνδρες, ἀλλ' ὁ τούτου ὁμώνυμος τὴν σάρκα Χριστοῦ ἀπαρνούμενος, καθὼς αὐτὸς ὁ ἅγιος ἐν τῷ περὶ αἱρέσεων τριακοστῷ δευτέρῳ κεφαλαίῳ διεδήλωκεν; ὃν καὶ ἐν τοῖς ἑαυτοῦ συνοδικοῖς ἀναθεματίζει ὁ μακάριος Σωφρόνιος.

ΙΓ'. Τοῖς ἐνισταμένοις φιλονεικότερον, καὶ λέγουσιν ὡς ἐν τῷ περιγράφειν τὸν Χριστὸν, χωρίζειν αὐτόν ἐστιν εἰς δύο Υἱούς κατὰ Νεστόριον, ἀποκριτέον, ὡς οὐ χωρίζειν ἐστὶν, ἀλλὰ καὶ λίαν φρονεῖν ὀρθότατα. Ὡς γὰρ ἐπὶ τῆς Θεολογίας τὸ ἰδιάζον τῶν ὑποστάσεων οὐ διατέμνει τὴν μίαν φύσιν τῆς θεότητος, ἀλλὰ κοινωνοῦν φυσικῶς διακέκριται ὑποστατικῶς· οὕτως ἐπὶ τῆς οἰκονομίας ἔμπαλιν, τὸ ἰδιάζον τῶν φύσεων, οὐ διατέμνει τὴν μίαν τοῦ Θεοῦ Λόγου ὑπόστασιν· ἀλλὰ κοινωνοῦν ὑποστατικῶς, διακέκριται φυσικῶς. Εἰ δὲ μερίζοι ἐν τῷ περιγράφεσθαι ὅπερ ἐστὶν ἰδιάζον τῆς ἀνθρωπίνης φύσεως, μερίζοι ἆρα κἀκεῖ τὴν μίαν φύσιν τὸ ἀγέννητον, καὶ γεννητὸν, καὶ ἐκπορευτὸν, ὅπερ ἐστὶν ἰδιάζον τῶν τριῶν ὑποστάσεων· ἀλλὰ μὴν οὐ μερίζει, κἂν ἑτεροίως ἔχῃ πρὸς ἄλληλα. Οὐδὲ ἐνταῦθα ἆρα τὴν μίαν ὑπόστασιν Χριστοῦ τὸ ἀπερίγραπτον τῆς Θεότητος καὶ περιγραπτὸν τῆς ἀνθρωπότητος, κἂν ἐναντίως ἔχῃ πρὸς ἄλληλα.

ΙΔ'. Εἰ οὐ διὰ τὸ τὸν Θεὸν Λόγον σεσαρκῶσθαι, ἐξὸν εἰπεῖν σωματωθῆναι τὸν Πατέρα καὶ τὸ Πνεῦμα, κἂν ἡ Τριὰς κατὰ φύσιν ἀμέριστος· οὐδὲ διὰ τὸ περιγεγράφθαι αὐτὸν κατὰ τὸ ἀνθρώπινον, ἐξὸν εἰπεῖν τὴν θεότητα συμπεριγράφεσθαι, κἂν καθ' ὑπόστασιν αὕτη τῆς σαρκὸς ἀμέριστος, τῆς φυσικῆς

VARIÆ LECTIONES.

(*p*) *Ex Ancorato.* (*q*) Tom. VI *Concil.* Labbei pag. 851.

φαίας ἐκεῖ μὴ συγχεούσης τὰς ὑποστάσεις· κάν- A vis illa secundum personam divisa non sit a carne: cum neque illic naturæ conjunctio personas confundat, neque istic personæ singularitas naturas de finibus propriis demoveat.

ε'. Εἰ οὐχ ὁμοίως ἡμῖν ὁ Χριστος ἐγγράφεται διὰ θεότητα, οὐδ' ὁμοίως τῷ Πατρὶ οὐ περιγράφεται τὴν ἀνθρωπότητα· καὶ ἔστιν ἀπολέσας ἀμφότερα, ἄλλον ἀμείψας θάτερον θατέρῳ τὸ ἰδίωμα, ὡς περιγραφόμενος, ὡς δ' ἄνθρωπος μὴ περιγραπτος. Εἰ δὲ πάντα τὰ τοῦ Πατρὸς ἔχων ἔχει καὶ περίγραπτον· δηλονότι καὶ πάντα τὰ τοῦ ἀνου ἔχων, ἔχει καὶ τὸ περιγραπτὸν, ἀμφοεν ὢν τέλειος, καὶ οὐχ ἡμιτελὴς καθ' ἑκά-

XV. Si christus propter divinitatem non potest uti nos, figurari, sic etiam propter humanitatem non est incircumscriptus ut Pater: sed utramque hanc proprietatem amisit, aut potius alteram cum altera commutavit, circumscriptus qua Deus est; incircumscriptus autem qua homo est. Si vero quia omnia Patris habet, et ideo habet et incircumscriptionem, pariter, cum omnia quæ hominis sunt habeat, habet et circumscriptionem, siquidem est utrinque perfectus, neque ex alterutra parte semi- B perfectus.

ΤΟΥ ΑΥΤΟΥ
ΚΑΤΑ ΕΙΚΟΝΟΜΑΧΩΝ
ΚΕΦΑΛΑΙΑ ΕΠΤΑ

—

EJUSDEM
ADVERSUS ICONOMACHOS
CAPITA SEPTEM.

—

Α'. C

Πρὸς, τοὺς λέγοντας θεοποιεῖσθαι τὰς εἰκόνας τοὺς Χριστιανοὺς προσκυνοῦντας τὴν Χριστοῦ εἰκόνα, τῆς Θεοτόκου, ἢ οὑτινοσοῦν τῶν ἁγίων.

I

Adversus eos qui dicunt Christianos ex imaginibus deos facere, cum Christi, Deiparæ aut cujuscunque Sanctorum, imaginem adorant.

Θεοποιεῖν ἔστιν, ἵνα ἐξ αὐτῆς τῆς τοῦ ῥήματος ἀφορμῆς εἴπωμεν, τὸ, ὅπερ οὐ Θεὸς, ὡς Θεὸν κατασταθῆναι καὶ λατρεύεσθαι ὑπό τινος, κατὰ τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον· Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν, ἤγουν ἐπὶ μὲν τῆς πρώτης φύσεως· καλὸν γὰρ διασαφῆσαι τὴν τετρακτὺν, Κρόνου καὶ Διὸς, Ἥρας τε καὶ Ἀφροδίτης, καὶ τῶν ἐκείνων τούτοις ἐν ἑκατέροις τοῖς γένεσι πλείστων ὁμοίως καὶ ἀνομοίως· ἐπὶ δὲ τῆς δευτέρας, ἀετοῦ, γρυπὸς, ἢ οὑτινοσοῦν ἄλλου τῶν ἑτεροειδῶν τῆς αὐτῆς φύσεως, ἐπὶ δὲ τῆς τρίτης, μόσχου, τράγου, ἢ οὑτινοσοῦν ἄλλου τῶν ἑτεροειδῶν τῆς αὐτῆς φύσεως· ἐπὶ δὲ τῆς τετάρτης, ὄφεως, σαύρας, ἢ οὑτινος ἄλλου τῶν

Deum facere, est, ut ab ipsa verbi compositione initium dicendi sumamus, id quod Deus non est, tanquam Deum constitui et coli ab aliquo: secundum id quod Apostolus dixit: *Et mutaverunt gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, volucrum, et quadrupedum, et serpentium* [88]: ut puta, quod ad primum genus attinet (convenit enim genera illa quatuor explicare), Saturni et Jovis, Junonis et Veneris, atque his similium utriusque sexus quam plurimorum: in secundo autem genere, aquilæ, gryphi, aut alterius cujuscunque de hoc genere, ab aliis diverso: in tertio autem genere, vituli, hirci, vel alteriuscunque de genere eodem ab aliis diverso: demum in quarto genere, serpentis, lacertæ, vel alterius cu- D

[88] Rom. I, 23.

jusvis de eodem genere ab aliis diverso. Quorum imagines cum deorum loco haberent gentiles, Barbari, Scythæ, *Servierunt*, ut ait, *creaturæ potius quam Creatori* [39], constituentes multos deos ac deas, inter se dissimiles, tum etiam invicem pugnantes, e quibus nullus aut erat, aut est, aut erit Deus. Neque ideo sane quod imagines fabricaverint reprehensi sunt : quandoquidem et Moses, ut alios omittam, et serpentem et Cherubim imaginibus exprimit, et tabernaculum confecturus, totius operis imaginem a Deo accepit. Ait enim, *Vide, facies omnia juxta typum ostensum tibi in monte* [40], sed quia id quod imagine expressum erat, Deum putaverunt colueruntque, seriem deorum innumerabilem constituentes, per ignorantiam unius ac solius Dei incorruptibilis et invisibilis. Quibus divinus Apostolus, *Genus ergo cum simus Dei, non debemus æstimare auro, aut argento, aut lapidi, sculpturæ artis, et cogitationis hominis, divinum esse simile* [41]. Hoc est, ex imaginibus fieri deos ab iis de quibus dictum. Quibus autem *unus Deus Pater ex quo omnia, et unus Dominus Jesus Christus per quem omnia* [42], et unus Spiritus sanctus in quo omnia, nequaquam deos faciunt, o viri: ex imaginibus, cum corporeæ Christi formæ imaginem erigunt ; absit ! sed ipsum in forma nostræ simili apparuisse confitentur ; sicut scriptum est : *Qui cum in forma Dei esset non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit, in similitudinem hominum factus, et habitu inventus ut homo. Humiliavit semetipsum factus obediens usque ad mortem, mortem autem crucis* [43]. Cujus quidem imago non in similitudinem hominis corruptibilis ; id quod ab Apostolo condemnatur ; verum in similitudinem hominis quidem certe, sicut antea dixit, at non corruptibilis, sed incorruptibilis. *Non* enim *derelicta fuit anima ejus in inferno*, ut magnus Petrus ait, *neque caro ejus vidit corruptionem* [44], quoniam Christus non est homo nudus, sed Deus homo factus : circumscriptus quidem secundum corporis formam, siquidem in similitudine hominis fuit : manens vero incircumscriptus secundum divinitatis essentiam, siquidem cum Patre et Spiritu dissimilis est aliorum omnium.

A ἑτεροειδῶν της αὐτῆς φύσεως. Ὅνπερ τὰς εἰκόνας θεοποιήσαντες Ἕλληνε, Βάρβαροι, Σκύθαι, Ἐλάτρευσαν, ὡς φησι, τῇ κτίσει παρὰ τὸν Κτίσαντα, πολλοὺς θεούς τε καὶ θεὰς ἑτεροφυεῖς τε ὁμοῦ καὶ ἀλληλομάχους προστησάμενοι · ὧν οὐδὲν ἦ ἦν, ἢ ἔστιν, ἢ ἔσται Θεός. Καὶ οὐχ ὅτι ὅλως τι τῶν ὄντων εἰκόνισαν κατηγόρηνται · ἐπεὶ καὶ Μωσῆς εἰκονίζει καὶ Ὄφιν, καὶ Χερουβίμ · ἵνα παρῶ τοὺς ἄλλους λέγειν · καὶ ὅλην δὲ μέλλων ἐπιτελεῖν τὴν σκηνήν, εἰκονικῶς αὐτὴν πρὸς Θεοῦ μεμύηται. Ὅρα γάρ, φησί, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει · ἄλλ' ὅτι αὐτὸ τὸ εἰκονισθὲν, Θεὸν ἐνόμισάν τε καὶ ἐσεβάσθησαν, ὁρμαθὸν μυριόπλοκον πολυθεΐας συστησάμενοι, ἀγνοίᾳ τοῦ ὄντως ὄντος μόνου ἑνὸς Θεοῦ ἀφθάρτου καὶ ἀοράτου. Πρὸς οὓς ὁ ἱερὸς B Ἀπόστολος · Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης, καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ Θεῖον εἶναι ὅμοιον. Τοῦτό ἐστι τὸ τὰς εἰκόνας θεοποιεῖσθαι τοὺς προειρημένους. Οἷς δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα · καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα · καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα · οὐ θεοποιεῖν ἐστιν, ὦ ἄνδρες, ἀναστηλοῦσι τὴν εἰκόνα τοῦ σωματικοῦ χαρακτῆρος Χριστοῦ · ἄπαγε · ἀλλ' ὁμολογεῖν αὐτὸν ἐτ εἶδει τῷ καθ' ἡμᾶς φάναι, καθὰ γέγραπται · Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ · ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. Ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Οὗπερ ἡ εἰκὼν οὐκ ἐν ὁμοιώματι C φθαρτοῦ ἀνθρώπου, ὅπερ ἀποστολικῶς κατηγορεῖται · ἀλλ' ἐν ὁμοιώματι μὲν ἀνθρώπου, ὡς αὐτὸς προείρηκεν, οὐ μὴν φθαρτοῦ, ἀλλὰ ἀφθάρτου. Οὐ γὰρ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, ὥς φησιν ὁ μέγας Πέτρος · οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Διότι οὐ ψιλὸς ἄνθρωπος, ἀλλὰ Θεὸς ἀνθρωπισθεὶς ὁ Χριστὸς, περιγραφόμενος μὲν κατὰ τὴν τοῦ σώματος ἰδέαν · εἴπερ ἐν ὁμοιώματι ἀνθρώπου ἦν · μένων δὲ ἀπερίγραπτος κατὰ τὴν τῆς θεότητος οὐσίαν · εἴπερ σὺν Πατρὶ καὶ Πνεύματι ἀνεμφερὴς τοῖς πᾶσιν.

Deinde quomodo Christus in œconomia Verbum esse intelligetur, si contra quam Pater et Spiritus, non habeat, præter suam Filii proprietatem, ut forma corporea repræsentari possit ? Itaque deos ex imaginibus facere minime censendi sunt qui Christi imaginem effingunt et adorant : absit, o bone ! Non enim Deum carnem factum habere nos dicimus : neque duos deos, sed unicum in tribus personis. Neque cum imaginem adoramus, animus est materiam, in qua expressa est, impie adorare : sed illam ipsam quæ, cum in materia imprimatur instar sigilli, tum in Christo natura inest.

Ἐπεὶ ποῦ φανήσεται ὁ τῆς Οἰκονομίας Λόγος, μὴ D ἐξαίρετον παρὰ τὸν Πατέρα καὶ τὸ Πνεῦμα, πρὸς τῷ Υἱκῷ ἰδιώματι ἔχων ὁ Χριστὸς σώματος χαρακτῆρι εἰκονίζεσθαι ; Ὥστε οὐ θεοποιεῖσθαι ἐστιν εἰκόνας, τὴν εἰκόνα τοῦ Χριστοῦ γράφουσι καὶ προσκυνοῦσιν · ἄπαγε ὧν τἄν · οὐ γὰρ Θεὸν πυέητὸν ἔχειν λέγομεν, ἀλλὰ Θεὸν σαρκωθέντα · οὔτε δύο Θεοὺς, ἀλλ' ἕνα τρισυπόστατον. Οὐδ' οὐ μὴν προσκυνοῦντες τὴν εἰκόνα τὴν ἐν ᾗ ἐκτετύπωται ὕλην προσκυνεῖν ἀθέως πεφρονήκαμεν · ἀλλ' αὐτὴν ἐκείνην φυσικῶς ἐν Χριστῷ οὖσαν, κἂν ἐκμάσσοιτο ἐν αὐτῇ σφραγῖδος δίκην. Ἀμέτοχα γὰρ τῆς φύσεως εἶεν ἂν τὰ ἐκμαγεῖα

[39] Rom. I, 25. [40] Exod. XXV, 40. [41] Act. XVII, 29. [42] I Cor. VIII, 6. [43] Pilipp. II, 6. [44] Act. II, 31, 35.

τῶν ἀρχετύπων ἐν τοῖς τεχνητοῖς· μόνην ἐπιδεικνύμενα ὡς ἐν κατόπτρῳ τὴν ἐμφέρειαν τῶν ὑπερ εἰσιν ἀπομόργματα. Ἐπεὶ οὕτω γε ἐν τῷ τοῦ σταυροῦ τύπῳ κατὰ πᾶσης ὕλης φαινομένῳ, πᾶσαν ὕλην εὐθαίμεν προσκυνοῦντες. Ἀλλὰ ἀβάλε τῆς ἀνοίας! ἓν ἐπ' ἀμφοῖν κράτος, δόξα τε καὶ προσκύνησις· ὡς ὁ μέγας βοᾷ Βασίλειος· μὴ δυοϋποστάτου οὔσης εἰκόνος καὶ τοῦ πρωτοτύπου ἐμφερείας, ἀλλὰ μονοϋποστάτου. Παρὰ γὰρ τὸ διάφορον τῆς οὐσίας, ἓν καὶ ταυτὸν τὸ ἀρχέτυπον καὶ ἡ εἰκών, φησὶν ὁ πολύπειρος Διονύσιος. Οὕτως ἐπὶ τῆς Θεοτόκου. Οὐ γὰρ τυποῦντες καὶ προσκυνοῦντες αὐτῆς τὴν εἰκόνα, θεὰν ὁμολογοῦμεν Ἑλληνικῶς ἔχειν καὶ σέβειν, ἀλλὰ θεοτόκον. Πρὸς δὲ καὶ τῶν ἁγίων ὡσαύτως· οὐ πολλοὺς θεοὺς τε καὶ θεὰς, ἀλλ' ἕνα Θεὸν καὶ ἑνὸς θεοῦ θεράποντας τιμᾷν καὶ σέβειν. Δι' ὃν καὶ πρὸς ἓν ἡ ἐπὶ πάντων τιμὴ καὶ πρόσεισι καὶ ἄνεισιν. Ἦ οὐ δοκεῖ σοι τὸ θεῖον μύρον εἰς Χριστοῦ τύπον εἰλῆφθαι; τὴν θείαν τράπεζαν ἀντὶ τοῦ ζωοποιοῦ τάφου; τὴν ἐπ' αὐτῇ σινδόνα ἀνθ' ἧς καὶ ἐν ᾗ εἰλήθης ἐτάφη; τὴν ἱερατικὴν λόγχην, ἀνθ' ἧς καὶ ἐν ᾗ τὴν θεόσωμον πλευρὰν ἐνύγη; τὸν σπόγγον, ἀνθ' οὗ καὶ ἐν ᾧ πιὼν ἐχολώθη; τὸ σταυρικὸν ἐκμαγεῖον, ἀντὶ τοῦ ζωοποιοῦ ξύλου; Ἄνελε ταῦτα πάντα, καὶ εἴ τι ἕτερον εἰς ἀντιτυπίαν θείαν· ἐπειδὴ τὸ ὅλως προσκυνεῖσθαι πρὸς τῷ καὶ γίνεσθαι εἰκόνα εἰς Χριστοῦ τύπον καὶ τιμὴν, θεοποιεῖσθαι φαίης, τοὺς ποιοῦντας καὶ προσκυνοῦντας. Ἀλλ' ὅντως ἐπίσης Ἕλλησι τοῖς ταῦτα φληναφοῦσι τὸ ἀσέβημα. Οἱ μὲν γὰρ πρὸ σαρκώσεως Θεὸν ἔδοξαν περιγράφειν ὄντα ἀπερίγραπτον· οἱ δὲ μετὰ σάρκωσιν φιλονεικοῦσι μὴ περιγράφειν περιγραπτὸν ὄντα σώματι.

A Imagines enim arte factæ eamdem atque archetypa naturam non habent, sed solummodo similitudinem earum rerum, unde expressæ sunt, tanquam in speculo repræsentant. Alioqui crucis in imagine, cum in omni materiæ genere exhibeatur, materiam quamlibet revera adoraremus. Sed apage hanc insaniam : una in ambobus potentia, una gloria, et adoratio, sicut magnus Basilius clamat : cum non geminæ, sed unius personæ sit similitudo imaginis et prototypi. Excepto enim substantiæ discrimine, unum idemque sunt ipsum archetypum et imago, ait sapientissimus Dionysius. Sic etiam in Deipara Non enim, cum ejus imaginem effingimus et adoramus, confitemur ipsam nos more gentilium, ut Deum habere ac venerari, sed ut Deiparam : pariterque quod sanctos attinet, nequaquam multos B deos deasque honorare et colere, sed Deum unum, ac servos unius Dei, a quo proficiscitur et ad quem redit honor omnium. Nonne unguentum sanctum existimas effusum fuisse ut esset typus Christi? sanctam mensam pro vivifico ipsius sepulcro? sindonem quæ mensæ imponitur, pro sindone qua involutus sepulcro mandatus est? sacram lanceam pro ea qua divinum ipsius latus apertum fuit? spongiam pro ea, qua fuit potatus felle? crucis imaginem pro ligno vivifico? Tolle hæc omnia, et si quid est aliud quo divina repræsentantur : quandoquidem imaginem ad Christum repræsentandum et honorandum confici, prorsus idem esse ais, ac Deum fieri ab iis qui conficiunt et adorant. Sed profecto gentilibus, quorum insa- C nia illa propria est, pares impietate sunt qui istud *dicunt*. Nam illi quidem ante incarnationem Deum circumscribere non dubitaverunt, cum esset incircumscriptus; istis vero, post incarnationem, obstinatum est non circumscribere, cum sit corpore circumscriptus.

Β'.

Πρὸς τοὺς διαποροῦντας, πῶς οὐ γέγραπται ἐν τῷ Εὐαγγελίῳ περὶ εἰκόνος Χριστοῦ.

Ἀγνοεῖν μοι δοκοῦσιν οἱ φιλεγκλήμονες, ὅτι τῶν εὐαγγελικῶν ῥημάτων, τὰ μὲν ἐπ' εὐθείας, τὰ δὲ πλαγίως δεδήλωται· οὕτω τοῦ Πνεύματος οἰκονομήσαντος, μὴ ῥᾴστην εἶναι τοῖς πολλοῖς τὴν κτῆσιν τῶν ὠφελίμων, τῷ φιλοπόνῳ τῆς ἐρεύνης μᾶλλον ἁρπεσθαι ἡμᾶς τὰ λυσιτελῆ, ὡς ἂν πάγια εἶεν ἐντεῦθεν, καὶ μὴ εὐαφαίρετα ἐκεῖθεν· καὶ τοῦτο εἰκότως. Εἰ μὴ γὰρ ἦν τὸ ζητεῖν, οὐκ ἦν ἂν τὸ εὑρεῖν. Τοίνυν δείξομεν ἐκ παραλλήλου τὸ ζητούμενον. Ὧδέ πού φησι Πέτρος τῷ Ἰησοῦ. Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. Ὁ δὲ εἶπεν· Ἐλθέ· Καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε λέγων, Κύριε, σῶσόν με. Εὐθέως δὲ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ. Καὶ λέγει αὐτῷ, Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος. Οὐ

II.

Iis qui quærunt, cur de imagine Christi scriptum nihil sit in Evangelio.

Ignorare mihi videntur isti cavillatores, in Evangeliis alia quidem directe, alia vero oblique dicta et enuntiata esse : ita dispensante Spiritu, ut non quibuslibet in promptu sit utilium adeptio, sed nos pro exquirendi diligentia et labore capiamus ampliores fructus, et qui hinc quidem solidi sint, inde autem non facile amittantur, atque id D merito sane nemo enim, nisi quærat, possit invenire. Quæstionem' itaque propositam ex re simili explicabimus. Petrus Christo sic ait : *Domine, si tu es, jube me ad te venire super aquas. At ipse ait : Veni. Et descendens Petrus de navicula ambulabat super aquam, ut veniret ad Jesum. Videns autem ventum validum timuit : et cum cœpisset mergi, clamavit dicens : Domine, salvum me fac. Et continuo Jesus extendens manum apprehendit eum; et ait illi : Modicæ fidei, quare dubitasti? Et cum ascendissent in naviculam, cessavit ventus* [48]. Petrus non dicitur super aquas rursum ambulavisse

[48] Matth. XIV, 28, 32.

postquam assumpsit illum Jesus; sed utique istud oblique indicatum est. Non enim quis sapienter dicat, ipsum per aera deferri a Christo, aut per vim rapi, tantisper dum in naviculam simul ascenderint. Age, nunc ad propositum revertamur, ac sapienter considera id quod dicitur. *Accesserunt* inquit, *qui didrachma accipiebant ad Petrum, et dixerunt ei : Magister vester non solvit didrachma? Ait : Etiam. Et cum intrassent in domum, prævenit eum Jesus dicens : Quid tibi videtur, Simon? Reges terræ a quibus accipiunt tributum vel censum? a filiis suis, an ab alienis? Et ille dixit : Ab alienis. Dixit illi Jesus : Ergo liberi sunt filii. Ut autem non scandalizemus eos, vade ad mare, et mitte hamum : et eum piscem, qui primus ascenderit, tolle; et aperto ore ejus, invenies staterem : illum sumens, da eis pro me et te* [46]. Illud igitur, *por, me et te,* innuit oblique, pro imagine mea et tua: non modo quia ipsa personarum pronomina earum naturam aperiunt; personæ enim imagines sunt; sed quia unusquisque tributum pensitans, præter imaginem propriam, imperatoriam quoque imaginem offert in censum Cæsari : qui census dicitur capitalis. Caput autem aliud nihil est quam imago. Atque id ex Domini verbis manifestum est : *Quid me tentatis? Afferte mihi denarium ut videam. Illi autem attulerunt. Et ait illis : Cujus est imago hæc et superscriptio? icunt Dei : Cæsaris. Et respondens Jesus ait illis : Reddite quæ sunt Cæsaris Cæsari, et quæ sunt Dei Deo* [47]. Qui et seipsum submittens, ut homo est, in iis quæ obedientiæ sunt, didrachmum perinde ac quivis alius persolvit. Staterem videlicet pro se et pro Petro. Stater quippe duo didrachma sunt. Sive autem stater, sive didrachmum, sive denarius, imaginem illius gerit, cujus gerit et habet inscriptionem. Itaque sicut ibi per unius rei ex alia acceptionem dictum esse affirmamus, Petrum denuo super aquas ambulavisse, nec potest non sic accidisse : ita isto loco cum ait, *pro me et te,* quicunque prorsus hebetes non sunt iis intelligere licet, quamvis id non dicatur, Christi et Petri imaginem. Omitto dicere imaginem utique naturaliter in Christo inesse. Nam ubi prototypum, ibi, propter convenientiam nempe, est et id quod ex ipso expressum. Hæc enim relativa sunt et inter se conjuncta. Sed et præter illa quæ superius dicta sunt, hoc etiam mihi dicendum, quod videlicet imaginem, quam Cæsari dedit in tributum, eam ipse occulto quodam modo figuravit. Quid ita? quia non per se aut casu, hoc enim humanum, sed potius ex compacto staterem piscis deglutiverat : quinetiam magis pium est existimare, nutu Dei, qui nihil non potest, staterem, simul ac mandavit, in ventre piscis effectum fuisse. Hoc enim Deo congruit. Ait enim, *Ipse dixit, et facta sunt ; ipse mandavit, et creata sunt* [47*].

τοίνυν εἴρηται ὅτι πάλιν ὁ Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα, ἀφ' οὗπερ ἐπελάβετο αὐτοῦ ὁ Ἰησοῦς· ἀλλὰ μὴν τοῦτο πλαγίως δεδήλωται. Οὐ γάρ τις σωφρονῶν εἴποιεν ἄν, ἤτοι ἀέριον αὐτὸν φέρεσθαι, ἢ φοράδην ἄγεσθαι ὑπὸ Ἰησοῦ, μέχρι τοῦ συνεμβῆναι αὐτῷ εἰς τὸ πλοῖον. Δεῦρο λοιπὸν ἐπὶ τὸ προκείμενον, καὶ σκόπει μοι συνέσει τὸ λεγόμενον. Προσῆλθον, φησὶν, οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον· Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα ; Λέγει, Ναί. Καὶ ὅτε εἰσῆλθον εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων· Τί σοι δοκεῖ, Σίμων ; Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον ; ἀπὸ τῶν υἱῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων ; λέγει αὐτῷ ὁ Πέτρος· Ἀπὸ τῶν ἀλλοτρίων. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον· καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον : καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα· ἐκεῖνον, λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. Τὸ οὖν, ἀντὶ ἐμοῦ καὶ σοῦ, πλαγίως δηλοῖ, ἀντὶ, τῆς εἰκόνος ἐμοῦ καὶ σοῦ. Διότι οὐ μόνον αἱ ἀντωνυμίαι αὗται προσώπων εἰσὶ δηλωτικαί· τὰ δὲ πρόσωπα εἰκόνες· ἀλλ' ὅτι καὶ ὑπὲρ ἰδίας εἰκόνος ἕκαστος τῶν ὑποφόρων εἰκόνα βασιλικὴν προσφέρει εἰς τιμὴν τῷ Καίσαρι, τὸν δὴ λεγόμενον κεφαλητιῶνα· κεφαλὴ δὲ οὐδὲν εἴη ἄλλο ἢ εἰκών· καὶ τοῦτο δῆλον ἐκ τῆς τοῦ Κυρίου φωνῆς· Τί πειράζετέ με ; φέρετέ μοι δηνάριον, ἵνα ἴδω. Οἱ δὲ ἤνεγκαν· καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή ; Οἱ δὲ εἶπον· Καίσαρος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Ὃς καὶ τεταχὼς ἑαυτὸν ἐν τοῖς ὑπὸ χεῖρα ὡς ἄνθρωπος, τετέλεκεν ὡς πᾶς τις ὑπὲρ τῆς ἑαυτοῦ εἰκόνος τὸ δίδραχμον· ἤτοι σὺν Πέτρῳ τὸν στατῆρα. Ὁ γὰρ στατὴρ δύο δίδραχμά ἐστιν. Εἴτε δὲ στατὴρ, εἴτε δίδραχμον, εἴτε δηνάριον, εἰκόνα φέρει οὗπερ καὶ φέρει καὶ ἔχει τὴν ἐπιγραφήν. Ὡς οὖν ἐκεῖ κατὰ παράληψιν εἰρῆσθαι εἴπομεν, περιπατῆσαι πάλιν Πέτρον ἐπὶ τὰ ὕδατα, καὶ ἀλλοίως οὐπ ἔστιν· οὕτως ἐνταῦθα ἐπὶ τοῦ, ἀντὶ ἐμοῦ καὶ σοῦ, συνεκφωνεῖσθαι ἔστι κατὰ τὸ σιωπώμενον, τὴν εἰκόνα Χριστοῦ, ὥσπερ καὶ Πέτρου, τοῖς μὴ λίαν ἀγνώμοσιν. Ἐῶ λέγειν ὅτι καὶ πανταχοῦ ἡ εἰκὼν ἐν Χριστῷ φυσικῶς πάρεστιν. Ὅπου γὰρ τὸ πρωτότυπον, ἐκεῖ κατὰ σχέσιν δηλονότι καὶ τὸ παράγωγον. Πρός τι γὰς ταῦτα, καὶ ἀλλήλοις συνεισφερόμενα. Ἀλλὰ ἐκεῖνό μοι ῥητέον πρὸς τοῖς ἀνωτέρω· ὅτι καὶ ἦν εἰκόνα τετέλεκε τῷ Καίσαρι, αὐτὸς ταύτην καὶ ἀῤῥήτως ἐχάραξε. Πῶς ; ὅτι μὴ αὐτομάτη ; Μᾶλλον ἐκ συμβάσεως καταπιεῖν τὸν ἰχθὺν τὸν στατῆρα (τοῦτο γὰρ ἀνθρώπινον), ἀλλὰ τῷ μηδὲν ἀδυνατοῦντι θείῳ Πνεύματι ἅμα τῷ ῥήματι ἐνδημιουργηθῆναι αὐτὸν τῇ ἰχθυαίᾳ κοιλίᾳ, εὐσεβέστερον ὑπολαμβάνειν. Τοῦτο γὰρ θεοπρεπές. Αὐτὸς γὰρ εἶπε, φησὶ, καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

[46] Matth. XVII, 23, seqq. [47] Matth. XXII, 18. [47*] Psal. CXLVIII, 5.

Γ'. A III.

Πρὸς τοὺς λέγοντας· Ἐπειδὴ οὐκ ἔστιν ἐν οὐρανῷ ἀνθρώπου εἰκών, ἀλλὰ σταυροῦ τύπος, τοῦτον δεῖ καὶ προσκυνεῖν.

Ὁ τὰ πάντα πρὶν γενήσεως αὐτῶν ἐπιστάμενος θεός, τῆς διὰ σαρκὸς οἰκονομίας αὐτοῦ τὸ μυστήριον τὸ καταβολῆς κόσμου προτυπῶν, ἐν οὐρανῷ μὲν ἐν σταυρὸν δι' ἀστέρων ἐσχημάτισεν· ἐπὶ γῆς δὲ αὐτὸν ἐν τῇ τοῦ Ἀδὰμ διαπλάσει· ὃς ἐστι τύπος τοῦ μέλλοντος· κατὰ τὴν Παύλου τοῦ μακαρίου φωνήν. Ἔδει γὰρ, ἔδει τὸν ἀπ' οὐρανοῦ ἐν τῇ γῇ, καὶ τὸν ἀπὸ γῆς ἐν οὐρανῷ διατυπωθῆναι· δηλούσης τῆς θεωρίας ὡς ἀναμὶξ τὰ οὐράνια τοῖς ἐπιγείοις ἔσται· ἄλλως τε οὐδὲ ἦν θεμιτὸν ἐν οὐρανῷ εἰκόνα ἀνθρώπου δεδεῖχθαι· ὅπου γε καὶ ταύτης χωρὶς ἅπασι λατρεύειν ἐπλανήθησαν ἄνθρωποι· πολλῷ B μᾶλλον, εἰ ἀνθρώπινον ἔβλεπον εἶδος· Διὰ τοῦτό φησι Μωσῆς ὁ μέγας· Μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς καὶ λατρεύσῃς αὐτοῖς. Ὥστε πρὸ ἐλεύσεως Χριστοῦ, ἐν ἴσῳ τοῖς ἄλλοις ἀστρῴοις σχήμασι, καὶ ὁ σταυρικὸς τύπος, ἀποπεμπτέος εἰς προσκύνησιν. Εἰ γὰρ τὸ πρωτότυπον τηνικαῦτα ἐφατὸν, χολῇ γ' ἂν τὸ εἰκόνισμα εἶναι. Ἀφ' οὗ δὲ Χριστὸς ἐν τῷ αὐτοῦ ἀρχετύπῳ φιλανθρώπως πέπονθε, τιμητέος καὶ σωτήριος, κἂν ἐν οὐρανῷ βλέποιτο· ὥσπερ καὶ ἡ τοῦ παθόντος εἰκὼν ἐπὶ γῆς πανταχοῦ φαινομένη, οὗ καὶ προετετύπωτο· εἰ μή που ἄρα εἰκονομάχος χεὶρ προϋφθακεν Ἰουδαΐζουσα. Οὐ τοίνυν διὰ τὸ εἶναι ἐν οὐρανῷ σταυροῦ τύπον προηγουμένως τιμητέος· ἀλλὰ διὰ τὸ ζωοποιὸν C ξύλον ἁγιασθὲν τῇ ἐν αὐτῷ προσηλώσει Χριστοῦ· ὥσπερ καὶ ἡ εἰκὼν Χριστοῦ, οὐ διὰ τὴν ἐν Ἀδὰμ προτύπωσιν, ἀλλὰ διὰ τὴν ἐκ Παρθένου ἐνανθρώπησιν αὐτοῦ.

In eos qui dicunt, quandoquidem in cœlo non est hominis imago, sed crucis typus, istum proinde adorari debere.

Deus, qui omnia novit priusquam fiant, mysterium suæ in carne dispensationis ante mundi constitutionem præmonstrans, crucem quidem in cœlo per astra repræsentavit, seipsum autem in terra per formationem Adami, qui, secundum beati Pauli dictum, typus est ejus qui erat venturus. Oportebat enim, oportebat eum, qui ex cœlo est, in terra; et eum qui de terra est, in cœlo repræsentari: ut contemplantibus appareret, cœlestia unum cum terrenis deinceps fore. Alioqui, neque fas erat hominis imaginem in cœlo conspici; siquidem, quamvis nulla exstaret, homines tamen astra per errorem coluerunt; multo igitur magis, si formam ibi humanam vidissent. Quocirca magnus Moses ait: *Ne suspiciens in cœlum, et videns solem et lunam et stellas, et omnem ornatum cœli, errans adores ea, et servias illis* [48]. Itaque ante Christi adventum, inter alias astrorum figuras pariter crucis typus erat, nequaquam adorandus. Si enim prototypum tunc exsecratum erat, sane et imago non poterat non esse. At ex quo Christus in crucis archetypo passus est hominum causa: crucis imago veneranda et salutifera est, etiam quæ in cœlo conspicitur; quemadmodum et imago ipsius patientis, quæ passim in terris conspicitur, veneranda fuit, ubicunque expressa ante fuisset: nisi forte alicubi manus Iconomacha, istorum hæresim præveniens, Judæos est imitata. Itaque typus crucis non ideo venerationi esse debuit, quia in cœlo exstabat: sed propter vivificum lignum quod consecratum fuit cum Christus in ipso pependit: quemadmodum et Christi imago non ideo colitur, quia in Adamo expressa ante fuit, sed quia ipse ex Virgine humanam naturam sumpsit.

Δ'. IV.

Πρὸς τοὺς λέγοντας, ὅτι τὰ νήπια ὁ ἱερεὺς οὐκ εἰκόνι χρώμενος, ἀλλὰ σταυροῦ τύπῳ, κατασφραγίζει προσφερόμενα αὐτῷ.

Ὁ ἱερεὺς μέσος θεοῦ καὶ ἀνθρώπων ἱστάμενος, ἐν ταῖς ἱερατικαῖς ἐπικλήσεσι, μίμημά ἐστι Χριστοῦ. Φησὶ γὰρ ὁ Ἀπόστολος· Εἷς θεὸς, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς. D Εἰκὼν οὖν ὑπάρχων Χριστοῦ, ἀναγκαίως οὐκ εἰκόνι (πῶς γὰρ ἂν εἰκὼν εἰκόνι χρήσαιτο τοῦ ἑαυτοῦ ἀρχετύπου)· ἀλλὰ τύπῳ σταυροῦ, Χριστὸν δηλαδὴ μιμούμενος. Ὡς γὰρ ἐκεῖνος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτὰς ἐν τῷ σταυρῷ, καθὰ γέγραπται· οὕτω καὶ οὗτος τύπῳ σταυροῦ, ὡς τύπος Χριστοῦ· τύπος γὰρ καὶ εἰκὼν ταυτὸν εἰς ἐμφέρειαν· τὸ σωτήριον τοῦ παιδὸς ἐνεργάζεται· ὥστε κἀνταῦθα εἰκὼν εἴληπται Χριστοῦ τὸ ἱερατικὸν δηλαδὴ ἀξίωμα.

In eos qui objiciunt, sacerdotem, cum oblatos sibi infantes consignat, non imaginem, sed typum crucis adhibere.

Sacerdos Deum inter hominesque medius, in sacris obsecrationibus Christum repræsentat. Ait enim Apostolus: *Unus Deus, unus et mediator Dei et hominum homo Christus Jesus* [49]. Itaque cum sit imago Christi, necessario adhibet non imaginem; quo enim modo imago imaginem prototypi sui adhiberet? sed typum crucis, imitans Christum videlicet. Quemadmodum enim Christus *principatus et potestates traduxit confidenter, palam triumphans illos* [50] in cruce, sicut scriptum est: ita et iste crucis typo, tanquam ipse Christi typus (nam typus et imago idem sunt quod ad repræsentationem attinet) pueri salutem efficit. Qua propter istic quoque imago Christi, sacerdotalis nempe dignitas, adhibetur.

[48] Deut. IV, 19. [49] I Tim. II, 5. [50] Coloss. II, 15.

V.

Adversus eos qui objiciunt, unumquemque, non imagine adhibita, sed crucis typo, et morbos et dæmonem abigere.

Eadem est quæstionis hujus ac superioris solutio. Quid ita, et quo tandem modo! quia unusquisque fidelium per lavacrum regenerationis, et renovationem Spiritus sancti, conformis fit imagini Jesu Dei, prout ab Apostolo dictum est [51]. Ac alio in loco, *Vir non debet velare caput suum, quoniam imago et gloria Dei est* [52]. Quibus princeps apostolorum addit: *Vos autem genus electum, regale sacerdotium, gens sancta* [53]. Ita ut unusquisque sacrorum administer sibi fiat secundum conscientiam, ad ea quæ salutis sunt. Etsi autem fidelium quisque imago est, non tamen propterea inutile sit Christi imaginem in tabella exprimi. Etenim imago et similitudo quæ ex generatione divina exsistit, ad interiorem hominem pertinet. Quo enim modo Christus esse posset secundum corporis formam similis hominibus forma inter se in infinitum dissimilibus? Ea autem duntaxat imago Christi et est et dicitur, quæ per artem facta, speciei corporeæ, sive formæ, proprias notas, et alia quæque exteriorum gerit indicia. Quod ipsum in vivificæ crucis typo videre licet. Cum enim Apostolus ait: *Christo confixus sum cruci* [54]. haudquaquam modo sensibili, neque adhibito sensibili crucis typo, crucifixum se dicit: Neutiquam; sed secundum interiorem hominem, et spirituali cruce, cupiditatum dico mortificatione. Atque id clarius innotescit ex his Domini verbis: *Tolle crucem tuam, et veni, sequere me* [55]. Itaque sicut isthic et crux et crucifixo, ambo sunt duplicia: ita etiam in imagine Christi; artificialem dico, et eam quam fidelis in se suscipit secundum hominem interiorem.

VI.

In eos qui adversus imaginem Christi proferunt illud Theologi dictum: Quod colendum, minime circumscriptum.

Qui hoc aiunt, ideo aiunt quod vim vocum plura significantium minime noverint, sive potius noluerint intelligere ut bene agerent. Hæc enim vox, *colendum*, æquivoca est, ad diversa significata pertinens: quemadmodum, exempli gratia, nomen φῶς accipitur quidem de solis lumine, sed et de homine dicitur. Homo enim φὼς (*vir*) dicitur. Itaque si dicam, φῶς (*lumen*) non est homo, id verum est. Tunc enim accipio de sole. Rursus autem si dicam, φὼς (*vir*) est homo, id quoque verum: accipio enim jam de homine: ac in neutro mendacium est, propter variam in illis duobus acceptionem. Sic ergo et illius quod colendum dicitur, Vox est æquivoca et quæ bifariam intelligitur: nunc quidem de incircumscripto, nunc autem de circumscripto. Itaque a Patre, de natura divina disserente, dictum est: Quod colendum, minime circumscriptum: ut eos, qui divinitatem intra circumscriptio,

A

Ε'.

Πρὸς τοὺς λέγοντας, ὅτι ἕκαστος σταυροῦ τύπῳ χρώμενος, ἀλλ' οὐκ εἰκόνι, ἐφ' ἑαυτὸν διώκει καὶ πάθος καὶ δαίμονα.

Τὸ παρὸν πρόβλημα ὁμοίαν τοῦ προλαβόντος ἔχει τὴν ἀπάντησιν. Πῶς καὶ τίνι τρόπῳ; ὅτι τῶν πιστῶν ἕκαστος διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινίσεως Πνεύματος ἁγίου, σύμμορφός ἐστι τῆς εἰκόνος τοῦ Ἰησοῦ τοῦ Θεοῦ, κατὰ τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον. Καὶ ἀλλαχοῦ, Ἀνὴρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. Πρὸς οἷς φησιν ὁ κορυφαῖος Ἀπόστολος· Ὑμεῖς δὲ γένος ἐκλεκτόν· βασίλειον ἱεράτευμα. Ἔθνος ἅγιον. Ὥστε καὶ ἱερουργὸς ἕκαστος ἑαυτῷ γίνοιτο κατὰ συνείδησιν πρὸς τὰ σωτήρια. Οὐ μὴν ἐπειδὴ εἰκὼν ὁ πιστὸς, παρέλκον ἂν εἴη τὴν ἐν πίναξι Χριστοῦ εἰκόνα εἶναι. Ἡ μὲν γὰρ διὰ τῆς κατὰ τὴν θείαν γέννησιν συμμορφώσεως, εἰς τὸν ἔσω ἄνθρωπον εἴληπται. Πῶς γὰρ ἂν τοῖς ἀπείρως ἀλλήλων διεστηκόσι κατ' ἰδέαν, σωματικῷ χαρακτῆρι ὁμοιωθείη Χριστός; ἡ δὲ τοῦ ἐνσωμάτου εἴδους ἤτοι μορφῆς φέρουσα τὰ ἰδιώματα, καὶ ὅσα ἄλλα τῶν ἔξω γνώριμα, μόνη τεχνητὴ εἰκὼν Χριστοῦ καὶ ἔστι καὶ λέγεται. Ἐπεὶ καὶ ἐπὶ τοῦ τόπου τοῦ ζωοποιοῦ σταυροῦ ταυτὸν ἔστι βλέπειν. Λέγων γὰρ ὁ Ἀπόστολος, Χριστῷ συνεσταύρωμαι, οὐκ αἰσθητῶς δηλόνοτι, οὐδὲ αἰσθητῷ τύπῳ σταυροῦ χρώμενος, ἑαυτὸν ἐσταυρωκέναι λέγοι ποθέν· ἀλλὰ κατὰ τὸν ἔσω ἄνθρωπον, καὶ νοητῷ δηλαδὴ σταυρῷ, τῇ νεκρωτικῇ, φημὶ, τῶν παθῶν ἐνεργείᾳ. Καί γε τοῦτο καταδηλότερον ἐκ τοῦ τὸν Κύριον εἰπεῖν· Ἆρον τὸν σταυρόν σου, καὶ δεῦρο ἀκολούθει μοι. Ὡς οὖν ἐνταῦθα ἀμφότερα διττὰ, σταυρὸς καὶ σταύρωσις· οὕτω καὶ ἐπὶ τῆς εἰκόνος Χριστοῦ· τεχνητὴ, φημὶ, καὶ ἡ κατὰ τὸν ἔσω ἄνθρωπον ἐπὶ τοῦ πιστοῦ λαμβανομένη.

B

C

ς'.

Πρὸς τοὺς προφέροντας κατὰ τῆς εἰκόνος Χριστοῦ τὸ ὑπὸ τοῦ Θεολόγου εἰρημένον· Τὸ σεπτὸν οὐ περιγραπτόν.

Παρὰ τὸ μὴ εἰδέναι τὴν τῶν ὁμωνύμων δύναμιν, ἤγουν παρὰ τὸ μὴ βουληθῆναι συνιέναι τοῦ ἀγαθοῦναι, ἡ πρότασις αὕτη. Τὸ γάρ τοι σεπτὸν, ὁμώνυμος φωνή ἐστιν εἰς διάφορα σημαινόμενα θεωρουμένη. Οἷον ἐκ παραλλήλου τὸ φῶς λαμβάνεται μὲν ἐπὶ τοῦ ἡλίου· λαμβάνεται δὲ καὶ ἐπὶ ἀνθρώπου. Φὼς γὰρ ὁ ἄνθρωπος εἴρηται. Ἐὰν οὖν εἴπω· Τὸ φῶς οὐκ ἔστιν ἄνθρωπος, ἀληθές. Εἴληπται γάρ μοι ἐπὶ τοῦ ἡλίου. Εἰ δέ γε πάλιν εἴποιμι, Ὁ φὼς ἄνθρωπός ἐστιν· ἀληθές. Εἴληπται γάρ μοι ἐπὶ τοῦ ἀνθρώπου· καὶ οὐδέτερον ψεῦδος, διὰ τὴν ἐν ἀμφοτέροις μετάληψιν. Οὕτω τοίνυν καὶ ἐπὶ τοῦ σεπτοῦ ὁμώνυμος ἡ φωνὴ διχῶς νοουμένη, πῇ μὲν ἐπὶ τοῦ ἀπεριγράπτου, πῇ δὲ ἐπὶ τοῦ περιγεγραμμένου. Τῷ Πατρὶ οὖν περὶ τῆς θείας φύσεως θεολογοῦντι εἴρηται· Τὸ σεπτὸν οὐ περιγραπτόν· πρὸς ἀνατροπὴν τῶν εἴσω περιγραφῆς τὸ Θεῖον ὁριζόντων. Καὶ ἀληθές. Οὐ μὴν περὶ οἰκονομίας προὔκειτο λέγειν. Ἄλλος γὰρ

D

[51] Rom. VIII. 29. [52] II Cor. XI, 7. [53] I Petr. II, 9. [54] Gal. II, 19. [55] Matth. VI, 24.

λόγος θεολογίας, καὶ ἕτερος οἰκονομίας, ἐν οἷς οὐ τὰ αὐτὰ ἔστι δογματίζειν. Ἀμέλει καὶ ὁ θεῖος Κύριλλος τὴν ὑπόστασιν, πῇ μὲν ἀντὶ τῆς φύσεως, πῇ δὲ ἀντὶ τῆς ὑποστάσεως λαμβάνει, κατὰ τὸ διλῆμμάτον εἶναι τὴν φωνήν. Ἐπεὶ ὅτι οἶδε καὶ τὸ περιγραπτὸν εἶπον, αὐτός φησι· « Προσκύνησον τὴν φάτνην, δι' ἣν σὺ, ἄλογος ὤν, ἐτράφης ὑπὸ τοῦ Λόγου. » Τὸ δὲ προσκυνητὸν, δηλονότι καὶ σεπτόν. Ἐῶ λέγειν περὶ τοῦ Κυριακοῦ σώματος· ἆρ' οὖν οὐ περιπραπτόν; τί ἀντερεῖ λόγος; τί δέ; οὐ σεπτόν; καὶ οἱ λίθοι συμφήσειεν. Τί δὲ εἴποις περὶ τοῦ ζωοποιοῦ σταυροῦ; τοῦ ἀντιτύπου; τοῦ θυσιαστηρίου; τῆς θείας τραπέζης; τοῦ ἀχράντου Εὐαγγελίου; οὐτινοσοῦν ἄλλου ἱεροῦ ἀναθήματος; αὐτὰ τὰ τῶν ἁγίων λείψανα οὐ πάντα περιγραπτά; παντί που δῆλον· ἀλλ' ὅμως καὶ σεπτὰ, ὥσπερ καὶ ἡ Χριστοῦ εἰκών· συμμαρτυρούντων τῶν τῆς ἁγίας ἕκτης συνόδου Πατέρων, ἐν τισι τῶν σεπτῶν εἰκόνων Γραφῆς εἰρηκότων.

A nem includunt, refelleret : et vere dixit. Nec vero de œconomia sermo tunc erat ; alia enim Theodogiæ, alia œconomiæ ratio. nec eadem utrobique decernere licet. Sane et divinus Cyrillus hypostasim modo pro natura, modo pro persona usurpat, quod nempe gemina sit vocis illius acceptio. Et quoniam non ignorat coli posse quod circumscriptum sit, ipse ait : « Adora præsepe, in quo tu rationis expers cum esses, a Verbo nutritus fuisti. » Quod autem adoratur, utique colendum est. Omitto dicere de Domini corpore : nonne illud circumscriptum est? quis sermo contradicat? aut quomodo non sit venerandum? ipsi lapides id clament Quid dices porro de vivifica cruce? de antitypo? de altari? de sacra mensa? de intaminato Evan-
B gelio, aut alio quovis sacro instrumento? Ipsæ sanctorum reliquiæ nonne omines circumscriptæ sunt? Sunt sane : attamen colendæ, sicut et Christi imago : testantibus id una voce Patribus sanctæ synodi sextæ, quibusdam in Scriptis ubi de sacris imaginibus egerunt.

Ζ'.

Πρὸς τοὺς προφέροντας κατὰ τῆς εἰκόνος Χριστοῦ, τὸ ὑπὸ τοῦ ἁγίου Γρηγορίου εἰρημένον· « Εἴ τις τῷ κτίσματι προσκυνεῖ, κἂν ἐπ' ὀνόματι Χριστοῦ τοῦτο ποιῇ, εἰδωλολατρεῖ. »

Τοῦτο πρὸς τοὺς Ἀρειανοὺς, κτίσμα λέγοντας τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι, εἴρηται. Ἡμεῖς δὲ ἐπειδὴ προσκυνοῦντες τὴν εἰκόνα Χριστοῦ, Χριστὸν αὐτὸν προσκυνεῖν πεφρονήκαμεν ὀρθοδόξως, διὰ τὴν ἐπ' ἄμφω μίαν προσκύνησιν, οὐ διαφορουμένην κατὰ τὸ
C τῆς οὐσίας διάφορον, τουναντίον δὲ ταυτιζομένην τῇ τῆς μιᾶς ὑποστάσεως ἑνότητι· οὐ κτίσματι προσκυνοῦμεν, μὴ γένοιτο· ὅτι μηδὲ κτίσμα Χριστὸς, κἂν ἔστιν ἐν αὐτῷ τὸ κτιστὸν, τοῦ κρείττονος, ὥς φησιν, ἐκνικήσαντος. Μὴ βλέπε πάλιν τὴν ὕλην ἀφ' ἧς ἐξήρηται τῇ ἐπινοίᾳ, κἂν ἐν αὐτῇ ὡς ἐν κατόπτρῳ, καὶ αὖθις λέγω, ἐμφανίζηται διὰ τῆς εἰκόνος. Εἰ δὲ φαίης μὴ χωρεῖν, τῆς τυφλότητος ἴσθι σύ, τοὺς ἔξω μόνον ὀφθαλμοὺς φέρων, ᾧ μὴ βάλλειν τοὺς μαργαρώδεις τῆς ἀληθείας λόγους ὁ Θεὸς καὶ Λόγος προστέταχεν.

VII.

In eos qui adversus imaginem Christi proferunt illud a sancto Gregorio dictum : « *Si quis creaturam adorat, etiamsi faciat id in Christi nomine, idololatriam committit.* »

Dictum istud fuit adversus Arianos, qui Dei Filium creaturam aiebant esse. Nos vero, quoniam imaginem Christi adorantes, Christum ipsum adorare secundum sententiam orthodoxam in animo habuimus, adoratione ambobus communi
C neque diversa pro substantiæ diversitate, sed junica propter personæ unitatem : creaturam non adoramus, absit! siquidem neque Christus creatura est, quamvis in ipso si aliquid creatum : quia istud vincitur, ut aiunt, ab eo quod præstantius est. Ne respice amplius materiam a qua per cogitationem avulsus est, quamvis in ipsa tanquam in speculo (et id rursus dico) conspiciatur per imaginem. Quod si dicas te id non capere, o! te, cum oculos duntaxat corporis habeas, cæcitate similem porco, cui margaritas sermonum veritatis mittere vetuit Deus et ratio

EJUSDEM THEODORI

ORATIO ADVERSUS ICONOMACHOS.

(*Hanc leges supra in Vita S. Theodori a Michaele monacho conscripta* col. 175.)

EJUSDEM

EPISTOLA AD THEOPHILUM IMPERATORE

DE SANCTIS AC VENERANDIS IMAGINIBUS.

(*Exstat inter Opera S. Joannis Damasceni hujus Patrologiæ* t. XCV, col. 345.)

—

ΤΟΥ ΑΥΤΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΠΛΑΤΩΝΑ

ΤΟΝ ΕΑΥΤΟΥ ΠΑΤΕΡΑ

ΠΕΡΙ ΤΗΣ ΠΡΟΕΚΥΝΗΣΕΩΣ ΤΩΝ ΕΙΚΟΝΩΝ.

—

EJUSDEM

EPISTOLA AD PLATONEM

IPSIUS PATREM

DE CULTU SACRARUM IMAGINUM.

—

Nosmetipsos consolamur, cum sanctum caput nostrum alloquimur. Quodnam enim potest filio salatium majus esse, quam conferre sermonem cum patre, tali præsertim ac tanto, cujus virtus multarum urbium ac regionum et insularum præconiis celebratur? Atque is est pater meus charissimus: etiamsi fructus arbori similis non sit, ob tenuitatis mea infecunditatem: tu tamen nobis propositus es tanquam pietatis norma: neque nobis tantum, sed et omnibus qui pie vitam instituere, ad virtutis perfectionem contendere, et ad prosperum cursum excitari velint. Cum autem sanctitas tua jam pridem a me postulaverit, ut quomodo sacram imaginem Christi venerari oporteat edisseram: non quo id ignores, sed volens ea re meam orationem tacentem excitare: mihi quidem hactenus non licuit respondere; nunc autem reminiscens, æquum esse duxi; quod mihi abs te imperatum est, cum sanctarum precum tuarum auxilio exsequi: tametsi hac ipsa de re alias satis fortasse disseruerim.

Omnis itaque artificialis imago, similitudo est illius cujus imago est, ac in se ipsa formam sui

Ἑαυτοὺς παραμυθούμεθα προσλαλοῦντες τῇ κεφαλῇ ἡμῶν. Τί γὰρ ἂν εἴη παρακλητικώ παιδὶ, ἢ πατρὶ διαλέγεσται, καί γε τοιούτῳ κα λικούτῳ, οὗ τὴν ἀρετὴν ᾄδουσι πολλαὶ πόλεις ραί τε καὶ νῆσοι; οὗτος ὁ ἐμὸς ποθεινὸς Π κἂν ὁ καρπὸς τῷ δένδρῳ οὐκ ἐοικὼς, διὰ τὸ ἐ στον τῆς ταπεινώσεώς μου. Ἀλλ' ὅμως τὸ π σθαί σε κανόνα εὐσεβείας ἔχομεν· οὐχ ἡμεῖς μ ἀλλὰ καὶ οἵπερ ἂν ἔλοιντο θεοσεβεῖν, κτερο εἰς ἀνδρείαν, καὶ διανίστασθαι πρὸς εὐδρομίαν. δὴ δὲ ἀπὸ χρόνου πολλοῦ ἐπεζήτησέ σου ἡ ἁγιω δοῦναί με λόγον, πῶς δεῖ τὴν σεπτὴν εἰκόνα στοῦ προσκυνεῖν· οὐκ ἀγνοοῦσα, ἀλλὰ βουλο κἀντεῦθεν τὸν ἄλογόν μου λόγον κινεῖν· τηνι μὲν οὖν ἐξεγένετό μοι ἀποκριθῆναι. Νυνὶ δὲ μνησθεὶς, δέον ἡγησάμην τὸ ἐνταλθέν μοι ἐφ' οἷόν τέ ἐστι τῇ συνεργείᾳ τῶν ἱερῶν σου προσε ἀποπληρῶσαι. Εἰ καὶ ὅτι ἄλλοθί που περὶ τοῦδε τάχα ἱκανῶς ἐξεῖπον.

Πᾶσα τοίνυν τεχνητὴ εἰκὼν, ὁμοίωσίς ἐστιν ᾗ εἰκὼν, καὶ ἐν ἑαυτῇ τὸν χαρακτῆρα τοῦ ἀρ

του μιμητικῶς δείκνυσι, καθώς φησιν ὁ πολὺς τὰ θεῖα Διονύσιος. τὸ ἀληθὲς ἐν τῷ ὁμοιώματι· τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι· τὸ ἑκάτερον ἐι ἑκάτέρῳ, παρὰ τὸ τῆς οὐσίας διάφορον. Ὥστε ὁ προσκυνῶν τὴν εἰκόνα, προσεκύνησε τὸν ὄντερ ἐμφαίνει ἡ εἰκὼν ἐφαλῶς. Οὔτε γὰρ τὴν τῆς εἰκόνος οὐσίαν, ἀλλὰ τὸν ἐν αὐτῇ γεγραμμένον προσεκύνησεν· οὔτε μὴν τοῦ ἀρχετύπου τὴν εἰκόνα διέσχισε κατὰ ταυτὸν τῆς προσκυνήσεως. Ταυτὸν γὰρ ἡ εἰκὼν τῷ ἀρχετύπῳ τῇ ὁμοιώσει. Οὕτω τοιγαροῦν καὶ ὁ μέγας Βασίλειος· ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκών, καὶ οὐ δύο βασιλεῖς. Οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα μερίζεται. Ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξουσία μία, οὕτω καὶ ἡ παρ' ἡμῶν δοξολογία μία, καὶ οὐ πολλαί. Διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Εἰ δὲ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, οὐκ ἄλλη καὶ ἄλλη, ἀλλὰ μία καὶ ἡ αὐτὴ τιμητικὴ προσκύνησις· ὥσπερ ἓν καὶ ταυτὸν τὸ προσκυνούμενον κἀν εἰκόνι πρωτότυπον.

Ἄλλο δὲ φυσικὴ εἰκών, καὶ ἄλλο μιμητική. Ἡ μὲν οὐ φυσικὴν διαφορὰν ἔχουσα πρὸς τὸ αἴτιον, ἀλλ' ὑποστατικήν, ὡς Υἱὸς πρὸς τὸν Πατέρα· ἄλλη γὰρ ὑπόστασις τοῦ Υἱοῦ, καὶ ἑτέρα τοῦ Πατρὸς, μία δὲ φύσις δηλονότι. Ἡ δὲ τὸ ἀνάπαλιν φυσικὴν διαφορὰν ἔχουσα, ἀλλ' οὐχ ὑποστατικήν· ὡς ἡ εἰκὼν τοῦ Χριστοῦ πρὸς τὸν Χριστόν. Ἄλλη μὲν γὰρ φύσις ὑλογραφίας, καὶ ἑτέρα τοῦ Χριστοῦ· οὐκ ἄλλη δὲ ὑπόστασις, ἀλλὰ μία καὶ ἡ αὐτὴ τοῦ Χριστοῦ, ἐν τῇ εἰκόνι γεγραμμένη. Τοῦ αὐγοῦ θείου Βασιλείου πάλιν λέγοντος· Ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκών, τοῦτο ἐκεῖ φυσικῶς ὁ Υἱός· καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτως ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως τῇ κοινωνίᾳ τῆς θεότητος ἡ ἕνωσις. Ὅρα οὖν τὸ διάφορον, ὅτι ἐπὶ τῆς φυσικῆς εἰκόνος καὶ τοῦ αἰτίου, ἤγουν τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς, ἡνίκα μία φύσις, μία καὶ προσκύνησις κατὰ τὸ ταυτὸν τῆς φύσεως, οὐ τῆς ὑποστάσεως· ἐπειδὴ ὡς μίαν φύσιν, μίαν καὶ προσκύνησιν καὶ δοξολογίαν ὁμολογοῦμεν τῆς ἁγίας Τριάδος, τρεῖς δὲ ὑποστάσεις. Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ἐπὶ δὲ τῆς μιμητικῆς εἰκόνος καὶ τοῦ ἀρχετύπου, ἤγουν Χριστοῦ καὶ τῆς Χριστοῦ εἰκόνος, ἓν μία ὑπόστασις Χριστοῦ, μία καὶ ἑνιαία προσκύνησίς ἐστι, κατὰ τὸ ταυτὸν δηλονότι τῆς μιᾶς ὑποστάσεως, οὐ τὸ ἑτεροῖον τῶν φύσεων Χριστοῦ καὶ τῆς εἰκόνος. Εἰ δὲ ὥσπερ κατὰ τὸ ταυτὸν τῆς ὑποστάσεως, οὕτω καὶ κατὰ το ταυτὸν τῆς φύσεως, μίαν φαίημεν εἶναι τὴν προσκύνησιν τῆς εἰκόνος πρὸς τὸ πρωτότυπον, οὐκέτι διαφορὰν εἰκόνος καὶ εἰκονιζομένου γνωριοῦμεν· ἀλλ' ἔσται ὡς μία ὑπόστασις, οὕτω καὶ μία φύσις τῆς εἰκόνος Χριστοῦ καὶ αὐτοῦ δὴ Χριστοῦ· καὶ ἐμπίπτομεν εἰς Ἑλληνικὴν πολυθεΐαν, πᾶσαν ὕλην εἰς Χριστοῦ εἰκόνα χαρακτηριζομένην θεοποιοῦντες. Κἀντεῦθεν ἀνοίξομεν γλῶσσαν τοῖς εἰκονομάχοις κατηγορεῖν ἡμῶν τῶν ἕνα Θεὸν ἐν τρισὶν ὑποστάσεσι προσκυνούντων, πολλοὺς θεοὺς προσκυνεῖν τε καὶ σέβειν οἷα ἐπεικότως. Εἰ δὲ μήτ' αὖ κατὰ τὸ ταυτὸν τῆς

A exemplaris imitando demonstrat, sicut divinorum peritus Dionysius ait: veritas in similitudine, exemplar in imagine, alterum in altero, excepta duntaxat substantiæ differentia. Itaque imaginem venerans, illum, quem imago exhibet, veneratur. Non enim substantiam ipsius imaginis, sed in quod in ipsa expressum est colit: neque porro, quod ad venerationem illam attinet, imaginem ab exemplari sejungit: idem quippe sunt, similitudine nimirum, imago et exemplar. Sic et magnus itaque Basilius ait imaginem etiam regis appellari regem, nec tamen duos esse reges, neque enim aut potentia scinditur, aut honor dividitur: atque ut una est potestas ac dominatio cui subjicimur, sic unus est et non multiplex honor qui a nobis exhibetur: siquidem honor imaginis ad ipsum exemplar B transit. Si autem ad exemplar transit, nan est alius atque alius, sed unus et idem honor atque veneratio, sicut unum idemque est etiam quod in imagine colitur exemplar.

Aliud est perro imago naturalis, aliud per imitationem expressa. Illa quidem diversam a sua causa naturam non habet, sed personam: quo modo se habet Filius ad Patrem. Alia enim est Filii, alia Patris persona, natura vero una est. Contra autem altera penes naturam differt, non penes personam: quo modo imago Christi se habet ad Christum; aliam enim picturæ materia, aliam Christus naturam habet: at persona alia non est, sed una sedemque, Christi scilicet, etiam ut in imagine expressa est: cum divinus Basilius rursum dicat: Quod igitur illic imago est per imitationem, istud C ibi Filius est per naturam: et quod est in artificialibus similitudo formæ, id ipsum, est in divina et simplici natura divinitatis communitas et unitas. Vide igitur discrimen: scilicet in imagine naturali ac in ipsius causa, puta in Filio et Patre, cum natura una sit, una quoque veneratio est, secundum identitatem naturæ, non personæ: siquidem ut naturam unam, sic et unam venerationem ac glorificationem sanctæ Trinitatis confitemur, tres vero personas, Patris, et Filii, et sancti spiritus. In imagine autem artificiali ac ipsius exemplari, pu a in Christo et imagine Christi, cum unica sit persona, Christi scilicet, ibi unica et veneratio est, secundum unius nempe personæ identitatem, quautumvis diversæ sint Christi et imaginis naturæ. D Si vero dicamus venerationem imaginis et exemplaris unicam esse tum secundum personæ, tum secundum naturæ identitatem; non amplius agnoscimus imaginis ac rei repræsentatæ differentiam, sed unica erit Christi imaginis et Christi ipsius, ut persona, sic et natura: et in Deorum multitudinem, more gentilium incidimus, quamcunque materiam quæ imaginem Christi exhibeat instar numinis colentes. Atque Iconomachorum linguam ea re excitabimus, ut nos qui unum in tribus personis Deum veneramur, merito accusent, tanquam plures Deos colamus ac venere-

mur. Rursus autem si quis dicat neque secundum personæ, neque secundum naturæ identitatem, eamdem esse imaginis ac exemplaris venerationem; is utique potestatem scindit, ac honorem exemplaris ab imagine sejungit, atque adeo Christi venerans imaginem, manifeste est idololatra, non unam venerationem, sed geminam exhibens. Quod quidem Iconomachi demonstrare magno studio enituntur, inde colligentes Christi carni non convenire ut circumscribatur: qui quidem confutantur similiter ac ii qui Deum specie tenus et apparentia sola inter homines versatum esse dixerunt. Sed utrorumque simul impietas in suis tenebris sepulta maneat. Vera autem Christianorum fides, sicut antea dictum est, quemadmodum in sancta Trinitate unicam venerationem confitetur ob divinitatis communionem; sic etiam in imagine Christi unicam eamdemque venerationem confitetur propter Christi personæ unitatem. Ea enim ipsa persona est quæ colitur, etiam in pictura: siquidem imago non erit, sed res quædam subsistens per sese, si ita dividatur, ut honore separetur a suo exemplari. Atque ita demum unica est etiam in imaginis Christi cultu veneratio et glorificatio multum laudandæ ac beatæ Trinitatis. Sed fortasse dicat aliquis: Ergo cum veneratio illa idem sit ac latria, imago Christi pariter cum sancta Trinitate latria colitur. Verum qui hoc dicat, ignorare videtur diversam esse venerationem: siquidem sanctos veneramur, sed latriæ cultum ipsis non exhibemus. Principes quoque veneramur juxta divinam legem: at neque ipsos latria colimus. Deinde discat iste insuper, nequaquam ipsam imaginis substantiam coli: hoc enim a nobis alienum est, ac eorum proprium qui serviunt creaturæ potius quam Creatori. Sed cum in imagine Christi colitur Christus; imaginis materia manet prorsus expers illius honoris, qui Christo in ipsa exhibetur propter similitudinem quæ propria est personæ Christi, et quæ a materia illa discrepat quamvis in ipsa conspicitur. Ac mihi videtur ista res cum speculi exemplo congruere. Nam ibi etiam spectantis vultus quodammodo depingitur, manetque similitudo extra materiam: ac si quis ibi suam imaginem complectatur, materiam ipsam minime complectitur: cum nec istius causa accedat, sed ob sui ipsius similitudinem in illa expressam, et materiæ adhærentem. Nimirum amoto speculo, statim ex ipso effigies excedit, tanquam nihil habens cum speculi materia commune. Sic ergo et in imaginis materia se res habet. Si enim apparere desinat quæ in ipsa conspicitur similitudo, ad quam veneratio pertinet; materia manet absque honore, tanquam nihil cum illa similitudine communicans. Rursum, sit annulus imagine regis insculptus: deinde imprimatur in cera, in pice, in argilla: signum quidem unum et idem erit in qualibet ex his materia consimile; ipsæ autem res illæ inter se discrepant: signum vero nonne idcirco idem prorsus est quamvis in materia diversa, quia cum

A ὑποστάσεως, μήτε κατὰ τὸ ταυτὸν τῆς φύσεως λέγοι τις εἶναι τὴν τῆς εἰκόνος πρὸς τὸ ἀρχέτυπον προσκύνησιν, δηλονότι ἔσχισε τὸ κράτος καὶ ἐμέρισε τὴν δόξαν τοῦ ἀρχετύπου ἀπὸ τῆς εἰκόνος· καὶ οὕτως προσκυνῶν τὴν εἰκόνα Χριστοῦ, εἰδωλολατρεῖ φανερῶς, οὐ μίαν, ἀλλὰ δύο προσκυνήσεις εἰσφέρων. Ὅπερ ἀποδεικνύναι σπεύδουσιν οἱ εἰκονομάχοι· ἀναιροῦντες ἐντεῦθεν, ὡς τὸ εἰκὸς, Χριστὸν σαρκὶ περιγράφεσθαι, ἴσα τοῖς ἐν δοκήσει καὶ φαντασίᾳ ἐπιδεδημηκέναι θεὸν τοῖς ἐν γῇ ἀσεβεῖν ἀπελεγχόμενοι. Ἀλλ' ἐρρίφθω τὸ ἀμφοτέρων ἐπίσης ἀσεβὲς ἐν τῷ οἰκείῳ σκότει· ἡ δὲ ἀληθὴς τῶν Χριστιανῶν πίστις, καθὼς προείρηται, ὡς μίαν ἐπὶ τῆς ἁγίας Τριάδος τῇ κοινωνίᾳ τῆς θεότητος ὁμολογεῖ προσκύνησιν· οὕτω καὶ ἐπὶ τῆς εἰκόνος Χριστοῦ
B μίαν καὶ τὴν αὐτὴν προσκύνησιν ὁμολογεῖ κατὰ τὴν ταυτότητα τῆς ὑποστάσεως τοῦ Χριστοῦ. Ἡ αὐτὴ γάρ ἐστι προσκυνουμένη, κἂν γεγραμμένη εἴη. Ἐπεὶ οὐκ ἂν εἴη εἰκὼν, εἰ μεσολαβεῖται καὶ διασχίζεται τῇ τιμῇ ἀπὸ τοῦ πρωτοτύπου, ἀλλ' ἰδιοϋπόστατόν τι πρᾶγμα τυγχάνει. Καὶ οὕτω λοιπὸν κἀν τῇ τῆς εἰκόνος τοῦ Χριστοῦ προσκυνήσει, μία ἡ προσκύνησις καὶ δοξολογία τῆς πολυυμνήτου καὶ μακαρίας Τριάδος. Δόξειε δ' ἄν τις κἀκεῖνο λέγειν· Οὐκοῦν ἐπειδὴ ἡ προσκύνησις λατρεία, συλλατρεύεσθαι συμβαίνει τὴν εἰκόνα Χριστοῦ τῇ ἁγίᾳ Τριάδι. Ἀλλ' ἔοικεν ὁ τοιοῦτος μὴ εἰδὼς διαφορὰν προσκυνήσεως·
C ἐπεὶ προσκυνοῦμεν ἁγίους, ἀλλ' οὐ λατρεύομεν αὐτοῖς· καὶ ἄρχουσι κατὰ νόμον Θεοῦ, ἀλλ' οὐδ' αὐτοῖς λατρεύομεν. Ἔπειτα μανθανέτω αὖθις, ὅτι οὐ τῆς οὐσίας τῆς εἰκόνος ἐστὶ προσκύνησις· τοῦτο γὰρ ἔκτοπον, καὶ τῶν λατρευόντων τῇ κτίσει παρὰ τὸν Κτίσαντα ἔργον, ἀλλὰ τοῦ ἐν τῇ εἰκόνι Χριστοῦ προσκυνουμένου Χριστοῦ, ἀκοινωνήτου μενούσης παντάπασι τῆς εἰκονικῆς ὕλης πρὸς τὸν προσκυνούμενον ἐν αὐτῇ Χριστὸν τῷ ὁμοιώματι, ὅπερ ἐστὶν ἴδιον τῆς ὑποστάσεως Χριστοῦ, κεχωρισμένον τῆς ὕλης,
disse? *Originali mundo haud pepercit Deus, sed octavum Noe, justitiæ præconem, custodivit, diluvium mundo impiorum inducens* [82], non hoc tenere? civitates Sodomorum ac Gomorrhæ, in cinerem redactas, eversione damnasse Deum, exemplum eorum qui impie essent acturi ponentem [83], denique non clamantem sæpe Apostolum sensisse? *Nolite errare; neque fornicarii, neque idolis servientes, neque adulteri, neque molles, neque masculorum concubitores, neque avari, neque fures, neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt* [84]. His tu auditis qui malum nescire prædicas? scilicet verba hæc sunt et prætextus. Sed quid agam talium magistris: qui cum hortari oporteret ac præmunire, suoque discipulum exemplo stabilire, nomenclaturam gerunt inanem, ab re vacui. Enimvero omnis ævi memoriam, resque gestas sanctorum Patrum lustratore, seu, ut propius dicam, in nostra republica quod dixi spectatore. Qualem beatum Gregorium abbas Dorotheus, qualem terfelicem Thaddæum abbas Arsenius, qualem inclytum Jacobum abbas Lucianus, quales cæteros, ne sim prolixus, cæteri fecere? *Habenti*, inquit *dabitur, et abundabit, ei autem qui non habet et quod videtur habere auferetur* [85] Non minas timetis? non reformidatis quem reformidant universa? Igitur hortor et obtestor, ut affectus beneficio quisque est, provinciæ satisfacito, cunctaque velut in oculis divinis obeuntor. Ne quis deinceps inconfessus degito, ignavus ac dissolutus, neu cibi et potus impotens, unde libidines gignantur, neu inquietus ac rabula, qui collegium conturbet. Auden' omnino cum laico pugnas conserere verborum et improbis colloquiis certare? Ergo haud monachus es, sed facinorosus; non pacis, sed iræ filius. Atque hæc quinam juvenes, nec vel mutire digni. Quanquam *debemus nos firmi imbecillitatem infirmorum sustinere, et non nobis placere. Unusquisque vestrum proximo suo placeat in bonum, ad ædificationem; etenim Christus non sibi placuit, sed, sicut scriptum est: Improperia improperantium tibi ceciderunt super me* [86]. Quamobrem multemur contumeliis nos quoque una cum Christo, ac pro Christo, omniaque ad *instituta* ab eo vitæ exemplar agere satagamus, quo Deo placentes cœleste regnum ineamus, per Christum Jesum Dominum nostrum: cui gloria et imperium, cum Patre ac sancto Spiritu, nunc et semper, in omnemque perpetuitatem. Amen.

SERMO CXXXIV.

Obstupendum non esse, qui a præfecto carpamur, regnumque ineundum cœleste per frequentes miserias.

Fratres Patresque, sacræ Scripturæ hæc sententia est: *Ego diligentes me diligo, et qui quærunt me invenient me* [87], ac signum explicat amoris in hæc verba: *Qui autem diligit, serio castigat* [88]. Sane ad hoc vobis statutus, equidem non potui quin priore catechesi carperem frequentes, *non ut contristaremini* (adeo id Apostoli dictum usurpare), *sed ut sciretis charitatem quam habeo abundantius in vos* [89], qui et afflictis condoleam, et lætis congratuler. Nam ad quem alium respectem, aut de quo doleam læterve, nisi de vobis? qui mei fratres, filii, patres, amici, cognati, amor, voluptas, gaudium, carona sitis, ac si quod aliud nomen edere est studii et amoris. Vosque itidem testor non ab parentibus, non fratribus, non genere, non patria, non alia re quapiam conspicua pendere, quin ab Deo duntaxat, ac post Deum ab tenuitate nostra, ut habendæ sint Deo gratiæ, qui tam sinceris animis devinxerit, amantes ac redamatos, amplectentes ac redamplexos, unum corpus unamque mentem, ut in unam spem quoque accitos atque vocatos. Quod superest, lætemur, et inter nos collætemur, fratres, neu stupeamus, qui interdum carpamur, sed profectam ab amore, atque in commune frugi disciplinam leniter feramus. Scriptum est enim: *Fili mi, noli negligere disciplinam Domini, neque fatigeris dum ab eo argueris; quem enim diligit Dominus castigat, flagellat autem ompem filium quem recipit* [90]. Quin ait et Apostolus: *Si disciplinam sustinetis; tanquam filiis vobis offert se Deus. Quis enim filius quem non corripit pater? sin extra disciplinam estis, cujus participes facti sunt omnes: ergo adulterini estis, et non filii* [91]. Jam opibus ac imperiis, et si quid aliud est quod ambiant mortales, haud citra laborem acquirendis, quin magno cum labore atque studio, Deum, ac divina præmia parare, expeditum quiddam, et facile remur, nec mille plenum ærumnis, ex sudoribus, non id extremæ amentiæ est indicium? Enimvero audimus: *Per multas tribulationes oportet nos intrare in regnum cœlorum* [92], arctaque et afflicta via est, quæ in perennem vitam deducit [93]. Quamobrem, sodes, quod inhærere renuentes hilari ævo quo frueremur, ac lætitiæ quondam in pomario infantes, ruere in calamitosam tristemque vitam maluimus inscite. Neque aliter eo revertamur, quam miseriis exerciti, instar Domini nostri Jesu Christi, *qui proposito sibi gaudio*, ait, *ille, sustinuit crucem confusione contempta* [94]. Quanquam quæ secundum Deum incidant, acerba, spe lenita æternorum bonorum, ne acerba sunt quidem, præsensque tempus sanctis feriæ quædam credebatur, quod hinc sanctus David testatur, inquiens: *Exsultate, justi, in Domino* [95]. jugi declarando triumpho. Hinc beatus Apostolus, eadem loquens: *Gaudete in Domino semper, iterum dico, gaudate* [96]. Quæ etsi luctuosis et lacrymabundis, pugnaque quadam exercitis, ac pro honesto varie multatis dicebantur, tamen secundum Deum tristitia probis occasio ducitur lætitiæ, ut nos etiam fratres, tanquam feriatos

[82] II Petr, II, 15. [83] Ibid. 6. [84] I Cor. VI, 9, 10. [85] Matt. XXV, 29. [86] Rom, XV, 2, 3. [87] Prov. VIII, 17. [88] Prov. XIII, 24. [89] II Cor. II, 5. [90] Hebr. XII, 5, 6. [91] Ibid. 7, 8. [92] Act. XIV, 21. [93] Matth. VII, 14. [94] Hebr. XII, 2. [95] Psal. XXXII, 1. [96] Philipp. IV, 4.

quotidie, divinis patiendis miseriis certare tolerantis- parsit, nequaquam fractos diaboli technis atque præ- liis, quin si quid interdum dormitemus, citraque car- ceres quosdam officii vel animo, vel sermone, vel actione feramur, ocius surgentes, qui in priorem sta- tum recurramus, et ardentibus studiis Deo servia- mus, certi bellatorem ac pugnacem militem a rege honorarium ferre, non fugacem et imbellem. Quod nos inaspectabile bellum ad extremum usque spiri- tum urgentes, æternis præmiis Dei beneficio quæren- dis, cœleste regnum consequemur, per Christum Je- sum Dominum nostrum. Cui gloria et imperium, cum Patre ac sancto Spiritu, nunc et semper, omnem- que perpetuitatem. Amen.

EJUSDEM ORATIONES

EX FABRICIO, GRETSERO, ANGELO MAI EXCERPTÆ.

I.

In diversitate ciborum cavendum, et de temperantia. Die Dominica sanctorum Patrum, cap. 10.

(FABRIC. *Biblioth. græc.* t. XII, p. 303.)

Fratres et Patres mei, quandoquidem os indi- gnum quotidie coram vobis aperirem, o filii desi- deratissimi, meumque simul firmamen, non hoc satis ducerem pro salutis vestræ desiderio sollici- tudineque quibus indesinenter occupor. In hoc enim, licet peccator, intentus versor nocte dieque, hoc spiro, ambio, persequor, hoc est vita mea. Mortem laudarem propter quam proficiscentibus fratribus relaxor, oblata vobiscum colloquendi per litteras occasione.

Quomodo, fratres mei, Pascham sanctificati degistis? Quomodo sanctos resurrectionis Dei ho- minis in pietate pertransistis dies? Non me fugit vos purificatos, illuminatos, exaltatos, sanctificatos perfectosque esse in gratia Domini mei, concor- diam et charitatem inter vos exercentes, et omni- bus vigili ardentique studio incumbentes: hoc enim demonstrant plures vestræ epistolæ, mihi vestræ fidei vim præcelsasque virtutes significan- tes. Deus, qui vos ita justificavit, et in omni bono firmavit, magis ac magis abundantissimo subsidio servet et custodiat vos mei luces, faces, oculos, brachia, et quidquid sanctissimum. Ex præsentibus videte, filii mei, bonum difficile acquisitu, facile- que non caventibus perditum, et quo longiori tempore repertum fuerit, eo citius minima negli- gentia diffugere. Tempus præsens cavete: ver adest, quo corpus ad agitationem sollicitatur; caro nostra terrena ad actus terrestres tendit.

Et nunc terra fimo saturata et lætificata germi- nat, germinat et floret; sic et caro variis cibis po- tibusque saturata ex necessitate spinas cupidita- tum diffundit. Illam continete et apostolico modo castigate, modeste illi providentes et solummodo

A'.

Ὅτι χρὴ προσέχειν ἑαυτοὺς ἐν τοῖς διαφόροις βρώμασι, καὶ περὶ ἐγκρατείας. Τῇ Κυριακῇ τῶν ἁγίων Πατέρων, κεφάλ. ι'.

Ἀδελφοί μου καὶ Πατέρες, ἐὰν καθ' ἑκάστην ἡμέ- ραν τὸ ῥυπαρὸν ἡμῶν στόμα ἀνοίγωμεν πρὸς ὑμᾶς, ὦ τέκνα πεποθημένα καὶ σεβάσμια, οὐκ ἀρκετὸν ἡγούμεθα διὰ τὸν περιόντα ἡμῖν πόθον, καὶ τὴν ἐπὶ τῷ σώζεσθαι ὑμᾶς ἐπικειμένην ἡμῖν φροντίδα· εἰς τοῦτο γὰρ, κἂν ἁμαρτωλοί ἐσμεν, ἀδολεσχοῦμεν νύ- κτα καὶ ἡμέραν, καὶ περὶ τούτου καταγινόμεθα, καὶ τοῦτο ἀναπνέομεν, καὶ τούτου ἐφιέμεθα, καὶ τοῦτο ἐκζητοῦμεν, καὶ τοῦτο ἡ ζωὴ ἡμῶν, Καὶ ὁ ἐπαινετὸς θάνατος, διὸ καὶ τὸ νῦν ἐξερχομένων τῶν ἀδελφῶν ἀνεπνεύσαμεν, εὑρόντες τὸ συλλαλεῖν ὑμῖν ἐν τοῖς γράμμασι.

Πῶς τοίνυν, ἀδελφοί μου ἡγιασμένοι, ἐπασχάσατε; καὶ πῶς διέρχεσθε ἐν εὐσεβείᾳ τὰς τῆς ἁγίας ἀνα- στάσεως θεοφωτίστους ἡμέρας; Οἶδα δὲ ὅτι καθαίρε- σθε καὶ φωτίζεσθε, καὶ ὑφοῦσθε, καὶ ἁγιάζεσθε, καὶ τελειοῦσθε ἐν τῇ χάριτι τοῦ Κυρίου μου, ἔχοντες τὸ εἰς ἀλλήλους ὁμονοητικὸν καὶ ὁμόψυχον, καὶ ἀγαπη- τικὸν, καὶ διεγηγερμένον ἐν πᾶσι καὶ μεγαλοπρόθυ- μον. Τοῦτο γὰρ ἐπιδηλοῦσιν αἱ διαφόρως ἐπεισερχό- μεναι ἐπιστολαὶ ὑμῶν, ἀναγγέλλουσαι ἡμῖν τὸ τῆς πίστεως κραταιὸν ὑμῶν, καὶ τὸ τῆς ἀρετῆς ὑψηλό- τατον. Καὶ γοῦν Κύριος ὁ Θεὸς ἡμῶν ὁ οὕτως ὑμῖν ταῦτα χαρισάμενος, καὶ τοιούτοις ὑμᾶς κατορθώμασι στηριξάμενος πλειόνως καὶ μειζόνως, καὶ διαρκεστά- τως διατηρήσοι καὶ διαφυλάξοι ὅλως ὑμᾶς τοὺς ἐμοὺς φωστῆρας καὶ λαμπτῆρας, ὀφθαλμούς τε καὶ βρα- χίονας, καὶ εἴ τι ἄλλο τῶν ὁσιοτάτων. Βλέπετε τοί- νυν, τέκναμου, καὶ ἀπὸ τοῦ παρόντος, δεῖ τὸ καλὸν καὶ δύσκτητόν ἐστι, καὶ τοῖς μὴ προσέχουσιν εὐάλωτον, καὶ τὸ πολυχρονίως εὑρεθὲν, ῥᾳδίως διὰ μικρᾶς ἀμελείας διαφεύγοιεν. Προσέχετε ἑαυτοῖς ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ, ὅτι ἐαρινός ἐστι, καὶ τοῦ σώματος κινητικός. Καὶ ἡ σὰρξ ἡμῶν γῇ οὖσα ζητεῖ γηΐνως ἐνεργεῖν.

Ἤ τοι νῦν γῇ κοπριζομένη καὶ πιαινομένη ἀνα- φύει καὶ βλαστάνει καὶ ἀνθοφορεῖ. Καὶ ἡ σὰρξ τὸ αὐτὸ τοῖς διαφόροις βρώμασι καὶ πόμασι πιαινομένη, ἀνάγκη τὰς τῶν παθῶν ἀκάνθας ἀναμερίζειν. Περι- λάβετε ταύτην, καὶ ὑπωπιάσατε ἀποστολικῶς, καὶ

πρόνοιαν αὐτῆς εἰς ἐπιθυμίαν μὴ ποιεῖσθε, ἀλλὰ τὰ δέοντα καὶ αὐτάρκη χορηγοῦντες μένετε ζῇν ἐν τῷ πνεύματι. Λοιπὸν μέτρον καὶ ἐπὶ τοῦ ἄρτου, καὶ ἐπὶ τοῦ οἴνου. Καὶ ὁ μὲν οἶνος, εἴ καὶ δίδοται εἰς πόσιν, ἀλλὰ κατὰ μικρὰν παρηγορίαν καὶ ἐν καιροῖς ἑορταστικοῖς, καὶ ἐν τοῖς κοπωδεστέροις ἔργοις, ἢ ἐν τοῖς νοσηλενομένοις, ἢ ἐν τοῖς ἀθυμοῦσιν, καὶ ἐν τοῖς πρὸς ὁδὸν ἀπαίρουσι. Ἐπεὶ ἐπὶ τῶν ἄλλων ὀφείλει λαμβάνεσθαι μέχρι μιᾶς κράσεως, ἢ καὶ δύο τὸ πολύ. Τὸ γὰρ γεροντικόν τι ἀσφαλίζεται, οἶδατε. Οὐ τοίνυν ἀπείργειν ὑμᾶς βουλόμενος τῶν βρωμάτων, τέκνα μου, ταῦτα λέγω· Καταργείσθω γὰρ τὰ βρώματα, κατὰ τὸν Ἀπόστολον· ἀλλὰ τὴν ὄντως τροφὴν ὑμᾶς ἐφιέμενος ἔχειν, διὰ τοῦτο ἐν ὑπομνήσει τίθημι τοὺς λόγους. Θέλω ὑμᾶς ἐσθίειν καὶ πίνειν, ἀλλ' ἁρμοδίως, καὶ θεοπρεπῶς καὶ σωστικῶς, πρός τε δύναμιν τοῦ σώματος, διὰ τὰ πρὸς χρείαν κατεπείγοντα ἔργα. Ἢ οὐκ οἴδατε, ὅτι τῆς ἐγκρατείας ταύτης καὶ ἀποστερήσεως τῶν τοῦ κόσμου ἡδέων κρεωφαγιῶν, καὶ οἰνοποσιῶν, καὶ λουτρισμάτων, καὶ θερμασμάτων, καὶ καρυκευμάτων, καὶ ζωμευμάτων ἑτοιμάζεται ὑμῖν ὁ θεῖος ἐκεῖνος παράδεισός, ὁ ἔχων τὸ ξύλον τῆς ζωῆς, καὶ τὸ ὕδωρ τῆς ἀθανασίας, καὶ τὸν γλυκασμὸν τοῦ πνεύματος, καὶ τὸ ἀμήχανον, καὶ ἀπερινόητον κάλλος τῆς εὐχροίας τῶν ἀῤῥήτως ὁρωμένων, καὶ ἀθεάτως θεωρουμένων αἰωνίων ἀγαθῶν ὑμῖν τὸ ἀπολαύειν καὶ τρυφᾶν ἐκεῖσε ταμιεύεται; Ἐκεῖ φθάζοντες, ἐκεῖ μικρὸν ὅσον διὰ θανάτου, φάγεσθε καὶ πίεσθε ἀκορέστως καὶ αἰωνίως.

Καὶ γὰρ ἐνταῦθα, τέκνα μου, ἐὰν ἐπ' αὐτῶν τῶν βασιλευόντων λάβωμεν, οὐ τρυφὴ, ἀλλὰ τροφὴ σκωλήκων ἡ ἀπόλαυσις αὐτῶν, οὐδὲ εὐζωία, ἀλλὰ δοσζωΐα ἡ ἄνεσις αὐτῶν, οὐδὲ χαρὰ, ἀλλὰ λύπη ἡ χαροποίησις αὐτῶν, οὐδὲ κατάσχεσις, ἀλλὰ ἀπόσχεσις ἡ κληρονομία αὐτῶν, καὶ ὄντως ματαιότης ματαιοτήτων ἡ εὐδαιμονία αὐτῶν. Οὕτως ὁ μείζων αὐτῶν βασιλεύσας, καὶ τῶν ἡδέων τοῦ κόσμου ἀπολαύσεων προείρηκε Σολομών. Ἔχετε δὲ ὑμεῖς τὴν φίλην ὑμῶν ἐγκράτειαν, τὴν σύζυγον ὑπακοὴν, τὰς θυγατέρας τοῦ Κυρίου, τὴν ἁγνείαν, τὴν παρθενίαν, τὴν ἐλεημοσύνην, τὰς ἱερὰς νεάνιδας, τὴν κατανυξιν, τὴν ταπείνωσιν. Ἀναβλέψατε εἰς τὸν οὐρανὸν ἄνω, καὶ ἴδετε ποῦ ἡ κατοικία ἡμῶν, καὶ ποῦ ἡ κεφαλὴ ἡμῶν ὁ Χριστὸς, καὶ ὁ κοινὸς Πατὴρ πάντων, καὶ ἡ πόλις ἡμῶν ἡ ἄνω Ἱερουσαλὴμ, ἡ μήτηρ Παύλου καὶ Πέτρου, καὶ τῶν κατ' αὐτοὺς ἁγίων. Ὄντως ἐὰν ἐπιμένητε, ἐνικήσατε, ἐὰν διαρκέσητε, ἐστεφανώθητε, ἐὰν οὕτω νελειωθῆτε, ἀνοιγήσονται ὑμῖν αἱ πύλαι τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τότε μου μνημονεύσετε τοῦ τάλανος καὶ ἀσώτου, ὅλως ὁρῶντες, μὴ εἰς κρίσιν ἀποπεμπόμενοι, ἀλλὰ δεήθητε καὶ ὑπὲρ ἐμοῦ, ὦ τέκνα μου, ἵνα με ὁ Θεὸς σὺν ὑμῖν διασώζων διασώσῃ, καὶ δῷ πνεῦμα συνέσεως, καὶ καταρτισμὸν ψυχῆς, εἰς τὸ ἀνὰ μέσον ὑμῶν θεοπρεπῶς ἀναστρέφεσθαι. Ταῦτα μὲν ἐν τῷ τέως ἐλαλήσαμεν, ἔπειτα καί ὁ οἰκόνομος, ᾧ προέγραψα, ἐξελεύσεται. Ὑμεῖς δὲ εὑρίσκοντές τινας γραμματοφό-

A necessarium et sufficiens impendentes, vitamque in spiritu portate. Cæterum in cibo et vino temperate. Vinum quidem, si bibendum præbeatur, solummodo ad parvum levamen, in festivis diebus, aut iis qui graviori opere, morbo, debilitateque laborant, aut tandem iter proficiscentibus; alias vero solummodo accipiendum usque ad unum mistionis haustum, aut ad duos, quod plurimum est. Senes tamen haud nescite illo corroborari. Non quia velim vos a cibis absterrere, talia loquor, o filii; amoveantur cibi, ut dicit Apostolus, sed quia vos necessariam solummodo alimoniam habere concedo, memoriæ vestræ admonitiones commendo. Volo vos edere et bibere, sed modeste, ut Deo placet, salubriterque, ut vim corpus in necessariis laboribus habeat. Nonne scitis hac temperantia abstinentiaque lætarum quæ fiunt in mundo
B carnis comessationum, vini potionum balneorum, caldariorum, exquisitorum ciborum, condimentorumque parari volis divinum paradisum, in quo signum vitæ, aqua immortalitatis. dulcedo spiritus, et pulcherrimus neque arte neque cogitatione concipiendus color æternorum bonorum quæ, postquam visa contemplataque sint, neque narrari neque pingi possunt; vobisque deliciosam omnium harum divitiarum fruitionem reservari. Sustinentes hic paululum, quantum usque ad mortem. insatiabiliter æternumque manducabitis et bibetis.

Etenim hic, filii mei, si ab ipsis regibus audiamus, eorum non deliciæ sed lumbricorum
C nutritio voluptas est, non felix sed infelix vita mollities, non lætitia sed luctus gaudium, non occupatio sed expulsio hæreditas, et vere vanitas vanitatum felicitas. Sic iste qui maxima eum gloria regnavit, Salomon, de dulcissimis mundi voluptatibus locutus est. Vos autem retinete vertram temperantiam et fidelem obedientiam, Domini filias, sacrasque virgines puritatem, castitatem eleemosynamque, compunctationem et humilitatem. Sursum spectate ad cœlum, et videte ubi nostra habitatio, ubi nostrum caput et Pater omnium Christus, ubi nostra civitas Jerusalem cœlestis, mater Petri et Pauli et proximorum illis sanctorum [1]. Si restiteritis, vincetis; si perseveraveritis, coronabimini; si perfecti fueritis, aperientur
D vobis regni cœlorum portæ. Et tum mei, miseri salutequeindigni, recordamini, accurate providentes ne in judicium sim mittendus. Percamini pro me. o filii, ut Deus vobiscum salvet me, spiritum intelligentiæ animæque instaurationem concedat, et in medium vestri ex illius voluntate redeam. Ista eadem antea dixi; (quæ ferens ad vos), postea œconomus, cui scripta dedi, abibit. Vos autem, si quosdam inveniatis ad litteras mittendas, non abstinete quin mihi nuntietis quomodo se res vestræ habeant. Contendite, filii mei, ad manualia opera,

[1] Galat. iv, 26.

et ad curam pecorum, agrorum et vinearum, omnia ad votum et ordinem facientes [2]. Præi fortiter, filii Acacie, et vos omnes fideles fratres mei, operantem ex Deo sequimini, ut bene sit vobis, et lucis filii fiatis. Nuper cum Patre Ammonio Patrem Bartholomæum, et visitatorem filium meum necessitatum præsentium causa misi; et jamjam vela daturum est navigium, ea quæ sunt vobis necessaria portans. Scitote a me, dignitatis vices gerente, receptos fuisse fratres, inter quos erat Pater Abraimius, in civitate illustris factus, vir pius et Deum quærens. Precamini ut in Domino perficiantur. Salutant vos dominus pater meus, Pater vester œconomus, œconomi adjutor, protopresbyter Athanasius, studiorum præfectus Barsanuphius et reliqui fratres nostri. Gratia Domini nostri Jesu Christi cum omnibus vobis sit. Amen.

ρους, μὴ διαλίπητε ἄν τι πέμποντες ἡμᾶς τὰ καθ' ὑμᾶς ὅπως ἔχει, καὶ ἀγωνίσασθε, τέκνα μου, εἰς τὰ ἔργα τῶν χειρῶν ὑμῶν, εἰς ἐπιμέλειαν τῶν κτηνῶν, τῶν χωρῶν, τῶν ἀμπελώνων, πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦντες. Ἡγοῦ καλῶς, τέκνον Ἀκάκιε, ἅπαντες ὑμεῖς, οἱ πιστοὶ ἀδελφοί μου, ἐνθέως ἕπεσθε τῷ προάγοντι, ἵνα εὖ ὑμῖν γένηται πᾶσιν, καὶ ἔσεσθε τέκνα φωτός. Ἄρτι δὲ σὺν τῷ ἀββᾷ Ἀμμωνίῳ ἀπεστείλαμεν καὶ τὸν ἀββᾶν Βαρθολομαῖον, καὶ ἐπιτηρητὴν ὡς τέκνον ἡμῶν ἐπὶ ταῖς παρισταμέναις χρείαις. Συμφθάζει δὲ μικρόν τί ποτ' ἐξελθεῖν καὶ τὸ σκάφος μετὰ τῶν χρειῶν ὑμῶν. Ἵνα δὲ γινώσκητε ὅτι καὶ ἀδελφοὺς ὑπεδεξάμεθα, οὐ μὴν ἀλλὰ καὶ τὸ σχῆμα ἔχοντες, ἐξ ὧν εἷς ἐστι καὶ ὁ ἀββᾶς Ἀβραάμιος, τῆς πόλεως γεγονὼς ἐπιφανὴς ἄνθρωπος, καὶ ἀνὴρ εὐσεβὴς καὶ ζητῶν τὸν Θεόν. Εὔξασθε, ἵνα ἐν Κυρίῳ καταρτίζωνται. Προσαγορεύει ὑμᾶς ὁ κύριος καὶ πατὴρ μου, καὶ πατὴρ ὑμῶν ὁ οἰκονόμος, ὁ παροικονόμος, ὁ πρωτοπρεσβύτερος Ἀθανάσιος, ὁ ἐπιστημονάρχης Βαρσανούφιος, ἡ λοιπὴ πᾶσα ἀδελφότης. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

II.

Oratio sancti Patris nostri Theodori (7), *monasterii Studitarum antistitis, in adorationem pretiosæ et vivificæ Crucis media Quadragesima.*

Β'.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου, ἡγουμένου τῶν Στουδίου, λόγος εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ἐν τῇ Μεσονηστίμῳ.

(GRETSER. t. II, p. 231.)

Exsultationis et lætitiæ dies ista est, quia lætitiæ signum prostat. Laudis et confessionis chorea instituitur, quia sanctissimum lignum demonstratur. O pretiosissimum donum! Euge, qualis in aspectu splendor! Non præ se fert speciem ex bono et malo commistam, ut lignum illiud in Edem, sed totum pulchrum et speciosum est et visu et gustatu. Est enim lignum, vitam non mortem procreans, illuminans non obscurans, introducens in Edem non educens; lignum illud, in quod Christus, velut rex

Ἀγαλλιάσεως; καὶ εὐφροσύνης ἡμέρα, ὅτι τὸ σημεῖον τῆς χαρᾶς πάρεστιν· αἰνέσεως καὶ ἐξομολογήσεως χορεία, ὅτι τὸ πανάγιον ξύλον ἐμφανίζεται. Βαβαὶ τοῦ ὑπερτίμου δώρου! Εὖγε οἵα τῆς ὄψεως ὡραιότης! οὐ σύμμικτόν τινα καλοῦ τε καὶ κακοῦ ἔμφασιν ἔχονσα, ὡς τὸ πρὶν ἐν Ἐδὲμ ξύλον, ἀλλ' ὅλον ὡραῖόν τε καὶ καλὸν καὶ ὁρώμενον, καὶ μεταλαμβανόμενον. Ξύλον γάρ ἐστι ζωοποιοῦν, οὐ θανατοῦν· φωτίζον, οὐκ ἀμαυροῦν· εἰσοικίζον, οὐκ ἀποικίζον τῆς Ἐδέμ· ξύλον ἐκεῖνο, ἐν ᾧ Χριστὸς ἐπιβάς,

[2] I Cor. XIV, 40.

(7) Magni nominis apud Græcos est Theodorus Studites, abbas seu antistes monasterii, quod *Studium* appellabant. Celebrant Græci festum ejus 11 die Novembris; cum hoc Eucomio in Menologio, τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου, *Sancti Patris nostri Theodori Studitæ*. Vixit sub Iconomachis imperatoribus Copronymo, ejusque filio Leone, et sub Orthodoxis Constantino et Irene, et Nicephoro. Fratrem habuit Josephum archiepiscopum Thessalonicensem, cujus orationem de Exaltatione supra reperies. Præter hanc Homiliam huc usque tenebris sepultam, quod quidem ego sciam, exstat tom. XI Surii Encomium in sanctum Platonem, suum in gubernatione monasterii Studiani antecessorem, et liber dogmaticus de honorandis imaginibus, vel potius fragmentum ex quo dam de imaginibus catechesi, ut et aliud ex Epistola quadam de hæresibus, tom. III *Biblioth. sanctorum Patrum*. Exstant ejusdem in Græcorum Ritualibus libris varii hymni: nam et inter poetas ecclesiasticos et hymnographos ponitur iste Theodorus a Græcis. Prodierunt ante aliquot annos catecheses ejusdem Theodori, interprete ex Græco Joanne Livineio. Multa cum suis tulit tum propter imaginum venerationem, cujus invictus propugnator erat, tum propter dissensionem cum Tarasio patriarcha, ejusque successore Nicephoro, de qua *ipse* nonnulla in Vita sancti Platonis, et præterea Cedrenus et Zonaras. Diversus ab hoc Theodoro est ille, de quo Cedrenus pag. 376: Οὗτος ὁ ὅσιος Ἰωάννης καὶ μελῳδὸς ὠνομάσθη, μετὰ Κοσμᾶ ἐπισκόπου τοῦ Μαϊουμᾶ, καὶ Θεοφάνους ἀδελφοῦ Θεοδώρου τῶν Γραπτῶν. Ubi interpres: *Hic sanctus Joannes una cum Cosma Majumensi episcopo, et Theophane fratre Theodori, Graptorum episcopi.* Male. Vertendum enim: *Cum Theophane fratre Theodori, qui duo cognominati sunt* γραπτοί, a notis seu iambis faciei inscriptis, jussu Theophili imperatoris, ut narrat Cedren. fol. 427. Ita eosdem infra fol. 442 vocat ipse Cedren. Ἠριθμοῦντα τοῖς ἑστιάτορσι καὶ Θεοφάνης, καὶ ὁ τούτου ὁμαίμων Θεόδωρος, οἱ Γραπτοί. Ubi recte interpres. Fuere ex convivarum numero Therphanes quoque et ejus frater Theodorus, quos a notis faciei impressis Graptos vocant. Ex quo loco corrigere poterat Xylander suum illum priorem, errorem. Γραπτοὺς autem vocatos esse a scriptura illa in facie, liquet itidem ex responso Theophanis ad Theodoram, quæ cum Theophanem attentius intueretur, ὑπὲρ ταύτης τῆς γραφῆς ἐν τῷ τοῦ Θεοῦ ἀδεκάστῳ βήματι δικασόμεθα σὺν τῷ ἀνδρί σου καὶ βασιλεῖ. In Bibliotheca Messanensi in archimandritatu S. Salvatoris exstat homilia Josephi archiepiscopi Thessalonicensis (qui fuit frater Theodori Studitæ) in sanctam crucem in media Quadragesima. POSSEVINUS, in *Append. ad Apparatum sacrum.*)

ὥσπερ βασιλεὺς ἐπὶ τεθρίππου, τὸν τὸ κρατος ἔχοντα τοῦ θανάτου τὸν διάβολον ὤλεσεν, ἀπαλλάξας τῆς τοῦ τυράννου δουλείας τὸ ἀνθρώπινον γένος · ξύλον ἐκεῖνο, ἐν ᾧ ὁ Δεσπότης καθάπερ ἄριστεὺς πληγεὶς ἐν πολέμῳ, χεῖράς τε καὶ πόδας σὺν πλευρᾷ τῇ θεοσώμῳ, ἰάσατο μωλώπων ἁμαρτίας, τὴν ὑπὸ τοῦ πονηροῦ δράκοντος τραυματισθεῖσαν ἡμῶν φύσιν · καὶ εἰ δεῖ προσθεῖναι τὸν ὕμνον, ξύλον ἐκεῖνο, ἐν ᾧ τὸ Δεσποτικὸν ῥυὲν αἷμα ἐνίησι δύναμιν ἀμαχωτάτην, ὑφ' ἧς φλέγονται δαίμονες, καὶ κόσμος φωτίζεται.

Τίς λοιπὸν οὐ προσδραμεῖται προσβλέψαι τὸ πολύευκτον θέαμα ; τίς οὐκ ἐπιθυμήσει περιπτύξασθαι τὸ θεόπλοκον ἔρνος ; Ἥκετε, ἀθροίσθητε, πᾶσαι φυλαὶ καὶ γλῶσσαι, πᾶν γένος καὶ πᾶσα ἡλικία, πᾶν ἀξίωμα καὶ πᾶν πολίτευμα, ὅσον ἱερατικόν τε καὶ βασίλειον, ἄρχον τε καὶ ἀρχόμενον. Ἐπείπερ θεοτελὴς ἡ πανήγυρις, δοκοῦσί μοι καὶ ἄγγελοι περιχαρῶς ὑπαντῆσαι τῇ πανηγύρει, ἀποστολοί τε ὁμοθυμαδὸν συγχορεύειν, προφητῶν ὅμιλος, μαρτύρων στίφος, δικαίων ἁπάντων ὁμήγυρις. Ὦ γὰρ τροπαίῳ χριστομιμήτως κατίσχυσαν τῆς ἀντικειμένης δυνάμεως, κλέος οὐράνιον καταστεψάμενοι, πῶς μὴ οὐχὶ καὶ ἐπὶ τῇ τούτου ἐμφανείᾳ πρόσεστι συνευφραίνεσθαι ; Δοκοῦσί μοι καὶ οἱστισι μὴ αἴσθησις, συνήδεσθαι τάχα · γῆ, φημί, ἡ τὸν τοιοῦτον καρπὸν οἷα μήτηρ ἐκ λαγόνων δεδωκυῖα · πάντα τὰ ξύλα τοῦ δρυμοῦ ὡς ὁμωνυμίᾳ τιμώμενα · ὁ ἀειλαμπὴς ἥλιος, σελήνη ἡ πολύφωτος, ἀστέρες οἱ μαρμαίροντες, αὐτὸς ὁ οὐρανὸς ὁ μέγας οὗτος καὶ πολύστροφος · ἐπείπερ πᾶσα ἡ διὰ τοῦ σταυρικοῦ πάθους πρὸς τὸ κρεῖττον ἀμειψις.

A in quadrigam, ascendens, diabolum, qui mortis potentiam habebat, perdidit, humanumque genus ex tyranni servitute vindicavit. Lignum illud, in quo Dominus, tanquam præstantissimus pugnator, in prælio manibus, pedibus, divinoque latere vulneratus, male factorum vibices curavit, naturam videlicet nostram a pernicioso dracone sauciatam ; et ut aliquid ex hymno desumam, lignum illud, in quo Dominicus sanguis stillans insuperabilem virtutem instillat, qua dæmones uruntur, et mundus illustratur.

Quis de cætero non accurret, ut hoc exoptatissimum spectaculum intueatur ? Quis non desiderabit cœleste hoc germen amplecti ? Venite, congregamini, omnes tribus et linguæ, omnis gens, et omnis ætas, omnis dignitas, omnis status, seu sacerdotalis, seu regalis, seu imperans, seu subditus. Cum a Deo concio hæc et panegyris coacta sit, videor mihi videre angelos lætis vultibus ad hunc conventum approperare, apostolosque concordibus animis collætari, gaudioque exsilire ; similiter et prophetarum cœtum, et martyrum turbam, omniumque justorum multitudinem. Quomodo enim fieri potest ut ostensione ejus trophæi, gaudio non compleantur, quo, ad imitationem Christi, adversarias potestates devicerunt, cœlesti gloria redimiti ? Videntur mihi et illa quæ sensu carent, voluptatis quoque sensum aliquem percipere, terra, inquam, quæ fructum hunc velut mater ex utero protulit, omnia ligna silvarum ob cognationem honorata, sol perpetim splendens luna luciflua, stellæ rutilantes, ipsum cœlum, quia ex passione crucis omnis in melius commutatio processit.

B

C

Ἀνακρουσάτω τοιγαροῦν Δαβὶδ τὴν πνευματικὴν κιθάραν, ᾄδων ἐκεῖνα εὐκαιρότατα. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. Συναδέτω καὶ Σολομὼν ὁ σοφίᾳ ἀνυπέρβλητος · Εὐλογεῖτε ξύλον δι' οὗ γίνεται σωτηρία. Σήμερον τοιγαροῦν ἡ Ἐκκλησία ὥπται παράδεισος, τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ προφέρουσα, ἐφ' ᾧ οὐκ ἀπατηλὸς δαίμων ἀπατῶν ἔστιν τὴν Εὔαν, ἀλλ' ἄγγελος Κυρίου παντοκράτορος περιέπων τὸν ἐπερχόμενον. Σήμερον προσκυνεῖται σταυρὸς ὁ πανάγιος, καὶ ἡ Χριστοῦ ἀνάστασις εὐαγγελίζεται. Σήμερον προσκυνεῖται ξύλον τὸ ζωοπάροχον, καὶ ὁ κόσμος ὅλος ἀναζωπυρεῖται πρὸς αἴνεσιν. Σήμερον προσκυνεῖται ὁ τριμερὴς σταυρὸς, καὶ τὰ τετραπέρατα ἑορτάζει χαρμόσυνα. Ὡς ὡραῖοι, φησὶν, οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά ! Ἀλλὰ γὰρ μακάριοι καὶ οἱ ὀφθαλμοὶ, εἴποιμι ἂν, τῶν βλεπόντων τὸ τῆς εἰρήνης τοῦ παντὸς τρόπαιον, καὶ τὰ χείλη τῶν προσπτυσσομένων τὸ ὑπεράγαθον τοῦτο σύνθεμα. Ἄφθονος ἡ χάρις ἅπασι πρόκειται ἀένναος ἡ κρήνη ἁγιασμὸν πηγάζουσα, οὐδένα οὐδαμῶς ἀποσειομένη ἐκ δαψιλοῦς ἀγαθότητος, ἀλλὰ καὶ τὸν

Quocirca David spiritualem suam citharam pulset, admodum opportune illa concinens : *Exaltate Dominum Deum nostrum, et adorate scabellum pedum ejus, quoniam sanctus est* [1], Accinat et sapientissimus Salomon : *Benedicite lignum, per quod fit salus* [2]. Eapropter hodie Ecclesiæ paradisus esse videtur, lignum vitæ in medio proferens, in quo deceptor dæmon non residet, Evam in fraudem impellens, sed angelus Domini omnipotentis qui prodeuntem crucem defensam præstat. Hodie crux sanctissima adoratur, et resurrectio Christi annuntiatur. Hodie adoratur lignum quod vitam suppeditat, totusque mundus ad laudes exsuscitatur. Hodie triparita crux adoratur, et quatuor fines orbis diem festum lætitiæ plenissimum agunt. *Quam speciosi*, inquit, *pedes evangelizantium pacem evangelizantium bona* [3] ! Atque et beatos prædicaverim illos oculos qui pacis hujus universitatis trophæum conspicantur, beata illa atiam labia, quæ præcellentissimum hoc signum exosculantur. Copiosa gratia omnibus proposita est. Perennis fons, ex quo sanctificatio emanat ; nec quemquam ab hac tam larga ubertate repellit, sed

D

[1] Psal. XCVIII, 5. [2] Sap. XIV, 7. [3] Rom, X, 15 ; Isa. LII, 7 ; Nah. I, 15.

et purum jam puriorem reddit, eumque, qui flagitiorum sordibus contaminatus est, expiat, superbum et elatum contrahit, segnem tradumque corde excitat; dissolutum, disciplinæ jugo astringit, durumque et inflexibilem mollit; siquidem aliquis, votis vitæ in melius commutandæ conceptis, accedat, nec audacter, nec arroganter divinis hisce rebus propinquet, cum crux pudentes et verecundos amet; eos autem, quibus contrarii mores, quam maxime aversetur.

Hoc vivificum lignum oculis usurpatum medicinam fecit ei, qui ex intuitu blandientis ligni in paradiso quasi incantatus fuit, aspectui. Quando lignum hoc labiis et oculis applicamus, a mortiferi ligni gustatu et contactu confestim liberamur. O magnitudinem doni, quod nunc publice prostat O ter felicem beatitudinem! Prius per lignum interempti, nunc per lignum vitam reperimus; prius a ligno decepti, veteratorem serpentem in ligno repulimus. Novæ et pergrinæ profecto commutationes. Pro morte datur vita, pro corruptione incorruptio, pro dedecore gloria. Non abs re ergo exclamavit sanctus Apostolus: *Mihi autem absit gloriari, nisi in cruce Domini nostri Jesu Christi, per quem mihi mundus crucifixus est, et ego mundo* [b]? Nam summa illa sapientia, quæ, ex cruce quasi efflоruit, mundanæ sapientiæ jactantiam et supercilium stultitiæ redarguit. Omnigena bonorum species, quæ ex cruce exstitit, malitiæ et nequitiæ germina amputavit. Hujus ligni figuræ duntaxat et præsignificationes, jam inde ab exordio mundi rerum maxime mirabilium notæ fuerunt et indices.

Vide enim quisquis sciendi desiderio teneris. Nonne Noe exiguo ligno cum filiis et uxoribus, et cum omnis generis animalibus diluvii exitium divino decreto effugit? Nonne Jacob positis in canalibus lignis, detractis prius corticibus, eo tempore, quo ascendebant oves, totos greges magna omnium admiratione suos fecit? Quid vero virga Joseph, cujus fastigium patriarcha Jacob adoravit, allud est quam symbolum ejus quod nunc adoratur vivifici, ligni? Quid vero rursus virga Moysis? Nonne figura crucis? nunc quidem aquam in sanguinem transmutans, nunc fictitios serpentes magorum devorans, modo ictu et impulsu suo mare dividens, jam cursu converso maris undas reducens, hostesque submergens; eos vero, qui legitimus populus erat, conservans. Talis fuit etiam virga Aaronica, crucis figura, eodem die frondescens, legitimumque sacerdotem demonstrans. Quanquam longum nimis faciam, si omnes crucis præsignificationes in unum conducere nitar. Hanc enim prænotavit Abraham, cum filium colligatum lignorum strui imposuit. Hanc designavit Jacob, cum manibus permutatis filiis Joseph benedictionem impertiit. Agedum, ipsum quoque Moysen figuram crucis habeto, qui extensione ma-

ἠγνισμένον ἐπικαθαίρουσα, τῶν τε κεκηλιδωμένων μολυσμῶν ἀπαλλάττουσα, τὸν ὑπεραύχενα συστέλλουσα, καὶ τὸν νωθροκάρδιον διεγείρουσα, τὸν παρειμένον σφίγγουσα, καὶ τὸν ἀτεράμονα μαλάττουσα, εἴπερ ἕκαστος ἐγγύαις ταῖς πρὸς τὸ κρεῖττον τὴν προσέλευσιν ποιήσοιτο, ἀλλὰ μὴ τολμηρῶς καὶ αὐθαδῶς τοῖς θείοις προσπελάσειεν, ἐπείπερ τοὺς αἰδήμονας οἶδε προσίεσθαι, ἀποστρέφεσθαι δ' ὅτι μάλιστα τοὺς ἄλλως ἔχοντας.

Τοῦτο τὸ ζωοποιὸν ξύλον ὁριώμενον τὴν ἐκ τῆς τοῦ θελκτικοῦ ξύλου προσβλέψεως γοητευθεῖσαν ἡμῶν ἐν παραδείσῳ ἴασατο δρασιν· τοῦτο τὸ ζωοποιὸν ξύλον προσαπτόμενοι χείλεσί τε καὶ ὄμμασι τῆς γευστικῆς τοῦ θανατηφόρου ξύλου ἀπαλλαττόμεθα προσψαύσεως. Ὦ τῆς προκειμένης μεγαλοδωρεᾶς! ὦ τῆς τρισολβίου μακαριότητος! ἐπειδὴ τὸ πρὶν διὰ ξύλου τεθανατώμεθα, ἐν ξύλῳ τὴν ἀθανασίαν εὑράμεθα· ὑπὸ ξύλου κατασοφισθέντες τὸ πρότερον, ἐν ξύλῳ τὸν σοφιστὴν ὄφιν ἀπεκρουσάμεθα. Τὰ ἀνταλλάγματα ξένα! Ἀντὶ θανάτου ζωή, ἀντὶ φθορᾶς ἀφθαρσία, ἀντ' ὀνείδους δόξα! Εὐκαίρως οὖν ὁ ἱερὸς Ἀπόστολος βεβόηκεν· Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ σταυρῷ ἡ ὑπέρσοφος σοφία ἐξανθήσασα, τὰ αὐχήματα τοῦ κόσμου σοφίας ἐμώρανεν· ἐν σταυρῷ παντὸς εἴδησις ἀγαθοῦ καρποφορήσασα, τὰ τῆς κακίας βλαστήματα ἀπεξέτεμε. Τούτου τοῦ ξύλου καὶ τύποι μόνον θαυμασίων εἰσὶν ἐξ αἰῶνος ὅτι μάλιστα γνωρίσματα.

Ὅρα γάρ, ὁ φιλομαθής! Οὐχὶ ξύλῳ μικρῷ Νῶε σὺν υἱέσι καὶ γυναιξὶ, πρὸς δὲ παντὶ γένει ζώων κατακλυσμοῦ ὄλεθρον θεοκρίτως ἐκπέφευγεν; οὐχὶ ξύλοις παρέθηκεν Ἰακὼβ ἐκλελεπισμένοις ἐν τοῖς λήνοις, κατὰ τὴν ἐπίτεξιν τῶν θρεμμάτων τεθαυμασμένως εἰς ἑαυτὸν ἀπηγάγετο; τί δὲ, ἡ ῥάβδος Ἰωσὴφ, ᾗς προσεκύνησεν ἐπὶ τὸ ἄκρον Ἰακὼβ ὁ πατριάρχης, πάντως τι ἄλλο ἢ σύμβολον τοῦ νῦν προσκυνουμένου παρ' ἡμῖν ζωοποιοῦ ξύλου; τί δὲ πάλιν ἡ τοῦ Μωσέως ῥάβδος; οὐ τύπος σταυροῦ; πῇ μὲν τὸ ὕδωρ εἰς αἷμα μεταβάλλουσα, πῇ δὲ τοὺς ψευδωνύμους ὄφεις τῶν ἐπαοιδῶν κατεσθίουσα, καὶ ἄρτι μὲν κρούσματι τὴν θάλασσαν τέμνουσα, ἄρτι δὲ ἐπιστρεπτικῶς τὴν ὑγρὰν συνάπτουσα, καὶ τοὺς μὲν δυσμενεῖς καταποντίζουσα, τοὺς δὲ γνησιεύοντας διασώζουσα. Τοιαύτη καὶ ἡ Ἀαρωνῆτιν ῥάβδος, ἀντίτυπος σταυροῦ, αὐθήμερον ἐξανθήσασα, καὶ τὸν γνήσιον τῆς ἱερωσύνης ὑποδείξασα. Καίγε μακροεπεῖν δόξαιμι. συνάγων τοῦ σταυρικοῦ τύπου τὰς ἐμφάσεις. Τοῦτο μὲν, ἡνίκα Ἀβραὰμ συμποδήσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπάνω τῶν ξύλων· τοῦτο δὲ, ὁπόταν Ἰακὼβ, εὐλογῶν τοὺς υἱοὺς Ἰωσὴφ, ἐναλλὰξ τὰς χεῖρας μετεσχημάτισατο. Δεῦρό μοι λάβε καὶ αὐτὸν δὴ Μωϋσέα τῇ τῶν χειρῶν ἐκτάσει τὸν Ἀμαλὴκ τροπούμενον. Φέρε δὴ, φέρε καὶ

(b) *Galat. vi, 14.*

τὸν Ἐλισσαιὲ καθιέντα ἐφ' ὕδωρ τὸ ξύλον, καὶ τὸν σίδηρον ἐκ βάθους ἀνέλκοντα. Τούτου δὴ τοῦ τύπου οὐ μόνον ἔν τῇ Παλαιᾷ Διαθήκῃ, ἀλλὰ καὶ ἐν τῇ χάριτι πολλὰ τὰ τεράστια· ἐν νίκαις δὴ βαρβάρων, ἐν δρασμοῖς δαιμόνων, ἐν ἀπαλλαγαῖς νόσων, ἐν ἅπασιν ἄλλοις ὧν οὐκ ἔστι τῆς ἀναμνήσεως ἀριθμός.

A nuum Amalecitas in fugam vertit. Agedum et Elisæum accipe demittentem in aquam lignum, ferrumque ex profundo attrahentem. Hujus figuræ non modo in Veteri Testamento, sed et in lege gratiæ multa suppetunt mirabilia, in victoriis de barbaris relatis, in fugandis dæmonibus, in depulsione morborum, in plurimis aliis, quæ sigillatim percensere infinitum sit.

Ὁρᾷς ὅση δύνσμις ἐν τῷ τύπῳ τοῦ σταυροῦ, ὦ βέλτιστε; Εἰ δὲ δεῦρο τοσαύτη, πόση δ' ἂν εἶεν ἐν τῷ τύπῳ τοῦ ἐστατρωμένου Χριστοῦ; δῆλον γὰρ, ὅτι καθ' ὅσον προφερέστερα τὰ πρωτότυπα, κατὰ τοσοῦτον καὶ τὰ παράγωγα προὐργιαίτερα. Καί τίς, φησὶν, ἐν τοῖς προειρημένοις ὑποδεδήλωται τύπος Χριστοῦ, συνιέναι ζητῶ. Αὐτοὶ δὲ, φημὶ, οἱ τυποῦντες τὸν σταυρόν. Ὡς γὰρ ἡ τῶν τοῦ Μωσέως χειρῶν ἔστασις ἐτύπου σταυρὸν, οὕτως αὐτὸς δὴ Μωσῆς ἐσταυρωμένον Χριστὸν, τροπούμενον τὸν ἀόρατον Ἀμαλὴκ, κἂν τοῖς ἄλλοις παραδείγμασι τοῦθ' ὑπολαπτέον, συνεκφαινομένου θατέρου τύπου θατέρῳ. Ἀλλ ἐκεῖ, φησὶν, ἔμψυχος ὁ τύπος. Τί δὲ περὶ ἀψύχου σοι ὁ λόγος; Ὅτι κἀπὶ τοῦ σταυρικοῦ τύπου, ὅταν ἄψυχον τὸ ὁρώμενον, ἐφ' ὃ καὶ περὶ ὃ τὸ τεράστιον, ὅμως παραπλησίως τῇ σταυροειδεῖ εἰκόνι συνεκφαινομένῃ, ἔν τε ἐμψύχοις καὶ ἀψύχοις ἡ χριστοειδὴς εἰκὼν τερατουργεῖν εἴωθεν. ὡς ἐν αὐτῇ ἔχουσά τήν τε μορφὴν καὶ τὸ εἶδος τοῦ ἀρχετύπου, κἀὶ τοσοῦτον ταυτιζομένη τῇ τε τιμῇ καὶ προσκυνήσει, ὅσον καὶ κατὰ τοὔνομα, παντί που δῆλον. Καὶ ταῦτα εἰ καὶ παρεκβαλικώτερον, ἀλλ' ὅμως εἰς ἔλεγχον κα ἀνατροπὴν τῆς εἰκονομαχικῆς αἱρέσεως, ὡς ἀνατρεπούσης τὸ τῆς οἰκονομίας Χριστοῦ μυστήριον. Ὁ γὰρ ἀναιρῶν τὴν εἰκόνα, συναναιρεῖ δηλαδὴ καὶ τὸ πρωτότυπον, εἴπερ θάτερα τῶν ἅμα, καὶ τῶν πρός τι τοῖς νοῦν ἔχουσιν.

Vides, charissime, quanta in signo crucis potentia! At si hic tanta, quanta erit in typo crucifixi Christi! Perspicuum namque est, quanto excellentiora sunt prototypa, tanto etiam præstantiora esse ea, quæ ad prototypa repræsentanda instituuntur. Et quis, dixerit forte quisquiam, typum Christi prædictis temporibus gessit? Equidem B cognoscere id aveo. Respondeo illos ipsos, qui crucem adumbrarunt. Quemadmodum enim extensio manuum Moysis crucem præfigurabat, sic ipse Moyses figuram gerebat Christi, qui inaspectabilem Amalec in fugam conjecit, licet aliis itidem exemplis id ostendi queat, altera juxta alteram posita et elucescente figura. At ibi, objiciat quis, viva spiransque figura est. Cur igitur tu de inanimi loqueris? Ideo de hac loquor, quia etiam in typo crucis, quando id quod cernitur, et in quo, et circa quod mirabile quiddam patratur, vita animaque caret, imago ad Christi similitudinem efficta, similiter ut crucis imago, quæ typo illo repræsentatur, opera admiranda perpetrare solet, velut ea, quæ in se speciem et formam prototypi continet, et eatenus idem cum illo honore et adoratione C sicut et nomine, effecta: quod per se manifestum est. Hæc etsi nonnihil extra propositum dicta videantur, valent nihilominus redarguendæ et refellendæ iconomachorum hæresi, quæ mysterium œconomiæ et dispensationis Christi evertit. Nam qui tollit imaginem, is nimirum et prototypum tollit; sunt enim ex illis, quæ ad se mutuo referuntur, ut norunt, qui mentem non amiserunt.

Ἐπὶ δὲ τὸν σταυρὸν ἐπιτέον, καὶ οἱονεὶ ἐντρυφητέον τῇ τῆς ἁγίας προσηγορίας διατριβῇ. Σταυρὸς, χρημάτων ἁπάντων χρῆμα πολυτιμότερον· σταυρὸς, Χριστιανῶν ἀσφαλέστατον καταφύγιον· σταυρὸς, Χριστοῦ μαθητῶν ἐλαφρότατον ἐπωμάδιον· σταυρὸς, τετρυχωμένων ψυχῶν παραμύθιον εὐπαρηγόρητον· σταυρὸς, τῆς εἰς οὐρανὸν πορείας ὁδευτήριον ἀνεμπόδιστον. Σταυροῦ στάσις καὶ εὖρος, τοῦ οὐρανίου D κήτους περιληπτικώτερον διάμετρον· σταυροῦ σθένος καὶ κράτος, ὅλεθρον πάσης ἀντικειμένης δυνάμεως· σταυροῦ εἶδος καὶ σχῆμα, πάντων σχημάτων εὐσχημονέστερον ὅραμα· σταυροῦ βολὶς καὶ ἔλλαμψις, ἡλίου λαμπρότερον ἔξαλμα· σταυροῦ χάρις καὶ δόξα, χαρίτων ἁπασῶν χαριέστερον δώρημα· σταυρὸς, οὐρανοῦ καὶ γῆς εἰρηνοβράβευτον συναπτήριον. Σταυροῦ τοὔνομα ἁγιασμὸς, ὅτι μάλιστα καὶ γλώσσαις λαλούμενον, καὶ ἀκοαῖς ἀκουτιζόμενον. Σταυρῷ νενέκρωται θάνατος, καὶ Ἀδὰμ ἐζωοποίηται· σταυρῷ κεκαύχηται πᾶς ἀπόστολος, καὶ μάρτυς ἐστεφάνωται, καὶ ὡσίωται ὅσιος· σταυρῷ Χριστὸν ἐνδεδύμεθα, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα· σταυ-

Sed nunc ad crucem redeundum est, ejusque præconiis percensendis non sine oblectatione immorandum. Crux pecunlis omnibus pecunia pretiosior. Crux Christianorum tutissimum perfugium. Crux discipulorum Christi levissimum onus humeris impositum. Crux afflictarum mentium dulcissima consolatio. Crux viæ in cœlum ductrix, cui nullum impedimentum objici potest. Crucis status et latitudo cœlestis ceti, capacior diameter. Crucis robur et potentia, exitium omnis adversariæ potestatis. Crucis figura et species omnibus figuris spectatu concinnior. Crucis radius et collustratio, sole splendidior emissio et lucis ejaculatio. Crucis gratia et gloria, omnibus gratiis gratius donum. Crux cœli et terræ pacificatrix et conciliatrix. Crucis nomen, sanctificatio, maxime si lingua proferatur, et auribus percipiatur. Cruce mors necata est, Adamque vitæ restitutus. Cruce gloriatus est quilibet apostolus, et omnis martyr coronatus omnisque sanctus sanctificatus. Cruce Christum induimus, veteremque hominem exuimus.

Cruce in unum ovile, oves Christi, collecti et ad supernas caulas destinati sumus. Cruce ventilabimus inimicos nostros et cornu salutis sustollimus. Cruce pertubatione fugamus, vitamque supra hum nam instituimus. Qui crucem fert humeris, is imitator fit Christi, et gloriam cum Christo palam assequitur. Crucem cum angelus videt, decoratur, et diabolus confunditur. Latro cruce reperta in paradisum intrat, et latrocinia cum regno commutavit. Qui crucem effingit, is formidinem dissolvit, pacemque recuperat. Qui crucem custodem habet, is prædonibus non fit præda, sed illæsus permanet. Quisquis crucem amat, hic mundum odit, fitque amator Christi. Crux Christi, Christianorum celeberrima gloriatio. Crux Christi, apostolorum peculiaris prædicatio. Crux Christi, martyrum regale diadema. Crux Christi, prophetarum pretiosissimus ornatus. Crux Christi, finium lucidissimus nitor. Crux Christi, nam ut cum re viva loquar, protege eos, qui te incenso pectore celebrant, converva, qui te fideli mente amplectuntur et osculantur. Guberna in pace rectaque fide subditos. Adduc omnibus Christi resurrectionis diem lætissimum, custodiens pontifices, antistites, imperatores, monachos promiscuamque multitudinem et convenas omnes in Christo Jesu Domino nostro. Cui gloria et potentia, cum Patre et sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A ρῷ σεσηκειώμεθα Χριστοῦ πρόβατα, καὶ τῇ ἄνω μάνδρᾳ συνταττόμεθα· σταυρῷ κερατιοῦμεν τοὺς ἐχθροὺς ἡμῶν, καὶ κέρας σωτήριον αἴρομεν· σταυρῷ τὰ πάθη τροπούμεθα, καὶ ὑπερκοσμίως ζῆν προαιρούμεθα. Σταυρὸν ὁ φέρων ἐπ' ὤμων, Χριστοῦ μιμητὴς γίνεται, καὶ Χριστῷ σαφῶς συνδοξάζεται· σταυρὸν ὁρῶν ἄγγελος ὡραΐζεται, καὶ διάβολος καταισχύνεται· σταυρὸν λῃστὴς εὑρηκὼς, εἰς παράδεισον εἴσεισι, καὶ λῃστείας βασιλείαν ἀντηλλάξατο· σταυρὸν ἁπλῶς ὁ τυπῶν διαλύει δείματα, καὶ εἰρήνην ἀντασπάζεται· σταυρὸν ὁ ἔχων φρουρὸν διαμένει ἄσυλος καὶ φυλάττεται ἀπήμαντος· σταυρὸν πᾶς τις φιλῶν, μισεῖ κόσμον, καὶ ἐραστὴς γίνεται Χριστοῦ. Σταυρὲ Χριστοῦ, τὸ τῶν Χριστιανῶν πολυθρύλλητον καύχημα· σταυρὲ Χριστοῦ, τὸ τῶν ἀποB στόλων περιούσιον κήρυγμα· σταυρὲ Χριστοῦ, τὸ τῶν μαρτύρων βασίλειον διάδημα· σταυρὲ Χριστοῦ, τὸ τῶν προφητῶν ὑπερτίμιον ἐγκαλλώπισμα· σταυρὲ Χριστοῦ, τὸ τῶν περάτων παμφαέστατον ἀγλάϊσμα· σταυρὲ Χριστοῦ, καὶ σοὶ ὡς ἐμψύχῳ διαλέγομαι, σκέποις τοὺς θερμοὺς ὑμνολόγους σου, σώζοις τοὺς πιστῶς περιπτυσσομένους σε, ἄγοις εἰρηνικῶς τε καὶ ὀρθοδόξως τὸ ὑπήκοον, φέροις τὴν Χριστοῦ ἀνάστασιν πᾶσι χαρμόσυνον, φρουρῶν ἱεράρχας τε καὶ ἄνακτας, μοναστὰς καὶ μιγάδας ἅπαντας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

III.

In vigiliam sive stationem Luminum.

C

Γ'.

Εἰς τὴν παραμονὴν τῶν Φώτων.

(Ang. Mai, *Bibl. nov.* t. IV, p. 16.)

1. Luminum præludia splendidis contemplationibus collustremus : in ipsis insistentes aquis, claritatem uberem participemus spiritu splendificati, et luminis auctorem Jesum, Patris splendorem, eximiis gratiarum actionibus celebremus. Purificatus est Israel primo, cum in montem igne flagrantem, caligine procellaque plenum, conscensurus esset. Sed ne sic quidem ascendit, quia haud tutum negotium erat; sed infra substitit tremens, et multiformi terrorum specie attonitus. Ipse quoque Moyses materiale calceamentum solvit, dum sacratam. De vestigiis terram pararet attingere, quo tempore ardentis rubi mirabiliter visui initiabatur, qui prævia majoris mysterii imago erat. Idem facere Jesus quoque Navi filius ab angelo jussus fuit, ne solum calceatis pedibus prorsus calcaret, propter debitam terræ sanctæ venerationem. Quid autem tres adolescentes? Nonne animis corporibusque sanctificatis ad voracem ignem accesserunt, atque ita caloris vis in roscidam ipsis qualitatem conversa est? Quod quale quantumque prodigium fuit, dum idem ignis vehementia duplici, dignos pœna ultus est! Quid Daniel desideriorum vir, nonne ante purificante jejunio usus, cum leonibus in contubernio fuit, incolume corpus illinc referens?

α'. Τῶν Φώτων τὰ προαύλια φωτοφανέσι θεωρίαις ἐποπτεύσωμεν· εἰς αὐτὰ εἰσβαίνοντες τὰ ὕδατα, πλουσίας τῆς αἴγλης μεταλάβοιμεν, φωτοειδεῖς ἐν πνεύματι γενόμενοι, καὶ τὸν τοῦ φωτὸς αἴτιον Ἰησοῦν τὸ πατρικὸν ἀπαύγασμα πανευφήμοις εὐχαριστίαις εὐφημήσωμεν. Ἀγνίζεται Ἰσραὴλ πρότερον ὄπτνίκα τῷ ὄρει κεκαυμένῳ πυρὶ, σκότους τε καὶ θυέλλης πεπληρωμένῳ προσβαίνειν ἔμελλεν· καὶ οὐδ' οὕτως ἄνεισιν, ἐπεὶ μὴ ἀσφαλές· εἰστήκει δὲ κάτω ἔντρομος τοῖς πολυειδέσι φοβερισμοῖς Θεοῦ ἐκδειματούμενος. Ὑπολύεται καὶ αὐτὸς Μωϋσῆς τὸ ὑλῶδες ὑπέδημα, τῆς θεοστιβοῦς γῆς ψαύειν προερχόμενος, ὁπότε τῆς φλογοφορούσης βάτου ἐμυεῖτο D θαυμαστικῶς τὸ θεώρημα, μείζονος μυστηρίου οὖσης προτύπωμα. Τὸ δ' αὐτὸ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ πρὸς τοῦ ἀγγέλου παρακελεύεται μὴ τοὔδαφος ἐνδεδυμένοις ποσὶ προσεγγίζειν ὅλως, διὰ τὸ τῆς ἁγίας γῆς σεβάσμιον. Τί δὲ οἱ τρεῖς νεανίαι; οὐχ ἡγνισμέναις ψυχαῖς τε καὶ σώμασι τῷ παμφάγῳ πυρὶ προσβάλλουσι, τῆς καυστικῆς αὐτοῖς ἐνεργείας μεταβληθείσης εἰς δροσοειδῆ ποιότητα; ἐφ' ᾧ καὶ τὸ θαῦμα ὅσον καὶ ἡλίκον, διπλαῖς ἀντιῤῥόποις ἐνεργείαις τοὺς ἀξίους ἀμειψάμενον! Τί δὲ Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνήρ; οὐ τῇ καθαρτικῇ νηστείᾳ προχρησάμενος συνδιαιτᾶται λέουσι ἀπήμαντον τὸ σῶμα ἀπενεγκάμενος;

β'. Ἀλλὰ βούλει ἐπὶ τὴν νέαν μετελήλυθέναι σοι τὸν λόγον; Ὅρα Παῦλον τὸν μέγαν τῆς ἀληθείας κήρυκα τριημερονύκτῳ νηστείᾳ τὴν παρασκευὴν ποιησάμενον, εἶθ' οὕτως πρὸς τῇ ἐκτενεῖ δεήσει τὸ ἀληθινὸν φῶς Χριστὸν ἐνδυσάμενον. Βλέπε καὶ Ματθαῖον τὸν εὐαγγελιστὴν προὔργου τὴν τῶν ἐνόντων ἀπόταξιν ποιησάμενον, αὐτούς τε τοὺς τελωνικοὺς λόγους ἀτελεῖς καταλιπόντα, καὶ οὕτως μαθητιᾷν τῷ Ἰησοῦ ἑλόμενον. Καὶ οὔπω λέγω ὅτι καὶ Ζακχαῖος πρότερον χαμόθεν ὑψωθεὶς καὶ σῶμα καὶ διάνοιαν, οὕτω τὸν Ἰησοῦν ὑφέστιον πεποίηται, σὺν ὑποσχέστι κρείττονι, καὶ τῆς κρείττονος ἀξιοῦται προσφωνήσεως· καὶ μὴν Κορνήλιος τετραήμερον νενηστευκώς τε καὶ προσευξάμενος, τηνικαῦτα ὁρᾷ τὸν ἄγγελον εὐαγγελισάμενον τὰ καταθύμια, καὶ τῶν ἐλπίδων ἐπιτέτευκται. Σὺ δὲ, ὦ βέλτιστε, ἵνα τοὺς ἄλλους παρήσω λέγειν, οὐκ ἄνευ εὐλαβείας καὶ πολλῆς προφύλακῆς τοῖς θείοις προσερχόμενος, οὕτως ἁπλῶς καὶ ἀπαρασκευάστως τῷ ὑπερφαεῖ μυστηρίῳ προσελεύσῃ, δι' οὗ σοι καὶ ἡ ἐν πνεύματι ἀπότεξις, καὶ τὸ υἱὸς φωτὸς κεκλῆσθαι; καὶ οὐ φοβῇ μή ποτε ταυτὸν πάθοις τῷ ὀφθαλμοῖς ἀσθενέσιν ἀντωπεῖν ἐπιχειροῦντι πρὸς τὸν ἥλιον;

A 2. Sed vin' ad Novum Testamentum tibi flecti sermonem? Specta Paulum, magnum veritatis præconem, trium dierum noctiumque jejunio se comparantem, atque ita non sine constate oratione, vero lumine Christo circumvestitum. Videsis etiam evangelistam Matthæum perutiliter rebus suis valedicere, et ipsas telonii rationes imperfectas deserere, atque ita Christi discipulatum arripere. Nondum Zachæum memoravi, corpore ac mente de terra sublatum, Jesum convivio excepisse, cum egregia sua promissione, qua meliorem Christi allocutionem promeruit. Item Cornelius quatriduo jejunans et orans, vidit denique angelum jucunda sibi nuntiantem, composque voti factus est. Tu vero, optime (baptizande), ut alios nunc appellare
B omittam, etsi non sine religione longisque excubiis ad hæc sacra accedis, nihilominus tam temere atque imparatus ad splendidissimum mysterium ades, in quo tua spiritualis fit nativitas, et unde lucis filius appellaris? Nec vereris, ne id patiaris, quod homini infirmis oculis solem spectare volenti solet accidere?

γ'. Ἀλλ' ἐπειδὴ τοῦτο καλῶς, ὡς οἶμαι, προδιέτεθη καὶ διετυπώθη, φέρε ὡς οἷόν τε χωρήσωμεν ἐπὶ τὰ Προφώτια, καὶ ἴδωμεν κεκαθαρμένοις ὀφθαλμοῖς ὅπως τὸ ἀληθινὸν φῶς ἐξ αὐτῆς γεννήσεως ἀνατεταλκὸς, μέχρι τοῦ φωτογενοῦς βαπτίσματος πρόεισι θεολογούμενον· οὕτω γὰρ ὁ νοῦς τῇ ἱστορίᾳ συνεπόμενος φωτίζοιτο, καὶ ὁ λόγος ἐφαρμογῇ τὴν διήγησιν ποιήσοιτο, ἐφ' ἑκάστῃ τελετῇ ἐπιθεωρῶν
C τὰ προσήκοντα. Ἄρτι τοιγαροῦν ἐκ Παρθένου γενηθεὶς ὁ ὑπερούσιος, ἀγγέλους ὑμνῳδοὺς τοῦ μυστηρίου παρίστησι· καὶ σκοπῶμεν τὸ ἀπόῤῥητον· τί; Ἵνα γνωρισθῇ πᾶσιν ὅτι ὃν κατ' ἀρχὰς τῇ γενέσει τῶν ἄστρων ὡς γενεσιουργὸν ὕμνησαν ἄγγελοι, τοῦτον νῦν γεννηθέντα καὶ ὀφθέντα ἐν τῷ καθ' ἡμᾶς εἴδει ὑμνοῦσι καὶ δοξάζουσι· διὸ καὶ ἀστὴρ αὐτὸν μηνύει πᾶσι, καὶ οὕτως ὑπὲρ τὴν τῶν ἀστέρων φύσιν δεικνύμενος, τῇ τε τοπικῇ κινήσει, καὶ τῇ ἡμερινῇ λάμψει· τί δήποτε; Ὡς ἂν κἀντεῦθεν δηλωθῇ ὑπερφυὴς ὁ γεγενημένος, ἄνθρωπος μὲν τὸ ὁρώμενον, Θεὸς δὲ τὸ νοούμενον. Ἐντεῦθεν τὸ τῆς περιτομῆς θεώρημα, οὐδ' αὐτὸ ἀμοιροῦν θεολογίας τοῖς ἐπεσκεμμένως ἔχουσι· τὸ γὰρ ἐπικληθὲν αὐτῷ Ἰησοῦς ὄνομα, κατὰ τὴν τοῦ ἀγγέλου προαναῤῥησιν, ἐπείπερ ἐστὶ Σωτῆρος ἔμφασιν ἔχον, θείας φύσεως γνωριστικόν
D ἐστι, παντί που δῆλον· μηδὲ γὰρ ἐπιπεμπέτω τὴν γλῶσσαν ἐνταῦθα ὁ θεομάχος διὰ τῆς τοῦ Ἰησοῦ τοῦ Ναυῆ ὁμωνυμίας προεξηγούμενος, ὡς οὐκ ἐπὶ τοῦ Θεοῦ Λόγου, ἀλλ' ἐπὶ τοῦ σχετικῶς αὐτῷ συναφθέντος τεθειμένον. Οὐδὲ γὰρ, ἐπείπερ πολλοὶ κύριοι, καὶ οὐ κατὰ φύσιν οὗτοι· πρὸς δὲ καὶ θεοὶ, ἀλλ' οὐδ' αὐτοὶ κατὰ φύσιν· ἀλλ' εἷς Κύριος, εἷς Θεὸς ὁ κατὰ φύσιν ἀληθής· οὕτω καὶ πολλαὶ προσηγορίαι Ἰησοῦ, ἀλλ' εἷς Ἰησοῦς ὁ τῶν ἁπάντων Σωτήρ.

3. Sed quia hoc egregie, ut existimo, jam dispositum fuit et constitutum, age quoad fieri potest ad hoc pervigilium veniamus, purgatisque oculis observemus, quomodo verum lumen jam inde ab ipsa nativitate ortum, usque ad splendidum baptismum comite divinitate procedat. Sic enim mens historiam discurrens illustrabitur, et oratio nostra idoneam narrationem faciet, tum in singulis divinæ
C vitæ gradibus quod apprime decet considerabit. Nuper ergo ex Virgine natus incomprehensibilis Deus, angelos mysterii hymnologos fecit. Et arcanum, quæto, animadvertamus. Quodnam vero? Nempe ut omnibus notum fieret, quod illum quem initio mundi, cum astra conderentur, tanquam Creatorem hymno celebraverant, nunc humanitus natum, et in specie nostra visum, hymnis celebrant atque honorant. Ideoque et stella cunctis illum significat, stella scilicet præter suam naturam semet exhibens, tum locali motu, tum etiam diurno splendore. Cur id? inquam. Ut hinc etiam supernaturalis appareret qui natus erat, et homo quidem cerneretur, Deus tamen intelligeretur. Sequitur circumcisionis contemplatio, ne ipsa quidem theologia ca-
D rens, si modo intenta mente fiat. Nam Jesu nomen impositum, juxta angeli prædictionem, quia Servatorem sonat, divinæ naturæ significativum esse nemo non videt. Neque vero hic vibret linguam Dei aliquis hostis, propter Jesu Nave filii homonymiam, dicens non fuisse hoc nomen tanquam Deo Verbo impositum, sed homini cujus cum illo vetere convenientia aliqua fuit. Neque enim, etiamsi multi domini sunt, haud tamen natura sunt tales; vel si multi dii, ne hi quidem reapse tales; sed unus Dominus, unus Deus suapte natura verus. Sic etiam multi sunt nomine Jesu appellati, ut tamen unus sit Jesus omnium Servator.

δ'. Ἐντεῦθεν ἀνῆκται εἰς Ἱεροσόλυμα· καὶ οἷα τὰ

4. Deinde Hierosolymam deportatus est: et quæ-

nam ejus qui illum ulnis excepit Simeonis verba fuerint, scimus; nempe quod esset salutare Dei, paratum ante faciem omnium populorum, et lumen ad gentium revelationem [5], et si quid aliud hujusmodi de illo pronuntiavit, id æque de Patre theologice dici posse judicandum est. Namque etiam Pater, Servator lumenque in oraculis nominatur. Qui porro eamdem appellationem substantive participant, iidem eamdem quoque se habere naturam produnt. Itaque Filius Patri ait: Omnia mea, tua sunt; et tua, mea: reciprocatione secundum naturam affirmata, non secundum personarum terminum: hoc enim Sabellianæ confusionis commentum est, quod rejicimus. Postea in Ægyptum descendit, et quidem deportatus. Sed audi quid dicat Isaias: *Ecce Dominus levi nubi insidens veniet in Ægyptum, et cuncta Ægypti idola coram eo commovebuntur* [6]. Quid clarius dici potuit de Deo incarnato illuc adventante? Mox de Ægypto revertitur, et incolatum Nazareti delegit, unde etiam agnomen contraxit. Tu vero ne cogitationibus fluctues, dum Dei descensum reditumque audis, et localem motum ac transmigrationem. Nam si Verbum sine corpore intelligeretur, non temere mentem nostram commoveri ac perturbari contingeret: sed quia cum corpore est, nihil est absonum inconsequens: namque ut Deus in carne apparuit; ita loca mutat Deus in carne, et alias quaslibet vitæ carneæ proprietates admittit.

5. Hinc jam annos duodecim natus in medio doctorum sedet, audiens et interrogans, prudentibusque responsis audientes obstupefaciens. Age vero quisnam illa ætate tam mira diceret, nisi omnino incarnatus Deus? Tum etiam a Matre interrogatus, quæ revelari ab eo Dei gloriam optabat, rei gestæ rationem reddidit. Viden' quanta in brevi narratione theologia sit? et quomodo Dominus gloriæ, ceu rex quidam magnifice ex regalibus thalamis, maternis, inquam, visceribus, prodiens, dextra lævaque hymnis celebratur? Merito ergo tonitrui filius Joannes clamavit: *Et Verbum caro factum est, et habitavit in nobis, et vidimus gloriam ejus, gloriam quasi unigeniti a Patre, plenum gratiæ et veritatis* [7]. Sed ecce Joannes e deserto veniens, peregrinum Israelitis et exoptatum spectaculum, Dei angelus et apostolus primus electus. Oportebat enim tanti regis talem esse militem, et pontificis maximi tantum ministrum. Et intelligamus mysterium, quale quantumque sit. Quia fieri non poterat, quin paranympho præsente sponsus quoque adesset, et clamante voce Verbum pariter audiretur: quid accidit? quidve prudenter curatum est. Secedit puerulus Joannes a publicis locis in abstrusa, ceu lucerna quædam sub modio in deserto præter naturæ ordinem degens. Ibi supernas audit voces, et divinis visionibus dignus habetur; et ineffabilibus initiatur

[5] *Luc. II, 30, 32.* [6] Isa. XIX, 1. [7] Joan. I, 14.

A τοῦ ὑποδεξαμένου αὐτὸν ἐν ταῖς ἀγκάλαις Συμεὼν ῥήματα, ἴσμεν· τὸ γὰρ σωτήριον Θεοῦ ἡτοιμασμένον κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς τε εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ εἴ τι τούτοις ἕτερον αὐτὸν ἀποκαλέσαι, ἐπ' ἴσης τῷ Πατρὶ εἶεν θεολογούμεθα· ἐπεὶ καὶ ὁ Πατὴρ καὶ Σωτὴρ καὶ φῶς πρὸς τοῖς λογίοις ὠνόμασται· τὰ δὲ τῆς αὐτῆς ὀνομασίας ὑπαρκτικὰ, καὶ τῆς αὐτῆς ἂν εἴη φύσεως δηλωτικά. Καὶ γοῦν Υἱὸς πρὸς τὸν Πατέρα φησί· Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά· τῆς ἀντιστροφῆς κατὰ τὸν τῆς οὐσίας δηλονότι λόγον ὁμολογουμένης, οὐ κατὰ τὸν τῶν ὑποστάσεων ὅρον· τοῦτο γὰρ τῆς συγχύσεως Σαβελλίου τὸ φρόνημα, ὅπερ ἠρνήμεθα· Ἐντεῦθεν κάτεισιν εἰς Αἴγυπτον καὶ ὑπειλημμένος [cod. ὑπειλημμένον]· ἀλλ' ἄκουσον τί φησιν B Ἡσαΐας· Ἰδοὺ Κύριος κάθημαι ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται πάντα τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ· οὗ τί ἂν γένοιτο γνωριμώτερον, Θεὸν ἐν σαρκὶ εἶναι τὸν ἐκεῖσε ἀφικόμενον· Ἐντεῦθεν ἐξ Αἰγύπτου ἐπάνεισιν, καὶ εἰς Ναζαρὲτ οἰκεῖν εἵλετο, ἀφ' ἧς καὶ τὴν ἐπωνυμίαν εἴληφε· σὺ δὲ μήπω ὀλιγιάσῃς τοῖς λογισμοῖς ἀκούων ἐπὶ Θεοῦ κάθοδον καὶ ἄνοδον, τοπικήν τε κίνησιν καὶ μετάθεσιν· εἰ μὲν γὰρ χωρὶς σώματος ὁ Λόγος ἐξηκούετο, ἦν εἰκὸς τὸ ἐπισεῖον τὸν νοῦν καὶ θορυβοῦν· ἐπεὶ δὲ μετὰ σώματος, οὐδὲν ἀπηχὲς οὐδὲ ἀνακόλουθον· ὡς γὰρ ἐφανερώθη Θεὸς ἐν σαρκὶ, οὕτω καὶ τόπους ἀμείβει Θεὸς ἐν σαρκὶ· καὶ ὅσα ἄλλα τῆς ἐν σαρκὶ ζωῆς ἰδιώματα προσίεται.

ε'. Ἐντεῦθεν δωδεκαετὴς γενόμενος ἐν μέσῳ τῶν C διδασκάλων κάθηται ἐπαΐων καὶ ἐπερωτῶν καὶ ταῖς ἐμμελέσιν ἀποκρίσεσιν ἐξιστῶν τοὺς ἀκούοντας· Τίνος δ' ἂν καὶ εἴη ἐν τοιαύτῃ ἡλικίᾳ τηλικαῦτα ἐξαίσια φθέγγεσθαι, ἢ πάντως Θεοῦ σεσαρκωμένου; Ἀλλὰ γὰρ καὶ ὑπὸ τῆς μητρὸς ἀνακρινόμενος, φιλοπευστούσης μαθεῖν τὴν ἀποκάλυψιν τῆς πατρικῆς αὐτοῦ δόξης, τὸν λόγον ἀποδίδωξιν Ὁρᾷς ὅσον ἐκ σχεδιασθείσης διηγήσεως ὑπεδείχθη τὰ θεολογούμενα; καὶ ὅπως ὁ Κύριος τῆς δόξης οἷά τις βασιλεὺς εὐπρεπῶς ἐξ ἀνακτορικῶν θαλάμων τῶν μητρικῶν δὴ σπλάγχνων προερχόμενος τῇδε καὶ τῇδε ὕμνηται; Εἰκότως οὐκ ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης κέκραγεν· Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς) πλήρης χάριτος D καὶ ἀληθείας. Ἀλλ' ἤδη καὶ Ἰωάννης ἀπὸ τῆς ἐρήμου προερχόμενος, τὸ ξένον Ἰσραηλίταις καὶ πολύευκτον θέαμα, ὁ Θεοῦ ἄγγελος, καὶ ἐν ἀποστόλοις προχειροτόνητος· ἔδει γὰρ τηλικούτου βασιλέως τοιοῦτον εἶναι τὸν στρατιώτην, τοῦ μείζονος ἀρχιερέως τοσοῦτον τὸν ὑποφήτην· καὶ νοῶμεν τὸ μυστήριον οἷον καὶ ἡλίκον. Ἐπειδὴ γὰρ οὐκ ἐνεδέχετο τοῦ νυμφαγωγοῦ παρόντος, μὴ καὶ τὸν νυμφίον συμπαρεῖναι, καὶ τῆς φωνῆς βοώσης μὴ καὶ τὸν Λόγον ἀκουτίζεσθαι, τί γίνεται, καὶ τί τὸ οἰκονομούμενον; Συστέλλεται εὐθὺς ἀπὸ σπαργάνων ἀπὸ τοῦ

ἐμφανοῦς εἰς τὸ ἀφανέστερον ὁ Ἰωάννης, καθάπερ τις λύχνος ὑπὸ μοδίῳ ἐν τῇ ἐρήμῳ ὑπερφυῶς ἐνδιατώμενος· κἀκεῖ θείων ἀκούει φωνῶν καὶ θεοπτίας ἀξιοῦται· ἄῤῥητά τε μυσταγωγούμενος καὶ ἐκδιδασκόμενος, καθάπερ ἔτι ὢν ἔμβρυος, τίς εἴη ὁ Ἰησοῦς, ὅτιπερ Υἱὸς Θεοῦ, καὶ ἐφ' ᾧ τὸ σημεῖον τῆς πνευματοειδοῦς περιστερᾶς, ὅτι αὐτός ἐστιν ὁ βαπτίσων ἐν Πνεύματι ἁγίῳ. A

atque edocetur, sicut olim adhuc embryo cognovit, quis esset Jesus, nempe quod Dei Filius, et quod supra quem Spiritus in columbæ specie descenderet, is foret qui in Spiritu sancto esset baptizaturus.

ς'. Ἐπειδὴ δὲ ἦκε τὸ μέτρον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καὶ τέλος εἴληφεν ἡ περίοδος τῆς τριακονταέτους παρατάσεως, τηνικαῦτα ὁ μὲν λύχνος ἐπὶ τὴν λυχνίαν καιόμενος, καὶ φαίνων τοῖς ἐν τῇ οἰκίᾳ ἀγαλλιάσιμα· (εἶπερ δεῖ οἰκίαν ὑπολαμβάνειν τὴν Ἰσραηλιτικὴν Συναγωγήν·) τό τε ἀληθινὸν φῶς ἐπιφαινόμενον καὶ φωτίζον τὸν κόσμον. Ὦ τοῦ θαύματος! ὁ ἥλιος πρὸς τὸν ἀστέρα, ὁ λόγος πρὸς τὴν φωνὴν, ὁ νυμφίος πρὸς τὸν φίλον, οἰκονομίας εἵνεκα, ἵνα διὰ τῆς ἐπιβιβάσεως πληρουμένης ἐν τῷ Ἰησοῦ πάσης δικαιοσύνης, ὁ μὲν αὐξάνει, εὐαγγελικῶς εἰπεῖν, ὁ δὲ ἐλαττοῦται. Πῶς γὰρ ἂν καὶ οὐκ ἦν ἐλαττοῦσθαι τὸ λυχνιαῖον φῶς, μᾶλλον δὲ καὶ πάντη ἐκ μέσον ἀπεῖναι, τοῦ τῆς δικαιοσύνης Ἡλίου ἤδη τοῖς θαύμασι μαρμαρύσσοντος ἐξαίσια; βλέπεις ὅσος ὁ χρονικὸς ἀριθμὸς τῆς σωματικῆς ἐντελείας, ἐν ᾧ ὑπετάσσετο τοῖς γονεῦσιν Ἰησοῦς; Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! Δι' ἣν αἰτίαν ἄρα; Ἄλλος μὲν οὖν ἄλλο λεγέτω, τῶν ὑψηλῶν τῇ θεωρίᾳ καὶ τὰ βάθη τοῦ Πνεύματος ἐγνωκότων· ὡς γοῦν ἔμοιγε δοκεῖ, δυοῖν ἕνεκα· ἵνα καὶ υἱέσι τὸ πρὸς τοὺς γονέας ὑποτακτικὸν διὰ τῆς οἰκείας ὑποταγῆς ὁ πάντων νομοθετῶν νομοθέτης νομοθετήσῃ, τάς τε μεθηλικιώσεις ἁγιάσοι· καὶ τρίτον, μὴ ἀποξενωμένον τι καὶ ἀπεοικὸς τῆς καθ' ἡμᾶς βιοτῆς, ἐν ᾗ μάλιστα τὸ τέλειον ἡμῖν πρόσεστι, τὴν ἑαυτοῦ πολιτείαν ὁ παντέλειος ἐπιδεικνείοι· ὅπου γε καὶ ὥτω τῆς ἀνδρικῆς ἡλικίας τὸ τέλειον ἔχοντος, ἐτόλμησεν Ἄρειος ἄψυχον αὐτοῦ τὸ σῶμα ἀποῤῥῆναι· Ἀπολινάριος δὲ κατὰ συνδρομὴν ἀσεβείας ἄνουν αὐτὸν ἀληναφῆσαι· ὁ δὲ νῦν Μανιχαῖος (1) κατὰ προὔχουσαν ἀσέβειαν, ἄγραπτον αὐτὸν δογματίσαι. Καὶ σκοπῶμεν ὅση ἡ διαφορότης θατέρου πρὸς θάτερον. Ὁ μὲν οὖν τῷ ἀψύχῳ προϊστάμενος, ἐξίστησι ζωῆς τὸ Δεσποτικὸν σῶμα· τὸ γὰρ ἀμοιροῦν ψυχῆς, καὶ ζωῆς ἐστιν ἐκτὸς ὀηλονότι· ὁ δὲ τὸ [*cod.* τῷ] ἄνουν, τῇ ἀλόγῳ συντάττει φύσει· ἐπείπερ πᾶν ἄνουν, καὶ ἄλογον· ὁ δὲ τῷ ἀγράπτῳ, οὐδὲ ὅλως φύσει σώματος τὸ σῶμα ὁροθέτει· εἶπερ τῷ ἀπεριγράπτῳ συνακολουθεῖ τὸ ἀσώματον. Εἰ γὰρ σῶμα, πᾶν δὲ σῶμα ὑπ' ἀφὴν καὶ χροιάν ἐστι τελοῦν, τὸ δ' ἐν τούτοις ὑποπίπτον ἐξ ἀναγκαίου ἕπεται, εἰ μὴ ληρῶμεν, καὶ τὸ περιγράφεσθαι· ὡς εἰ μὴ περιγράφοιτο, πάντη τε καὶ πάντως τοῦ οἰκείου ὅρου ἐξοιχήσεται εἰς τὸ ἀσώματον ἀνατρέχον· οὐδὲν, ὡς ἔοικε, τὸ ἐπισχεῖν γλῶσσαν ἀσεγοῦσαν ἐπικουρουμένην κράτει ἐξουσίας.

6. Sed postquam venit mensura plenitudinis ætatis Christi, et triginta annorum periodus est absoluta, tunc demum lucerna ardere in candelabro cœpit, et lætitiam domesticis splendore suo creare (si tamen domum reputare oportet Synagogam Israeliticam): tunc verum apparuit lumen quod mundum illuminat. O portentum! Sol venit ad stellam, Verbum ad vocem, sponsus ad amicum; et id quidem dispensationis mysterio, ut gradatim completa in Jesu justitia, hic quidem cresceret, ut evangelicis verbis utamur, ille vero minueretur. Quomodo enim non minueretur lucernæ lumen, imo et omnino tolleretur de medio, cum jam sol justitiæ immensis prodigiorum splendoribus refulgeret? Cernis quanto corporalis ætatis spatio sub parentum suorum potestate Jesus fuerit? *O altitudo divitiarum sapientiæ et scientiæ Dei* [8]! Cur ea res, inquam? Alii alia dicant, qui sublimia intelligunt, et profunda spiritus norunt. Quantum mihi quidem videtur, duæ causæ fuerunt, nempe ut obedientiam parentibus subjectione sua legislator legislatorum, lege firmaret, ac ætatum transitiones et gradus sanctificaret. Tertia quoque causa fuit, ne insolitum aliquid et vitæ nostræ inusitatum, præsertim matura ætate, in suæ vitæ genere hic perfectissimus homo exhiberet. Ecce enim etiamsi ad id virilis ætatis complementum devenit, ausus est Arius corpus ejus exanime affirmare; Apollinaris, impietate æmulus, ipsum sine mente commentus est: hodiernus denique Manichæus incircumscriptum ipsum per summam impietatem dogmatizat. Et observemus quæ sit horum inter se differentia. Qui exanimem esse contendit, vitam denegavit dominico corpori: nam quod animâ caret, vita alienum est, ut patet. Qui autem absque mente fecit, is illum cum bruta substantia numeravit: nam quidquid sine mente est, ratione quoque caret. Qui denique incircumscriptum esse vult, ne corpoream quidem naturam corpori concedit: etenim incircumscripti consequens est incorporeum. Nam si corpus est, omne autem corpus tactui atque colori obnoxium est; quidquid his qualitatibus subest, necesse est (nisi forte nugari volumus) ut circumscribatur: adeo ut nisi circumscribatur, a sua prorsus definitione excidat, et in rem incorpoream dissolvatur. Nihil tamen videtur linguæ intemperantiam cohibere posse, quæ sæculari potestati serviat.

ζ'. Ἀλλ' ἀνακτέον τὸ ὄμμα ἐπὶ τὰς προφητικὰς θεοπτίας καὶ θεωρητέον ὅπως ἐν αὐταῖς ὑποτυποῦται τὸ ἱερώτατον βάπτισμα· εἰς τοῦτο γὰρ καλεῖ ἡ συν-

7. Sed convertendus est oculus ad visiones propheticas, videndumque quomodo sacratissimus ab his baptismas portendatur; huc enim nos vocat

[8] Rom. xi, 33.

(1) Dicit novos Manichæos seu Paulicianos Iconomachos.

sermonis series. Quid ergo Isaias ait? inde enim verba sumimus: *Lætare, sitiens desertum, quia apud te fons erupit, et rivus in terra sitiente.* Humanam scilicet naturam alloquitur, quæ in deserto veluti erat absque bonorum ex fide operum fecunditate: ideoque adoptionis laticem optanti, scaturiit baptismi aqua, amnici fluenti instar, Jordanes fluvius. Quid inde? *Erit arida in paludem*, id est in uberem fidem: *et terræ sitientis loco, aquæ fons*, ipse nimirum adoptionis fons: *ibique erit avium tripudium*, ex baptismo videlicet renatarum [9]: nam tropice baptizati avibus comparantur, quia sub rerum initio aves ex aquis productæ traduntur. Quid autem Gedeonis concha humore plena? Maternam adoptionis piscinam narratio illa significat; et quidem rotunda figura, et quaquaversus polita, ut innocentiæ speciem præbeat; in quam defluit intellectualis velleris salutaris ros Spiritu sancto plenus: unde regenerantur novelli initiati Dei filii, carnis et sanguinis nativitate mutata: ac tantopere in virum perfectum aucti, ut suo tridentali, id est Trinitatis cultu, dæmoniacum populum debellare queant. Quid item illa Eliæ tempore circa altare et victimam terna aquæ effusio? Puto hinc significari vel triplicem Dei beatissimi super baptizatum invocatam personam, vel ipsius baptizati triplicem immersionem. Naaman etiam ex aqua, Elisæi mandato, purgatus totus emersit: *Restituta est enim*, inquit Scriptura [10], *caro ejus ceu pueri parvuli, et mundatus est.* Symbolum jam tum id fuit baptizatorum: recens enim, et priorum deletis culparum stigmatibus exit, quisquis spiritu perficitur.

A ἐχεια τοῦ λόγου. Τί οὖν φησιν Ἡσαΐας (2); ἔνθεν γὰρ ἐλόντες εἴπομεν· Εὐφράνθητι, ἔρημος διψῶσα· ὅτι ἐῤῥάγη ἐν ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ. Τῇ ἀνθρωπίνῃ δηλονότι φύσει ἡ προσφώνησις, ἐν ἐρήμῳ οὔσῃ τῆς ἐκ πίστεως καὶ ἀγαθῶν ἔργων καρποφορίας· καὶ διὰ τοῦτό τὸ τῆς υἱοθεσίας νᾶμα διψώσῃ ἐῤῥάγη τὸ τοῦ βαπτίσματος ὕδωρ, καθάπερ τι ῥεῦμα ποτάμιον τὸ τοῦ Ἰορδάνου ῥεῖθρον· κἀντεῦθεν τί; Καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, τουτέστιν εἰς ἀμφιλαφῆ πίστιν· καὶ εἰς τὴν διψῶσαν γῆν, πηγὴ ὕδατος ἔσται· αὐτὴ δηλαδὴ ἡ κρήνη τῆς υἱοθεσίας· καὶ ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, τῶν ἐν τοῦ βαπτίσματος δηλονότι ἀναγεννωμένων, ὀρνέοις τροπικῶς ἐοικότων διὰ τὸ ἀπ' ἀρχῆς ἐξ ὑδάτων καὶ τὴν ὕπαρξιν ἐσχηκέναι. Τί δὲ κατὰ
B τὸν Γεδεὼν πλήρης λεκάνη ὕδατος; Τὴν τῆς υἱοθεσίας μητρόμοιον κολυμβήθραν ὑποσημαίνει ὁ λόγος, κυκλοτερῆ τε οὖσαν τῷ σχήματι, καὶ πάντοθεν ἀποτετορνημένην, τῇ τῆς ἀναμαρτησίας ἰδέᾳ· ἐφ' ᾗ ἀπερρύη ἡ τοῦ νοητοῦ πόκου ἰαματικὸς δρόσος πλήρης Πνεύματος ἁγίου· ἐξ ἧς ἀναγεννῶνται οἱ νεοτελεῖς Θεοῦ παῖδες, τὴν ἐκ σαρκὸς καὶ αἵματος ἀμειψάμενοι γέννησιν· καὶ τοσοῦτον εἰς ἄνδρα τέλειον ἀνατρέχοντες, ὡς καταπαλαίειν τῇ Τριαδικῇ λατρείᾳ τὸ δαιμόνιον φῦλον. Τί δὲ ἡ κατὰ τὸν Ἠλίαν ἐπὶ τὸ θυσιαστήριόν τε καὶ τὸ ὁλοκαύτωμα τρισσευομένη τοῦ ὕδατος ἐπίχυσις; Οἶμαί δηλοῦν ἢ τὴν τρισσὴν τῆς θείας μακαριότητος ἐν τῷ βαπτιζομένῳ ἐπιβοωμένην ὑπόστασιν, ἢ τὴν τρισσὴν αὐτοῦ τοῦ τελουμένου κατάδυσιν· ἄνεισι δὲ Νεεμὰν ἀπὸ τοῦ ὕδατος κατὰ
C τὴν Ἐλισσαιὲ διαταγὴν κεκαθαρμένος ὅλος· Ἐπέστρεψεν γὰρ, φησὶν, ἡ σὰρξ αὐτοῦ ἐπ' αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη. Σύμβολον ἤδη τοῦτο τῆς ἁπάντων τῶν βαπτιζομένων ἁμαρ[τη]τικῆς καθάρσεως· νεοθαλὴς γὰρ πᾶς τις καὶ ἄσπιλος τῶν προκατεστιγμένων πλημμελημάτων ἄνεισιν ὁ τελεσθεὶς ἐν πνεύματι.

8. Atque ut gratuitum quoque spiritalis regenerationis beneficium esse cognoscas, audi Isaiam dicentem: *Sitientes, venite ad aquam; et qui non habetis argentum, ad emendum accedite* [11]; omni enim volenti gratia patet: qua qui non potitur, vitæ jacturam facit. Sed hæc nos partim tantum delibamus ac participamus, nam paupercula etiam mens suas facit oblationes, pervigilium hoc quantum potest sanctificans. Tu vero mecum specta quæ oculis sunt subjecta: piscinæ acquis implentur, fontes ac fistulæ, rivi et stagna, Spiritus receptacula proponuntur: aquarum natura ad summum honorem evehitur. Lumina multiplicia nocte hac sacra, siderum instar, toto orbe parantur. Stat in singulis urbibus oppidisque præco celso loco sacra faciens, aquasque sanctificans per divini Spiritus in ipsas adventum; quarum utinam participatione sanctificemur, et deinde omnes splendido spiritu illustrati appareamus, in Christo Jesu Domino nostro. Cui gloria et potentia cum Patre et sancto Spiritu, nunc et per sæcula sæculorum. Amen.

η'. Εἰ δὲ βούλει γνῶναι καὶ τὸ ἄμισθον τῆς πνευματικῆς ἀναγεννήσεως, ἀκούσῃ τοῦ Ἡσαΐου λέγοντος· Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ· καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε· παντὸς γὰρ τοῦ προαιρουμένου τὸ χάρισμα, καὶ οὗ μὴ τυχεῖν, ζωῆς ἐστιν ἀπότευξις. Ἀλλὰ τούτων μὲν ἀπὸ μέρους ἡ λῆψις καὶ μέθεξις· ὅτι καὶ ἐκ πενιχρᾶς διανοίας ἡ προκόμισις ἐφ' ὅσον οἷόν τε ἀφοσιουμένης τὰ προεόρτια. Σὺ δέ μοι ἄθρει οἷά τὰ ὁρώμενα· κολυμβῆθραι ὑδάτων πεπλήρωνται, πηγαί τε καὶ
D κρῆναι, ποταμοί τε καὶ λίμναι, δοχεῖα τοῦ Πνεύματος πρόκειται· ἡ φύσις τῶν ὑδάτων εἰς τιμὴν ὑπέρτιμον προέρχεται· φῶτα πολυειδῆ τῆς ἱερᾶς νυκτὸς δίκην ἀστέρων κατὰ πᾶσαν τὴν ὑπουράνιον ἑτοιμάζεται· εἱστήκει δὲ κατὰ πᾶσαν πόλιν καὶ χώραν κήρυξ ἐπὶ τοῦ μετεώρου ἱερεύων τὰ θεῖα, καὶ ἁγιάζων τὰ ὕδατα διὰ τῆς ἐπ' αὐτὰ τοῦ θείου Πνεύματος ἐπιφοιτήσεως· ὧν τῇ μεθέξει ἁγιασθείημεν, καὶ τῇ ἐξῆς ὀφθείημεν ἅπαντες φαεινοὶ τῷ παμφαεῖ πνεύματι· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶναι τῶν αἰώνων. Ἀμήν.

[9] Isa. xxxv, 1, 6, 7. [10] IV Reg. v, 14. [11] Isa. lv, 1.

(2) Dicit Iconomachos Leoni Armeno imp. gratificantes.

Δ'.

Λόγος κατηχητικὸς τῇ ἁγίᾳ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

IV.

Oratio catechetica in sanctum magnum Paschatis diem dominicum.

(Ang. Mai, *loc. cit.* p. 24.)

α'. Τί τοῦτο, ἀδελφοὶ ἀγαπητοὶ καὶ φιλέορτοι καὶ φιλόχριστοι; τίς ἡ τοσαύτη λαμπροφορία; τίς ἡ τοσαύτη φωταγωγία καὶ θυμηδία; τί τὸ καταστράψαν οὕτω τὴν Ἐκκλησίαν; τί τὸ καταγλαΐσαν τὴν οἰκουμένην; τί τὸ παρασκευάσαν τοσαύτην γενέσθαι ἡδονὴν καὶ φαιδρότητα; Χθὲς ἐν ἀθυμίᾳ, καὶ σήμερον ἐν εὐθυμίᾳ· χθὲς ἐν κατηφείᾳ, καὶ σήμερον ἐν φαιδρότητι· χθὲς ἐν ὀλολυγμοῖς, καὶ σήμερον ἐν ἀλάλαγμοῖς. Ἐρωτᾷς τί τούτων τὸ αἴτιον, καὶ τί τὸ παρασκευάσαν γενέσθαι τοσαύτην χαρὰν καὶ λαμπρότητα; Χριστὸς ἀνέστη ἐκ νεκρῶν, καὶ ἅπας ὁ κόσμος ἠγαλλιάσατο. Κατήργησε τῷ ζωοποιῷ αὐτοῦ θανάτῳ τὸν θάνατον, καὶ πάντες οἱ ἐν τῷ ᾅδῃ τῶν δεσμῶν ἀπελύθησαν· ἠνέῳξε τὸν παράδεισον, καὶ πᾶσιν αὐτὸν εἰσηκτὸν ἀπειργάσατο. Ὦ βάθος μὴ νοούμενον! Ὦ ὕψος μὴ μερτούμενον! Ὦ μυστηρίου φρικτοῦ, νοὸς δύναμιν ὑπερβαίνοντος! Ὑμνοῦσιν ἄγγελοι τῇ σωτηρίᾳ ἡμῶν ἐπευφρανόμενοι. Προφῆται χαίρουσι τὰς οἰκείας προρρήσεις πληρουμένας θεώμενοι. Πᾶσα ἡ κτίσις συνεορταζει. Ηὔγασε γὰρ αὐτῇ ἡμέρα σωτήριος, ἔλαμψε πάλιν ὁ τῆς δικαιοσύνης Ἥλιος. Τίς τοίνυν ἀξίως τῆς λαμπρᾶς ταύτης ἡμέρας τὴν χάριν ἐξυμνήσει; Τίς μεγαλοπρεπῶς τοῦ τοσούτου μυστηρίου ἐκθειάσῃ τὴν δύναμιν; τίς ἕτερος, ἢ ὁ χρυσοῦς ἡμῶν Πατὴρ Ἰωάννης, ὁ διαπρύσιος καὶ μεγαλοφώνατος κήρυξ, ὁ τῆς οἰκουμένης διαφανέστατος καὶ λαμπρότατος φωστήρ, καὶ ἀληθινὸς ποιμὴν καὶ διδάσκαλος, ὁ τῶν ψυχῶν εὐφυέστατος καὶ ἰατρικώτατος ἰατρὸς, ὁ τῶν ἁμαρτωλῶν ἐγγυητὴς ἀξιόχρεως, ὁ ὑπὲρ τὸν Νεῖλον ποταμὸν ῥέων τὰ χρυσόρρυτα νάματα, ὁ χρυσοῦς καὶ χρυσόγλωσσος καὶ χρυσόστομος; οὗτος ἐκθειαζέτω καὶ ἀνυμνείτω καὶ κροτείτω τοῦ μυστηρίου τὴν δύναμιν· καὶ τούτου χάριν, ὡς οἷόν τε διὰ βραχέων συντετμημένων λόγων ἐξαγγελλέτω· ἀλλ' ὁ μὲν ἕτοιμός ἐστιν, ὡς τοῦ λόγου ῥήτωρ ποικίλος, καὶ σάλπιγξ μεγαλοφωνοτάτη τοῦ Πνεύματος· ἡμεῖς δὲ πρὸς τὸ ἀκούειν τούτου ἑτοιμότεροι γενώμεθα καὶ προσεκτικώτεροι, ἵν' εἴδωμεν οἷα ἡμῖν ἐπαγγέλλεται ὁ μετανοίας κήρυξ ὁ δεύτερος. Διὸ ἀκούσατε.

1. Quid hoc est, dilecti fratres, hujus festi Christique amatores? Quænam hæc tanta candidæ vestis gestatio? quis tantus luminum apparatus et hilaritas? quid tantopere Ecclesiam illuminat? quid mundum exornat? quid tantam jucunditatem lætitiamque efficit? Heri consternati, hodie exhilarati: heri in tristitia, hodie in gaudio: heri in ejulatibus, hodie in jubilis. Rogas horum causam, quidve tantum gaudium solemnitatemque afferat? Christus e mortus ressurrexit, et universus mundus exsultat. Destruxit vivifica morte sua mortem, et omnes inferorum incolæ vinculis sunt resoluti: paradisum reclusit cunctisque pervium efficet. O profunditas inscrutabilis! o altitudo immensurabilis! O tremendum mysterium mentis vim excedens! Hymnos canunt angeli salute nostra lætificati. Prophetæ gaudent, vaticinia sua ad affectum esse perducta. Universa creatura festum concelebrat: illuxit enim et dies salutaris, denuo effulsit Sol justitiæ. Quis ergo digne diei hujus gratiam decantet? Quis pro dignitate tanti vim mysterii dilaudet? quis, nisi aureus Pater noster Joannes, canorus ac vocalissimus præco, mundi illustrissimum ac splendidissimum luminare, versus pastor atque magister, peritissimus animarum ac probatissimus medicus, peccatorum reconciliator egregius, Nilo fluvio fluentior aureis laticibus, ille aureus, et aurea lingua, atque Os aureum; hic, inquam, dilaudet, hymnis et plausibus prosequatur hujus vim mysterii, ideoque breviore quam fieri poterit oratione deprædicet. At is quidem paratus est, ceu dicendi rthetor copiosus, tuba vocalissima Spiritus: nos autem ad hunc audiendum alacriores simus et attentiores, ut cognoscamus quid nobis alter pœnitentiæ præco (Joannes) nuntiet. Ergo audite.

ΑΡΧΗ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ (3)

INITIUM CHRYSOSTOMI.

β'. Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τούτης τῆς καλῆς πανηγύρεως· εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ κυρίου αὐτοῦ· εἴ τις ἔκαμε νηστεύων, ἀπολαβέτω νῦν τὸ δηνάριον· εἴ τις ἀπὸ πρώτης ὥρας εἰργάσατο, δεχέσθω νῦν τὸ δίκαιον ὄφλημα· εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαριστῶν ἑορτάσοι· εἴ τις περὶ τὴν ἕκτην ἦλθεν, μηδὲν ἀμφιβαλέτω, καὶ γὰρ οὐδὲν ζημιοῦται· εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσέλθοι μηδὲν ἐνδοιάζων· εἴ τις μόνον ἔφθασε τὴν ἑνδεκάτην, προσέλθοι, καὶ

2. Si quis pius est, Deique amans, præsente gaudeat pulchra solemnitate. Si quis servus probus, lætus intret in gaudium domini sui. Si quis laboravit jejunans nunc recipiat denarium: si quis a prima hora operatus est, nunc justam percipiat mercedem: si quis post tertiam venit, cum gratiarum actione festum agat: si quis circa sextam accessit, nihil hæsitet, nullum enim detrimentum sentiet: si quis ad nonam usque distulit, nihil dubitans veniat: si quis hora tantum undecima ad

(3) Exstat sequens sermo vel fragmentum in editione Maurina t. VIII. p. 250. Spurium incaute Montfauconius judicavit. [Vide hujusce Patrologiæ t. LIX, col. 721.] Nunc autem, Studita judice, inter genuina divi Patris scripta poni debet.

laborem se contulit, ne ipsa quidem de sua traditate timeat. Cum sit enim liberalis dominus, postremum haud secus ac primum excipit; refocillat æque undecimæ horæ operarium, ac illum qui jam inde a prima operam præstiterat; et ultimi miseretur, et primum remuneratur; huic dat, illi donat: et operam excipit, et voluntatem amplectitur: et actum debito honore afficit, et propositum laudat. Ergo omnes intrate in gaudium Domini nostri; et tum primi tum ultimi mercedem percipite: divites simul et pauperes, choream ducite: forte æque ac ignavi, hunc diem honorate: qui jejunastis, et qui secus, hodie jucundamini: mensa dapibus est referta, deliciamini omnes: vitulus saginatus, nemo discedet famelicus: cuncti copiis liberalitatis fruimini: nemo de inopia queratur, nam commune regnum adest: nemo lapsus suos lamentetur, nam venia de sepulcro exorta est: nemo mortem timeat etenim liberavit nos mors Salvatoris; exstinxit illam, a qua fuerat oppressus: vicit infernum, qui ad infernum descendit: amarum reddidit illum, qui carnes ejus gustaverat. Id præoccupans Isaias exclamavit: *Infernus*, inquit, *amarus factus est* [11], dum tibi deorsum congrederetur; amarus factus est, quia mortificatus: amarus factus est, quia illusum est ei; corpus invasit, et incidit in Deum; terram apprehendit, et in cœlum incurrit: apprehendit quem videbat, et decidit unde nescibat. *Ubi o mors, stimulus tuus? ubi, inferne, victoria tua* [12]? Resurrexit Christus, et ceciderunt dæmones: resurrexit Christus, et lætantur angeli: resurrexit Christus, et vita inter homines versatur: resurrexit Christus, et nemo mortuus in tumulis jacet Christus enim resurgens ex moritus factus est dormientium inchoatio. Dominus ex mortuis resurrexit, et cum eo multa sanctorum turba. Festum celebremus suaviter et modeste: hæc enim vere dies est quam fecit Dominus; exsultemus et lætemur in ea: prædicemus Servatoris resurrectionem, imo potius salvationi nostræ plaudamus: prædicemus salutaris diei commemorationem, prædicemus diaboli mortificationem, impurorum dæmonum captivitatem, Christianorum salutem, mortuorum resuscitationem. Nam Christi resurrectione gehennæ ignis exstinguitur, vermis perpetuus moritur, infernus turbatur, luget diabolus, peccatum perimitur, mali spiritus fugantur, terrestres in cœlum conscendunt, inferno detenti emittuntur diaboli vinculis, atque ad Deum confugientes aiunt: *Ubinam tuus, o mors stimulus? ubinam tua, o inferne victoria?*

3. Age vero nobis divini hujus festi solemnisque concionis auctor est Christus, qui et omnium nobis honorum donatur est. Is enim jam inde ab initio

A αὐτὸς μηδὲν ἐνδοιαζών· φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον καθάπερ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται· καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν· καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολάβετε· πλούσιοι καὶ πένητες, μετ' ἀλλήλων χορεύσατε· ἐγκρατεῖς καὶ ῥᾳθυμοι, τὴν ἡμέραν τιμήσατε· οἱ νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον· ἡ τράπεζα γέμει, τρυφήσατε πάντες· ὁ μόσχος πολύς, μηδεὶς ἐξέλθοι πεινῶν· πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος· μηδεὶς θρηνείτω

B πενίαν, ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία· μηδεὶς ὀδυρέσθω τὰ πταίσματα, συγγνώμη γὰρ ἀπὸ τοῦ τάφου ἀνέτειλεν· μηδεὶς φοβείσθω τὸν θάνατον, ἠλευθέρωσεν γὰρ ἡμᾶς ὁ τοῦ Σωτῆρος θάνατος· ἔσβεσεν αὐτὸν ὑπ' αὐτοῦ κατεχόμενος· ἐκώλυσε τὸν ᾅδην ὁ κατελθὼν εἰς τὸν ᾅδην· ἐπίκρανεν αὐτὸν γευσάμενον τῆς σαρκὸς αὐτοῦ· καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἐβόησεν· Ὁ ᾅδης, φησίν, ἐπικράνθη, συναντήσας σοι κάτω· ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη· ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη· ἔλαβε σῶμα, καὶ θεῷ περιέτυχεν· [ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ.] ἔλαβεν ὅπερ ἔβλεπεν, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπεν. Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος, Ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες· ἀνέστη Χριστὸς, καὶ χαίρουσιν ἄγγελοι· ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται· ἀνέστη Χριστὸς, καὶ νεκρὸς

C οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο (4)· Κύριος ἐκ νεκρῶν ἐγήγερται, καὶ μετ' αὐτοῦ πολὺς ὄχλος ἁγίων. Ἑορτάσωμεν ἡδέως τε καὶ σωφρόνως· αὕτη γὰρ ἀληθῶς ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ· κηρύξωμεν τὴν τοῦ Σωτῆρος ἀνάστασιν, μᾶλλον δὲ τὴν ἡμετέραν βοήσωμεν σωτηρίαν· κηρύξωμεν τῆς σωτηρίου ἡμέρας τὴν ὑπόμνησιν· κηρύξωμεν τὴν νέκρωσιν τοῦ διαβόλου, τὴν τῶν ἀκαθάρτων δαιμόνων αἰχμαλωσίαν, τὴν τῶν Χριστιανῶν σωτηρίαν, τὴν τῶν νεκρῶν ἀνάστασιν· διὰ γὰρ τῆς ἀναστάσεως τοῦ Χριστοῦ σβέννυται μὲν γέεννα πυρὸς, σκώληξ ὁ

D ἀκοίμητος τελευτᾷ, ᾅδης ταράττεται, πενθεῖ διάβολος, ἁμάρτια νεκροῦται, πνεύματα πονηρὰ διώκονται, οἱ ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνατρέχουσιν, οἱ ἐν τῷ ᾅδῃ ἐλευθεροῦνται τῶν δεσμῶν τοῦ διαβόλου, καὶ θεῷ προσφεύγοντες λέγουσι τῷ διαβόλῳ· Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;

γ'. Αἴτιος δὲ ἡμῖν τῆς θείας ἑορτῆς καὶ πανηγύρεως ὁ Χριστὸς, ὁ καὶ πάντων ἡμῖν τῶν καλῶν πρόξενος· οὗτος γὰρ καὶ ἐξ ἀρχῆς ἐποίησεν, ἐκ τοῦ

[11]. Isa. XIV, 9. [12] I Cor. XV, 55.

(4) Hactenus Chrysostomus in editione Maurina. Verumtamen apud nostrum Studitam videtur paulo longius progredi. Cæterum ubinam, cessante Chrysostomo, resumat orationem Studita, non satis video. — In codice Vaticano Chrysostomi fragmentum videtur desinere infra in verbo νῖκος.

μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν· οὗτος καὶ νῦν ἀπολλυμένους ἔσωσεν, νεκρωθέντας ἐζώωσεν, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἀφείλετο· οὗτος δούλους ὄντας ἡμᾶς τῆς ἁμαρτίας, ἐλευθέρους ἐνέδειξεν, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· ἐφ' οἷς ἄξιον καὶ ἡμᾶς εἰπεῖν· Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; ὁ Θεὸς ὁ μονογενὴς, ἄνθρωπος δι' ἡμᾶς γενέσθαι εὐδόκησεν, καὶ γέγονεν ὑπήκοος μέχρι θανάτου, ἵνα ἡμᾶς αἰωνίου θανάτου ῥύσηται δούλου μορφὴν ἐνεδύσατο ὁ τῶν ἀγγέλων Κύριος· σάρκα προσελάβετο ὁ Θεὸς Λόγος, καὶ ἄνθρωπος ἐφαίνετο ὁ σύμμορφος καὶ ὁμοούσιος τῷ Πατρί· καὶ ταῦτα ὑπέμεινεν ἵνα ἡμᾶς καὶ τῆς ἀδίκου δουλείας ἐξέληται; καὶ τῆς ἀτιμίας λυτρώσηται· διὰ τοῦτο ἠνέσχετο σαρκὶ ὁ τῆς ζωῆς ἀρχηγός· διὰ τοῦτο καὶ ἐτάφη τῆς ἀθανασίας ἡ πηγὴ, ἵνα τοῖς θνητοῖς ἀείδιον χαρίσηται ζωήν· καὶ παρῆν μὲν ἐπὶ τῆς γῆς εὐεργετῶν, καὶ ἰώμενος παντα τὰ πάθη τῶν ἀνθρώπων, ἀναξίας δὲ ὑπὸ τῶν θεομάχων Ἰουδαίων ὑπολαμβάνει ὰς ἀμοιβάς· ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ πολλὴν ἀγαθότηνα λεπροὺς ἐκαθάρισεν, τυφλοῖς τὸ βλέπειν ἐχαρίσατο, ἀσθενοῦντας ἐθεράπευσεν, δαίμονας ἀπήλασεν, τὸν Λάζαρον τετραήμερον ἐκ τῶν νεκρῶν ἤγειρεν, καὶ ἐκ πέντε ἄρτων πενταχισχιλίους ἐχόρτασεν· ἐπὶ θαλάσσης περιεπάτησεν, τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν, τὴν αἱμορροοῦσαν ἰάσατο, τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου θανοῦσαν ἐζωοποίησεν. Ἰουδαῖοι δὲ ὑπὸ φθόνου καὶ βασκανίας κινηθέντες, ποτὲ μὲν ἐλίθαζον αὐτὸν, ποτὲ δὲ κατακρημνίζειν ἐπειρῶντο, τελευταῖον δὲ καὶ ἐπὶ τὸν σταυρὸν ἤγαγον.

creavit, ex nihilo ad exsistendum produxit : idem et nunc pessumdatos salvavit, mortificatos vivificavit, et diaboli tyrannide eripuit : idem nos peccati servos libertate donavit, delens quod adversus nos erat chirographum. Christus legis nos maledictione redemit, factus pro nobis maledictio. Quorum causa nos quoque dicere æquum est : *Quid retribuemus Domino pro omnibus quæ nobis retribuit* [12a]? Deus Filius unigenitus, homo nostri gratia fieri voluit, factusque unigenitus, homo nostri gratia fieri voluit, factusque est usque ad mortem obediens, ut nos æternæ morti eriperet : servi formam induit Dominus angelorum : carnem assumpsit Deus Verbum, homoque apparuit qui conformis et consubstantialis Patri est. Atque hæc sustinuit, ut injusto nos servitio liberaret, et infamia exueret. Idcirco passus est carne, vitæ auctor ; ideo etiam sepultus, qui fons erat immortalitatis, ut mortalibus æternam largiretur vitam. Et is quidem in mundo fuit bene faciens et cunctas hominum sanans infirmitates, indignas tamen a Dei hostibus Judæis gratias retulit. Certe Dominus noster Jesus Christus propter multam suam bonitatem leprosos mundavit, cæcis visum tribuit, ægros sanavit, dæmones expulit, Lazarum quatriduanum ex mortuis revocavit, et quinque panibus quinque hominum milia saturavit, supra mare ambulavit, aquam in vinum convertit, hæmorrhoissæ mulieri medicinam fecit, archisynagogi filiam exstinctam vitæ restituit. At Judæi, invidia ac livore permoti, modo eum lapidibus appetebant, modo præcipitem dare conati sunt, postremo in crucem egerunt.

Ὁ δὲ Ἀλλ' ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐμιμήσατο τῶν βλασφήμων Ἰουδαίων τὴν κακίαν, ἀλλὰ καὶ τὸν νῶτον ἐδίδου εἰς μάστιγας κατὰ τὸν προφήτην, καὶ τὰς σιαγόνας αὐτοῦ εἰς ῥαπίσματα, καὶ οὐκ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ τὸ τελευταῖον. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὐκ ἀντιτασσόμενος, οὐκ ἀντιλέγων· βλασφημούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρίδου δὲ ἑαυτὸν τῷ κρίνοντι· οὐ γὰρ ἦλθον ἐπὶ τῇ πρώτῃ παρουσίᾳ κολασαι καὶ τιμωρήσασθαι τοὺς ἀπίστους, ἀλλ' ἠθέλησεν διὰ μακροθυμίας ὁδηγῆσαι τοὺς πεπλανημένους ἐπὶ τὴν ἀλήθειαν· καὶ μάθε τοῦ Κυρίου τὴν ἀγαθότητα καὶ τὴν χρηστότητα τὴν μεγάλην· ἐβλασφήμουν εἰς αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἔλεγον· Δαιμόνιον ἔχεις· ὁ δὲ Κύριος μακρόθυμος ὢν, τοὺς δαίμονας ἀπὸ τῶν ἀνθρώπων ἀπήλαυνεν· Ἰουδαῖοι εἰς τὸ πρόσωπον αὐτοῦ ἐνέπτυον, αὐτὸς δὲ τοὺς τυφλοὺς αὐτῶν ἐθεράπευεν· Ἰουδαῖοι τὸν Χριστὸν ἐλίθαζον, ὁ δὲ Χριστὸς τοῖς χωλοῖς αὐτῶν τὸ βαδίζειν ἐχαρίζετο· καὶ ὅτι ὅλου διετέλεσεν εὐεργετῶν τοὺς ὑβρίζοντας, καὶ ἀντὶ κακῶν ἀγαθὰ δωρούμενος τοῖς ἀχαρίστοις ἐκείνοις καὶ μισαροῖς ἀνθρώποις· ἀνεξικάκως δὲ φέρων τὰς λοιδορίας, ἴσως καὶ ἀσθενὴς ἐνομίζετο ὁ ὑπὸ ἀγγέλων δορυφορούμενος.

4. Verumtamen Dominus noster Jesus Christus non est imitatus blasphemorum Judæorum malitiam, sed dorsum flagellis obtulit, ut ait propheta [13], et maxillas alapis, neque faciem a stuporum fœditate avertit denique *tanquam ovis ad occisionem ductus est, et velut agnus coram tondente se obmutuit* [14], non resistens, non contradicens, blasphemiis perculsus, non vicissim maledicebat, patiens non comminabatur, sed semetipsum judicanti permittebat. Non enim venit ut sua priore præsentia puniret atque ulcisceretur incredulos, sed longa patientia errantes voluit ad veritatem deducere. Et disce Domini clementiam ac mansuetudinem magnam. Blasphemabant adversus eum Judæi dicentes : Dæmonium habes : et patiens Dominus dæmones ex hominibus ejiciebat. Judæi in faciem ejus spuebant, at Dominus eorum cæcos (sputo liniens) sanabat. Judæi Christum lapidabant, Christus autem claudis eorum gradiendi vim tribuebat : mosque ejus perpetuus fuit bene faciendi offensoribus, maleficiorum loco beneficia ingratis illis hominibus detestandisque rependere : in tantum ut dum convicia imperturbatus perferret, impotens fortasse videretur ille, qui alioqui ab angelis stipabatur.

[12a] Psal. CXV, 12. [13] Isa. L, 6. [14] Isa. LIII, 7; Act. VIII, 32.

5. Sed ne plura dicendo videamur orationem producere, ad ipsam rerum summam veniamus. Postremo igitur cruci necique traditus fuit gloriæ Rex, et in ligno clavis confixus qui a Cherubinis Seraphinisque hymnorum cantu celebratur, et a cunctis virtutibus angelisque adoratur. Hæc benigne sustinuit ac passus est, nobis exemplum præbens, et mansuetudinis factus magister. Quapropter nos quoque debemus improborum hominum minas fortiter ferre. Quin adeo in cruce pendens majora operaet plura miracula edidit, ut ita Deo odibilium vesaniam sedaret, neque excusationem incredulitati sua prætenderent, quod simplicem hominem crucifixissent. Primo itaque passus est Christus se crucifigi, et in aerem attolli, ut aereos dæmones fugaret Suspensus est ligno, ut culpam ligni causa hominibus olim inflictam corrigeret. Lancea latus ejus perfossum, propter sumptam de Adami latere feminam. Nam postea quom serpens Evam decepit, Evaque Adamum ad transgressionem impulit, edita est contra utrumque sententia, *regnavitque mors ab Adamo usque ad Moysen super eos etiam qui non peccaverant* [15]. Propterea vulneratur latus, ut discamus non viris tantumodo verum etiam mulieribus passionem Christi attulisse salutem. *Adamus enim prior formatus fuit, deinde Eva : et Adamus quidem non est deceptus, sed mulier decepta in transgressionem incurrit* [16], Salvabitur tamen propter sanctæ Mariæ partum. Hæc enim Servatorem Christum peperit sine viri congressus, Isaia teste [17], sed sancti Spiritus obumbratione, sicut archangelus Gabriel nuntiaverat. Quamobrem latus quoque Christi vulneratur, ut prædicta dispensatorio modo fierent, baptismi mysterium prædicaretur, et futura gratia illucesceret. Eliciuntur enim sanguis et aqua ex Christi latere, ut peccati chirographum contra nos criptum eluatur, sanguine illius purificemur, et paradisum adipiscamus.

ε'. Καὶ ἵνα μὴ πολλὰ λέγοντες δόξωμεν μηκῦναι τὸν λόγον, ἔλθωμεν καὶ εἰς αὐσὰ τὰ κεφάλαια τῶν πραγμάτων· τέλος οὖν ἤγετο ἐπὶ τὸν σταυρὸν καὶ θάνατόν ὁ τῆς δόξης βασιλεὺς, καὶ προσήλωτό τῷ ξύλῳ ὁ ὑπὸ τῶν Χερουβὶμ καὶ Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ πασῶν δυνάμεών τε καὶ ἀγγέλων προσκυνούμενος· ταῦτα δὲ πρᾴως ὑπέμενέ τε καὶ ἔπασχεν, ἡμῖν ὑπογραμμὸν παρέχων, καὶ διδάσκαλος ἐπιεικείας γινόμενος· διὰ τοῦτο οὖν καὶ ἡμεῖς ὀφείλομεν γενναίως φέρειν τὰς τῶν πονηρῶν ἀνθρώπων ἀπειλάς· ἀλλὰ γὰρ καὶ ἐπὶ τοῦ σταυροῦ κρεμασθεὶς μείζονα ἔργα καὶ πλείονα θαύματα ἐνεδείξατο, ἵνα ἂν οὕτως παύσῃ τῶν θεοστυγῶν τὴν μανίαν, ὥστε μὴ ἔχειν αὐτοὺς πρόφασιν τῆς ἀπιστίας, μήτε λέγειν ὅτι Ψιλὸν ἄνθρωπον ἐσταυρώσαμεν· πρῶτον μὲν οὖν ἠνέσχετο ὁ Χριστὸς σταυρωθῆναι, καὶ εἰς τὸν ἀέρα ἀρθῆναι, ἵνα τοὺς ἐν τῷ ἀέρι δαίμονας φυγαδεύσῃ· ἐκρεμάσθη ἐπὶ ξύλου, ἵνα τὴν πάλαι διὰ ξύλου προσγενομένη τοῖς ἀνθρώποις ἁμαρτίαν ἰάσηται· ἐνύγη καὶ λόγχῃ τὴν πλευράν, διὰ τὴν ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ληφθεῖσαν γυναῖκα· ἐπειδὴ γὰρ ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν, ἡ δὲ Εὔα τὸν Ἀδὰμ παραβῆναι παρεσκεύασεν, ἐξῆλθεν δὴ ἀπόφασις κατὰ τῶν ἀμφοτέρων, Καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. Διὰ τοῦτο τιτρώσκεται ἡ πλευρὰ, ἵνα μάθωμεν ὅτι οὐ μόνον ἀνδράσιν ἤνεγκε σωτηρίαν τὸ πάθος τοῦ Χριστοῦ, ἀλλὰ καὶ γυναιξί· Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε· Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας τῆς ἁγίας Μαρίας· αὕτη γὰρ τὸν Σωτῆρα Χριστὸν ἐτεκνώσατο, οὐκ ἀνδρὶ συνελθοῦσα, ὡς Ἡσαΐας μαρτυρεῖ, ἀλλὰ Πνεύματος ἁγίου ἐπισκιάσει, καθὼς ὁ Γαβριὴλ ὁ ἀρχάγγελος εὐηγγελίσατο· διὰ ταύτην οὖν τὴν πρόφασιν καὶ ἡ πλευρὰ πλήσσεται τοῦ Χριστοῦ, ἵνα καὶ τὰ προειρημένα οἰκονομηθῇ, καὶ τὸ μυστήριον τοῦ βαπτίσματος κηρυχθῇ, καὶ ἡ χάρις ἡ μέλλουσα λάμψῃ· πηγάζει γὰρ αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ, ἵνα καὶ τὸ καθ' ἡμῶν χειρόγραφον τῆς ἁμαρτίας ἀπαλείψῃ· καὶ τῷ αἵματι αὐτοῦ καθαρισθῶμεν, καὶ τὸν παράδεισον ἀπολάβωμεν.

6. O grande mysterium! Latro resipuit, opus erat aqua ut baptizaretur, in cruce pendebat, nullus erat alius idoneus baptismo locus, non fons, non stagnum, non imber; nemo præterea qui liturgiam perageret : cuncti enim, metu Judæorum, discipuli diffugerant. Sed non carebat lacticibus Jesus : etiam in cruce suspensus, erat nihilominus aquarum creator. Nam quia fieri non poterat, ut regnum cœlorum ingrederetur latro absque baptismo, sanguinem et aquam emisit de suffosso latere suo Servator, ut dictum latronem impendentibus malis liberaret, suumque sanguinem redemptionis pretium esse demonstraret illorum, qui in ipso spem collocant.

Nam *Si taurorum sanguis atque hircorum, et cinis vitulæ aspersus inquinatos sanctificat ad carnis purificationem, quanto magis sanguis Salvatoris nostri* [18] omnium simul Christianorum purgatorium fiet? Si quis ergo tibi dicat infidelis : Cur crucifixus est

ς'. Ὦ μυστηρίου μεγάλου! μετενόησεν ὁ λῃστὴς χρεία ἦν ὕδατος ἵνα βαπτισθῇ· ἐπὶ τοῦ σταυροῦ ἐκρέματο οὐκ ἦν ἕτερος τόπος βαπτίσματος, οὐ πηγὴ, οὐ λίμνη, οὐκ ὄμβρος, οὐκ ὁ τὴν μυσταγωγίαν ἐπιτελῶν· πάντες γὰρ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἔφυγον οἱ μαθηταί· ἀλλ' οὐκ ἠπόρησεν ὁ Ἰησοῦς νομάτων, ἀλλὰ καὶ ἐπὶ σταυροῦ κρεμάμενος, δημιουργὸς ὑδάτων γέγονε ἐπειδὴ γὰρ οὐχ οἷόν τε ἦν εἰσελθεῖν εἰς τὴν βασιλείαν τὸν λῃστὴρ δίχα βαπτίσματος, αἷμα καὶ ὕδωρ προσήκατο τῆς νυγείσης αὐτοῦ πλευρᾶς ὁ Σωτὴρ, ἵνα αὐτὸν λῃστὴν ἐλευθερώσῃ τῶν ἐπηρμένων κακῶν, καὶ τὸ αἷμα λύτρον ἀποδείξῃ γενόμενον τῶν εἰς αὐτὸν τὰς ἐλπίδας ἐχόντων· Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς κάθαρσιν, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Σωτῆρος ἡμῶν καθάρσιον γέγονε πάντων ὁμοῦ Χριστιανῶν; Ἐὰν οὖν εἴπῃ σοί τις τῶν

[15] *Rom. v, 15.* [16] *I Tim. II, 13, 14.* [17] Isa. VII, 14. [18] Hebr. IX, 12, 13.

ἀκίστων, Διὰ τί ἐσταυρώθη ὁ Χριστός; εἰπὲ αὐτῷ, Ἵνα σταυρώσῃ τὸν διάβολον· ἐὰν εἴπῃ σοι, Διὰ τί ἐκρεμάσθη ἐπὶ ξύλου; εἰπὲ αὐτῷ, Ἵνα τὰς ἀκάνθας καὶ τριβόλους ἐκριζώσῃ τοῦ Ἀδάμ· ἐκεῖνος γὰρ στένειν καὶ τρέμειν κατεδικάσθη, καὶ τριβόλους γεωργεῖν· Ἰησοῦς οὖν φιλάνθρωπος ὢν, καὶ τοῦ ἰδίου πλάσματος θέλων προνοήσασθαι, πάντα ὑπέστη δι' ἡμᾶς, ἵνα ἡμεῖς τῆς καταδίκης ἐλευθερωθῶμεν· ὥσπερ γὰρ ἐγεννήθη ὑπὸ γυναικὸς, ἵνα τὴν ἐκ γυναικὸς προσγενομένην ἁμαρτίαν τοῖς ἀνθρώποις ἀπαλείψῃ, οὕτως καὶ ταῖς ἀκάνθαις στεφανοῦται, ἵνα τὴν κακῶς γεωργηθεῖσαν ὑπὸ τῆς ἁμαρτίας γῆν, διὰ τῆς ἰδίας ὑπακοῆς ἡμερωτέραν ἐργάσηται· ἐὰν εἴπῃ σοι, Διὰ τί χολὴν καὶ ὄξος ἔπιεν; εἰπὲ αὐτῷ, Ἵνα ἡμεῖς τὸν θανατηφόρον ἰὸν ἐξεμέσωμεν τοῦ δράκοντος· ἡ γὰρ χολὴ, ἐμὸν γέγονε γλύκασμα· καὶ τὸ ὄξος ἐκεῖνο, ἐμοὶ γέγονεν εἰς γλύκασμα καὶ ἴαμα· ἐὰν δέ σοι πάλιν εἴπῃ ἄπιστος. Διὰ τί ἐγονυπέτουν αὐτὸν προσιόντες αὐτῷ; εἰπὲ αὐτῷ, Ἵνα καὶ μὴ θέλοντες προσκυνήσωσιν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ τὴν βασιλείαν αὐτοῦ ἄκοντες ἐπὶ τὴν γῆν ὁμολογήσωσι· νῦν μὲν γὰρ χλευάζοντὲς προσεκύνουν, μὴ εἰδότες ὁ ἔπραττον, ἐν δὲ τῇ μελλούσῃ ἀναστάσει « πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. » Ἔχει δὲ καὶ ἡ χλαμὺς ἐκείνη καὶ ἕτερον αἴνιγμα· οὐ μόνον γὰρ τὴν βασιλείαν ὑπετύπουν, ἀλλὰ γὰρ καὶ τὸ αἱμοβόρον καὶ φονῶδες τῶν Ἰουδαίων ἐπεδείκνυντο· ἔδωκαν δὲ καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, ἵνα γραφῶσιν αὐτῶν αἱ ἁμαρτίαι.

A Christus? dic ei: Ut diabolum crucifigeret. Si tibi dicat: Cur pependit in ligno? dic ei: Ut spinas et tribulos Adami exstirparet: hic enim ad gemitus pavoresque damnatus fuit, et ad tribulos excolendos: Jesus ergo cum sit humanissimus, et suæ creaturæ vellet curam gerere, cuncta pro nobis sustinuit ut nos damnatione eriperet. Sicut enim ex muliere natus est, ut inflictum a muliere hominibus peccatum deleret, ita etiam spinis coronatur, ut male excultam a peccato terram, obedientia sua mitiorem redderet. Si dicat tibi: Cur fel et acetum bibit? dic ei: Ut nos mortiferum draconis venenum evomeremus: illud enim fel, dulcedo mea evasit: et acetum illud, mihi suavitas fuit et medela. Si denique tibi dicat infidelis: Cur ad illum accedentes genu flectebant Judæi? dic ei: Ut nolentes etiam B ipsum adorarent, et regnum ejus vel inviti humo strati confiterentur. Nunc quidem cum irrisione eum adorabant, nescientes quid agerent, in futura autem resurrectione « omne genu flectetur cœlestium, terrestrium et infernorum, et omnis lingua confitebitur Dominum Jesum Christum in gloria esse Dei Patris. Amem [20a]. » Habet etiam illa chlamys aliud ænigma: non enim regni tantummodo indicium erat, verum etiam cruentum et exitiosum Judæorum ingenidum demonstrabat. Calamum quoque manui ejus tradiderunt, ut ipsorum scriberentur peccata.

ζ. Ταῦτα μὲν οὖν οἱ Χριστομάχοι ἐποίουν, ἀγνοοῦντες τὸν ἐσταυρωμένον· ἡ δὲ κτίσις οὐκ ἠγνόησε τὸν ἀκτῆς Δεσπότην καὶ Δημιουργόν· ἔτι γὰρ τοῦ Σωτῆρος ἐπὶ τοῦ σταυροῦ κρεμαμένου, θεωρήσας ὁ αἰσθητὸς ἥλιος τὸν Ἥλιον τῆς δικαιοσύνης ὑπὸ τῶν ἀνόμων ὑβριζόμενον, καὶ μὴ φέρων τὸ τόλμημα, φεύγει σπεύσας τὴν γῆν, ἄτοπον ἡγησάμενος συνεργεῖν καὶ φωτίζειν ὀφθαλμοὺς τὴν μεγίστην ἀσεβοῦντας ἀσέβειαν· οὐ μόνον δὲ ὁ ἥλιος ἔφευγεν, ἀλλὰ καὶ ἡ γῆ ἐκινεῖτο μὴ φέρουσα τὴν ἀνομίαν τῶν δρωμένων, ἐνδεικνυμένη δὲ καὶ διδάσκουσα, ὅτι Θεὸς ἦν ὁ σταυρούμενος· διὸ οὐδὲ ἠνείχετο, ἀλλ' ἐχαλαίπαινε μὴ θέλουσα φέρειν ἐφ' ἑαυτῆς τοὺς θεοστυγεῖς Ἰουδαίους· οὐχ οὕτως γὰρ ἀδελφοκτονήσας ἔχρανε τὴν γῆν ὁ Κάϊν, οὐδ' οὕτως ἐβάρησεν αὐτὴν ἡ τῶν γιγάντων πυργοποιία, οὐδ' οὕτως αὐτὴν ἐμίαναν ἀθεμιτουργήσαντες Σοδομῖται, οὐδ' αὐτοὶ οἱ τὰ εἴδωλα ἐξ αὐτῆς πλάσαντες, οὐ τὸ αἷμα ἀπὸ Ἄβελ ἕως Ζαχαρίου ἐκχυθὲν ἐποίησεν αὐτὴν οὕτως, ὅσον οἱ Ἰουδαῖοι τὸ μέγα τοῦτο τολμήσαντες ἀσέβημα· διὰ γὰρ τοῦτο καὶ αἱ σκληραὶ πέτραι ἐσχίζοντο, ἵνα μάθωσιν ὅτι οὗτός ἐστιν ἡ πνευματικὴ καὶ ζῶσα πέτρα· Ἔπινον γὰρ, φησὶν [19], ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. Ὦ τῆς Ἰουδαίων ἀγνωμοσύνης! Αἱ πέτραι διαῤῥήγνυνται, καὶ αὐτοὶ ἀναισθητοῦσι· τὰ ἄψυχα κλονεῖται, καὶ οἱ ἔμψυχοι ἀπιστοῦσι· τὸ καταπέτασμα τοῦ ναοῦ ῥήγνυται, ἵνα λοιπὸν ἡ ἐρήμωσις αὐτῶν δειχθῇ· ἐσχίσθη γὰρ τὸ καταπέτασμα καὶ ἐγνυμνώθη τὰ ἐν τῷ

7. Hæc itaque hostes Christi patrarunt, quem crucifigebant ignorantes. Reliqua tamen creatura Dominum suum non nescivit et Creatorem. Adhuc C Servatore de cruce pendente, sol hic sensibilis cernens justitiæ Solem ab impiis injuria affectum, nec facinus patiens, tellurem obtenebrans fugit, indignum putans favere et oculos illuminare hominibus qui se summo scelere impiaverant. Neque sol tantum fugit, verum etiam terra mota est, facinus impium non ferens, Deum illum esse docens qui erat crucifixus. Quare nec ulterius tulit, atque indignata est pondus ferre Deo odibilium Judæorum. Non ita fratris interfector Cain illam contaminavit, non ita gigantum fabricata turris eam prægravavit, non ita illam polluerunt nefandi Sodomitæ, neque ii qui idola ex ejusdem materia effecerunt, non ita ex Abele usque ad Zachariam sanguis effusus, quantum Judæi hoc ingens facinus ausi. Propter hoc enim D duræ quoque petræ scissæ sunt, ut ii dicerent hanc esse spiritalem vivamque petram. *Bibebant enim*, inquit, *de spiritali sequente eos petra; petra autem Christus erat* [19]. O ingratos Judæorum animos! pstræ scinduntur, et ipsi obdurescunt: inanimata moventur, et ipsi discredunt: templi velum scinditur, ut ipsorum futura vastitas designetur. Scissum quippe velum est, et arcana templi patefacta, propter Christi dicum: *En relinquitur domus vestra deserta* [20]: reapse enim desertata sunt post Christi necem Judæorum sacra omnia: et qui in-

[19] I Cor. x, 4. [20] Luc. XIII, 35. [20a] Philipp. II, 10.

colebant urbem templumque angeli, illinc abscesserunt, atque ad Ecclesiam transmigrarunt : multaque corpora eorum qui dormierant resurrexerunt cum Christo : ut nos discamus Christum a morte haud solum resurgere, sed cunctos ipsi credentes ex mortuis æque suscitaturum.

Χριστῷ, ἵνα μάθωμεν ἡμεῖς ὅτι Χριστὸς ἀποθανὼν, μόνος οὐκ ἀνίσταται, ἀλλὰ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας ἐκ νεκρῶν ἀνίστησι.

8. Hæc summatim est veneranda Paschatis solemnitas : hæc Christianorum mysteria de resurrectione mortuorum vitaque æterna celebramus. Ergo solemnia agamus non fermento malitiæ et nequitiæ, sed azymis sinceritatis et veritatis, credentes in Patrem, Filium ac Spiritum sanctum, in consubstantialem increatamque Trinitatem, credentes resurrectioni, exspectantes Dominum denuo venturum, neque jam humiliter, sed gloriose cum cœlesti majestate, cum splendidis angelis, cum tubis atque terrore simul et gaudio : gaudio, inquam, sanctorum, terrore peccatorum ac damnatorum. Deus autem pacis dignos nos omnes faciat resurgendi cum sanctis, quorum opera, et verba, et orthodoxam fidem imitati fuerimus ! quia ipsi est gloria et potentia per sæcula sæculorum. Amen.

A ναῷ, διὰ τὸν εἰπόντα Χριστὸν [20], Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος· καὶ γὰρ ἠρήμωται μετὰ τὴν Χριστοκτονίαν πάντα τὰ τῶν Ἰουδαίων σεμνά· καὶ οἱ παραμένοντες τῇ πόλει καὶ τῷ ἱερῷ ἀγγελοι μετέβησαν ἐκεῖθεν, καὶ ἦλθον εἰς τὴν Ἐκκλησίαν· πολλὰ δὲ καὶ σώματα τῶν κεκοιμημένων συνανέστη τῷ

η'. Αὕτη ὡς ἐν κεφαλαίῳ ἐστὶν ἡ σεμνὴ τοῦ Πάσχα ἑορτή· καὶ ταῦτα Χριστιανῶν τὰ μυστήρια περὶ ἀναστάσεως νεκρῶν καὶ ζωῆς αἰωνίου πανηγυρίζομεν· τοιγαροῦν ἑορτάσωμεν μὴ ἐν ζύμῃ κακίας καὶ B πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, πιστεύοντες εἰς Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα τὸ ἅγιον, εἰς Τριάδα ὁμοούσιον καὶ ἄκτιστον, πιστεύοντες τῇ ἀναστάσει, προσδοκῶντες τὸν Κύριον πάλιν ἐρχόμενον, οὐκέτι μὲν ταπεινῶς, ἀλλ' ἐνδόξως μετὰ λαμπρότητος οὐρανίου, μετὰ φωτεινῶν ἀγγέλων, μετὰ σαλπίγγων καὶ φόβου καὶ χαρᾶς, χαρᾶς μὲν τῶν ἁγίων, φόβου δὲ τῶν καταδίκων καὶ ἁμαρτωλῶν· ὁ δὲ Θεὸς τῆς εἰρήνης καταξιώσῃ πάντας ἡμᾶς μετὰ ἁγίων ἀναστάσεως, ἐν ἔργοις καὶ λόγοις εὑρεθέντας καὶ πίστει ὀρθοδόξῳ ! ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

V.

Laudatio in dormitionem sanctæ Dominæ nostræ Deiparæ.

1. Tubæ vocem, buccinæ clangorem, solito resonantius clamantem, et orbis fines strepitu concutientem, sermo meus cum postulet ob hanc sacri præconii diem celebrandam; vix, o viri, per phonetici nostri organi infirmas vires procedit. Sed Regina ac Domina universi, tanquam minime ambitiosa, recipiet, spero, hunc quoque brevem, famulitio ejus addictum, pauperculum nostrum sermonem, haud secus quam sublimium oratorum longas splendidasque orationes, ejus qui mihi id demandavit, precibus propitiata : præter quam quod, unice aspicit mentis propositum benignissima virgo. Age nunc mihi huc simul adesto, universa quæ cœlo subes terra, quantum est pontificum ac sacerdotum, monachorum et laicorum, regum et principum, virorum ac feminarum, adolescentulorum ac virginum, tribuum et linguarum, ex omni genere ac populo ; virtutumque quasi mutatoriis sumptis, auribis fimbriis circumamicta et variata, prodi hilariter gestiens, ut Dominiparæ Mariæ funebria et transitum celebres. Migrat enim ex his terrestribus et appropinquat montibus æternis, verus Sionis mons, in quo Deo habitare placuit, ut Psalmistæ lyra canit [21]. Hodie igitur terrenum cœlum incorruptibilitatis vestimento cir-

Ε'.

Ἐγκώμιον εἰς τὴν κοίμησιν τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου (5).

α'. Φωνὴν σάλπιγγος, κερατίνης βοῆς ἀλαλάζουσαν C γεγωνότερον καὶ καταδονοῦσαν τὰ πέρατα, ἀπαιτῶν ὁ λόγος πρὸς εὐφημίαν τῆς παρούσης ἱεροκηρύκτου ἡμέρας, κινδυνεύει, ὦ ἄνδρες, δι' ἀσθενοῦς τοῦ φωνητικοῦ ἡμῶν ὀργάνου προερχόμενος· ἀλλ' ἡ βασίλισσα καὶ κυρία τοῦ παντὸς, ὡς οἷά τις ἀφιλότιμος, δέξαιτο τάχα καὶ τὸν τῇδε δουλικὸν αὐτῆς βραχὺν καὶ πενιχρὸν ἡμῶν λόγον, ὡς τῶν ὑψηγόρων τοὺς μακρούς τε καὶ ὑπερλάμπρους, ταῖς τοῦ προστάσσοντος εὐχαῖς εὐμενιζομένη· ἐπείπερ καὶ πρὸς ἓν μόνον βλέπει τὸ τῆς προθέσεως ἡ φιλάγαθος· ἀλλά μοι δεῦρο, συναγέρθητι, ἡ ὑπ' οὐρανὸν ἅπασα, ὅσον ἐν ἱεράρχαις τε καὶ ἱερεῦσιν, ἐν μοναδικοῖς τε καὶ μιγάσιν, ἐν βασιλεῦσί τε καὶ ἄρχουσιν, ἐν ἀνδράσι τε καὶ γυναιξὶν, ἐν νεανίσκοις τε καὶ παρθένοις, ἐν φυλαῖς τε καὶ γλώσσαις, παγγενεί τε καὶ παμπληθεῖ, D καὶ τὰς τῶν ἀρετῶν ἐσθῆτας ἐξυπαλλάσσουσα, ὡς ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη, πρόελθε φαιδρῶς γεγηθυῖα τῆς Κυριοτόκου Μαρίας ἑορτὴν ἑορτάζουσα τὰ ἐπικήδειά τε καὶ διαβατήρια· μεταβαίνει γὰρ ἐκ τῶν ἐνθένδε καὶ ἐγγίζει ὄρεσιν αἰωνίοις, τὸ ὄρος ὄντως τὸ Σιὼν, ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ, ὡς ἡ τοῦ ψάλλοντος λύρα· σημερον τοιγαροῦν ὁ ἐπίγειος οὐρανὸς τῷ τῆς ἀφθαρσίας περιβολαίῳ ἑλισσόμενος, ἐξαλλάττεται εἰς διαμονὴν

[21] Psal. CXXXI, 14.

(5) Adnotatio. In codice prisco Vat. 455, f. 226 *b*, legitur alia oratio cum hoc titulo : Τοῦ ἁγίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ νέου ὁμολογη τοῦ εἰς τὸ γενέθλιον τῆς ὑπεραγίας Θεοτόκου ἐν ᾧ τὸἐξήκοντα χαῖρε. *Sancti patris nostri Theodori, novi confessoris (id est Studitæ), in nativitatem sanctissimæ Deiparæ, ubi sexaginta ave.* Incipit. Λαμπρῶς πανηγυρίζει ἡ κτίσις τήμερον : *splendide hodie solemnitatem agit creata natura.* Equidem vix dubito quin prædicta oratio Studitæ nostri sit ; sed quia sub S. Joannis Damasceni nomine edidit eam Lequinius Opp. t. II, p. 849 seqq., a me prætermitti debuit.

τὴν βλάστησιν τε καὶ ἀκμὴν· σημεῖον ἡ νηστεία καὶ θεσμοθετικὴ πάντη τῆς ἐγκρατείας ἕξις ἐπισφραγίσασα, ἐλάττω μὲν τοῦ τῆς ταπεινώσεως ζυγὸς πρόσκλισιν ἐν ἑαυτῷ δι' ἀκριβείαν ἐπιφερόμενον· τῷ τῆς ἀπαθείας δὲ σταθμῷ ἰσορροποῦν· σημεῖον ἡ χαριστικωτάτη καὶ ἱκετηριωτάτη φωνὴ τοῦ ἀγαπητοῦ ἐκ τῶν ἐσχάτων πατουμένου ἐπιτείνουσα πρὸς τὸν ἄνω ἱκετηρίαν ἀποστέλλειν· καὶ ἡ ἱκετευτικὴ λιτὴ τοῦ τὰς κλεῖδας ἔχειν ἐκεῖνον ἡμῖν ἀνοιγούσας· ἀλλ' ἀναμφιλόγως αὐτὴν, τὴν ἀκριβῆ ἄνοιξιν ἐπιφέρουσα.

A remembrum transferat ad meliorem statumque mansionem. Unde spiritalis aqua a Deo illuminata ex ejus fonte suum inducens, dulcet quidem a gressu amaritudinem, simulque succum immortalitatis figens in fructu. Unde manna et e virtute laborum sanctorum area de acervis adhuc mundis ad superam Jerusalem commigrans regnum Dei narrans, si quid nobis et cheiragra Davidi cithara vocet canens ad, *Adjutorium meum tu es*[22]; si ne animam quidem nostram ab afferentium tradere. Unde angeli, ut nobis

β'. Νῦν τοίνυν ἐγὼ μητρικὸν ὄμμα ἐπιφέρουσα, τοὺς πνευματικοὺς ἡμῶν καὶ ἀγγελικοὺς ἀνοίξω φθαλμούς, αὐτὸν καταλείπουσα, εἰ τι γογγυσεῖν τε καὶ ἐξιλάσασθαι τὸ πρόσκαιρον τοῦ θεοῦ ἔσται τῆς τοῦ κτίσματος ἀπολύσεως· οὐκ ἐν τῇ ἀνυδρίᾳ σοφῇ τὸ ἔκπωμα χαλκοῦν ἐπιστήσασα, ἀλλὰ τὸν πλοῦτον τοῦ πνεύματος ἐκ τοῦ τοιούτου γένους ἐξαντλήσει σπεῦσα· οὐκ ἐν τῇ συκαμινέᾳ καὶ ἀγρίᾳ πλάνῃ ἐπιστήσασα, ἀκαρπίαν κλίτος ἀφθαρτοποιὸν πρὸς τὸν δεσπότην· ἐπὶ τὸν ἡδύπνοον καὶ φορτικὸν χαρακτῆρα ἀποβλέψασα, ἐκπλαγήσεσθαι τὴ σαγηνευτικῇ κλίσει εἶναι, καὶ τοσούτων τοῦ λαοῦ εἰς ἱσπασμὸν ἐλευσομένων σχετικῆς προσκυνήσεως, κἂν μὴ βούλωνται εἰδωλοτρίβαι ὄντες· ἀλλ' ἐν ἐκπτώσει ἡ πανάγιος περιστερὰ τὰ κατὰ φολίδων τὸ πολύτιμον τοῦ σώματος ἐξαίνουσα, τῷ πνεύματι σὺν ἡμῖν ἐστιν· εἰς οὐρανοὺς εἰσελήλυθε, ἐξοπτικάζει τοὺς δαίμονας μεσιτεύουσα τὰ πρὸς Κύριον. Πάλαι μὲν διὰ τῆς προμήτορος Εὔας ὁ θάνατος εἰσῆλθεν ὑπερηφάνησε, νῦν δὲ τῇ μακαρίᾳ θυγατρὶ κλῆσις ὀρθίους ἀποκεκαυτηρίασται, ἐκεῖθεν ἐκπεσόντας ἵδιον τὸ κράτος εἰσοδίζουσα· ἀγαλλιάσθω τοίνυν τὸ γυναικεῖον γένος ἀντ' ἀνδρὸς δόξαν κατακληρούμενον· εὐφρανθήτω ἡ Εὔα· οὐκέτι γὰρ ἐπάρατος εὐλογίας γόνον τὴν Μαρίαν περιφέρουσα· σκιρτάτω ἡ σύμπασα κτίσις, τὰ τῆς ἀφθαρσίας νάματα μυστικῶς ἐκ τῆς παρθενικῆς πηγῆς ἀρυομένη, καὶ τοῦ θανατηφόρου δίψους ἀπαλλάττουσα· τοιαῦτα ἡμῖν τὰ ἑορταζόμενα σήμερον· τηλικαῦτα τὰ ὑμνολογούμενα, ἃ ἡμῖν ἡ Χριστοτόκος ῥίζα τοῦ Ἰεσσαί, ἡ ἱεροβλάστος ῥάβδος τοῦ Ἀαρών, ὁ νοητὸς παράδεισος τοῦ τῆς ζωῆς ξύλου, ὁ ἔμψυχος κειμὴν τῶν παρθενικῶν ἀρωμάτων, ἡ κυπρίζουσα θεογεώργητος ἄμπελος τοῦ πεπείρου καὶ ζωοστάγοῦς βότρυος, ὁ ὑψηλὸς καὶ ἐπηρμένος Χερουβικὸς θρόνος τοῦ παμβασιλέως, ὁ πλήρης οἶκος τῆς δόξης Κυρίου, τὸ τοῦ Χριστοῦ ἅγιον καταπέτασμα, ὁ τῆς Ἀνατολῆς φαεινότατος τόπος, κοιμηθεῖσα ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ χαρίζεται· κοιμηθεῖσα, φημί, ἀλλ' οὐκ ἀποθνοῦσα· μετασταῖσα, ἀλλ' οὐ καταλιποῦσα ὑπερασπίζεσθαι τοῦ γένους· ποίῳ τοίνυν λόγῳ παραστήσομέν σου μυστήριον, ἀποροῦμεν ἐννοῆσαι, ἀσθενοῦμεν ἐκφράσαι, ἰλιγγιῶμεν διιχνεῦσαι, ὅτι ξένον καὶ ὑψηλὸν καὶ ἐπηρμένον διανοίαις ἁπάσαις· οὐ

B 2. Nunc ego maternales oculos præsens obtendens, spiritales nostros et magna angeli luminaria, reliquam curabo, ac solum conspectum Dei pro nostri tantis peregrinatis : nunc cum vox articulata in ejus commotis a Deo labiis sibi, ad eternam hospitem simplex suum pro universo humanum genere se adaperit : nunc suspensiles suas, quæ Deum gestavere manus demittens, facta immortalis, ad Dominum pro mundi salute attollit : nunc soli parem subtrahens naturalem formam splendet tamen in pietate sua, quam populis ad congruæ venerationis salutarem contactum exhibet : etiamsi illi minime velint hæretici : et cum in supera evolaverit columba sanctissima, inferiora hæc protegere non desinit : corpore egressa, spiritu colenscum est : cælo illata, dæmones fugat facta apud Dominum mediatrix. Olim quidem per progenitricem Evam mors ingressa mundum imperio premebat : nunc tamen beatam illius filiam aggressa, depulsa est : inditem victa, unde olim potentiam sumpserat. Lætetur igitur femineum genus, pro ignominia gloriam sortitum. Gaudeat Eva, quæ jam deinceps non est maledicta, postquam benedictionis sobolem Mariam protulit. Exsultet creatura universa, quæ immortalitatis fluenta ex virgineo fonte mystice haurit, quibus a mortifera siti liberatur. Hæc nostra est hodierna solemnitas : hæc est hymnologia quam nobis suppeditat Jesse radix quæ florem Christum extulit, sacra Aaronis virga frondescens, intellectualis paradisus ubi vitæ lignum, spiritale pratum virginalium aromatum, florida et a Deo exculta vitis maturi vitaque manantis racemi : celsus elevatusque thronus Cherubicus regis universalis, domus gloriæ Domini plena, sanctum Christi velamen, lucidissima Orientis regio, quæ in pace ac justicia obdormivisti, obdormivisti, inquam, potius quam obiisti : translata es, neque tamen humanum genus protegere desinis. Quibusnam itaque verbis mysterium tuum explanemus, mente ambigimus, lingua infirma non eloquitur, scribere titubamus, quia peregrinum excelsumque est, atque omnes cogitationes transcendit. Neque enim illud commune aliquid habet aut comparativum, ut facile ex rebus nostris

[22] Psal. XLV, 15.

(6-7) Intelligit Iconomachos Mariani cultus infensissimos hostes.

demonstrationem illius faciamus; sed ex iis quæ supra nos sunt, decora tua pie comprehendentes; uni tibi quæ superiora homini sunt concedimus. Immutasti igitur naturam ineffabili partu tuo. Quandonam enim audivit quisquam virginem sine est pariens, eam vides virginem incorruptam, quia semine concipientem? O rem miram! quæ mater scilicet quod pariebatur, Deus erat. Hoc unum itaque etiam in vitali dormitione, a cæteris differens, merito sola habes utriusque simul (corporis et animæ) incorruptelam.

3. Sed jam nobis Sion enarret diei illius mirabilia. Completus erat vitæ terminus; aderat resolutionis hora. Præcognoverat, ut par erat, Dei Mater sanctissima translationis suæ stadium. Quis enim hoc multo magis, o Philochristi, præ aliquo quolibet servilis conditionis vate, Matri Dei et principi prophetarum non attribuat? Postquam igitur hæc sensit et agnovit, qualia ipsam elata voce dixisse ratio nobis suadet? Venit, inquit, exitus mei dies: venit tempus meæ ad te transitionis. Adsint mihi qui meas exsequias curent, Domine: assistant, funus meum curaturi ministri; et in manus tuas spiritum meum commendabo. Manibus discipulorum tuorum, intactum Deique receptaculum corpus meum, ex quo tu qui es ipsa immortalitas prodiisti, efferatur. Adsint mihi ad solatium qui in cunctis terræ finibus dispersi sunt, præcones ac ministri Evangelii tui. Quod si justum Enochum viventem adhuc propter suam bonitatem transferri voluisti; et Eliam Thesbitem igneo curru sustolli ex hac cognita ad ignotas regiones, ambos scilicet tremendi tui ac splendidissimi adventus tempus exspectantes: si præterea propphetam Habacucum ex Hierosolymis Babylonem usque, ob Danielis necessitatem, uno temporis momento transferri, et inde reverti mirabiliter fecisti; quid tibi impossibile sit, modo velis? Vix hæc dixerat laudatissima Virgo, cum duodecim apostoli supervenerunt, alius aliunde ceu nebulæ alis spiritus ad lucis nebulam (nempe quæ lucem fulgore suo obscurabat) delati donec illic pedem figerent. Quid ergo dixit virgo theonmya, polyonyma, megalonyma? Oculos circumferens de suo recubitu, vidensque expetitos discipulos: Lætetur, inquit, anima mea in Domino, sitque hic mihi gaudii titulus, et laudationis atque amplitudinis apud omnes terræ populos, quia congregavit mihi Dominus Ecclesiæ fundamenta, mundi principes adunavit, mirabiles funeris mei ministros. O grande portentum! o maternæ sanctificationis opus! o filialis dilectionis donum! Cœlum mihi patet hospitium, quod mundi luminaria continet; templum Domini, cœleste lacunar, aperitur, divos mystas sacerdotesque mihi ostendens. Haud

(8) De Deiparæ obitu, ejusque loco, et apostolis ut pie creditum est assistentibus, etc., prolixe eruditeque Trombellius in Vita ejusdem Deiparæ, tom. IV, dissert. 45, prolatis variis ex antiquitate testibus ac documentis, quæ hic repetere non vacat. Nunc autem noster quoque Studita testis non contemnendus accedit.

A γὰρ ὡς ἐπὶ τῶν ἄλλων κοινωνεῖ καὶ συμφέρεται, ἵνα δῶμεν προχείρως ἐκ τῶν καθ' ἡμᾶς τὰς ἀποδείξεις, ἀλλ' ἐκ τῶν ὑπὲρ ἡμᾶς τὰ περὶ σοῦ εὐσεβῶς διαλαμβάνοντες παραχωροῦμέν σοι μόνῃ τὰ ὑπὲρ ἄνθρωπον· διήλλαξας τοιγάρτοι τὴν φύσιν κατὰ τὴν ἄῤῥητον γέννησιν· ποῦ γὰρ ἔγνω τις παρθένον ἀσπόρως συλλαμβάγουσαν; Ω τοῦ θαύματος! τὴν ὡς μητέρα λοχεύουσαν, ὁρᾷ ὡς ἄφθορον παρθενεύουσαν, ἐπειδὴ Θεὸς ἦν τὸ γεννώμενον. Τοῦτο οὖν καὶ ἐπὶ τῇ ζωοφόρῳ κοιμήσει, ἐξαλλάττουσα τῶν λοιπῶν, εἰκότως μόνη ἔχεις τοῦ συναμφοτέρου τὸ ἄφθαρτον.

γ'. Ἀλλ' ἡ Σιὼν ἡμῖν ἀφηγείσθω τὰ τῆς ἡμέρας παράδοξα (8)· πεπλήρωτο τοίνυν τὸ τῆς ζωῆς ὁροθέσιον· παρῆν ἡ τῆς ἀναλύσεως ὥρα· προέγνω ὡς οἷα Θεοῦ μήτηρ ἡ παναγία τὸ τῆς μεταστάσεως στάδιον· πόσον γὰρ δοίη τις τὸ μεῖζον, ὦ φιλόχριστοι, πρὸς πάντα τὸν δουλικῶς ὁρῶντα, τῇ Μητρὶ τοῦ Θεοῦ καὶ ἀρχιπροφήτιδι; Ἐπεὶ δὲ ταῦτα ἥσθετο καὶ μεμάθηκεν, οἷα ἡμῖν ὁ λόγος ἀνακαλεῖσθαι αὐτὴν ὑποφαίνει; Ἦκεν ἡμέρα τῆς ἐξόδου μου· ἦκεν ὁ χρόνος τῆς πρὸς σὲ ἐκδημίας μου· πάρεστωσάν μοι οἱ λειτουργήσοντες τὰ ἐντάφια, Δέσποτα· ἐπισταίησαν οἱ τὴν κηδείαν συντελέσοντες διάκονοι· καὶ εἰς μὲν χεῖράς σου παραθήσομαι τὸ Πνεῦμά μου· παλάμαις δὲ τῶν μαθητῶν σου τὸ ἄψαυστον καὶ Θεοδόχον σῶμά μου, ἐξ οὗπερ σὺ ἡ ἀθανασία ἀνατέταλκας ἐκκομίσασθαι· παραστήτωσάν μοι οἱ ἐν τοῖς πέρασι διεσπαρμένοι πρὸς εὐφροσύνην μου, οἱ κήρυκες καὶ ὑπηρέται τοῦ Εὐαγγελίου σου· καὶ εἰ τὸν δίκαιον Ἐνὼχ ἔτι ζῶντα μεταθέσθαι διὰ τὸ χρειῶδες ηὐδόκησας· τόν τε Θεσβίτην Ἠλίαν ἐπαρθῆναι πυρίνῳ ἅρματι ἐκ τοῦ ἐμφανοῦς πρὸς ἀδήλους χώρας, ἀμφοτέρους τὸν τῆς φρικτῆς σου καὶ παμφαοῦς δευτέρας παρουσίας ἀναμένοντας χρόνον· καὶ αὖθις εἰς τὸν προφήτην Ἀμβακοὺμ ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα διὰ χρείαν τοῦ Δανιὴλ ἐν μιᾷ καιροῦ ῥοπῇ μεταστῆσαι καὶ ἀναποδίσαι ἑτερατούργησας· τί σοι οὐ δυνατὸν θελήσαντι μόνον; ταῦτα ἐπεὶ λέλεχεν ἡ πανύμνητος, καὶ ἡ ἀποστολικὴ δωδεκὰς ἐπέστη, ἄλλος ἀλλαχόθεν ὡς νεφέλαι τῷ πτερῷ τοῦ πνεύματος πρὸς τὴν τοῦ φωτὸς νεφέλην ἐλασθέντες καὶ καταπαύσαντες· τί οὖν φησιν ἡ θεώνυμος καὶ πολυώνυμος καὶ μεγαλώνυμος; ἄρασα κύκλῳ τοὺς ὀφθαλμοὺς ἀνακέκλιμένη καὶ ἰδοῦσα τοὺς ζητουμένους, Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται μοι τοῦτο εἰς ὄνομά εὐφροσύνης, καὶ εἰς αἶνεσιν καὶ μεγαλειότητα παρὰ πᾶσι τοῖς ἔθνεσι τῆς γῆς, ὅτι συνήγαγέ μοι τοὺς θεμελίους τῆς Ἐκκλησίας, ὅτι συνήθροισέ μοι τοὺς ἄρχοντας τῆς οἰκουμένης, τοὺς θαυμαστοὺς ὑπηρέτας τῆς ἐμῆς κηδείας. Ὦ μεγαλοφυοῦς τερατουργήματος! ὦ μητρικῆς ἀφοσιώσεως ἔργον! ὦ σχέσεως υἱϊκῆς δῶρον! οὐρανός μοι τὸ δωμάτιον κατεφένη, τοὺς φωστῆρας τοῦ κόσμου ἐν ἑαυτῷ περιφέρων· ναὸς Κυρίου ἡ ὀροφὴ ὤφθη, τοὺς θείους

μύστας καὶ ἱερουργοὺς παραστήσασά μοι · οὐκέτι τὸ Ἰουδαϊκὸν σύστημα μελετήσει τὴν κατ' ἐμοῦ παροινίαν · οὐκέτι κατ' ἐμοῦ ἐφοπλίσει τὴν πάντολμον χεῖρα πρὸς ἐμὴν φονοκτονίαν τὸ ἱερατικὸν βουλευτήριον · πάλαι μὲν οὖν μεμελετηκότες συναμῆραν ἂν τῷ Υἱῷ τὴν Μητέρα οἱ φιλαίμονες, ἀλλὰ διήμαρτον τοῦ σκοποῦ, εἰργούσης αὐτοὺς τῆς Προνοίας ἄνωθεν · πρὸς ἀσύλους μεταβιβάζομαι κατοικεσίας, πρὸς ἀσύλους καὶ ἀνενοχλήτους διαναπαύσεις, ἔνθα οὐ παρεισδύει ὁ ἐχθρὸς τὰ τῆς κακίας ἔνεδρα, ἔνθα ἴδοιμι τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέψοιμαι τὸν ναὸν ὁ παμφαὴς ναὸς αὐτοῦ.

A jam ulterius Judaica factio meditabitur adversus me vesaniam, neque adversus me violentam manum armabit cædi meæ anhelans sacerdotalis senatus. Jamdiu quidem hi cruenti moliti sunt Matrem cum Filio perimere, sed scopo aberrarunt, superna eos cohibente Providentia. Ad tuta transmigro habitacula, ad tutam et sine molestia quietem, ubi inimicus malitiæ suæ insidias non collocat, ubi Domini deliciis fruar, templumque spectabo ego quæ illius templum splendidum fui.

δ'. Ἀλλ' οἷα πρὸς αὐτὴν, εἴτε ἀφ' ἑαυτῶν, εἴτε παρὰ τῶν προφητικῶν στομάτων ἐκλεξάμενοι οἱ μακάριοι ἀπόστολοι ;

4. Age vero quid Virgini responderunt sive propriis sive prophetarum verbis beati apostoli ?

α'. Χαίροις (9), φησὶ, κλίμαξ ἐστηριγμένη ἀπὸ γῆς εἰς οὐρανὸν, δι' ἧς ἡ καθ' ἡμᾶς κάθοδος, καὶ ἡ εἰς οὐρανοὺς ἄνοδος γέγονε τοῦ Κυρίου, κατὰ τὸν μέγαν πατριάρχην Ἰακώβ.

B 1° Ave, aiebant, scala a terra in cœlum protensa, per quam Domini ad nos descensus, et in cœlum reditus fuit, ut Jacob patriarcha vidit.

β'. Χαίροις, βάτε παραδοξοειδέστατε ἐξ ἧς ἐπεφάνη ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς, ἥνπερ κατακαῖον τὸ πῦρ οὐ κατέκαιεν, κατὰ Μωϋσέα τὸν θεοπτικώτατον.

2° Ave, rube mirabillime, ex quo angelus Domini apparuit in ignis flamma, quem ardens ignis non amburebat, sicuti summo Dei spectatori Moysi ostensum est,

γ'. Χαίροις, ὁ θεόδεκτος πόκος, ἐξ ἧς ἀπερρύη ἡ οὐράνιος δρόσος, πλήρης λεκάνη ὕδατος, κατὰ Γεδεὼν τὸν θαυμασιώτατον.

3° Ave, Deo gravidum vellus, ex quo cœlestis ros defluxit, imo plenus aqua catillus, quod admirabili contigit Gedeoni.

δ'. Χαίροις, πόλις τοῦ βασιλέως τοῦ μεγάλου, ἣν οἱ βασιλεῖς θαυμάζοντες μεγαλύνουσι, μετὰ Δαβὶδ τὸν ψσμτογράφον.

4° Ave, civitas regis magni, quam admirabundi reges magnificant, ut hymnographus David delineat.

ε'. Χαίροις, ἡ νοητὴ Βηθλεὲμ, ὁ οἶκος τοῦ Ἐφραθᾶ, ἐξ οὗ ἐξελήλυθεν ὁ Βασιλεὺς τῆς δόξης τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, οὗ αἱ ἔξοδοι ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος, κατὰ Μιχαίαν τὸν θειότατον.

5° Ave, intellectualis Bethleem, domus Ephratha, ex qua egressus est Rex gloriæ, ut fieret princeps in C Israele, cujus exitus ab initio dierum sæculi, ut ait divus Michæas [23].

ϛ'. Χαίροις, τὸ κατάσκιον παρθενικὸν ὄρος, ἐξ οὗ ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐπεφάνη, κατὰ Ἀμβακοὺμ τὸν θεοδόητον.

6° Salve, umbrose mons virginee, ex quo Sanctus Israelis apparuit, ut Habacucus divinitus instinctus clamat [24].

ζ'. Χαίροις, λυχνία χρυσοειδέστατε καὶ φωτοφόρε, ἐξ ἧς περιέλαμψε τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις τὸ ἀπρόσιτον φῶς τῆς θεότητος, κατὰ Ζαχαρίαν τὸν θεσπέσιον.

7° Ave, lucerna auro splendens lucifera, ex qua sedentibus in tenebris et in umbra mortis effulsit inaccessa deitatis lux, secundum divinitus afflatum Zachariam [25].

η'. Χαίροις, τὸ παγκόσμιον ἱλαστήριον τῶν βροτῶν, δι' οὗ ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομα Κυρίου δεδόξασται ἐν τοῖς ἔθνεσι καὶ ἐν παντὶ τόπῳ θυμίαμα τῷ ὀνόματι αὐτοῦ προσάγεται κατὰ Μαλαχίαν τὸν ἁγιώτατον.

8° Ave, universale mortalium propitatorium, per quod ab ortu solis usque ad occasum nomen Domini glorificatur in gentibus, et in omni loco thurificatio nomini ejus offertur, sicut ait sanctissimus Malachias [26].

θ'. Χαίροις, κούφη νεφέλη, ἐν ᾗ Κύριος κεκάθικε, κατὰ Ἡσαΐαν τὸν ἱεροφωνότατον.

D 9° Ave, levis nebula, in qua Dominus resedit, ut est apud sacra magnaque voce præditum Isaiam [27].

ι'. Χαίροις, ἱερὰ βίβλος τῶν προσταγμάτων Κυρίου, καὶ ὁ νεοχάρακτος νόμος τῆς χάριτος, δι' ἣν τὰ ἀρεστὰ Θεῷ, ἡμῖν γνωστά ἐστι, κατὰ Ἱερεμίαν τὸν πολυθρηνότατον.

10° Ave, sacer mandatorum Domini liber, noviter scripta gratiæ lex, per quam Deo placita nobis innostescunt, prout luctuosissimus ait Jeremias [28].

[23] Mich. v.[2] 2. [24] Habac. III, 3. [25] Zach. III, 9 ; VI, 12. [26] Malach. I, 11. [27] Isa. XIX, 1. [28] Jerem. XXV, 13, et alibi.

(9) Imitatur Theodorus S.[ti] Cyrillum Alex ; in Oratione de B. Maria. Opp. t. V, part. II, p. 379. Dicerem imitari quoque Damascenum ; nisi nuper p. 54, in adnotatione monuissem lectores, orationem illam de nativ. B. Mariæ, editam inter Damascenicas. Theodorum potius habere parentem, teste etiam codice Vaticano 455.

11° Ave, janua clausa, per quam Deus Israelis ingressus est et egressus, sicut summus Dei speculator Ezechiel scribit [29].

12° Ave, nulla manu laborate mons celsissime, ex quo angularis abscissus fuit lapis, sicut ait summus theologus Daniel [30].

5. Sed enim quænam mens complectatur, vel oratio exæquet, quot quantaque ibi cecinerunt, dixerunt, laudativo præconio extulerunt theologi viri? At postquam justis sacris functi fuerunt, sancteque sancta peregerunt, ecce adfuit ipse Dominus cum gloria fortitudinis suæ omnique cœlorum exercitu. Et invisibiliter quidem incorporei (angeli), corporaliter autem apostoli divinorum magnalium hymnistæ erant. Mista erat, o fratres, panegyris atque chorus cœlestium ac terrenorum (nec quisquam miretur nostram Deo dignas res narrantem orationem), Angelorum, Archangelorum, Dominationum, Thronorum, Principatuum, Potestatum, Virtutum, Cherubinorum, Seraphinorum, apostolorum, martyrum, justorum: quorum alii deducebant, alii præcedebant, alii subsequebantur, alii stipabant, cunctique una voce cum jubilis clamabant: Cantate Domino, laudate Dominum, benedictus Dominus super justo monte sancto ejus, et exaltetur cœlum in sublime. Quis ergo audivit par canticum a sæculo, o Philochristi? quis hujusmodi exsequiarum pompam? Quis unquam talem transitum novit, quali Mater Domini mei digna fuit? Neque id immerito, quandoquidem nemo illa excelsior, quæ omnium maxima fuit. Horret spiritus meus, dum transitus tui magnalia, o Virgo, recogitat. Perhorrescit mens mea, dum tuæ dormitionis admirabilitatem reputat. Hæret lingua mea, dum tui reviviscentis mysterium enarrat. Nam quis digne auditas faciet omnes laudes tuas, et narrabit cuncta mirabilia tua? Quænam mens satis sublimi facundia eloquetur? quænam lingua magnisona prædicabit? tua, inquam, decora effabitur, res tuas describet, merita tua verbis exprimet, vel tua mirabilia exæquabit mysteria, celebritates, festos dies, laudationes, encomia? Quamobrem ad hoc quoque mysterium celebrandum infirma est, viribus impar, et attingendo scopo inepta convincitur. Tu enim superemines, excedis, incorporabiliter superas, altitudine, magnitudine, sublimissimam quamlibet cœli partem: sanctitatis quidem splendore lucem solis, meritorum jure angelorum dignitatem, et cujuslibet incorporeæ rationalis substantiæ intellectualium et intelligibilium virtutum.

6. Sed, o illustrem splendidamque, sic enim læ-

ια'. Χαίροις, πύλη κεκλεισμένη, δι' ἧς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ εἰσελήλυθεν καὶ ἐξελήλυθεν, κατὰ Ἰεζεκιὴλ τὸν θεοπτικώτατον.

ιβ'. Χαίροις, τὸ ἀλάξευτον χειροῦψηλότατον ὄρος, ἐξ οὗ ὁ ἀκρογωνιαῖος ἀποτέτμηται λίθος, κατὰ Δανιὴλ τὸν θεολογικώτατον.

ε'. Καὶ ποῖος νοῦς χωρήσειεν, ἢ τίς λόγος ἐφίκοιτο, ὅσα ἐκεῖσε ἦσαν, ἔφασαν, ἐμακάρισαν οἱ θεολόγοι; Ἀλλ' ἐπειδὴ τὰ εἰκότα ἱερούργησαν ἱερῶς, καὶ ἁγίως τὰ ἅγια ἐπετέλεσαν, ἰδοὺ παρεγένετο καὶ ὁ Κύριος μετὰ δόξης ἰσχύος αὐτοῦ καὶ πάσης στρατιᾶς οὐρανοῦ· καὶ ἀοράτως μὲν ἐλειτούργουν οἱ ἀσώματοι, σωματικῶς δὲ οἱ ἀπόστολοι ὑμνῳδοὶ τῆς θείας μεγαλειότητος ἐδείκνυντο· συμμιγὴς ἦν, ἀδελφοί, ἡ πανήγυρις καὶ ὁ θίασος οὐράνιός τε καὶ ἐπίγειος (καὶ μὴ ξενιζέτω ὁ λόγος τὰ θεοπρεπῆ ὑπογράφων), Ἀγγέλων, Ἀρχαγγέλου, Κυριοτήτων, Θρόνων, Ἀρχῶν, Ἐξουσιῶν, Δυνάμεων, τῶν Χερουβικῶν, καὶ Σεραφικῶν, ἀποστόλων, μαρτύρων, δικαίων, τῶν μὲν προτρεχόντων, τῶν δὲ προσυπαντώντων, τῶν μὲν ἡγουμένων, τῶν δὲ προηγουμένων, τῶν δὲ ἑπομένων, τῶν δὲ παρεπομένων, πάντων φωνῇ μιᾷ ἐν εὐφροσύνῃ βοώντων· Ἄσατε τῷ Κυρίῳ· αἰνέσατε τὸν Κύριον· εὐλογημένος Κύριος ἐπὶ δίκαιον ὄρος τὸ ἅγιον αὐτοῦ· καὶ ἀνυψωθήτω ὁ οὐρανὸς εἰς τὸ μετέωρον· τίς οὖν ἤκουσεν ἐξ αἰῶνος τοιοῦτον ἐξόδιον, ὦ φιλόχριστοι; τίς ἔγνω τηλικαύτης κηδείας προπομπήν; τίς ἤσθετο τοιαύτης μεταβάσεως πώποτε, οἵας ἡ Μήτηρ τοῦ Κυρίου μου ἠξίωται; καὶ οὐκ ἀπεικός· ἐπειδήπερ οὐδέ τις ὑπέρτερος αὐτῆς δέδεικται, μειζοτέρας οὔσης ἁπάντων· φρίττει μου οὖν τὸ πνεῦμα τὸ μεγαλεῖον τῆς μεταστάσεώς σου, ὦ Πάρθενε, διενθυμούμενος· ἐκπλήττεταί μου ὁ νοῦς τὸ τῆς κοιμήσεώς σου θαυμάσιον ἀναλογιζόμενος· συνδέδεταί μου ἡ γλῶττα τρ τῆς παλιγζωΐας (10) σου μυστήριον ἐκδιηγουμένη· τίς γάρ ἐστιν ἐκεῖνος, ὃς ἐπαξίως ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις σου, διηγήσοιτο πάντα τὰ θαυμάσια σου; ποῖος νοῦς ὑψηγορῶν ῥητορεύσει; ποῖα γλῶσσα μεγαληγοροῦσα φθέγξεται, καὶ τὰ σὰ ἐξείποι, τὰ σὰ παραστήσει, τοῖς σοῖς προσβάλλει ῥήμασιν, ἢ τῶν σῶν ἐφικνεῖται θαυμασίων τελετῶν, πανηγύρεων, ἑορτῶν, διηγήσεων, ἐγκωμίων; μεθ' ὧν καὶ τοῦ παρόντος μυστηρίου ἀσθενεῖ, ἀτονεῖ, ἀποτυγχάνει, ἀπελέγχεται· καὶ γὰρ ὑπερέχεις, ὑπερβάλλεις, ὑπερτερεύεις ἀσυγκρίτως, ἐν ὕψει καὶ μεγέθει τοῦ ἀνωτάτου πόλου, ἐν ἁγνείας λαμπρότητι τοῦ ἡλιακοῦ φάους, ἐν παῤῥησίας οἰκειώσει τῆς ἀγγελικῆς ἀξίας, πάσης τῆς ἀΰλου καὶ λογικῆς οὐσίας νοητῶν τε καὶ νοερῶν δυνάμεων.

ς'· Ἀλλ' ὦ τῆς ἐπιφανοῦς σου καὶ λαμπρᾶς (δι'

[29] Ezech. XLIV, 2. [30] Dan. II, 45.

(10) De Deiparæ corpore resuscitato et in cœlos assumpto, copiose item Trombellius in citato operis tomo dissert. 46. Videndus insuper Benedictus XIV; *De festis* lib. II, cap, 8. Rem attingit etiam [illegible] Vercellensis in sermone 17, inter illos a nr [illegible]. Inter vetera scripta eminet Pseudo-Hi [illegible]act. *De assumptione B. Mariæ*, ad Eustochium. Studita autem noster ecclesiasticam traditionem tenere se nunc indicat vocabulo παλινζωΐας. Et quidem pluribus verbis Damascenus, orat. 2, de dormitione Deiparæ, . 14. Nunc adde Epiphanium monachum nuper a cl. Dresselio editum.

ἡδονῆς γὰρ ἔχω λέγειν) πανηγύρεως! Ὦ τῆς σημειο- A
φόρου καὶ θαυματοποιοῦ μεταστάσεώς σου! Ὦ τῆς
ζωοπαρόχου καὶ ἀειφθαρτοδωρήτου ἐνταφιάσεώς σου
τῆς φωτοκυήτορος! ἀλλὰ τὰς νεφέλας διασχοῦσα,
καὶ εἰς οὐρανὸν ἀνιοῦσα, καὶ εἰς τὰ Ἅγια τῶν ἁγίων
εἰσιοῦσα ἔν φωνῇ ἀγαλλιάσεώς τε καὶ ἐξομολογήσεως
κατευλογῆσαι ἀζίωσον, Θεοτόκε, τὰ τῆς οἰκουμένης
πέρατα· πρεσβείαις σου τοὺς ἀέρας εὐκρατοῦσα,
τοὺς ὄμβρους εὐκαίρως δωρουμένη, τοὺς ἀνέμους
εὐθετοῦσα, τὴν γῆν εὐκαρποῦσα, τὴν Ἐκκλησίαν
εἰρηνεύουσα, τὴν ὀρθοδοξίαν κρατύνουσα, τὴν βασι-
λείαν φυλάττουσα, τὰ βάρβαρα ἔθνη ἀποσοβοῦσα,
ἅπαν τὸ Χριστιανῶν φῦλον περιέπουσα· εἶτα καὶ τῆς
ἐμῆς τολμηρίας συγγινώσκουσα· σοῦ γάρ ἐστι τὸ
λόγιον, καὶ σὺ, ὦ Μήτηρ Θεοῦ τὸ ἐσόμενον προφητι-
κῶς ἐμελῴδησας· Ἰδοὺ γάρ, φησὶν, ἀπὸ τοῦ νῦν B
μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ἐπεὶ οὖν οὐχ οἷόν
τε διαπίπτειν σου τὸν θεόφραστον λόγον, δέξαιο
κἀμοῦ τοῦ ἀναξίου σου οἰκέτου τὴν κατὰ δύναμιν
πρόσρησιν· καὶ Ἀπόδος τὴν ἀγαλλίασιν τοῦ σω-
τηρίου σου· σθένει τε τῶν πρεσβειῶν σου στήριξόν
με, σὺν τῷ διαφέροντί μοι Πατρὶ, καὶ τῇ ἀνατεθειμένῃ
ποίμνῃ· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα
καὶ ἡ τιμὴ καὶ τὸ κράτος, σὺν τῷ παντοκράτορι Πα-
τρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ς'.

Εἰς τὴν σύναξιν τῶν οὐρανίων ταγμάτων.

α'. Ἀρχιστρατήγων ἡμᾶς νοερῶν περιήχησαν σάλ- C
πιγγες, καὶ θείων ἱερῶν λειτουργῶν περιήστραψαν
χάριτες· ὑμνολόγων γρηγόρων πρὸς ὕμνους ἐγρη-
γορέναι συνήθροισαν τάγματα, καὶ τάξεις ἀΰλων
ὑλικοῖς σύνυμνοι χορείαν συνέστησαν· ὁ τῶν ἄνω
χοροστάτης καὶ τῶν κάτω, ἐν τῷ αὐτῷ οἴκῳ ταξιαρ-
χεῖ σήμερον· καὶ τίς γὰρ οὗτος, ὁ τοσοῦτος Μιχαὴλ
πρὸς χάριτος Θεοῦ λαμπρυνόμενος, καὶ βροτοῖς
θείων ἐλλάμψεων μεσίτης γενόμενος; νόμοι μὲν οὖν
καὶ θεοπτεῖς ὁμοῦ καὶ πανδίκαιοι, ταῖς ἀρχιδότοις
πρὸς ἄνδρας ἐξεφάνθησαν θεοτυπίαις (10*), καὶ μά-
λιστα πλείστους ἐξ εὐεργετῶν δωρεὰς κομιζομένους,
μὴ ἀμνήμονας ὁμοῦ τε καὶ ἀγνώμονας καθίστασθαι
πρὸς τοὺς αὐτοῦ προστάτας, ἀλλὰ μὴν τέως ἥν ἔχει
πᾶς ἄσσον φύσεως δύναμιν κηρύττειν τὰς χάριτας·
προστάται τοίνυν ὀξεῖς ὁμοῦ καὶ θερμοὶ πρὸς Θεὸν, D
καὶ πρέσβεις θνητῶν ἄοκνοι ὁμοῦ τε καὶ ἄπαυστοι,
οἱ ἐκ φιλανθρώπου Δεσπότου λαβόντες τὸ φιλάνθρω-
πον, φιλάνθρωποι ἄγγελοι, τὸ πρωτόκτιστον ἐξ ἀκτί-
στου φωτὸς μεταδοτικῶς τοῦ φωτὸς φωνιζόμενοι·
ἄγγελοι, ὁ πρῶτος μὲν πρὸ τοῦ κόσμου ὑπερκόσμιος
κόσμοις, καὶ τούτῳ τῷ κόσμῳ τὸν ὑπερκόσμιον κό-
σμον Χριστὸν προκηρύξαντες· ἄγγελοι οἱ ἀμεσίτευ-
τοι μεσῖται πρὸς Θεὸν τῶν βροτῶν, θεοὶ τῇ θεώσει
ἐκ Θεοῦ, ἀλλ' οὐ τῇ φύσει λεγόμενοι· ἄγγελοι τῆς

tanter aio, solemnitatem tuam! O prodigiosum plenumque stupore transitum tuum! O vitæ incorruptelæque datricem sepulturam tuam, o lucis Parens! Sed nubes permeans, et in cœlum conscendens, et in Sancta sanctorum ingressa in voce exsultationis et confessionis, benedicere digneris, o Deipara, orbi terrarum; intercessionibus tuis aerem salubriter temperans, imbres idoneo tempore donans, ventos apte regens, terram frugiferam faciens, Ecclesiam tranquillam, orthodoxiam firmam, imperium tutum; barbaras autem gentes longe submovens, universum Christi populum protegens; postremo meæ quoque audaciæ parcens. Tuum enim hoc fuit effatum: Tu, Mater Dei, prophetice quod futurum erat cecinisti: *Ecce* enim, inquiens, *ex hoc* tempore *beatam me dicent omnes generationes* [30*]. Quia igitur divinitus inspirata verba tua excidere nequeunt, recipe mei quoque indigni famuli tui, quam pro viribus dixi, orationem: et *Redde lætitiam salutaris tui* [30**]. Precum tuarum robore confirma me, cum præsule meo parante, et cum grege commisso: in Christo Jesu Domino nostro, cui gloria et honor atque dominatio cum Patre omnipotente, et vivifico Spiritu nunc et semper et in sæcula sæculorum. Amen.

VI.

In cœlestium ordinum cœtum.

(Ang. Mai. *Biblioth. Nov.* t. IV, p. 1.)

1. Summorum ducum spiritalium nos tubæ circumsonuerunt; divinorum ad sacra ministrorum nos gratia circumfulsit; vigilum agmina hymnodicorum ad vigilandum in canticis nos congregarunt; ordines immateriales cum materialibus concinentes choream ducunt; cœlestium idem ac terrestrium præcentor in eadem æde omnes hodie moderatur. Quis hic porro? nempe tantus ille Michael gratia Dei splendidus, et mortalibus etiam divinorum luminum factus conciliator. Leges igitur et a Deo latæ et justissimæ, supremis apud homines patefactæ sunt revelationibus, ut ii qui plurima a benefactoribus dona retulerint, ne sint immemores simul et ingrati adversus patronos suos, sed ut prosui quisque ingenii viribus gratias agant. Patroni igitur prompti simul et fervidi apud Deum, et legati mortalium impigri et assidui, a benigno Domino benignitate instructi, amatore hominum angeli; primo lumine ab increato lumine impertiti; angeli, qui fuistis primus ante hunc mundum mundus supermundialis, quique huic mundo supermundialem adhuc mundum, id est Christum, nuntiastis; angeli proximi apud Deum pro mortalibus intercessores, dii ob conjunctionem cum Deo non tamen proprie dicti; natura

[30*] Luc. I, 48. [30**] Psal. L, 14.

(10*) In appendice tomi VIII, p. 285, Operum S. Joan. Chrysostomi legitur mediocre excerptum, verbis plerumque mutatis, hujus sermonis Theodori. Auctorem non novit Montfauconius. ideoque sermonem, ut Chrysostomo suppositum spuriumque, incautus contempsit.

angeli, supernæ liberæ civitatis liberi incolæ, imo qui estis superna illa libera Hierosolyma, quæ mater est liberatorum omnium a Christo; angeli animatus intellectualis ignis, Dei flamma rationalis; angelis, lucidi, excelsi, aeremque transcendentes æterni montes, unde nos *Deus illuminat mirabiliter a montibus æternis* [31]: angeli janitores parati supernarum sedium atque stationum: *Quam dilecta sunt tabernacula tua, Domine virtutum! concupiscit et deficit anima nostra ad atria tua, Domine.* [32]. *Quoniam lumen exsultationis et salutis in angelicis justorum tabernaculis* [33]; *et in voce exultationis et confessionis, in jubilis ferantium; in loco tabernaculi admirabilis usque ad domum Dei* [34]; *in quo omnes angeli Dei potentes virtute, facientes sermonem ejus* [35]; in quo vitæ simplicitas, pacifica et quieta; *in quo est magnus et formidabilis supra omnes qui in circuitu ejus sunt* [36], in quo sacrum silentium triumphalium hymnorum; in quo ineffabilium mysteria sacratissimarum laudum; in quo invisibiles revelationes ineloquacium et tamen late audiendarum hymnologiarum; in quo lux sine vespere vigilum oculos illustrat; in quo Dei intellectuali habitaculo, illorum est astrorum collectio, angelicarum, inquam, virtutum, nobis ad meliora faventium: sunt enim angeli in ministerium ad nos missi a Deo, propter eos qui salutem sunt adepturi.

2 Angelicarum virtutum incorporearum, qui est immortalis exercitus, cooperator simul Dei et minister, diversæ sunt stationes, diversæ appellationes, diversæ dignitates, una substantia quæ varias habet operationes: sunt hi ordines hymnologici, cœlorum custodes, Deo coram astantes: sunt ordines interiores, et item exteriores qui portæ cœli appellantur; sunt ordines superiores, et item inferiores, qui superioribus aliquando aiebant: *Attollite portas, principes, vestras* [37]: sunt ordines qui mittunt, sunt etiam qui mittuntur: sunt ordines qui initiant, et item qui initiantur: diversorum angelorum diversi sunt ordines. Angeli per aerem volitant, sanctorum animas ab aereis spiritibus protegentes. Hoc significans patriarcha Jacobus moriens dicebat: *Angelus qui eruit me de cunctis malis* [38]. Quamobrem angelis terrestris orbis cura commissa est, Dei jussu oportunam providentiam impendentes. Angelus unicuique animæ Christiani veri datus est a Deo ad tutelam et conservationem: *Ne des*, inquit, *in commotionem pedem tuum, neque dormitet qui custodit te* [39]. Et rursus: *Videte*, inquit, *ne quem ex his minimis contemnatis qui in me credunt: dico enim vobis, quia angeli eorum vident faciem Patris mei qui in cœlis est* [40]. Quemadmodum autem singulis suis animabus angelus a Deo donatus est, ita etiam unicuique integræ fideli genti unus angelus a Deo provisor traditus est: *Consti-*

A ἄνω πόλεως τῆς ἐλευθέρας ἐλευθεροπολῖται, ἥ γε ἡ ἄνω ἐλευθέρα Ἱερουσαλὴμ, ἡ μήτηρ πάντων τῶν συνελευθέρων Χριστοῦ· ἄγγελοι, τὸ ἔμψυχον καὶ νοερὸν πῦρ, ἡ λογικὴ Θεοῦ φλόξ· ἄγγελοι τὰ φαιενὰ καὶ ὑπέρτερα καὶ μετέωρα ὑπερόρια καὶ αἰώνια ὄρη, Δι' ὧν φωτίζει ἡμᾶς θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων· ἄγγελοι πρόσκηνοι ἑτοιμασταὶ τῶν ἄνω σκηνῶν καὶ μονῶν· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων! Εἰς ἃ ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχὴ ἡμῶν εἰς τὰς αὐλάς σου, Κύριε. Διότι φῶς ἀγαλλιάσεως καὶ σωτηρίας ἐν ταῖς ἀγγελικαῖς σκηναῖς τῶν δικαίων· καὶ ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως, ἐν ἤχοις ἑορταζόντων, ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ· ἐν ᾧ πάντες ἄγγελοι Θεοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ· ἐν ᾧ B ἁπλότης ζωῆς εἰρηναία καὶ ἀστασίαστος, Ἐν ᾧ μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ· ἐν ᾧ ἡ κρυφιόμυστος σιγὴ τῶν ἐπινικίων ὕμνων· ἐν ᾧ αἱ ἀπόῤῥητοι θεομυστίαι τῶν παναγεστάτων αἴνων· ἐν ᾧ αἱ ἀόρατοι θεοφωτίαι τῶν ἀφθέγκτων καὶ διαπρυσίων ὑμνολογιῶν· ἐν ᾧ ἡ ἀνέσπερος φωτοχυσία τὰ ἄϋπνα τῶν ἀσωμάτων καταυγάζουσα ὄμμασα· ἐν ᾧ οἶκῳ Θεοῦ νοερῷ, ἐκείνων τῶν ἀστέρων ἄγυρις, ἀγγελικῶν, λέγω, δυνάμεων συνεργουσῶν ἡμῖν πρὸς τὰ κρείττονα, ἀεὶ πρὸς διακονίαν πρὸς ἡμᾶς ἐκ Θεοῦ ἀποστελλόμενοι, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.

β'. Ἀγγελικῶν δυνάμεων τῶν ἀσωμάτων, στρατευμάτων ἀθανάτων, ἐν οἷς Θεοῦ ὑπουργοὶ ὁμοῦ καὶ λειτουργοὶ διάφορος ἡ στάσις, διάφοροι αἱ προσηγορίαι, διάφοροι αἱ ἀξίαι, μία ἡ οὐσία, πολυτρόπους C ἔχουσα τὰς ἐργασίας· τάξεις ὑμνολογικαὶ, καὶ οὐρανῶν φυλακτικαὶ, καὶ Θεῷ ἀμέσως παραστατικαὶ, τάξεις ἐσώτεραι, τάξεις ἐξώτεραι, αἵ καὶ πύλαι οὐρανῶν προσαγορεύονται· τάξεις ὑψηλότεραι, τάξεις κατώτεραι, αἵ πρὸς τὰς ἀνωτέρας ποτὲ ἔλεγον· Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν· τάξεις ἀποστέλλουσαι, τάξεις ἀποστελλόμεναι, τάξεις μυσταγωγοῦσαι, τάξεις μυσταγωγούμεναι· διαφόρων ἀγγέλων διάφοροι αἱ τάξεις· ἄγγελοι τῷ ἀέρι ἐφίπτανται, τὰς ψυχὰς τῶν ἁγίων ἐκ τῶν πνευμάτων τοῦ ἀέρος διασώζοντες· καὶ τοῦτο δηλῶν ὁ πατριάρχης Ἰακὼβ, φησι τελευτῶν· Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν· διὸ καὶ ἄγγελοι τὴν ἐπιγείου κόσμου διοίκησιν ἐμπιστεύονται, νεύματι Δεσποτικῷ ποιούD μενοι τὴν πρέπουσαν πρόνοιαν· ἄγγελος πάσῃ ψυχῇ Χριστιανοῦ ἀληθοῦς ἐμπεπίστευται ὑπὸ Θεοῦ εἰς τήρησιν καὶ ἀντίληψιν· Μὴ δῴης γὰρ, φησὶν, εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσσων σε. Καὶ πάλιν· Ὁρᾶτε, φησὶ, μὴ καταφρονήσατε ἑνὸς τῶν ἐλαχίστων τούτων τῶν πιστευόντων εἰς ἐμέ· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· ἀλλ' ἑκάστῃ μὲν ψυχῇ ὡς θεοσεβεῖ ἄγγελος ὑπὸ Θεοῦ δεδώρηται· ἑκάστῳ δὲ ὅλῳ πιστῷ

[31] Psal. LXXV, 5. [32] Psal. LXXXIII, 2, 3. [33] Psal. CXVII, 13. [34] Psal. XLI, 4. [35] Psal. CII, 20. [36] Psal. LXXXVIII, 8. [37] Psal. XXIII, 7. [38] Gen. XLVIII, 16. [39] Psal. CXX, 3. [40] Matth. XVIII, 10.

ἔθνει εἷς ἄγγελος εἰς πρόνοιαν ὑπὸ Θεοῦ παραδέδωται· Ἔστησε γὰρ, φησὶν, ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ· δι' ἀγγέλων οὐρανίων, Θεοῦ μυστηρίων ἐπὶ γῆς μετάδοσις· δι' ἀγγέλων, ὑδάτων καὶ πηγῶν τήρησις ὁμοῦ τε καὶ ἴασις· δι' ἀγγέλων τοῖς ἀξίοις πειρασμῶν λύτρωσις· Παρεμβαλεῖ γὰρ, φησὶν, ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς· δι' ἀγγέλων καὶ μαρτύρων τῶν λειψάνων τήρησις· Κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν, εἰ καὶ μυστικώτερός πως τούτων τῶν ὀστέων ὁ λόγος· δι' ἀγγέλων καὶ Θεοῦ τηροῦνται θυσιαστήρια, καὶ ναοὶ τῶν πιστῶν διαφυλάσσονται· δι' ἀγγέλων δεήσεις καὶ προσευχαὶ ἀπὸ γῆς πρὸς οὐρενὸν τῷ Θεῷ προσάγονται, ὁμοῦ τε καὶ αἱ θεῖαι δωρεαὶ τοῖς ἀνθρώποις παρέχονται· καὶ πᾶν μικροῦ δεῖν ἐπὶ γῆς Θεοῦ δι' ἀγγέλων τελεῖται μυστήριον.

γ'. Οὕτω ποτὲ τέταχεν ὁ Θεὸς ἀψευστεῖ τὰ Χερουβὶμ εἰδότα τηρεῖν τὸ ξύλον τῆς ζωῆς, τοῖς ἀναξίοις ἀπρόσιτον· οὕτω σχηματίζει τῷ Ἀβραὰμ, τρισάγγελον αὐτῷ ἐν εἴδει ἀνδρῶν ἐπιστήσας χορὸν, τὸν τρισάγιον τῆς Τριάδος μηνύοντα θεσμόν· οὕτω τε αὖθις δύο ταύτης τῆς ἀγγελικῆς Τριάδος ἐν Γομόροις ἐμφανίζει τῷ Λὼτ, δεικνὺς ἐπί τι τῶν ἐκεῖσε τιμωριῶν ὅτι ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν πᾶσαν κρίσιν δέδωκε τῷ Υἱῷ, συμπαρόντος αὐτῷ καὶ τοῦ ἁγίου Πνεύματος φυσικῶς· οὕτω καὶ Ἰακὼβ ὀπτάνεται παλαιστὴς ἄγγελος, εἰς νόμου τύπον τοῦ δι' ἀγγέλου λαληθέντος· οὕτω καὶ Μωϋσεῖ τῷ πάνυ ἐν πυρὶ φλογὸς ἀγγέλων ὁ πύρινος ποταμὸς ὀπτάνεται, τὴν ποηφόρον πυράρδευτον ἀλυμάντως περιφλέγων βάτον, προδιαγράφων Θεοῦ ἐν ἀκανθηφόρῳ τῆς ἁμαρτίας φύσει βροτῶν ἀσύγχυτον ἕνωσιν· οὕτω δι' ἀγγέλων ὠλοθρεύετο τότε ταχίστη τινὶ ἀφοφητὶ χειρὶ ἀξιφὶ τῇ νυκτὶ Φαραωνίτιδος γονῆς τὰ πρῶτα νεογνὰ, ἀβλαβῶς τηρουμένου τοῦ τῶν Ἑβραίων φύλου· οὕτως συνεδοῦντο ἐν σχοίνῳ, ἀγγελικῇ τῇ χειρὶ ἀλινήκτῳ βυθίῳ πηγῇ, ἄξονες τοῖς ἄξοσι σὺν τριστάταις στρατηγοῖς· ὅθεν καθορῶντες δὴ οἱ ἀλάστορες τὰς ἀγγελικὰς αὐτὰς συμποντιζούσας δυνάμεις, ἔλεγον· Φύγωμεν ἀπὸ προσώπου Ἰσραὴλ, ὅτι Κύριος ὑπὲρ αὐτῶν πολεμεῖ τοὺς Αἰγυπτίους. Οὕτω μετὰ τοῦτο αὖθις ἐν στύλῳ πυρὸς μορφωθεὶς ἄγγελος θεῖος, ὁδηγὸς ὡς Χριστὸς τοῦ λαοῦ, ἀνεδείκνυτο ἀπλανὴς, οὗ τὸ κάλλος τοῦ προσώπου νεφέλης περιβαλλόμενος εἶδος, τὰς ἐπαύλεις καὶ καταπαύσεις τῷ λαῷ διακαλεύεται· οὕτω προσιόντων πρὸς τὸ τῆς νομοθεσίας ὄρος τῶν νομοθετουμένων, διὰ πλειόνων ἀγγέλων τὰς θεοτύπους ἐδέχοντο πλάκας, τῶν μὲν ἠχούντων σάλπιγγας ἦχῳ, τῶν δὲ τὸ ὄρος πυριμορφούντων, καὶ ἄλλων ἐν γνόφῳ καὶ ζόφῳ καὶ θυέλλῃ τοῦτο διακαπνιζόντων πρὸς τὸ ἔμφοβον καταστῆσαι λαὸν, Θεοῦ ἀφοβίαν νοσοῦντα· αὖθίς τι πάλιν δι' ἀγγέλου Ἰησοῦς ὁ τοῦ Ναυῆ τὴν κατὰ τῶν ὁμοφύλων εὐηγγελίζετο νίκην· καὶ ὅπως πλείονας ἀγγέλους τῷ ἀρχαγγέλῳ συνάψωμεν (πείθομαι γὰρ τῷ ἑαυτῶν ἀρχιστρατήγῳ ἀεὶ συνεφραίνεσθαι), ἄγγελος μέν ποτε

A *tuit enim*, inquit, *fines gentium secundum numerum angelorum Dei* [41]. Per cœlestes angelos, Dei mysteria orbi terrarum communicantur; per angelos fit aquarum fontiumque custodia simul et medela, per angelos tentationibus qui digni sunt liberantur; *Castrametatur enim*, inquit, *angelus Domini in circuitu timentium eum, ut ipsos liberet* [42]; per angelos martyrum quoque reliquiæ custodiuntur: *Dominus custodit omnia ossa eorum* [43], quanquam mystica potius hoc loco est ossium appellatio; per angelos altaria Dei custodiuntur, et fidelium templa servantur; per angelos preces orationesque de terra in cœlum ad Deum deferuntur, simulque divina dona hominibus exhibentur; omne denique propemodum Dei mysterium per angelos in terra perficitur.

B

3. Sic olim vere Deus constituit Cherubinos qui vitæ lignum apte custodirent, ne indignis iter ad illud pateret Sic Abrahamo speciem obtulit misso ad eum trium angelorum in humana forma choro, qui sanctissimum Trinitatis significavit decretum. Sic rursus duos ex illa angelica Trinitate ostendit Loto in Gomorrhorum urbe, per pœnam ibi inflictam demonstrans, a Patre neminem judicari, sed omne judicium Filio esse traditum, sancto quoque substantialiter Spiritu intercedente. Sic etiam Jacobo apparuit luctator angelus, ad legis typum quæ per angelum edicta fuit. Sic etiam Moysi illi magno in ignis flamma angelorum igneus fluvius visus est, herbidum rudum igne irrigans et sine detrimento amburens, portendens scilicet Dei cum spinosa peccatis mortalium natura inconfusam adunationem. Sic per angelos celerrima quadam sine gladio manu, silente nocte, Pharaoniticæ genituræ primi surculi pessumdati fuerant, incolumi Hebræorum populo. Si angelica manu, fune veluti, alligati fuerunt, natantes in profundo stagno, axes axibus, cum dicibus ac tribunis. Quamobrem illi exsecrabiles visis angelicis quæ submergebant virtutibus, dixerunt: *Fugiamus a conspectu Israelis, quia Dominus pro ipso pugnat contra Ægyptios* [44]. Sic deinde rursus sub igneæ columnæ specie angelus Dei, dux minime devius veluti Christus populi, apparuit; cujus pulcher vultus nebulæ ferma obvolutus, stationes pausasque eidem populo designabat. Ita accedentes ad legislationis montem ii, quibus lex danda erat, per plures angelos a Deo scriptas receperunt tabulas, quorum alii tubis personabant, alii montem ignea specie vestiebant, alii obscuritate tenebris atque procella fumantem illum reddebant, ut perterrefacerent populum, cui insitus erat morbus Deum non timendi. Postea vero per angelum Jesus quoque Navi filius victoriam de popularibus suis relatam nuntiavit. Atque ut plures angelos archangelo copulemus, credo enim eos cum suo semper duce in gaudio versari, angelus olim Hierosolymis Israelem vastabat,

C

D

[41] I Reg. II, 8. [42] Psal, XXXIII, 8. [43] Ibid. 21. [44] Exod. XIV, 25.

donec magnus David boves in area Sionis immolans cum ipsis triturantibus curribus eos obtulit holocaustum. Atque ita populi plagam inhibuit. Quam hinc nobis cogitationem injiciens, vel quam admonitionem? Nempe quod solum per crucis ligna oblatum Christi sacrificium, Dei iram adversus mundum sedavit. Illic enim vere magnus Dei Phinees (zelator) constitit, factaque pro nobis propitiatione, clades cessavit.

ἐν Ἰερουσαλὴμ τὸν Ἰσραὴλ διωλόθρευεν, ἕως ἦν ὁ μέγας Δαβὶδ τοὺς ἐν τῇ ἅλῳ τῆς Σιὼν θεοθυτήσας βόας, ἐν τοῖς ἁλωηφόροις τούτους ὁλοκαύτωσε, καὶ οὕτω τὴν τοῦ λαοῦ πληγὴν ἔπαυσεν· Ἵνα τί πάθωμεν, καὶ τί παιδευθῶμεν; ὅτι μόνη ἡ διὰ τῶν ξύλων τοῦ σταυροῦ προσενεχθεῖσα Χριστοῦ θυσία τὴν τοῦ Θεοῦ ἀπειλὴν τῆς οἰκουμένης κατέπαυσεν· ἐκεῖ γὰρ, ὡς ἀληθῶς ὁ μέγας Θεοῦ Φινεὲς ἔστη, καὶ ἐξιλάσατο ὑπὲρ ἡμῶν, καὶ ἐκόπασεν ἡ θραῦσις.

4. Illud quoque animadvertere æquum est, quoniam ipse supremus dux trahit nos ad orationem de angelis prosequendam; curnam cum sint unius omnes substantiæ, non unam neque similem figuram aspectumque in terram advenientes ostendant hominibus? sed modo adolescentulorum speciem præ se ferant, modo militum, aliquando etiam equitum, item animalium sex alis et multis oculis instructorum, insuper leonum, boum, aquilarum, interdum etiam equorum igneorum, necnon rotarum et curruum? Divus ergo Isaias cum divinam illam adeoque tremendam vidit Dominicam sessionem in sublimi throno, in quo (ut ipse videbat) universi mundi Deus considebat, astitisse dixit illi in forma sex alis instructa, celsissimas angelicorum simul et cherubicorum ordinum potestates; et duabus quidem alis facies suas velasse, aliis vero duabus pedes suos operuisse [duabus denique reliquis volasse [45].] Jam dum supernas atque inferiores partes circumtegerent, significabant videlicet, hac oblata specie, tum superis in cœlo, tum inferis in terra invisibile esse, arcanum, et obtectum divinitatis mysterium. Vel ob id fortasse utramque extremitatem tegebant, quia res ante Dei Verbi Christique de cœlo adventum incomprehensibiles sunt, itemque illæ post ejusdem assumptionem. Attamen mediis illis, quæ incarnationis tempore evenerunt, credens Ecclesia in cœlum tanquam alis convolat. Fortasse item per hoc vultum pedumque velamentum, nobis innuunt sanctissimi Seraphini, neque initium neque finem divinæ naturæ spectari, aut comperiri, aut intelligi posse. Nam faciei tegumentum invisibilitatem denotat increatæ naturæ; pedes autem vicissim velati, significant haud posse quemquam Deo accedere aut propinquare.

δ'· Σκοπῆσαι δὲ θέμις κἀκεῖνο, τοῦ ἀρχιστρατήγου ἡμᾶς χειραγωγοῦντος ἐπὶ τοῦ τῶν ἀγγέλων λόγου· πῶς οὖν μιᾶς οὐσίας ὄντες οὐ μίαν οὐδὲ ὁμοίαν τὴν μορφὴν καὶ τὴν ὀπτασίαν ἐπὶ γῆς ἐπιδημοῦντες ἐπιδείκνυνται ἀνθρώποις; ἀλλὰ ποτὲ μὲν νεανίσκων μορφὴν ἐπιδείκνυνται, ποτὲ δὲ στρατιωτῶν, καὶ ἄλλοτε ἱππέων, καὶ πάλιν ἐξαπτερύγων καὶ πολυομμάτων, καὶ αὖθις, λεόντων, εἶτα βοῶν, καὶ πάλιν ἀετῶν, ποτὲ δὲ καὶ ἵππων πυρίνων, καὶ πάλιν τροχῶν καὶ ἁρμάτων; Ἠσαΐας μὲν οὖν ὁ θεῖος, ὅτε τὴν θείαν καὶ φρικωδεστάτην ἐκείνην καὶ δεσποτικὴν προεδρίαν τοῦ θείου καθεώρακε θρόνου, ἐν ᾧ, ὡς ἐώρα, ἐνίδρυτο ὁ τῶν ὅλων Θεὸς, ἐν ἐξαπτερύγων εἴδεσι περιστάναι ἔφασκεν αὐτῷ τὰς ἀνωτάτω τῶν ἀγγελικῶν ὁμοῦ καὶ χερουβικῶν τάξεων δυνάμεις· καὶ ταῖς [cod. αἱ pro ταῖς] μὲν δυσὶ, φησὶ, πτέρυξι τὰ οἰκεῖα στενεκάλυπτον πρόσωπα, ταῖς δὲ ἄλλαις δυσὶ τοὺς οἰκείους πόδας συνέσκεπον, [καὶ ταῖς δυσὶν ἐπέταντο·] τὰ ἄνω καὶ τὰ κάτω περικαλύπτουσαι μέρη· σημαίνουσαι μὲν διὰ τοῦ ὑποδείγματος, ὅτι καὶ τοῖς ἄνω ἐν οὐρανῷ, καὶ τοῖς κάτω ἐπὶ γῆς ἀόρατον καὶ ἀπόκρυφον καὶ συγκεκαλυμμένον ὑπάρχει τὸ τῆς θεότητος μυστήριον· ἢ τάχα διὰ τοῦτο τὰς ἀρχὰς καὶ τὰ τέλη ἔσκεπον διδάσκοντες, ὅτι καὶ τὰ πρὸ καταβάσεως τοῦ Λόγου καὶ Θεοῦ καὶ Χριστοῦ ἀκατάληπτα, ὡσαύτως καὶ τὰ μετὰ τὴν αὐτοῦ ἀνάληψιν· τοῖς δὲ ἐν τῇ σαρκώσει, μέσοις ὡσανεὶ πτεροῖς, πιστεύουσα ἡ Ἐκκλησία, εἰς οὐρανὸν ὑψιπετεῖ· ἴσως διὰ τοῦ ὑποδείγματος τῆς σκέπης τῶν προσώπων καὶ τῶν ποδῶν ἐκεῖνο ἡμῖν αἰνίττονται τὰ πανάγια Σεραφὶμ, ὅτι οὔτε ἀρχὴν οὔτε τέλος τῆς θείας φύσεως ὁρᾷν ἢ ἐξευρεῖν ἢ ἐννοεῖν δυνατόν· ἡ μὲν γὰρ τοῦ προσώπου σκέπη, τὸ ἀόρατον ἐδήλου τῆς ἀκτίστου φύσεως· ἡ δὲ τῶν ποδῶν πάλιν, τὸ ἀπρύσιτον καὶ ἀπροσπέλαστον.

5. Deinde ait divus propheta, visionis hujus spectator, plenam fuisse domum gloria Dei. *Notus* enim *in Judæa Deus*, et *apud Israelem* tantummodo *magnum nomen ejus* [46]. Sed tamen notum erat spiritibus intellectualibus. præsciis et perspicacibus incarnationis sedentisque in throno Verbi Dei mysterium: et quod ab hominibus ceu homo cernendus foret, et incorporeus corporandus, et qui vel ipsis immaterialibus invisibilis erat, abs materialibus quoque per carnem aspiciendus; atque universam terram gloria sua et laudibus beneficiorum suorum

ε'. Εἶτά φησιν ὁ θεῖος προφήτης ὁ ταῦτα ὁρῶν, ὅτι καὶ πλήρης ὁ οἶκος τῆς δόξης τοῦ Θεοῦ. Γνωστὸς ἦν τότε ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, καὶ ἐν τῷ Ἰσραὴλ μόνῳ μέγα τὸ ὄνομα αὐτοῦ· ἀλλ' ὅμως ἦν τοῖς νοεροῖς προεωρακότα τὰ διορατικὰ τὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ ἐπὶ θρόνου καθεζομένου Θεοῦ Λόγου μυστήριον· καὶ ὅτι ἐπὶ γῆς ἀνθρώποις ὡσ ἄνθρωπος μέλλει ὀπτάνεσθαι, καὶ ὁ ἄσαρκος σαρκοῦσθαι, καὶ ὁ αὐτοῖς τοῖς ἀΰλοις ἀόρατος, καὶ τοῖς ὑλικοῖς γίνεσθαι διὰ σαρκὸς ὁρατός· καὶ πληροῦν πᾶσαν τὴν γῆν τῆς δόξης καὶ τῆς αἰνέσεως καὶ τῆς χάριτος αὐτοῦ· ἐκ-

[45] Isa. I, II, passim. [46] Psal. LXXV, 2.

πλαγέντα τὴν ἄφραστον καὶ ἀκατάληπτον συγκατάβασιν, καὶ θαυμάσαντα τὴν ἄῤῥητον ἣν εἰς ἀνθρώπους ἔμελλαν ἐνδείκνυσθαι τὴν ἑαυτοῦ ἀποκάλυψιν, εὐχαριστίας ὁμοῦ καὶ ἐκπλήξεως ἀνακεκράγεσαν ὕμνον βοήσαντα, Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ, πλήρης πᾶσα ἡ λῆ τῆς δόξης αὐτοῦ· τὴν μέλλουσαν τῶν Ἐκκλησίων δόξαν προφητεύοντα Χριστὸν τὰ μακαριώτατα Τεραφίμ· διό φησιν ὅτι ἐπλησθη πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· ὅρα τί γίνεται· Ἐπήρθη, φησί, τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, τουτέστιν ἐπήρθη ἡ ἄνωθεν συνέχουσα τὸν Ἰουδαϊκὸν ναὸν καὶ λαὸν σκέπη καὶ ἀντίληψις, καὶ ἐπλήσθη ὁ οἶκος καπνοῦ, ἤγουν ἐρημώσεως καὶ σκότους, πλάνης καὶ ἀγνωσίας· προσέχετε μετὰ ἀκριβείας, παρακαλῶ· ὅτε μὲ ἡ γῆ πᾶσα ἄδοξος ἐν πλάνῃ καὶ ἀγνωσίᾳ, πλήρης ἦν ὁ οἶκος τοῦ ναοῦ τοῦ Ἰουδαϊκοῦ δόξης· ὅτε δὲ πᾶσα ἡ γῆ πλήρης δόξης καὶ ἐπιγνώσεως Θεοῦ γέγονε, Τότε ὁ οἶκος τοῦ Ἰσραὴλ ἐπλήσθη καπνοῦ, σβεσθέντος αὐτοῖς τοῦ νομικοῦ λύχνου· ὅπως φησὶν ὁ Χριστὸς, οἱ μὴ βλέποντες ἡμεῖς, βλέψωμεν· οἱ δὲ βλέποντες Ἰουδαῖοι, τυφλοὶ γένωνται· ἀλλὰ ταῦτα μὲν Ἡσαΐας.

ς'. Ἰζεκιὴλ δὲ πάλιν, ὁ πρὸς θεοπτίας, εἰ καί τις ἄλλος, τὸν νοῦν ἐπιτηδείως ἔχων, οὐ μόνον δὶς ἀλλὰ τετράμορφα ζῶα τοὺς ἀνωτάτω τῶν ἀσωμάτων ἀγγέλων τεθεώρηκε νόας, προδιατυποῦντας οἶμαι σαρκῶς καὶ ἐν αὐτοῖς ἐνανθρωπήσεως τοῦ Ἐμμανουὴλ ἐκ Παρθένου μυστήριον· περιείχετο γὰρ ἐν τοῖς ζώοις εἶδος ἀνθρώπου καὶ σχῆμα βοὸς καὶ τὸ τρίτον λέοντος, τὸ δ' ἀνώτερον τούτοις, ἀετοῦ· ὡς γὰρ ἄνθρωπος, ἀληθῶς ἐφάνη ἐπὶ γῆς Χριστὸς, ὁ ὄντως ὁμοῦ Θεός τε καὶ ἄνθρωπος· ὡς βοῦς εἰς σφαγὴν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας· ὡς λέων, δυνάμει ἐκ νεκρῶν ἐξεγερθεὶς ἀνέστη· ὡς ἀετὸς, εἰς οὐρανοὺς ὑψωθεὶς ἀνελήφθη· ἢ καὶ οὕτως πάλιν ἐπὶ Χριστοῦ ἐκλεκτέον τὰ ζῶα· ἄνθρωπος, ὡς λόγος λογικὸς καὶ εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, διὰ τὸ τῆς ψυχῆς καὶ τοῦ νοῦ νοερὸν καὶ ἀόρατον· βοῦς, ὡς δυνατὸς ἀρχιερεὺς καὶ τὸν ζυγὸν τοῦ σταυροῦ ἐπὶ τὸν ὦμον φέρων, καὶ ἡμῖν τοῖς ἀλόγοις ἐν τῷ τόκῳ συμφατνιάσας ἐν Βηθλεὲμ, καὶ τὸν σπόρον τοῦ εὐαγγελικοῦ λόγου πάσῃ τῇ γῇ κατασπείρας· λέων ὡς βασιλεὺς ἡμῶν τῶν ποτε ἀγρίων καὶ ἀνημέρων καὶ αἱμοβόρων καὶ σαρκοβόρων ἀκαθάρτων ἐθνῶν· Ἐβασίλευσε γὰρ, φησὶν, ὁ Θεος ἐπὶ τὰ ἔθνη· οὐ μόνον δὲ λέων ὁ Χριστὸς, ἀλλὰ καὶ σκύμνος λέοντος, ὡς φησι περὶ αὐτοῦ Ἰακὼβ, τουτέστι βασιλέως υἱὸς, ἐκ βασιλικοῦ πατρὸς προελθών· διὸ καὶ ἀετὸς ὡς βασιλεὺς τῶν οὐρανίων πετεινῶν πτερωτῶν, νοερῶν ἀγγελικῶν ἁγίων δυνάμεων· πτερωτῶν, ὡς ἡμῶν τῶν τοῦ Χριστοῦ νεοττῶν σκεπαστικῶν οὐσῶν καὶ φρουρητικῶν· πτερωτῶν, ὡς εὐκινήτων καὶ τῶν γηΐνων πάντων ὑψηλοτέρως ἐχόντων· πτερωτῶν, ὡς τῷ θείῳ ἔρωτι ἀεικινήτως καὶ ἀκορέστως ἐχόντων· πολυομμάτων, ὡς τῷ θείῳ σωτὶ πλουσίως ἐλλαμπομένων, καὶ ὑπό τινος ὕλης πρὸς θεωρίαν οὐκ ἀντισκοτουμένων· διὸ

repleturus. Ideoque attoniti ob eam insperatam et incomprehensibilem condescensionem, mirantesque ineffabilem quam hominibus Verbum facturum erat suimet revelationem, gratiarum simul et stuporis hymnum canebant clamantes: *Sanctus, sanctus, sanctus Dominus Deus Sabaoth, plena est omnis terra gloria ejus* [47]; Christum videlicet, qui Ecclesiæ gloria futurus erat, ita vaticinabantur beatissimi Seraphim: idcirco, aiunt plenam universam terram gloria illius. Vide quid factum sit. *Elevatum est superliminare a voce clamantium* [48], id est sublatum fuit, quod Judaicum templum populumque continebat septum et tutamen, et domus fumo repleta, id est solitudine, tenebris, errore, et inscitia. Attendite diligenter, quæso. Quando universa terra in ignominia errore et inscitia versabatur, tunc Judaici templi ædificium plenum gloria fuit. Quando autem universa terra gloria et Dei cognitione plena evasit, tunc *domus* Israelis *fumo repleta est* [49], exstincto ipsis legali candelabro; ut, sicut Christus dixit [50], nos antea nihil videntes, videremus: et qui videbant Judæi, cæci fierent. Hactenus Isaias.

6. Ezechiel item [51], qui ad Dei visiones, si quisquam alius, mentem comparatam habuit, non ut biformia tantum, sed ut quadriformia animalia, supernas incorporeorum angelorum vidit mentes, præfigurantes, ut reor, manifeste his formis incarnati in Virgine Emmanuelis mysterium. Erant in animalibus forma hominis, figura bovis atque leonis; et his sublimior, aquilæ. Namque ut homo, vere apparuit in terra Christus, qui vere Deus simul est et homo. Ut bos, ad cædem propter mundi salutem. Ut leo, potenter a mortuis resurrexit. Ut aquila, in cœlum sublimis conscendit. Vel aliter etiam de Christo explicanda sunt animalia: homo, ut Verbum rationale et imago Dei invisibilis, propter animæ ac mentis intellectualem vim et invisibilem: bos, ut potens sacerdos, et crucis jugum humeris ferens, et nobiscum ceu irrationalibus, partus tempore, apud Bethleemum in præsepi repositus, semenque evangelici verbi per universam terram disseminans. Leo, ut rex noster, qui tunc eramus silvestres et sævi et sanguinolenti et carnivori impurique ethnici: *Regnavit* enim, inquit Scriptura, *Deus super gentes* [52]. Neque leo tantum Christus, verum etiam leonis catulus, ut ait de illo Jacobus [53]; id est regis filius, ex regali patre procedens. Ideo etiam aquila, ut cœlestium volucrum alatorum rex, id est angelicarum, intellectualium ac sanctarum potestatum. Alatos dicit, ceu nos, qui Christi sumus pulli, contegentes ac tutantes: alatos, ut agiles, et supra terrena omnia alte volantes: alatos, ut divino amore incessanter et sine satietate fruentes. Multioculos quoque dicit, ceu divino lumine abundanter illustratos, nullaque materia quominus contemplentur infuscatos. Ideo spiritus

[47] Isa. VI, 4. [48] Ibid. 5. [49] Ibid. [50] Matth. XIII, 14. [51] Ezech. I, 1 seqq. [52] Psal. XLVI, 9. [53] Gen. XLIX, 9.

etiam dicuntur, ut immateriales, incorporei, invisibiles, immortales, haud crassi sed aerei, gratiæque beneficio incorruptibiles et inexstinguibiles.

7. Rem tibi persuadeat etiam ille angelus Domini, qui cum ipsius Domini specie venit ad Azariam ejusque socios [54]; is qui cum sit igneus spiritus, rogum frigefecit; qui roris potius quam ignis feracem flammam effecit. Quodque miraculo mirabilius est, eos quos intra ventrem flamma conceperat, peperit illæsos: qui autem extra suum conceptum erant, eos ut impios pessumdedit. Hoc nimirum divinæ virtutis robur, angeli potentia fortissima, adeoque valida ut universum mundum uno temporis puncto possit pessumdare Testis Senacherimi, per unum angelum, Chaldaica nocturna clades, qua centum octoginta quinque millium multitudo tacite et absque gladio interfecta fuit [55]: quod ut nunc celerrime de præsentibus quoque Chaldæis fiat, Deum rogamus. Item translatus satis leviter fuit ab angelo immateriali materialis carnousque Habacucus de Jerusalem finibus Babylonem usque, cibum ferens propheta sodali suo prophetæ Danieli, qui lacus carcere detinebatur: ingressusque est illuc et rediit incolumis [56], ob figurandam Christi sepulturam, lacus sigilla intacta conservans: ut sicut Christus ex morte inferisque, sic etiam propheta ex feris anthropophagis rediret incolumis, demittens potius orco eos qui ipsum ad orcum detulerant. Sicut contra Chaldæos, ita hoc contigit decreti Dei incorruptum judicium, *qui facit angelos suos spiritus, et ministros suos ignem ardentem* [57]; prout in sacris Litteris beati angeli sæpe nominantur, ceu humanarum passionum purgatores, amburentes castigantesque quæ sunt Deo contraria, lucemque obscuratis mortalibus impertientes.

8. Equorum quoque figuris repræsentantur, ut Zacharias ait [58], quia res divina quælibet facili cursu utitur. Item quasi igneæ rotæ visi sunt, ceu qui cœlestem sphæram circumeunt simul et habitant. *Vox* quippe *tonitrui tui in rota* [59]. Quare et curru igneo Elias Thesbites de terra assumitur [60]: qui typus manifestus fuit, quadrijugus scilicet currus, quoniam ex quatuor elementis concreta est nostra natura, non sine qua in cœlum sursus conscendit qui hanc gestavit et rexit, prout voluit, Deus Verbum. Equi autem regalium currum, sanctorum angelorum imago erant: *Currus* enim *Dei*, inquit, *decem millia convivantium et festum agentium* [61]. Aspexit etiam Daniel in visione virum humana prorsus specie in throno sedentem, Antiquum dierum Deum: *Et millia millium*, inquit, *assistebant ei, et mille myriades ministrabant ei* [62].

καὶ πνεύματα λέγοντα, ὡς ἄϋλα καὶ ἀσώματα καὶ ἀόρατα καὶ ἀναψηλάφητα καὶ ἀθάνατα καὶ ἄπαχῆ καὶ ἀέρια (11), καὶ χάριτι ἄφθαρτά τε καὶ ἀνόλεθρα.

ζ'. Καὶ πειθέτω σε ὁ ἄγγελος Κυρίου εἰς αὐτοῦ τοῦ Κυρίου συγκατελθὼν τὸ εἶδος τοῖς περὶ Ἀζαρίαν, ὁ πυρέμψυχος καὶ τὴν πυρὰν ψύχων, ὁ δροσοφόρον ἀντὶ πυρφόρου ἀποτελέσας τὴν φλόγα· τὸ δὲ τοῦ παραδόξου παραδοξότερον, ὅτι οὓς μὲν ἔνδον ὡς ἐν γαστρὶ συνέλαβεν ἡ φλὸξ, ἀπεκύησεν ἀβλαβεῖς· οὓς δὲ ἐκτὸς ἀσυλλήπτους ἀμφ' αὐτὴν περιεῖχεν, ἐλυμαίνετο ἀσεβεῖς· τοῦτο ῥοπῆς θείας δυνάμεως ἀγγέλου ἐξουσία παναλκὴς καὶ οὕτως ῥωμαλέα, ὡς καὶ κόσμον ὅλον ἐν ἐκκαιρίαιῳ δυναμένη ὀλοθρεύειν· καὶ μάρτυς ἡ κατὰ Σεναχερὶμ ἑνὸς ἀγγέλου θείου Χαλδαϊκὴ νυκτολεθρία θνῆσις, ἀψοφητὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδων πληθὺν ἀξιφὶ θανατώσασα· ἤδη τάχιστα καὶ νῦν τελεῖσθαι ἐν τοῖς παροῦσι Χαλδαίοις (12) Θεὸν ἱκετεύομεν· μετεκομίζετο δὲ καὶ κούφως ὑπὸ ἀγγελικοῦ ἀΰλου ὁ ἔνυλός τε καὶ σαρκοφόρος Ἀββακοὺμ ἐξ ὁρίων Ἱερουσαλὴμ πρὸς Βαβυλῶνα, ἐπιφερόμενος ὁ προφήτης τῷ συμποφήτῃ Δανιὴλ τροφὴν, λάκκου φρουρᾷ τότε ὑπάρχοντι, καὶ εἰσῄει ὁμοῦ καὶ ἐξῄει ὀλυμέντως, εἰς Χριστοῦ τάφου τύπον τηροῦντας ἐνλακκίους σφραγῖδας· ἵν' ὡς ἐκ θανάτου καὶ ᾅδου Χριστὸς, ἀνέλθῃ καὶ προφήτης σωθεὶς ἐκ θηρῶν ἀνδρολέθρων ἀντιλαγῶν τῷ ᾅδῃ τοὺς αὐτὸν ἐν τῷ ᾅδῃ κατενέγκαντας· καθάπερ ἐπὶ τῶν Χαλδαίων, ἰσοτύπως γεγένηται αὖτη ἡ τῆς ψήφου Θεοῦ ἀδέκαστος δίκη, Τοῦ ποιοῦντος τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον· καθ' ἃ ὑπὸ τῶν ἱερῶν λόγων οἱ μακάριοι προσαγορεύονται ἄγγελοι, οἷμαί που, ὡς καθαρτικοὶ πολλάκις τῶν ἀνθρωπίνων παθῶν, καυστικοὶ καὶ τιμωρητικοὶ τῶν ἐναντίων Θεοῦ, καὶ φωτὸς μεταδοτικοὶ τοῖς ἀφωτίστοις βροτῶν.

η'. Ἵπποις δὲ πάλιν ὁρῶνται τοῖς σχήμασιν, ὡς Ζαχαρίας φησὶν, ὡς ὀξυπόρως παντὶ τῷ θείῳ διατρέχοντι· τροχῶν δὲ πυρίνων ὡς τὸν οὐράνιον περιπολοῦντες ὁμοῦ καὶ οἰκοῦντες τροχόν· Φωνὴ γὰρ φησὶ, τῆς βροντῆς σου ἐν τῷ τροχῷ· διὸ καὶ ἐν ἅρματι πυρὸς Ἡλίου ὁ Θεσβίτης ἀπὸ γῆς ἀναλαμβάνεται· ὅπερ τύπος ἦν σαφὴς, τό μὲν τέθριππον ἅρμα ἐκ τῶν τεσσάρων στοιχείων συγκειμένης ἡμῶν φύσεως, μεθ' ἧ καὶ εἰς οὐρανὸν ἄνωθεν ἀνῆλθεν ὁ ταύτην φορέσας καὶ ἡνιοχήσας καθὼς ἠβουλήθη Θεὸς Λόγος. Οἱ δὲ ἵπποι τῶν βασιλικῶν ὀχημάτων ἁγίων ἀγγέλων ὑπῆρχον ὑπόδειγμα· Τὸ γὰρ ἅρμα τοῦ Θεοῦ, φησὶ, μυριοπλάσιον χιλιάδες εὐθηνούντων καὶ ἑορταζόντων. εἶδε δὲ καὶ [Δανιὴλ ὡς ἐν ὁράσει ἄνδρα πάλιν ἀνθρωπόμορσον ἐπὶ θρόνου ἐνιδρυμένον, τὸν Παλαιὸν τῶν ἡμερῶν Θεόν· Καὶ χίλιαι χιλιάδες, φησὶ, παρειστήκεισαν αὐτῷ καὶ μύριαι

[54] II Paral. XXVI, 17 seqq. [55] IV Reg. XIX, 35. [56] Dan. XIV, 32 seqq. [57] Psal. CIII, 4; Hebr. I, 7. [58] Zachar. I, 8. [59] Psal. LXXVI, 19. [60] IV Reg. II, 11. [61] Psal. LXVII, 18. [62] Dan. VII, 9.

(11) De substantia angelorum notæ sunt Patrum variæ opiniones. Videsis saltem Petavium.

(12) Intelligit, puto, Theodorus Mohammedanos qui ex intima Asia adversus Græcum Christianorum imperium magnis viribus adventabant.

μορφὰς ἐλαττούργουν αὐτῷ· ἀλλὰ ταῦτα μὲν καὶ ὅσα τοιαῦτα ἐν τῇ Παλαιᾷ, ὡς ἐν ἀρχῇ, καὶ ὀπτασίαις διετυποῦντο· ἐπεὶ οὔτε οὐσίαν Θεοῦ οὔτε μορφήν, οὔτε σχῆμα οὔτε εἶδος οὔτε κάλλος τις τῶν ἐν σαρκὶ εἰδὼς πώποτε, οὔτε εἰδέσθαι δύναται, ὡς ὁ ἱερὸς ἡμᾶς διδάσκει Λόγος· ἀλλ' οὔτε ἀγγέλου τὴν οὐσίαν ἤ τις ἴσχυσεν ἤ ἐθεάσατο.

A Sed hæc quidem, et quæcunque hujusmodi sunt, in Vetere Testamento visionibus et apparitionibus figurabantur; quoniam Dei substantiam neque formam, neque figuram, neque speciem, neque pulchritudinem quisquam in carne vivens unquam aspexit, neque aspicere potest, ceu sacræ nos docent Litteræ. Sed ne angeli quidem substantiam quisquam potuit videre.

θ'. Οὐκοῦν δεῦρο ἀπὸ τῆς σκιᾶς ἐπὶ τὴν Καινὴν Διαθήκην διάβηθι, καὶ τὰς ἀγγελικὰς τρανοτέρων διακονίας κατόπτευσον· ἥκει μὲν οὖν ποτε χοράρχης καὶ τῶν προκρίτων ὁ ἔξαρχος τῆς ἀνωτάτω φύλης τῶν ἀσωμάτων λειτουργῶν, ἐκφάντωρ θεομύστης τῶν ἀποῤῥήτων τοῦ Θεοῦ πρὸς ἀνθρώπους μυστηρίων, Γαβριὴλ ὁ θεοείκελος λάτρις ἁρμήχαρος χαροποιὸς πρὸς τὴν βροτείαν φύσιν, καὶ πρὸς πανάρθορον κόρην· πρὸς ἣν εἰσῆει τὴν μορφὴν αὐτοῦ κατ' οὐσίαν, ὡς ἔστιν ἐπιδεικνὺς τῇ πανσέμνῳ· μόνη γὰρ ἡ ἁγία Θεοτόκος, ὥς φασιν, ἀγγελικὴν ὡς ἔστι καὶ ὡς γέγονεν, ἰδέσθαι δεδύνηται, ἵν' ἐκ τοῦ κάλλους τοῦ δουλικοῦ ὑπερθαυμάσῃ τὸ κάλλος τὸ Δεσποτικόν· διὸ καὶ προστάξει θείᾳ εἰσῆει πρὸς αὐτὴν ὁ ἀρχιστράτηγος, κάλλος ἀμήχανον αὐτῇ ἐνδεικνύμενος, καὶ μορφὴν αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων λαμπροτέραν τυγχάνουσαν, ἡρέμα προσδιανοίγων τῇ ἀρθόρῳ τὴν πανάρθορον τῆς οἰκείας μορφῆς ἰδιότητα· ἄθεν καὶ εἶδεν εἶδος μικροῦ καὶ ἀϊδίου ἀπορῤῥοῆς ἀνταπαύγασμα· εἶδεν ὡραν ὑπὲρ ὥραν ὡραϊσμένην ὡραιότητος· εἶδε κάλλους λαμπηδόνα ξένην ἢ κατὰ συνήθειαν· εἶδεν οὐσίας ἀσωμάτου μαρμαρυγὰς ὑπερβαλλούσας τὰς ἡλιακάς· εἶδε λογικοῦ ἑωσφόρου ἀείζωον αὐγήν· εἶδε φλόγα ψυχικὴν, νοεροῦ φάους συναστράπτουσαν αἴγλην· ὅθεν ὡς οὐκ ἄυλον κατατέθεικεν ἡ πάνσεμνος τοῦ ἀγγέλου τὴν θεωρίαν ὁμοῦ καὶ συντυχίαν, ὡς ἰδοῦσα ὃ ἄλλη οὐκ ἐδέξατο φύσις.

9. Age itaque ab umbris ad Novum Testamentum transi, et angelica perspicacius ministeria contemplare. Venit aliquando chori ductor, et electorum superni cœtus incorporeorum ministrorum princeps, mysticus arcanorum Dei mysteriorum apud homines relevator, Gabriel, Deo similis famulus, gaudii et lætitiæ nuntius mortalium naturæ, ad integerrimam puellam; ad quam est ingressus, formam suam, qualis ejus substantia est, veneretdæ Virgini ostendens. Sola enim sancta Deipara, ut aiunt, angelicam uti reapse est, utque creata fuit, naturam videre potuit, ut in famuli formositate Dominicam pulchritudinem admiraretur. Ideo divino mandato ingressus est ad eam archangelus summam ei pulchritudinem ostendens, formamque ipsis radiis solaribus lucidiorem, sensim aperiens puræ Virgini purissimam formositatis suæ proprietatem. Unde etiam vidit speciem, æterni propemodum fluenti reflexum splendorem. Vidit formositatem formositate majorem, ornatum ipsius ornatus: vidit peregrinum splendorem et præter solitum: vidit incorporeæ substantiæ fulgores solaribus superiores: vidit rationalis luciferi semper vivum splendorem: vidit animatam flammam, intellectualis lucis rutilantem claritatem. Quare tanquam non immaterialem veneranda Virgo excepit angeli visionem atque occursum; ceu quæ viderat, quod nunquam contigit natura.

ι'. Δεμαῖται δὲ καὶ Ζαχαρίας τῇ ἀφωνίᾳ ἁγίου ἀπιστήσας ἀγγέλου· ἐπεὶ γὰρ ἔμελλεν εἰς φῶς προέρχεσθαι ἐκ γαστρὸς ὁ τοῦ φωτὸς πρόδρομος τοῦ ἀληθινοῦ Ἰωάννης, ἡ φωνὴ δηλονότι τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ ἡμῖν τοῖς ἐξ ἐθνῶν Ἐκκλησίας, τοῦ νόμου γήροντα λέγων· οὗ τύπον ἐκκληρῶν ὁ πατὴρ Ζαχαρίας, προτίκτει τοῦ Χριστοῦ μῆνας ἓξ τὸν Ἰωάννην· Οὐκ ἦν γὰρ ἐκεῖνος τὸ φῶς· καὶ διὰ τοῦτο πρὸ ἓξ ἔχει τὸν Ἰωάννην· μεθ' ὃν Χριστὸς ἐτέχθη, ὡς ἑβδόμη τις ἡμέρα· αὐτὸς γάρ ἐστιν ὡς ἀληθῶς ἡμῶν μυστικὴ τῶν Σαββάτων ἀνάπαυσις, ἣν εὐλόγησεν ὁ τῶν ὅλων Θεὸς καὶ ἡγίασεν· ὅτι ἐν αὐτῇ καὶ δι' αὐτῆς κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ αὐτός ἐστιν ὄντως ἀληθὴς τῆς μεγάλης βουλῆς τοῦ Πατρὸς Ἀρχάγγελος, καὶ αὐτὸς Κύριος ὁ Θεὸς δυνάμεων· διόπερ αὐτῷ ὑπείκουσι καὶ δουλεύουσι καὶ διακονοῦσιν ἐν παντὶ τρόπῳ καὶ τόπῳ τῆς ἐνσάρκου οἰκονομίας αὐτοῦ οἱ ἅγιοι καὶ φιλάνθρωποι ὡς φιλανθρώπῳ Δεσπότῃ οἱ ἄγγελοι· καί ποτε μὲν αὐτοῦ γεννηθέντος τὸ κατὰ σάρκα, ἄγγελοι πρωτογνώστως τοῖς ποιμέσιν ἐπέστησαν, μυσταγωγοῦντες τούτους τῇ ἐν Βηθλεὲμ αὐτοῦ φατ-

10. Mutus fit Zacharias, qui angelo sancto non crediderat: quia scilicet processurus erat ex utero in lucem, veræ lucis præcursor Joannes, *vox nimirum clamantis in deserto* [63], nobis qui ex gentium Ecclesia sumus, legis senectutem edicturus: cujus typum gerens Zacharias gignit sex ante Christum mensibus Joannem: *Non* enim *erat ille lux* [64]; ideoque ante sex menses suscepit filium Joannem. Post quem Christus natus est, ceu septima quædam dies. Ipse enim vere nobis est mystica Sabbatorum requies, cui benedixit universalis Deus, et eam sanctificavit; quia in ipsa et propter ipsam ab omni opere suo requievit. Et ipse est reapse verus magni paterni consilii archangelus ipse Dominus ac Deus virtutum. Quapropter ipsi subjiciuntur, et serviunt, atque ministrant omnimodis et omni loco per omne incarnationis tempus sancti et benigni ceu sancto et benigno Domino angeli. Etenim nato illo in carne, angeli primæ notitiæ auctores pastoribus fuerunt, nuntiantes hujus apud Bethleemum in præsepi nativitatem. Moxque admirantes magnum ejus et insperatum in paupercula forma hu-

[63] Isa. XL, 3. [64] Joan. I, 8.

manationis mysterium, *Gloria in excelsis Deo* [65] magnifice elataque voce clamarunt. Item angelus, ceu luminare cœleste in stellæ figuram conversus viæ dux fuit magis, vocans ad viam quæ dicit : *Ego sum via* [66]. Rursus oraculum edit angelus, post magorum discessum, Josepho, ut cum Matre ac Jesu in Ægyptum migraret. Discedituque fugiens Deus ab homine, arcano œconomiæ consilio, haud equidem mortem timens, qui est hominum judex, sed tibi figuram exemplumque præbens, finesque timoris et virilis animi, quandonam et ubi et quare opportunitate in cunctis utendum sit. Non tamen usque ad Ægyptum tantummodo angelorum famulatus Dominum suum comitatus est, sed etiam ex Ægypto reditum angelus Josepho indixit.

11. Deinde vero quid ? Alia quoque ab angelis factitata reperies. Angeli siquidem ad Jesum baptizatum ministrandi gratia in deserto accesserunt : non quod unquam a Domino suo abfuissent, sed ut tu, o fidelis, crederes, hominem baptizatum et munditiem conservantem, angelos invisibiliter ministros custodesque habere. Unde et in Probatica piscina, ad baptismi figuram, angelus sanationes faciebat : qua in piscina magni consilii angelus Christus homini jam triginta et octo annos paralytico salutem contulit : ipse tricesimo vitæ suæ anno baptizatus, et illius quinque sensus fide Trinitatis prodigiose, sanans. Sed parum abfuit, quin quod est præ cæteris summum et mirabilius, in sacris historiis de angelis relatum, indictum præterirem. Quale vero est hoc ? Illi scilicet circa Christi vivificum sepulcrum inexspectati et multiformes angeli, quorum vere peregrini et relatu majores fuerunt eo in loco sermones atque prodigia. Qua in re illud in primis sedulo animadvertes, quomodo cuncti Christo dilecti terrigenæ currere illuc dicantur, sed supernæ naturæ absque cursu illic sedentes appareant. Petrus itaque exsurgens ad monumentum currebat ; sed alius discipulus Petro citius præcucurrit. Et Maria Magdalene currit, venitque ad Simonem Petrum. Et aliæ Mariæ currebant nuntium ferentes discipulis. Sed ei illæ apud Marcum mulieres cursim a monumento fugerunt. At non ita angeli cursu utuntur, sed illic sedent, alius ad caput, alius ad saxi pedes, ubi corpus Jesu jacuerat, et alii quidem intra, lapidi insident.

12. Quid ergo hinc discimus ? Nempe eos qui nondum divina mysteria susceperunt, ceu terrigenas, merito currere, sicut etiam Paulus ait [67], ut comprehendant. Nam ad dilectum qui currit, cursu utitur. Ideo sedisse dicuntur apud sepulcrum sanctissimi angeli, ceu jam gnari divinorum resurrectionis mysteriorum : sed alius quidem ad caput sedet, quia fortasse excelsioribus mysteriis initiatus : alius ad pedes, quia fortasse inferiorum ali-

A νοθέτῳ γεννήσει · καὶ αὖθις ἀγασθέντες τὸ μέγα καὶ παράδοξον αὐτοῦ τῆς πτωχοπρεποῦς ἐνανθρωπήσεως μυστήριον, τὸ, Δόξα, λαμπρῶς, ἐν ὑψίστοις Θεῷ, διαπρυσίως ἐκέκραγον · καὶ ἄγγελος ὡς φωστὴρ οὐράνιος εἰς ἀστέρος τύπον μορφωθείς, τὴν ὁδὸν ὡδοποίει μάγοις καλῶν πρὸς τὴν ὁδὸν τὴν λέγουσαν · Ἐγώ εἰμι ὁδός · χρησμοτοδεῖ δὲ καὶ πάλιν αὖθις ἄγγελος, ἀναχωρησάντων τῶν μάγων, Ἰωσὴφ, σὺν τῇ Μητρὶ καὶ Ἰησοῦ τὴν ἔπαρσιν ποιεῖσθαι ἐπ' Αἴγυπτον · καὶ οἴχεται φυγὰς Θεὸς ἐκ βροτοῦ οἰκονομικῶς, οὐ φρίττων θνητὸν ὁ κριτὴς τῶν βροτῶν, ἀλλά σοι τύπον καί εἰκόνα διδοὺς, καὶ ὄρους δειλίας καὶ ἀνδρείας, πότε καὶ ποῦ καὶ καιρὸν εἰδέναι τοῖς πᾶσιν · οὐ μέχρι δὲ Αἰγύπτου ἡ τῶν ἀγγέλων πρὸς τὸν ἑαυτῶν Δεσπότην λειτουργία, ἀλλὰ καὶ
B ἀπ' Αἰγύπτου ἄγγελος τῷ Ἰωσὴφ μηνύει τὴν ἔξοδον.

ια'. Εἶτα τί ; καὶ τὰ ἄλλα περὶ ἀγγέλων εὕροις · ἄγγελοι μὲν τῷ Ἰησοῦ βαπτισθέντι ἐν τῇ ἐρήμῳ εἰς διακονίαν προσέρχονται · οὐχ ὅτι πώποτε τοῦ ἑαυτῶν Δεσπότου ἀπέστησαν, ἀλλ' ὅπως σὺ πιστωθῇς ὁ πιστὸς, ὅτι βαπτισθεὶς καὶ φυλάττων τὴν κάθαρριν, ἀγγέλους ἀοράτως πρὸς διακονίαν καὶ τήρησιν κομίζεται · ὅθεν καὶ ἐν τῇ Προβατικῇ κολυμβήθρᾳ εἰς τύποντοῦ βαπτίσματος ἄγγελος τὰς ἰάσεις ἐνεδείκνυτο, ἐν ᾗ ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος ὁ Χριστὸς, διὰ τριάκοντα καὶ ὀκτὼ ἐτῶν τῷ παραλύτῳ ἐχαρίσατο ἴασιν · τριακονταέτης βαπτιζόμενος, καὶ τὰς πέντε τούτου αἰσθήσεις τῇ πίστει τῆς Τριάδος παραδόξως
C ἰώμενος. Μικρῳ καὶ αὐτὸ τὸ πάντων κορυφαιότατον καὶ θαυμασιώτερον ἐν πράγμασιν ἱεροῖς περὶ ἀγγέλων φερόμενον, τῷ λόγῳ παρέδραμον · ποῖον δὲ τοῦτο ; τοὺς κατὰ τὸν τῆς ζωῆς Χριστοῦ ζωηφόρον τάφον παραδόξους τε καὶ πολυτρόπους ἀγγέλους, ὧν ὡς ἀληθῶς ξένα καὶ ὑπὲρ λόγον τὰ κατὰ τόπον κηρύγματα καὶ θαυμάσια · ἐν οἷς σκοπήσεις ἐπιμελῶς πρὸ τῶν ἄλλων ἐκεῖνο, πῶς μὲν ἅπαντες οἱ Χριστῷ προσφιλεῖς γηγενεῖς τρέχειν ἐκεῖ λέγονται, αἱ δὲ φύσεις αἱ ἀνώτεραι ἀδρομὶ καθέζεσθαι φαίνονται · ὁ μὲν οὖν Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον · ὁ δὲ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου · καὶ Μαρία ἡ Μαγδαληνὴ τρέχει καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον · καὶ αἱ ἄλλαι Μαρίαι ἔδραμον ἀπαγγέλλουσαι τοῖς μαθηταῖς · καὶ αἱ κατὰ τὸν Μάρκον ὁμοίως ἐν δρόμῳ ἔφυγον ἀπὸ τοῦ μνημείου · ἀλλ' οὐχ οὕτως ἐνθάδε δρόμῳ ἐμφαίνονται καθήμενοι, ὁ δὲ πρὸς τῇ κεφαλῇ, καὶ ἄλλος πρὸς τοῖς ποσὶν,
D ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ · καὶ οἱ μὲν ἐντὸς, οἱ δὲ ἐκτὸς ἐπάνω τοῦ λίθου καθήμενοι.

ιβ'. Τί οὖν διὰ τούτων μανθάνομεν ; ὅτι οἱ μήπω τὰ θεῖα καταλαβόντες μυστήρια, ὡς γηγενεῖς, δικαίως τρέχουσιν, ὡς καὶ Παῦλός φησιν, ἵνα καταλάβωσι · πρὸς γὰρ τὸ ποθούμενον ὁ τρέχων τρέχει · διὸ καθῆσθαι λέγονται ἐν τῷ τάφῳ οἱ πανάγιοι ἄγγελοι, ὡς ἤδη γινώσκοντες τὰ θεῖα τῆς ἀναστάσεως μυστήρια · ἀλλ' ὁ μὲν πρὸς τῇ κεφαλῇ κάθηται, ἴσως ὡς τὰ ὑψηλότερα μεμυημένος μυστήρια · ὁ δὲ πρὸς τοῖς ποσὶ, τάχα τῶν κατωτέρων τινῶν μυστηρίων καὶ διακονιῶν

[65] Luc. II, 14. [66] Joan. XIV, 6. [67] I Cor. IX, 24.

λειτουργὸς γινόμενος· καὶ οἱ μὲν ὁρῶντες ὡς τὰ κρυπτότερα διασκοποῦντες θαυμάσια τῆς θεότητος· οἱ δὲ ἐκτὸς, ἴσως ὡς τὸ τῆς σαρκώσεως Χριστοῦ θαῦμα κηρύττοντες· καὶ ἄλλος ἐν τοῖς δεξιοῖς κάθηται, ψυχῶν δικαίων καὶ δεξιῶν Θεοῦ μυσταγωγὸς γινόμενος· ἀλλὰ καὶ νεανίσκων προσώποις ὡραϊσμένοι ὁρῶνται, τῶν νεανίσκων καὶ ἀθραύστων καὶ ἀγηράτων καὶ ἀφθάρτων, καὶ τὸ εὐσταλὲς καὶ φιλάρετον τῆς ἑαυτῶν φύσεως πρὸς Θεὸν διὰ τῆς νεανισκοφανοῦς αἰνιττόμενοι ὥρας· ὅθεν καὶ ἐν ἐσθήσεσιν ἀστραπτούσαις, ὁμοῦ τε ἵνα δείξωσι τὸ λαμπρὸν καὶ ἄσπιλον καὶ ἐρωτικὸν τῆς Χριστοῦ ἀναστάσεως, καὶ τὸ ἄῤῥυπον καὶ ἀπαθὲς καὶ ἀκηλίδωτον χάριτι τῆς ἑαυτῶν φύσεως· ἐπεὶ γὰρ δεύτερον φῶς μετὰ τὸ πρῶτον, ὅ ἐστι τὸ φῶς τῶν φώτων, λέγεται ἄγγελος· τούτου χάριν καὶ ἐσθήσεσεν ἀστραπτούσαις, καὶ ὡς ἀστραπὴ, καὶ ὡς χιὼν οἱ πανίτροι οὗτοι φωστῆρες τοῖς ἀξίοις ἐμφαίνονται· ἐν οἷς οὐ πάρεστιν οὐ χρῶμα, οὐ σῶμα, οὐ πτέρυγες, οὐκ ἐνπηχεῖς βραχίονες, οὐ θριξοφόρος κορυφὴ, οὐκ ὄρθιον ἀνάστημα, οὐδ' ὅλως τι τῶν κατὰ τὴν ἔνυλον ὁρωμένων ἢ κινουμένων φύσιν. Εἰ πολλάκις ἐν θείαις ὀπτασίαις ἀθρωπομόρφως ἐπιφαίνεσθαι λέγονται, ἀλλ' οὐδ' αὐτὰς ταύτας, ἃς περικείμενοι προσηγορίας, τῆς τούτων οὐσίας σημαντικὰς ὑπειλήφαμεν, ἀλλὰ πρὸς τὰς οἰκείσ μᾶλλον ἐνεργείας ἐκ Θεοῦ, καὶ τῶν θεολόγων ἀνδρῶν ἐκομίσαντο· καὶ γε ὠφελον· καὶ γὰρ ἐμοί γε σκόπευσον οὕτως. Ἄγγελοι, ὡς ἀγγέλλοντες ἀνθρώποις τὰ θεῖα βουλεύματα καὶ ἄλλοθεν ἀγοντες. Ἀρχάγγελοι, ἵνα σὺ μάθῃς καὶ ἐν ἀνθρώποις τάξιν καὶ κατάστασιν, ἧς τύπος καὶ ἡ Ἐκκλησία καθέστηκεν. Ἀρχαὶ δὲ πάλιν λέγονται, ὡς ἐξάρχουσαι πρὸς διδασκαλίαν καὶ ῥωτισμὸν τῶν κατωτέρω προσταγμάτων. Ἐξουσίαι, ὡς βασιλικὰ καὶ δεσποτικὰ περικείμεναι ἀξιώματα. Δυνάμεις, ὡς χάριτι πάσης ἀσθενείας καὶ πάθους καὶ θανάτου ἀνώτεραι. Θρόνοι, ὡς ἐπαναπαυομένου τοῦ Θεοῦ τῇ τούτων πολιτείᾳ καὶ λειτουργίᾳ. Κυριότητες, ὡς ἐμπεπιστευμέναι ὑπὸ τοῦ Θεοῦ εἰς πρόνοιαν καὶ σωτηρίαν καὶ χειραγωγίαν τῷ ἀνθρωπίνῳ γένει, καὶ ὡς ἀδούλωτοι χάριτι πάσης λοιπὸν ἐμπαθοῦς κινήσεως καὶ ἐκπτώσεως. Σεραφὶμ, ὅπερ τῇ Ἑβραίων φωνῇ πύρωσις ἑρμηνεύεται, ὡς ἑτέρων καθαρτικαὶ καὶ φωτιστικαὶ οὐσίαι τυγχάνουσι· τὰ δὲ ἀνώτατα πάντων καὶ πλησιόθεα Χερουβὶμ, ὅπερ πάλιν πλῆθος ἑρμηνεύεται γνώσεως.

ιγ'. Ταύτην ἡμῖν ὁ ἀρχιστράτηγος τῶν ἀγγέλων σήμερον περὶ ἀγγέλων εἰπεῖν ὑφηγήσατο· αὐταί τε τῶν ἀσωμάτων ἐννέα τάξεις, καὶ δεκάτη ὁ ἄνθρωπος· εἰσὶν οὖν δέκα τάξεις ἢ δραχμαὶ, περὶ ὧν φησιν ὁ Χριστός. « Εἴ τις γυνὴ ἔχουσα δραχμὰς δέκα, ἐὰν ἀπολέσῃ μίαν ἐξ αὐτῶν, οὐ δὲ ἅψασα λύχνον ἀναζητήσει ταύτην; καὶ ἐὰν εὕρῃ, συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας, λέγουσα, Συγχάρητέ μοι ὅτι ηὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα· » ἤ τις ἦν καὶ τὸ πρόβατον τὸ ἀπολωλὸς ἐκ τῶν ἐννενηκονταεννέα τῶν μὴ ἀπολωλότων· ὅπερ ὁ ποιμὴν ὁ καλὸς καὶ ἀγαθὸς καὶ φιλάνθρωπος οὐχ ὑπερεῖδεν, ἀλλ' ἀνεζήτησε, καὶ εὑρὼν ἐπὶ τὰ ὦμα

A quot mysteriorum atque officiorum minister erat: et alii quidem spectantes, quasi secretiora rimantes prodigia divinitatis: alii extra, fortasse utpote incarnationis Christi prodigium prædicantes: et alius in dextera parte sedet, quia justarum et in dextera Dei collocandarum animarum magister. Sed et adolescentium pulchrorum formis Decori apparent, adolescentium, inquam, integerrimorum, senii et corruptelæ expertium, qui constantem naturæ suæ erga Deum virtutem, juvenili formositate designant. Quare et vestibus apperent fulgentibus, ut simul demonstrent splendidam, immaculatam amabilemque Christi resurrectionis speciem; et collatam ipsorum naturæ a divina gratia munditiem, impassibilitatem, atque impeccantiam. Etenim secundum lumen post primum, quod est luminum B lumen, dicitur esse angelus. Propterea et in vestibus splendidis, et veluti fulgur, aut nix, hæc sacratissima luminaria dignis apparent, quibus alioqui neque color, est, neque corpus, neque alæ neque brachia vel cubiti, neque comati vertices, neque erecta statura, neque aliud quidquam ex his quæ in materiali natura cernuntur aut moventur. Et quanquam sæpe in divinis visionibus humana specie apparere dicuntur, non tamen has ipsa quas gerunt appellationes, eorum substantiæ significativas putamus, sed eas potius a propriis Dei nutu operationibus, atque a theologis hominibus sortiti sunt. Et quidem ita fieri oportuit. Nam mecum, quæso, considera. Angeli (nuntii) dicuntur, quia nuntiant hominibus divina consilia, et aliunde C afferunt. Archangeli, ut discas in hominibus quoque constitutem ordinem esse debere, cujus rei typus Ecclesia est. Principatus item dicuntur, quasi principes ad magisterium et illuminationem ordinum inferiorum. Potestates, ut relagi dominicaque dignitate præditi. Virtutes. ut gratiæ beneficio cujuslibet infirmitatis, passionis ac mortis immunes. Throni, ceu Deo in horum conversatione et ministerio considente. Dominationes ceu quibus Deus commisit curam, salutem, directionemque humani generis, et quia gratiæ beneficio nunquam servient ulli passionum motui et lapsui. Seraphim, quod nomen in Hebræorum lingua igneam accensionem interpretamur, tanquam aliorum purgativæ et illuminatoriæ substantiæ. Cherubim, quod item vocabulum interpretamur plenitudinem scientiæ. D

13. Hanc nobis hodie materiam summus dux angelorum ex alto obtulit dicendi de angelis. Hi sunt novem incorporeorum ordines: decimus autem ordo homo. Sunt itaque decem ordines totidem drachmæ, de quibus Christus ait: « Mulier habens decem drachmas, si unam ex his perdiderit, nonne accensa lucerna quæret eam? Et si invenerit, amicas congregat vicinasque, dicens: Congratulamini mihi, quia inveni drachmam quam perdideram. » Idem decimus ordo, seu homo, est ovis quæ perierat inter nonaginta novem incolumes; quam egregius pastor, bonus atque benignus, non neglexit,

sed conquisivit, inventamque in montibus collibusque ethnicis male errantem et idolis immolantem revocavit, et impositam humeris reduxit ad non erroneum gregem eam quæ devia fuerat, atque inter cœlites reducem connumeravit, et æterno regno dignatus est; quo nobis omnibus potiri contingat, gratia et benignitate Domini nostri Jesu Christi cum quo gloria sit Patri et sancto vivifico consubstantiali Spiritui, nunc et semper et in sæcula sæculorum. Amen.

καὶ τοὺς βουνοὺς τοὺς Ἑλληνικοὺς κακῶς πλανώμενον καὶ θυσιάζον ἐπέστρεψεν, καὶ βαστάσας τῇ ποίμνῃ τῇ ἀπλανεῖ τὸ πεπλανημένον, εἰς οὐρανοὺς ἀναγαγὼν συνηρίθμησε, καὶ τῆς βασιλείας τῆς αἰωνίου κατηξίωσεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ ὁμοουσίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

VII

In nativitatem sancti prophetæ Præcursoris Baptistæ.

Ζ'.

Εἰς τὸ γενέσιον τοῦ ἁγίου προφήτου Προδρόμου Βαπτιστοῦ (13).

(Ang. Mai, *loc. cit.* p. 33.)

1. Si vocali alicui lusciniæ verno tempore suaviter resonanti nostra similis esset oratio, laudare aliquantum magnam illam veritatis vocem, quæ hodie nascitur, forsitan posset: sed cum gracilis atque absona sit oratio nostra, quomodo laudabit magnum decus prophetarum? quomodo celebrabit eximiam apostolorum dignitatem? quomodo glorificabit peregrinam martyrum gloriam? Porro hoc mihi quoque considerandum est, quod in aliis quidem sanctis, alius alium laudavit, celsus celsum, minor minorem: sed ejus qui nunc laudatur, ante omnes ipse Christus, Deus ac veritas, laudes pronuntiavit. Ait enim: *Major Joanne Baptista inter natos mulierum non surrexit* [68]. Quia igitur tanta suppetit magno Præcursori sublimisque laus a supremæ auctoritatis Verbo; num is adhuc indiget exiguo nostro sermone, o studiosi auditores? Absit; sed servile persolventes debitum, et Patris jussum exsequentes, et quasi ex sola Præcursoris mentione sanctificandi simus, nostram audaciam ostendemus.

2. Agedum igitur diem festum jam celebremus, ad natalem honorandum frequenti miltitudine conveniamus, neque accolæ tantummodo, verum etiam universa intellectualis Jordanis regio. Videamus peregrinum mysterium; spectemus negotium hodie præter omnem spem patratum; consideremus Zachariæ res, vicissimque narremus quæ Elisabetæ sunt. Non ex obscuris ergo parentibus, ut hinc etiam maximus appareat Præcursor, sed ex illustribus inclytisque nascitur. Nam alter quidem erat veluti Aaron propter canos et dignitatem, sacerdotali veste indutus: pectorali, inquam, et superhumerali, podere, fimbriata tunica, cidari, atque zona, quæ omnia auro, gemmie, hyacintho, byssoque erant varista: atque ita in Sancta sanctorum ingrediebatur per tempus

α'. Ἀηδόνι τινὶ πολυφώνῳ εὔηκα κελαδούσῃ περὶ τὰς ἐαρινὰς ὥρας ἐοικὼς ἡμῖν ὁ λόγος, εὗρεν ἂν τάχα ἐκ μικροῦ ἀνυμνῆσαι τὴν μεγάλην φωνὴν τῆς ἀληθείας σήμερον ἀποκυουμένην· ἐπεὶ δὲ ἐστιν ἰσχνοεπὴς, καὶ δύσφωνος ἄγαν, πῶς ὑμνήσει τὸ μέγα τῶν προσητῶν κλέος; πῶς αἰνέσει τὸ ἐξαίρετον τῶν ἀποστόλων γέρας; πῶς δοξάσει τὸ ξένον τῶν μαρτύρων σέβας; Καί μοι σκοπητέον τοῦτο, ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἁγίων, ἄλλος ἄλλου διείληφε τὰ ἐγκώμια, ὑψηλὸς ὑψηλοῦ, καὶ μετρίου μετριώτερος· τοῦ δὲ νῦν εὐφημουμένου πρὸ τῶν ἄλλων, αὐτὸς Χριστὸς ὁ Θεὸς ἡ ἀλήθεια· φησὶ γάρ· Μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται. Ἐπεὶ οὖν τοσοῦτος περίεστιν ὁ ἔπαινος τῷ μεγάλῳ Προδρόμῳ ἀνυπέρβλητος ἐκ τοῦ ἀνωτάτω Λόγου, μή τι ἄρα ἐνδεής ἐστι τῆς ἡμετέρας βραχυλογίας, ὦ φιλακροάμονες; Ἄπαγε· ἀλλὰ δουλικὸν ἀποτινύντες χρέος, καὶ Πατρικὸν (14) ἀποπληροῦντες ἐπίταγμα, καὶ ὡς ἁγιασθησόμενοι ἐκ μόνης τῆς περὶ τὸν Πρόδρομον ὑπομνήσεως, τὸ τολμηρὸν ἡμῶν ἐπιδεικνύμεθα.

β'. Δεῦρο δὴ οὖν λοιπὸν τὴν ἡμέραν ἑορτάσωμεν, τὰ τοῦ γενεσίου πανηγυρίσωμεν, οὐχ οἱ περίοικοι μόνον, ἀλλὰ καὶ πᾶσα ἡ τοῦ νοητοῦ Ἰορδάνου (15) περίχωρος· ἴδωμεν τὸ ξενοπρεπὲς μυστήριον, ἴδωμεν τὸ παραδόξως τελούμενον σήμερον, κατανοήσωμεν τὰ τοῦ Ζαχαρίου, ἀνθομολογησώμεθα τὰ τῆς Ἐλισάβετ· Οὐκ ἐξ ἀγεννῶν τοίνυν γονέων, ἵνα κἀντεῦθεν δειχθῇ μέγιστος ὁ Πρόδρομος, ἀλλὰ καὶ λίαν ἐπισήμων καὶ περιδόξων· ὁ μὲν γὰρ Ἀαρών τις καὶ τὴν πολιὰν καὶ τὴν ἀξίαν, τὴν ἱερατικὴν στολὴν ἡμφιεσμένος, τὸ περιστήθιόν φημι, τὴν ἐπωμίδα, τὸν ποδήρη, τόν τε κοσσύμβρωτον χιτῶνα, τὴν κίδαριν τε καὶ ζώνην, τὰ ἐκ χρυσοῦ τε καὶ λίθων καὶ ὑακίνθου καὶ βύσσου πεποικιλμένα· καὶ οὕτως εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσιὼν, κατὰ τὴν ἐφημερίαν τῆς ἱερουργίας· ἡ δὲ τῆς Σάρρας ἰσοκλεὴς, καὶ μᾶλλον δὲ

[68] Mattæ. XI, 11.

(13) Orationem hanc exhibuerat Latine tantummodo Combefisius in *Bibliotheca concionatoria*, t. VII, p. 129. Nos nunc Græce primum ex Vaticano codice eruimus. Jam Combefisii interpretatitionem sæpe libenter secuti sumus, sæpe etiam ab ea discessimus, tum ob alias causas, tum quia Combefisius Græcas dictiones non una vice prave omnino explicaverat; id quod phitellenes vere a me dici comperient.

(14) Satis constare videtur Studitam ætate juvenili plerasque has panegyricas orationes, dixisse; quo tempore nonnisi jussu vel episcopi sui vel abbatis monasterii concionari poterat. Quem morem in Gregorio quoque Antiochano videsis apud nos t. II, p. 557.

(15) Jordanes baptismi symbolum in musivis Romanis. Hic dicit baptizatos omnes, id est Christianos.

ὑπερκλεὴς, ὡς καὶ τῇ Θεομήτορι ἀγχιστεύουσα · γεννᾷ γὰρ ἐκ στειρώσεως κατ' ἐπαγγελίαν οὐκ Ἰσαὰκ δοῦλον Θεοῦ κληθέντα, ἀλλ' Ἰωάννην τὸν φίλον γνήσιον Κυρίου χρηματίσαντα. Ὦ ἀγόνου νηδύος τοιοῦτον κυοφορησάσης παῖδα! ὦ ἀκάρπου ἀρούρας τηλικαύτην βλαστησάσης ἄσταχυν · διὰ τοῦτο οὐκ ἀποκνητέον τὰ τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου καινότερόν πως καὶ πρὸς αὐτὴν ἀποφθέγξασθαι · Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα · ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι ἐξήνθησας ἐκ τῆς ἐρήμου μήτρας τὸ κρίνον τῆς ἀγνείας, τὸ ῥόδον τῆς πνευματικῆς εὐοδμίας, τὸν λειμῶνα τῆς ἀγαθοφόρου ἐγκρατείας, τὸν ἡμεροφανῆ λαμπτῆρα τῆς Χριστοῦ ἐπιφανείας, Ἰωάννην τὸν θεοπρόβλητον στρατιώτην τοῦ οὐρανίου βασιλέως, τὸν ἄριστον τῆς Χριστοῦ νυμφαγωγὸν Ἐκκλησίας, τὸν ἀσίγητον μάρτυρα τῆς ὄντως ἀληθείας, Ἰωάννην τὸν διαπρύσιον κήρυκα τῆς μετανοίας, τὸν ἐν σώματι ἄγγελον τοῦ Κυρίου, τὸν ἐκφάντορα τοῦ Ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου · καὶ οὐδ' ἂν αὐτοῦ περιλάβοιμι τὰς ἀξίας, κἂν πλείω προσθείην τῆς κλήσεως τὰ ὀνόματα. πολυώνυμος γάρ τίς ἐστι, καὶ πολυάξιος, τὸ μεῖζον παρὰ πάντας τοὺς χριστοὺς Κυρίου κεκληρωμένος.

γ'. Καὶ γοῦν τιμᾶται καὶ Ἰσαὰκ τοῦ προπάτορος τὸ γενέσιον, ὅνπερ Σάῤῥα συλλαβοῦσα καὶ τεκοῦσα υἱὸν εἰς γῆρας, εἶτα καὶ εἰποῦσα, Τίς ἀναγγελεῖ Ἀβραὰμ ὅτι θηλάζει Σάῤῥα παιδίον; ἐφ' ᾧ καὶ μεγάλην δοχὴν ποιῶν φαίνεται ἐν ἡμέρᾳ τῆς αὐτοῦ ἀπογαλακτίσεως. Καὶ τιμᾶται πάλιν Σαμψὼν [τὸ γενέσιον] τοῦ τεχθέντος Μανωὲ κατ' ἐπαγγελίαν, ἐκ στείρας καὶ αὐτὸς προερχόμενος · ὃς, φησὶν, οὐ πίεται οἶνον καὶ σίκερα, καὶ οὐ μὴ φάγῃ πᾶν ἀκάθαρτον · καὶ αὐτὸς ἄρξεται σώζειν τὸν Ἰσραὴλ ἐκ χειρὸς ἀλλοφύλων. Ἔτι δὲ πρὸς τούτοις, ἵνα τὰ τῶν ἄλλων παραθέω, καὶ Σαμουὴλ τοῦ τὰ ἔμπροσθεν βλέποντος, ὃν ἔτεκεν ἡ πολυύμνητος Ἄννα τῷ ἀνδρὶ αὐτῆς Ἑλκανᾷ, ἀναθεμένη ἐκ βρέφους τῷ Θεῷ. Ἀλλ' οὕπως τῆς Ἰωάννου τετυχήκασι μεγαλειότητος, ἀγαπητοί · διότι οἱ μὲν πρὸ νόμου τοῦ γραπτοῦ, οἱ δὲ μετὰ νόμον · Ἰωάννης δὲ ὁ υἱὸς Ζαχαρίου τοῦ ἱερέως καὶ Ἐλισάβετ τῆς θαυμασίας, προεισόδιον ἄνθος τῆς Χριστοῦ παρουσίας, ἀνέθαλλε μέσον νόμου καὶ χάριτος ἀναφανείς · προηύγασε γὰρ ὁ νοητὸς ἑωσφόρος, σημαίνων τὴν ἀνατολὴν τοῦ Ἡλίου τῆς δικαιοσύνης · προέδραμεν ὁ στρατιώτης δηλῶν τὴν τοῦ παμβασιλέως ἐπιδημίαν · ἦλθεν ὁ νυμφαγωγὸς μηνύων τὴν ἐπιστασίαν τοῦ νυμφίου · καὶ οἱ μὲν μετά τινας καιροὺς τῆς ἀποκυήσεως, ἢ προεφήτευσαν, ἢ ἑτερατούργησαν · ὁ δὲ ἔτι ἐγκυοφορούμενος, Πνεύματος ἁγίου ἐμπέπλησται, καὶ θαυματουργὸς ἀναδέδεικται.

δ'. Τοιγαροῦν ἔοικέ μοι τοιοῦτόν τι, ἵν' ὡς ἐν εἰκόνι πάραστήσω τὸ μεγαλοπρεπὲς τοῦ Προδρόμου · ὥσπερ τις οὖν βασιλεὺς ἐκ τῶν ἀνακτόρων βασιλικῶς

A ministerii sui. Illa vero Saræ gloria æqualis, vel potius superior, utpote Dei Matrem propinquitate contingens. Parit enim ex sterilitate secundum promissionem, haud Isaacum Dei servum vocatum [69], sed Joannem qui verus Domini exstitit amicus. O sterilem uterum, qui talem gestavit filium! O infructuosum agrum, qui tale tantumque spicum germinavit! Quamobrem non est cunctandum verba illa vocalissimi Isaiæ novo quodam modo de ipsa dicere: *Lætare, sterilis quæ non paris; erumpe et clama, quæ non parturis* [70], quoniam ex deserta matrice tua lilium effloruit sanctitatis, rosa spiritalis suavitatis, pratum utilis continentiæ, fax interdiu quoque conspicua Christi adventus, Joannes a Deo electus miles cœlesti regis, optimus Ecclesiæ Christi paranymphus, testis nunquam B tacitus ejus, quæ vere est, veritatis, Joannes pœnitentiæ canorus præco, cum corpore angelus Domini, index Agni qui tollit peccatum mundi. Neque possim ejus complecti dignitatem, quantumvis nomina appellationum multiplicem; permultos enim titulos dignitatesque habet, majus præ omnibus Domini unctis officium sortitus.

3. Sane in honore habetur Isaaci quoque progenitoris nativitas, quem cum concepisset Sara filium et in senectute peperisset, dixit: « *Quis nuntiabit Abrahamo quod Sara filiolum lactet* [71]? » Quocirca magnum quoque constat patrem fecisse convivium die ablactationis ejus. Honoratur item natalis Samsonis, quem Manue filium suscepit secun- C dum promissionem, de matre sterili similiter ortum; qui, ut ait Scriptura [72], bibiturus non erat vinum neque siceram, nec immundum quidquam manducaturus; idemque initium facturus salvandi Israelis de alienigenarum manu. Præter hos, ut alios omittam, Samuelis, qui res in antecessum videbat, honoratur natalis; quem peperit celeberrima Anna viro suo Helcanæ, et ab infantia Deo dicavit. Sed isti non assecuti sunt Joannis excellentiam, o dilecti; nam partim ante legem scriptam fuerunt, partim post legem. Joannes autem Zachariæ sacerdotis et mirificæ Elisabetæ filius; pullulavit flos præcedens Christi adventum, medius inter legem et gratiam apparens. Præluxit enim intellectualis lucifer, ortum Solis justitiæ significans: D præcessit miles regis universalis adventum denuntians: venit paranymphus sponsum adesse portendens. Et alii quidem aliquanto post nativitatem tempore, vel prophetaverunt, vel miracula ediderunt; hic autem adhuc gestatus in utero, Spiritu sancto repletus erat, et prodigiorum auctor apparuit.

4. Quamobrem venit mihi in mentem, ut imagine quadam magnificentiam Præcursoris repræsentem. Sicut enim rex ex palatio regaliter procedens, ha-

[69] Gen. xxiv, 14; Dan. iii, 35. [70] Isa. liv, 1. [71] Gen. xxi, 7. [72] Judic. xiii, 14.

bet primo præcedentes lictores et sceptriferos, deinde consules, præfectos et ordinum ductores, postremo aliquem majore dignitate præditum, post quem statim rex, nemine interjecto apparet, auro et claris lapidibus fulgens; ita mecum cogita de vero unicoque omnium rege Christo Deo nostro. Huic enim per carnem in mundum ingressuro, præcesserunt patriarchæ, Abrahamus videlicet, Isaacus, Jacobus; deinde Moyses Dei interpres, Aaron atque Samuel, et universa prophetarum turba. Postremus apparuit Joannes, moxque statim Christus Dominus; de quo ille dixit: *Qui post me venturus est, ante me factus est, quia prior me erat* [73]. Et qui ultimus ordine est, dignitate major pro proportione exstitit. Sic ergo et prophetarum et apostolorum et aliorum omnium præcipuus fuit, juxta verax Verbum magnus Præcursor; illorum quidem ut subsequens, horum ut præcessor. Sed agesis evangelicam aperientes historiam, audiamus quænam Zachariæ nuntiata sint.

προερχόμενος, ἔχει μὲν πρῶτα ἡγουμένους ῥαβδούχους τινὰς καὶ σκηπτροφόρους, ἔπειτα ὑπάτους, ὑπάρχους τε καὶ ταξιάρχους, ἔσχατον δέ τινα ἀξιωματικώτερον, μεθ' ὃν εὐθὺς ὁ βασιλεὺς ἀμέσως ἐπιφαίνεται χρυσῷ καὶ λίθοις διαυγέσι καταλαμπόμενος, οὕτω μοι νόει καὶ ἐπὶ τοῦ ἀληθινοῦ καὶ μόνου τῶν ὅλων βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· μέλλοντος γὰρ αὐτοῦ διὰ σαρκὸς εἰσιέναι ἐν τῇ οἰκουμένῃ, προηγήσαντο μὲν πατριάρχαι, οἷον Ἀβραὰμ, Ἰσαὰκ, Ἰακώβ· ἔπειτα Μωϋσῆς ὁ θεοφάντωρ, Ἀαρών τε καὶ Σαμουὴλ, καὶ πᾶς ὁ τῶν προφητῶν ὅμιλος· ὕστατος δέ πως ποφανέρωται Ἰωάννης· καὶ εὐθὺς ὁ Δεσπότης Χριστὸς περὶ οὗ φησιν· Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· καὶ ὁ ἔσχατος τῇ τάξει μείζων τῇ ἀξίᾳ, κατὰ τὸ ἀνάλογον ἀποδέδεικται· οὕτω τοίνυν καὶ προφητῶν καὶ ἀποστόλων καὶ τῶν ἄλλων ἁπάντων πρώτιστος κατὰ τὸν ἀληθῆ Λόγον ὁ μέγας Πρόδρομος, τῶν μὲν ὡς ἐφεπόμενος, τῶν δὲ ὡς προηγούμενος· ἀλλὰ γὰρ τὴν εὐαγγελικὴν ἱστορίαν ἀναπτύξαντες, ἀκουσώμεθα τίνα τὰ τοῦ Γαβριὴλ πρὸς τὸν Ζαχαρίαν ἀπαγγελλόμενα.

5. *Apparuit ei*, inquit, *angelus Domini, stans a dextris altaris incensi. Et conturbatus est Zacharias videns, et timor irruit super ipsum* [74]. Nempe quia terribilis est angelica visio, et terribili in loco ostensa. *Quam terribilis est*, inquit, *locus iste! non est hic aliud nisi domus Dei* [75]. Neque est mirandum, si cum justus sacerdos esset, turbatus est timorque in eum irruit; siquidem et Daniel desideriorum vir, videns obstupuit, et in faciem cadens ore hiante fuit, propter angelicæ emmentiæ splendorem incomparabilem [76]. *Apparuit ei*, inquit *angelus Domini*. Quid ad hæc nobis dicunt hi semichristiani, qui angelorum imagines fieri nolunt? Si angelus ab homine visus fuit, ergo omnino figuram induerat, haud aliter quam cernebatur. Visus est autem tali figura, quali antea Moysi in monte Sina circa propitiatorium, Cherubini in typo ostensi fuerunt. Quod si incorporeum et non figuratum, juxta ostensum typum delineatur, quidni corporeum et figuratum colori, tactui, tribusque dimensionibus obnoxium, qualis fuit Servatoris species, non figurabimus, ad evidentem non phantasticæ incarnationis ejus demonstrationem? Neque sic a nobis circumscribi putent hi stulti deitatem, quæ neque verbis exprimi potest, neque comprehendi, cujus nulla est positura, nulla figura, nullus locus, nulla quantitas, nulla qualitas, nec aliquid aliud ex iis, quæ sunt intra fines circumscriptionis, propterea quod sit infinita et incomprehensibilis. Nam nunc etiam si simplicis hominis imaginem effingimus, haud certe animam immaterialem et figuræ incapacem figuramus, quod fieri prorsus nequit; sed utrique convenienter quæ sunt propria tribuimus; nempe incircumscripto incircumscriptionem, circumscripto circumscriptionem, prout veritatis ratio nobis suadet. Sed ad propositum denuo revertendum est.

ε'. Ὤφθη αὐτῷ, φησὶν, ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυμιάματος· καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν· ὡς φοβερά τις καὶ ἡ ἀγγελικὴ ὀπτασία, καὶ ἐν φοβερῷ τόπῳ καταφανεῖσα· Ὡς φοβερὸς γὰρ, φησὶν, ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ. Καὶ οὐ θαυμαστὸν εἰ δίκαιος ὢν ὁ ἱερεὺς ἐταράχθη, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτὸν, ὅπου καὶ Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ, ἰδὼν ἐθαμβήθη, ἐπὶ πρόσωπόν τε πεπτωκὼς καὶ ἀχανὴς γεγονὼς, τῇ τῆς ἀγγελικῆς ὑπεροχῆς ἀσυγκρίτῳ λαμπρότητι. Ὤφθη αὐτῷ, φησὶν, ἄγγελος Κυρίου. Τί φάσιν ἡμῖν πρὸς ταῦτα, οἱ μὴ εἰκονίζοντες ἡμίχριστοι (16); εἰ ὤπται ἄγγελος ἀνθρώπῳ, πάντως καὶ εἰκόνισται οὐδαμῶς ἄλλως ἢ ὡς ὤπται· ὤπται δὲ ἐν τοιᾷδε μορφῇ, καθ' ἃ καὶ Μωϋσῇ πρότερον ἐν τῷ ὄρει Σινᾷ τὰ περὶ τὸ ἱλαστήριον Χερουβὶμ ἐν τύπῳ δεικνύμενα· καὶ εἰ τὸ ἀσώματον καὶ ἀσχημάτιστον κατὰ τὸν δεδειγμένον τύπον περιγράφεται, πῶς τὸ ἐνσώματον καὶ σχηματιζόμενον ὑποπίπτον χροιᾷ τε καὶ ἁφῇ, καὶ ταῖς τρισὶ διαστάσεσιν, οἷον τὸ τοῦ Σωτῆρος εἶδος, οὐκ εἰκονίσομεν πρὸς ἐναργῆ τῆς ἀφαντασιάστου αὐτοῦ σαρκώσεως ἀπόδειξιν; Καὶ μὴ συμπεριγράφειν ἡμᾶς ἐν τούτῳ ἡγήσωνται οἱ ἄφρονες τὴν θεότητα, ἧς οὐκ ἔκφρασις, οὐ κατάληψις, οὐ θέσις, οὐ σχῆμα, οὐ τόπος, οὐ ποσότης, οὐ πηλικότης, οὐκ ἄλλο τι τῶν περιγραφῆς ἔνδον διὰ τὸ ἄπειρον καὶ ἀπερίληπτον· ἐπεὶ καὶ ἐνταῦθα τὸν ἁπλῶς ἄνθρωπον εἰκονίζοντες, οὐ τὸ τῆς ψυχῆς ἄϋλον καὶ ἀνείδεον συνεικονίζομεν πάντως, οὐ γὰρ ἐνδέχεται, ἀλλὰ καταλλήλως τὰ οἰκεῖα ἑκατέρως ἀπονέμομεν· τῷ ἀπεριγράφῳ τὸ ἀπερίγραφον, καὶ τῷ περιγραπτῷ τὸ ἀπερίγραπτον, ὡς ὁ τῆς ἀληθείας λόγος παρίστησιν. Ἐπανιτέον δὲ αὖθις εἰς τὸ προκείμενον.

[73] Joan. I, 15. [74] Duc. I, 11, 12. [75] Gen. XXVIII, 17. [76] Dan. X, 8.

(16) Invehitur in Iconomachos, contra quos exstat etiam peculiare Studitæ nostri opus.

ς'. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· Μὴ φοβοῦ, Σαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου. Εὐθὺς κατέστειλε τὸν φόβον τῇ πεύσει, οἷα ἡ ἀγγελικὴ ὀπτασία μετὰ τὸ φοβῆσαι, τὸ δειλὸν ἀφαιρουμένη· καὶ ἐναντίως περὶ τὴν δαιμονικὴν ἔφοδον. Μὴ φοβοῦ, φησί, Σαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου· Ἐλισάβετ γεννήσει σοι υἱόν. Ὦ τῆς ἐπιθυμουμένης θεοπαρόχου ἐπιτάξεως! ὦ τῆς πολυεύκτου ἀγγελοκομίστου ὑποσχέσεως! ἐπέτυχεν οὗ ἐπεπόθει! ἤνυσεν ὃ ἠντιβόλει· εὗρεν ὃ ἐπεζήτει· τὸν τῆς ἀγνοίας καινισμὸν, τὸν τῆς εὐπαιδίας [sod. ἀπαιδίας] πορισμὸν, οὐκ ἀκολουθίᾳ φύσεως, ἀλλ' ἐπιτυχίᾳ ἐντεύξεως· οὐδὲ γὰρ κατάρας ἦν ἐπιτίμιον ἡ στείρωσις, ἄπαγε, ἀλλὰ μυστηρίου μεγάλου παρασημείωσις· τοῦ γὰρ Σαχαρίου ἐπικειμένου ταῖς πυκναῖς πρὸς Θεὸν ἱκετηρίαις διαλυθῆναι τὴν στείρωσιν, τάχα ἐπακηκοέναι αὐτὸν δοκῶ· οὔπω συντετέλεσται ὁ καιρός· οὔπω συνετμήθησαν αἱ ἡμέραι τῆς ἐπιφανείας· τότε οὖν ἔλπισον τὴν τεκνογονίαν, Σαχαρία, ὁπηνίκα ἔλθῃ ἡ προσδοκία τῶν ἐθνῶν· τότε ἐκδέχου τὴν ἀποστείρωσιν, ὁπόταν ἥξει ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· ἐπειδὴ δὲ ἦκεν ὁ καιρὸς, λάβε τὸ καταθύμιον διὰ τῆς τοῦ Γαβριὴλ προρρήσεως· ἀνακαινίσθητι ὡς ἀετὸς τῇ νεότητι· γνώρισον, φησὶ, τὴν ὁμόζυγον· Εἰσηκούσθη γὰρ ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. Ἐγνώρισε καὶ τοὔνομα ὃ κληθήσεται κἀξ αὐτῆς τῆς ἐτυμολογίας ἰὸν ἄνωθεν.

ζ. Εἶπε δὲ Σαχαρίας πρὸς τὸν ἄγγελον. Λοιπὸν γὰρ αὐτῷ ὡς ὁμοδούλῳ παῤῥησίᾳ διαλέγεται· Κατὰ τί γνώσομαι τοῦτο; Ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Ἡ μὲν πρόχειρος καὶ πατρικὴ ἀπόδειξις, ἀπιστίας ἔγκλημα καταγράψει τῷ ἱερεῖ· ὁ δὲ παρὼν λόγος οὐχ ὑποπίπτων, ἀλλ' ἐν δοκιμασίᾳ προερχόμενος, ταυτὸν πεπονθέναι φησὶ τῷ μεγάλῳ Θωμᾷ καὶ τὸν Σαχαρίαν· οὐ τοῦτο γὰρ ἦν αὐτὸν εἰκὸς ἠγνοηκέναι προφήτην τε ὄντα καὶ τὰ θεῖα πεπαιδευμένον, ὅτιπερ δύναιτ' ἂν Θεὸς καὶ φύσιν καινοῦργῆσαι, καὶ γῆρας νεοποιῆσαι, καὶ πόρον ἐν ἀμηχάνοις διακρᾶναι ὡς ἐπὶ Ἀβραὰμ καὶ Σάῤῥας, ὡς ἐπὶ τῆς Σωναμίτιδος, καὶ τῶν ἄλλων ποικίλων καὶ παντοδαπῶν αὐτῷ τεραστίων. Ἀλλ' ἐπειδὴ αἱ τῶν μεγάλων καὶ παραδόξων προσδοκιῶν ἐπαγγελίαι ἐξάπινα ἀκουόμεναι ταράττειν πως εἰώθασι τὴν ψυχὴν, οὐ πρὸς ἀπιστίαν ἀναβαλλόμενος, οἶμαι, ἀλλὰ πρὸς τελείωσιν ἐπισπευδόμενος, εὐθὺς οἷα ὑφ' ἡδονῆς ἁλοὺς ἀναφωνεῖ καὶ φράζει, Κατὰ τί γνώσομαι τοῦτο; Μὴ δὴ παραλογίσῃ, μηδαμῶς διαψεύσῃ, δίδου μοι τὸ ἐπίσημον, πάρεχέ μοι τὸ ἐνέχυρον· ὡς πάλαι ὁ Θεὸς τῷ Ἀβραὰμ πρὸς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, καὶ ἐκ τῆς ὀσφύος αὐτοῦ ἐξελεύσεσθαι βασιλεῖς, τὸ τῆς περιτομῆς σημεῖον· καὶ πρὸ τούτου, ὡς τῷ Νῶε πρὸς τὸ μὴ ἐπάξαι κατακλυσμὸν ἐπὶ τῆς γῆς, τὸ ἐν τῇ νεφέλῃ τόξον· πρὸς τούτοις καὶ Μωϋσῇ

6 *Dixit autem ei angelus: Ne timeas, Zacharia, quoniam exaudita est oratio tua* [77]. Statim timorem eo nuntio compressit, quia visio angelica post pavorem causam timendi solet eripere; quod in dæmoniacis occursibus contra fit. *Ne timeas, Zacharia, quoniam exaudita est oratio tua, et uxor tua Elisabeth filium tibi pariet.* O desideratum quod a Deo fit mandatum! o valde optabilem quæ ab angelo affertur promissionem! Assecutus est quod optaverat obtinuit, quod rogabat: invenit quod quærebat; sterilitatis mutationem, fecunditatis donum; non naturæ sequela, sed precum impetratione. Non enim maledictionis pœna erat sterilitas, absit, sed magni mysterii significatio. Etenim Zachariam frequentibus ad Deum precibus instantem, ut solveretur sterilitas, hæc fortasse inaudisse sibi dicta puto: nondum completum est tempus: nondum finiti sunt dies adventus: tunc demum prolis geniturum spera, o Zacharia, quando venerit exspectatio gentium; tunc exspecta sterilitatis cessationem cum advenerit spes omnium finium terræ. Nunc quia tempus adest, sume rem optatam per Gabrielis prædictionem: renovetur ut aquitæ juventus tua: cognosce, inquit, uxorem tuam. *Etenim exaudita est oratio tua, et uxor tua Elisabeth tibi filium pariet, vocabisque nomen ejus Joannem.* Significavit etiam nomen, quo vocabitur, ex vi ipsius etymologiæ procedere ab alto.

7. *Dixit autem Zacharias angelo.* Exin cum angelo tanquam conservo loquitur: *Quomodo hoc cognoscam? ego enim senex sum, et uxor mea processit in diebus suis* [78]. Communis quidem et Patrum explanatio, incredulitatis reum dicit sacerdotem. At noster sermo his non acquiescens, sed experimenti causa ulterius progrediens, idem passum Zachariam ait, quod magnum Thomam. Haud enim verisimile est, prophetam rei divinæ gnarum ignorasse, posse Deum et naturam innovare, et senectuti vires instaurare, et bonum exitum desperatis rebus ostendere, ut in Abrahamo Saraque fecit, et in Sunamitide, et in aliis cujuslibet generis prodigiorum casibus. Sed quia magnarum, et quæ sunt præter opinionem, exspectationum promissiones, si repente audiantur conturbare fere animum solent; Zacharias non incredulitate hæsitans, ut reor, sed ad rei perfectionem festinans, illico tanquam gaudio correptus exclamat aitque: Quomodo hoc cognoscam? Ne me decipias, ne me fallas, da mihi indicum, præbe mihi arrham; ut olim Deus Abrahamo, ut persuaderet fore illum multarum gentium patrem, et ex ejus lumbis reges orituros, tradidit circumcisionis signum: et ante hunc Noacho ut fidem faceret, nunquam postea adductum iri super terram diluvium, arcum ostendit in nube: denique Moysi virgam in anguem mutatam et mox suo sta-

[77] Luc. 1, 13. [78] ibid, 18.

tui restitutam, ut Ægyptii crederent, ei apparuisse illum qui *Est*.

8. *Et respondens angelus dixi ei : Ecce eris tacens neque loqui valens, propterea quod verbis meis non credidisti* (addendum est, quod subintelligitur, nempe simpliciter et sine inquisitione), *quæ tempore suo complebuntur* [79]. Recepit ergo Zacharias signum ei rei consentaneum, nempe vocis caducæ silentium, pro voce viva ac substantiali quæ mox ei parienda erat. Interim complicatis labiis, laudat vocibus auditui imperviis prolis datorem : *Egressus enim*, inquit, *loqui non poterat : et cognoverunt quod visionem vidisset in templo : et ipse erat innuens, mansitque mutus* [80]. Partim quidem ne interrogaretur, quia ferendum non erat ut visio passim audiretur : partim vero, ut qui quodammodo excesserat ex sensibus, totusque in se ipso visionem ruminabatur, mutus esset ad verberantes aerem sermones. Nec inverisimile est prophetæ patrem, prophetiæ argumentum hic significare, id est fortasse legalis cultus cessationem, præ divulgatione cultus secundum gratiam in Joannis nativitate. Sed jam, intermediis omissis, quæ ad præsentem diem non pertinent, quæque vires nostræ persequi nequeunt, rursus ad id quod instat veniamus.

9. *Et factum est*, inquit, *cum audisset Elisabeth salutationem Mariæ exsultavit infans gaudio in utero ejus* [81]. O Joannes, felix infans, vigil embryon ! Qui es in utero, quomodo in mundo ? qui mondum es perfectus, quomodo es absolutissimus ? qui semestris, quomodo l longævus ? qui nondum cogitare potes, quomodo es prudentissimus ? qui loqui non potes, quomodo expedite disseris ? dic nobis, dic, age ; tenebroso materni uteri loco adhuc conclusus, visualem vim nondum exercens, aure strepitum nullum hauriens, vocalem sonum nondum emittens, ambulatorii motus nondum particeps, risum hominis proprium adhuc non exserens ; quomodo audis ? quomodo res divinas eloqueris ? quomodo exsilis ? quomodo exsultas ? responde, o mirabilissime. Magnum est, ait, mysterium, et actus ab humana remotus comprehensione. Merito innovo naturam, propter eum qui est innovaturus res supra naturam. Embryo cum sim, attamen cerno, quia justitiæ solem in utero gestatum video. Aurium sensu polleo, quoniam audio me vocem magni Verbi nasci. Clamo quia unigenitum Filium Patris considero incarnatum. Exsilio, quia rerum omnium Creatorem sentio hominis formam sumpsisse. Exsulto, quia Redemptorem mundi intelligo corporatum. Principium vobis, inquit, significo Dei in mundum ingressus, et corporalis processus : præcurro adventui, et quodammodo vobis præeo confessionem. Sumite psalmum, ut cum Davide loquar, et tympanum, ut cum propheta, psalterium jucun-

[79] Luc. 20. [80] Ibid. 22. [81] Ibid. 41.

τὴν ὁριωθεῖσαν καὶ θᾶττον ἀποκατασταθεῖσαν ῥάβδον εἰς τὸ πιστεῦσαι τοῖς Αἰγυπτίοις ὅτι ὤπται αὐτῷ ὁ Ὤν.

η'. Καὶ ἀποκριθεὶς, φησὶν, ὁ ἄγγελος εἶπεν αὐτῷ · Ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἀνθ' ὧν ἠπίστευσας τοῖς λόγοις μου (προσθετέον κατὰ τὸ σιωπώμενον ἁπλῶς τε καὶ ἀνεξετάστως), οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Ἔλαβε τοίνυν τὸ σημεῖον ὁ Σαχαρίας κατάλληλου τῷ πράγματι, σιωπὴν φθογγῆς λυομένης, πρὸς φθογγὴν ζῶσαν καὶ ἐνυπόστατον τεχθησομένην αὐτῷ · καὶ συμπτύξας τὰ χείλη ὑμνεῖ φωναῖς ἀνακούστοις τὸν τοῦ τόκου δοτῆρα · Ἐξελθὼν γὰρ, φησὶν, οὐκ ἠδύνατο λαλῆσαι · καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ · καὶ αὐτὸς ἦν διανεύων, καὶ ἔμενε κωφός. Τὸ μὲν πρὸς τὸ μὴ ἐρωτᾶσθαι, ὡς οὐ καθεκτὸν τὰ τῆς ὀπτασίας ἀκούτίζεσθαι · τὰ δὲ ὡς οἷον ἐκβεβηκὼς τῶν αἰσθήσεων, καὶ εἰς ἑαυτὸν ὅλος τὸ ὁραθὲν συστρεφόμενος, κωφεύειν τοῖς ἀεροκτύποις λαλήμασιν · οὐδὲν δὲ οἷον ὡς προφητοπάτορα καὶ προφητείας ἔργον κάνταῦθα ἐπισημαίνειν · καὶ τοῦτό ἐστιν ἴσως ἡ τῆς νομικῆς λατρείας παῦλα, πρὸς τὴν ἐν τῇ χάριτι διὰ τῆς γεννήσεως τοῦ Ἰωάννου ἀνάῤῥησιν. Τοίνυν παραδραμόντες τὰ διὰ μέσου, ὡς οὔτε τῇ ἡμέρᾳ ἀνήκοντα, οὐδ' αὐτῇ δυνάμει ἡμῶν ἐφικτὰ, αὖθις ἐπὶ τὸ κατεπεῖγον ἐλευσώμεθα.

θ'. Καὶ ἐγένετο, φησὶν, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ αὐτῆς. Ὦ Ἰωάννη τὸ μακάριον βρέφος, τὸ ἀκοίμητον ἔμβρυον ! Ὁ ἐγγάστριος, πῶς ἐγκόσμιος ; ὁ ἀτέλεστος, πῶς πλήρέστατος ; ὁ ἐξαμηνιαῖος, πῶς πολυχρόνιος ; ὁ ἀδιανόητός, πῶς ἐμφρονέστατος ; ὁ ἀδιάλεκτος, πῶς εὔλαλος ; φράσον ἡμῖν, φράσον, ἐν ζοφερῷ χωρίῳ τῆς μητρῴας νηδύος συνεχόμενος, τὴν ὁρατικὴν ἕξιν οὔπω ἐνεργῶν, τὸν ἀκουστικὸν ψόφον οὔπω εἰσδεχόμενος, τὸν φωνητικὸν φθόγγου οὔπω ἐκβοῶν, τὴν περιπατητικὴν κίνησιν οὔπω μετειληφὼς, τὸ γελαστικὸν ἰδιώμα οὔπω ἐπιτετηδευκὼς · πῶς διορᾷς ; πῶς ἐπαίεις ; πῶς θεολογεῖς ; πῶς περισκιρτᾷς ; ποταπῶς ἀγάλλῃ ; ἀπόκριναι ἡμῖν, ἀπόκριναι, ὦ πανάγαστε · Μέγα, φησὶν, τὸ τελούμενον μυστήριον, καὶ ἔξω ἀνθρωπίνης καταλήψεως τὸ δρᾶμα · καινοτομῶ εἰκότως τὴν φύσιν διὰ τὸν καινοτομεῖν μέλλοντα ὑπὲρ φύσιν · ἔμβρυος [retro ἔμβρυον] ὢν ὁρῶ, ἐπειδήπερ τὸν τῆς δικαιοσύνης ἥλιον βλέπω κυοφορούμενον · ἐνωτίζομαι, ἐπειδήπερ ἐπαΐω, ὡς φωνὴ τοῦ μεγάλου Λόγου τικτόμενος · ἀναβοῶ, ἐπειδήπερ τὸν μονογενῆ Υἱὸν τοῦ Πατρὸς κατανοῶ σαρκούμενον · σκιρτῶ, ἐπειδήπερ τὸν τοῦ παντὸς Ποιητὴν αἰσθάνομαι ἀνθρωπομορφούμενον · ἀγάλλομαι, ἐπειδήπερ τὸν Λυτρωτὴν τοῦ κόσμου διανοοῦμαι σωματούμενον · ἀρχὴν ὑμῖν, φησὶν, σημαίνομαι τῆς τοῦ Θεοῦ ἐν κόσμῳ εἰσαγωγῆς καὶ σωματικῆς προσελεύσεως · προτρέχω τῆς ἐπιδημίας, καὶ οἷον ἐξάρχω ὑμῖν τῆς ἐξομολογήσεως · λάβετε ψαλμὸν, Δαυϊτικῶς εἰπεῖν, καὶ τύμπανον, προ-

φητικῶς, ψαλτήριον τερπνὸν μετὰ κιθάρας. ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ. A

dum cum cithara, cantate et psallite illi, narrate omnia mirabilia ejus.

ι'. Ἆρ' οὖν, Ἰωάννη, ὑπερανέστης τὰ ἐπίγεια, προέκυψας εἰς τὰ οὐράνια; ὑπεραναβεβηκας ἀγγελικὰς καὶ πρωτουργικὰς διακοσμήσεις; πῶς οὖν γε ὧνπερ τὴν φύσιν οὐκ ἐπελάθου, τούτων τὴν τάξιν καὶ ἀξίαν ἀπεκληρώσω; τὸ αὐτοῖς ἐξ αἰῶνος ἄδηλον καὶ ἀδίδακτον, εὐθὺς ὡς μετὰ Θεὸν διαπορθμεύσας καὶ διαγγείλας ἡμῖν ταῦτα ἔτι μαιευόμενος; Οὐκ ἀεροπόνητα, φησὶν, οὐκ ἐνεφελοδρόμησα, οὐχ ὑπερουράνισα, οὐχ ὑπερανέστηκα τῶν φλογερῶν καὶ ἀσωμάτων δυνάμεων· μὴ τοῦτο ὑπονοείσθω, ἀλλ' ὁ ἐπάνω πάντων ὤν, καὶ μένων ἐν τοῖς πατρῴοις κόλποις σὺν ἁγίῳ Πνεύματι, λαθὼν ἀδιαστάτως ἅπαντας τοὺς πυρίνους λειτουργοὺς αὐτοῦ, ὡς ἐπ' ἄλλον οὐρανὸν εἰσεληλυθὼς ἐν τῇ γαστρὶ τῆς ἀειπαρθένου Μαρίας, ἐνεφάνησεν ἑαυτὸν καὶ μεμυσταγώγηκέ μοι τὰ τηλικαῦτα· μηνυτὴς οὖν εἰμὶ τοῦ βρέφους, ὅτι, Παιδίον γεννᾶται ἡμῖν, υἱὸς καὶ ὑμῖν ἐδόθη κατὰ τὸν μέγαν Ἡσαΐαν, ὁ πρὸ αἰώνων Θεός· στειροφυὴς γόνος τυγχάνω, ὅτι παρθενικὸς ὁ τόκος προελεύσεται. Ὦ τῆς ὑπεργυοῦς μεγαλουργίας· ὦ τῆς παραδόξου τερατουργίας· οἷα ἡμῖν τὸ ἄτικτον βρέφος εὐαγγελίζεται σήμερον; πηλίκα ἡμῖν ὁ Ἐλισάβετ τόκος θεολογῶν προμεμήνυκε; σκιρτάτω ὑφήλιος ἅπασα, χορευέτω ἡ Ἐκκλησία προεόρτια, προεισόδια τὰ γενέσια τῶν Χριστοῦ γενεθλίων πανηγυρίζουσα, καὶ χαρᾶς πληρούσθω τὰ σύμπαντα τὸν μηνυτὴν δεξάμενα τῆς τοῦ παμβασιλέως ἐπελεύσεως.

10. Num ergo, o Joannes, supra terrena excessisti? cœlestia inspexisti? ultra angelicas et primigenias creaturas ascendisti? Quomodo igitur quorum naturam non es sortitus, horum ordinem ac dignitatem recepisti? ita ut quod a sæculo ignotum erat et non traditum, statim quasi præter Dei institutum huc attuleris, nobisque nuntiaveris, cum tu adhuc obstetricio opere indigeas. Non aerem inquit verbero, non discurro nubes, non cœlos transcendi, non excessi supra igneas incorporeasque virtutes. Nemo id suspicetur: nam qui supra res omnes est, manetque in paterno sinu cum sancto Spiritu, clam prorsus omnibus igneis ministris suis, quasi in aliud cœlum uterum ingressus semper Virginis Mariæ, manifestavit se mihi, atque hæc talia tantaque edocuit. Ergo infantis index sum, nempe quod *Puer nascitur nobis, et filius datus est nobis*, prout magnus Isaias ait [82], Deus ante sæcula. Natus de sterili sum, quia mox virgineus quoque partus prodibit. O opus magnificum et supernaturale! o inexspectatum miraculum! Qualia nobis infans nondum natus hodie annuntiat! quantas nobis partus Elisabethæ res divinas prædicit! Exsultet terra universa, pervigilio hoc Ecclesia quasi choreis plaudat, festivitatem scilicet Christi natalibus præviam solemni concione celebrans: omnia prorsus gaudio diffluant, dum indicem excipiunt advertus regis universalis. B

ια'. Ἀλλ' ὦ μακάριε Ἰωάννη, ὁ τῶν μεγίστων μέγιστε προφήτης, ὁ πρώτιστος ἐν ἀποστόλοις· ὁ τῶν μαρτύρων ἐξοχώτατος μεγαλόμαρτυς, ὁ τῆς ἐρήμου θεοκόσμητος πολιοῦχος, ὁ τοῦ ὡραιοτάτου νυμφίου φίλος ἠγαπημένος, ὁ τοῦ ἀφράστου φωτὸς λύχνος ἡτοιμασμένος, ὁ τοῦ ἀμώμου Ἀμνοῦ κήρυξ πεπιστευμένος, ὁ τῆς πατρικῆς φωνῆς ἄριστος ἐπακροάμων, ὁ βαπτιστὴς Χριστοῦ κεκηρυγμένος, ὁ Ἡρῴδου ἀσελγείας ἔλεγχος πεπαρρησιασμένος, ὁ τοῖς ἐν ᾅδου τὴν ζωὴν προμηνύσας, ἡ θεοσήμαντος σάλπιγξ τῆς οἰκουμένης, ἵκνησον καὶ νῦν ἡμῖν οὐρανόθεν, ταῖς ἱερωτάταις πρεσβείαις, καὶ εὐμενὴς ἔσο τῷ ἐπᾴδοντί σοι λαῷ τῇ τε ἐλαχίστῃ σου ποίμνῃ, σὺν τῷ διαφέροντί μοι Πατρὶ (17) συγγνωμονῶν τε αὖ τῆς τολμηρᾶς μου τοῦ πτωχοῦ ἐγχειρήσεως, οὐχ ὡς δωροφορίαν, ἀλλ' ὡς παρὰ δούλου ἀχρείου ὠφειλήν σοι σὺν φόρῳ τε καὶ πόθῳ προσαγομένην· ᾧ ἡ δόξα καὶ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ παντοκράτορι Πατρὶ καὶ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

11. Sed, o beate Joannes, qui maximorum maximus propheta es, primus inter apostolos, martyrum summus magnusque martyr, deserti divinitus exornatus patronus, formosissimi sponsi dilectus amicus, ineffabilis lucis instructa lucerna, immaculati Agni præco fidelis, paternæ vocis egregius auscultator, Christi baptizator electus, Herodianæ libidinis cum fiducia reprehensor, vitæ nuntius his qui in inferis erant, turba mundo Deum significans, nunc quoque nobis cœlitus resones per sacratissimas intercessiones; propitius esto laudanti te populo, et pusillo gregi tuo, cum excellente Patre meo: mei quoque pauperculi audaci ausui indulgens: nec veluti oblatum munus, sed quasi debitum servi inutilis tributum tibi amanter persolutum, excipe. Cui gloria et honor atque adoratio, cum omnipotente Patre et sanctissimo Spiritu, nunc et semper et per sæcula sæculorum. Amen. C D

ΙΒ'.

Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τῆς ἱερᾶς κεφαλῆς τοῦ μεγάλου Βαπτιστοῦ Χριστοῦ καὶ Προδρόμου.

VIII.

Laudatio in abscissionem sacri capitis magni Baptistæ et Præcursoris Christi.

(Ang. Mal., *loc cit.* p. 43.)

α'. Φαεινὴ καὶ θεοχαρὴς ἡ συναγείρουσα ἡμᾶς

1. Splendida et Dei gaudio plena hæc est cele-

[82] Isa. IX, 6.

(17) De hoc monasterii Patre, vel episcope etiam initio orationis.

britas, quæ nos ad hoc spiritale festum hodie congregat, o philochristi. Splendida, inquam, ob ipsum memorati nomen, qui lucerna lucens et est et dicitur, et jure meritoque sic denominatur; non autem quia materialibus faculis corporeos oculos nostros illustrat. Nam illarum quidem non est perpetuus splendor, quia contraria semper abrumpitur obscuritate; sed hæc (solemnitas) divinæ gratiæ radiis congregatorum corda semper illuminat, atque ad justitiæ exercitium mentes nostras meditabundas impellit, ut beatam illam passionem intellectualiter quodammodo spectantes, causam hinc lætitiæ nobis constituamus. Profecto alterius cujuslibet gladio effusus in terram sanguis, nullius hominis visum exhilararet; neque ad aurem delatus mentem solet lætificare sermo morientis. Namque ubi sanguinis effusio vitæ jacturam fert, quomodo id, inquam, hominem per se vitæ amantem delectabit; et non potius cum vultus tristitia ad luctum trahet atque ad ejus passionis miserationem? nisi forte aliquis exsistat vel mente alienatus vel ferino more imbutus, ut brutorum aliquot natura est, quæ spectaculis sibi objectis insaniunt: veluti galli, qui dum sui similes interficiuntur, gaudent, cantant, exsiliunt eo simpliciter visu fruentes, neque reputantes mox eamdem cædem ad ipsos perventuram. At vero justi viri sanguis et visui delectabilis, et auribus grati instar nuntii est, et labiis honorabilis: namque hujus amissio, immortalis meliorisque vitæ confert acquisitionem. Neque gutta, inquam, tantum sanguinis, verum etiam os sanctum, et membri alicujus particula, et capillorum reliquiæ, et vestimentorum quæ ille gestavit aut attigit frustum pergratum est et expetibile cuivis pietatis studioso. Propterea alius aliam, thesauri instar, partem vel membrum vel corpus totum in domibus vel ecclesiis sanctificantis virtutis ergo, et salutaris tutelæ, habere gaudet, et cum reverentia ad cinerum thesauros accedit, et impervia tactui donaria venerabundus contingit.

2. Talis nobis est justi Abelis sanguis, quanquam hic parentum tunc noviter oculis oblatus causa luctus fuit: cum enim morientis alicujus passionem nondum aspexissent, quidni filii patratam cædem exhorrescerent, lacrymarentur, lamentione prosequerentur, dum improviso fortasse stratum humi filium vidissent, fraternis cruentatum ictibus, et ea propter vitæ usu privatum! Talis item et prophetæ Amosi sanctus sanguis: quem diu fustibus verberatum ferro exstinxit rex Amasias (19); qui vaticiniorum telis a propheta appetitus, justum clava in temporibus percussum letho tradidit. Talis pariter prophetæ Michææ sanctus sanguis, quem præcipitio interemit Joramus Achasbi filius, divina confidenter nunti ante: etenim ab hoc, ut ait Scriptura, de parentum sceleribus arguebatur. Talis quoque pro-

πρὸς ἑορτασμὸν πνευματικὸν πανήγυρις σήμερον, ὦ φιλόχριστοι· φαεινὴ δὲ καὶ ἐξ αὐτῆς ἐπωνυμίας τοῦ μνημονευομένου, ὅτι λύχνος φωτός ἐστί γε καὶ λέγεται, εἰκότως προσαγορευομένη· οὐ δή που τὸ ὑλικαῖς μαρμαρυγαῖς περιαυγάζειν τὰς σωματικὰς ἡμῶν ὄψεις· εἴη γὰρ τούτων οὐκ ἀειφανὴς ἡ λάμψις, τῷ ἀντιφράσσοντι σκιάσματι ἑκάστοτε διακοπτομένη· ἀλλὰ τὸ ταῖς ἀκεῖσι τῆς θείας χάριτος ἐναστράπτειν τὰς καρδίας τῶν συνελημθότων ἀεί, καὶ πρὸς τὴν τοῦ δικαίου ἄθλησιν ἀναπέμπειν τὰς διανοητικὰς ἡμῶν θεωρίας, ἵν' ἐκεῖνο τὸ μακάριον πάθος νοερῶς πῶς ὀψόμενοι, ὑπόθεσιν εὐφροσύνης ἑαυτοῖς ὑποστησόμεθα· ἄλλου μὲν γὰρ αἷμα ῥυὲν ὑπὸ γῆν ξίφει, οὐκ ἂν τερψειεν ἀνθρώπου θεάν· οὐδ' εἰς ἀκοὴν ἐλθὼν σεπτοποιεῖ τὴν μνήμην τοῦ τεθνηκότος ὁ λόγος· οὗ γὰρ ἡ ῥοὴ ζωῆς στέρησιν φέρει, πῶς ἂν τὸν φύσει φιλόζωον ἕλξειεν τοῦτο; τουναντίον δὲ μᾶλλον ἐν στυγνότητι προσώπου εἰς οἶκτον ἀγάγοι καὶ ἐλεεινολογίαν τοῦ πάθους, εἰ μή τι γε ἄρα ἔξω φρενῶν ἢ θηριώδη τὸν τρόπον εὕροι τὸν τοιοῦτον κατὰ τὴν τῶν κτηνῶν φύσιν ἀλογισταίνοντα τοῖς ὁραθεῖσι· καθάπερ ἐπὶ τῶν ἀλεκτρυόνων οἱ τῶν ὁμοειδῶν αὐτοῖς σφαττομένων χαίρουσιν, ᾄδουσιν, ἀποπηδῶσιν, αἰσθήσει μόνον χρώμενοι, καὶ οὐ συλλογιζόμενοι, ὅτι καὶ ἐπ' αὐτοὺς ἥξει τὸ πάθος· αἷμα δὲ ἀνδρὸς δικαίου καὶ ὄψει ἐραστόν, καὶ ὠσὶν εὐαγγελιστόν, καὶ χείλεσι προσκυνητόν· ἡ γὰρ τούτου ἀφαίρεσις, τῆς ἀγήρω καὶ ἀμείνω ζωῆς τὴν μέθεξιν ἀποκληροῦνται· καὶ οὐ μόνον δή φημι ῥανὶς αἵματος, ἀλλὰ καὶ ὁτιοῦν ἁγίου καὶ λάκισμα μέλους, καὶ τριχὸς λείψανον, καὶ ὁτιοῦν ἐφ' οἷς ἐνεδιδύσκετο ἢ ἐφάπτετο, περισπούδαστόν ἐστι καὶ ἐκζητούμενον τῷ εὐσεβεῖν προελομένῳ· διὰ τοῦτο ἄλλος ἄλλό τι ὥσπερ τινὰ θησαυρὸν μέρος ἢ μόριον ἢ τὸ ὅλον κατ' οἶκους ἢ ἐν ταῖς ἐκκλησίαις, πρὸς ἁγιαστικὴν ἐνέργειαν καὶ σωστικὴν ἀσφάλειαν κατέχων ἐγκαλλωπίζεται, προσερχόμενος μετ' αἰδοῦς τῇ τεθαυρισμένῃ κόνει, καὶ ἐφαπτόμενος φόβῳ τῶν ἀψαύστων ἀναθημάτων (18).

β'. Τοιοῦτον ἡμῖν τὸ τοῦ δικαίου Ἄβελ αἷμα, κἂν γονεῦσι τηνικαῦτα ξενοφανὲς ὤπτάνετο θρηνολόγημα· μήπω γὰρ ἑωρακότες τεθνεῶτος πάθος, πῶς ἂν ἐπὶ τῇ τοῦ υἱοῦ σφαγῇ οὐκ ἐξέστησαν, οὐκ ἐδάκρυσάν, οὐ γοερὰ ἔφασαν, ἐξάπινα τάχα προσβλέψαντες κατὰ γῆς ἐρριμένον, αἵματί γε πεφοινιγμένον ἐξ ἀδελφικῆς μιαιφονίας, κἀντεῦθεν τῆς ζωτικῆς ἐνεργείας ἐστερημένον; τοιοῦτον τὸ τοῦ προφήτου Ἀμὼς ἅγιον αἷμα, ὃν συχνῶς τυμπανίσας ἀνεῖλε ξίφει Ἀμασίας (19) ὁ βασιλεύς· ἐπειδὴ γὰρ τῆς προφητείας ταῖς βολίσιν ἐπλήττετο, πλήξας τὸν δίκαιον ἐν ῥοπάλῳ κατὰ τοῦ κροτάφου θανάτῳ παραδίδωσιν· τοιοῦτον τὸ τοῦ προφήτου Μιχαίου ἅγιον αἷμα, ὃν ἀνεῖλε κρημνίσας Ἰωρὰμ υἱὸς Ἀχαὰβ τὰ θεῖα παῤῥησιαζόμενον. Ἤλεγχε γὰρ αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ, καθ' ἃ γέγραπται,

(18) Vides SS, reliquiarum laudari a Theodoro ut consuetam et spiritui utilem venerationem.

(19) Imo vero Amasias sacerdos Bethelis accusavit Amosum apud Jeroboamum regem. Sed de vita et obitu prophetarum variæ et interdum contradicentes veterum auctorum sententiæ fuerunt, quas ne prolixe referam, lectores meos ad Calmeti Biblicum Dictionarium ablego.

τοιοῦτον τοῦ προφήτου Ἡσαΐου ἅγιον αἷμα διχῇ διαιρουμένου ὑπὸ πριστῆρος παρὰ Μανασσῆ τοῦ ἐκκεκληκότος πρὸς εἰδωλολατρικὸν σέβας τὸν εὐπαροίστρωτον καὶ εὐπαρακόμιστον Ἰσραὴλ, οὐ φέροντος ἀκούειν τὰς τῆς προφητείας ἐκφάνσεις. Τοιοῦτον τὸ τοῦ γενναίου Ἐλεάζαρ σὺν ἑπτὰ παισὶν καὶ μητρὶ θεόφρονι ἅγιον αἷμα, ὃ ἐξέχεεν Ἀντίοχος ἐν ποικίλοις βασάνοις, μὴ φέρων τὴν ὑπὲρ ἐντολῆς Θεοῦ ἔνστασιν τῶν ἀῤῥητήτων, οὓς πίστει θανάτου σφραγὶς ἐτελείωσε· τοιοῦτον τὸ τοῦ προφήτου Ζαχαρίου ἅγιον αἷμα ὃ πρὸ τοῦ θυσιαστηρίου ἡ πάροινος τῶν Ἰουδαίων ὠμότης μαχαίρᾳ ἐξέχεε, οὐκ ἐνεγκοῦσα τὰς τῆς προφητείας ἐμφάσεις ἀκουτίζεσθαι· καὶ τί δεῖ μοι πλεῖστα ἀναλέγειν, παρ' ᾧ τὸ τῶν ἀποστόλων προφητῶν τε καὶ μαρτύρων συλλήβδην εἰπεῖν ἅγιον αἷμα, ὃ πολλοὶ παλαμναῖοι πολυτρόπως ἐξέχεαν, ὡς ὕδωρ πολὺ κυκλοῦν τὴν ὑπ' οὐρανὸν, καὶ τῆς ἀσεβείας ὑπάρχον σβεστήριον;

γ'. Τοιοῦτον τὸ τοῦ Βαπτιστοῦ Χριστοῦ καὶ Προδρόμου ἅγιον αἷμα, περὶ οὗ ἡμῖν ὁ προκείμενος λόγος· ὃ κεκένωκεν ὡς μύρον πολυτελὲς ἐξ ἱεροῦ τραχήλου εὐωδιάζον τὴν οἰκουμένην· αἷμα, ὃ συνήθροισεν οὐ γαστρὸς ἡδονὴ, οὐκ οἴνου μετάληψις, οὐ κρεῶν ἐδωδὴ, οὐκ ἄλλου τινὸς τῶν λιπαίνειν καὶ ἡδύνειν εἰωθότων τὰς ὀρέξεις, ἀλλ' ἐξ αὐτῶν τῶν σπαργάνων μέχρι τέλους ἡ τῆς ἐγκρατείας ἐμπεποίηκε χάρις· Ἦλθε γὰρ, φησὶν, ὁ Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων· αἷμα τὸ προκενωθὲν τοῦ Δεσποτικοῦ καὶ ἀθανάτου ποτηρίου· ἐχρῆν γὰρ τὸν τοῦ φωτὸς πρόδρομον διὰ τῆς ἐκ στείρας αὐγαστικῆς αὐτοῦ προόδου τοῖς ὑπὲρ γῆς ὀφθέντα, καὶ τοῖς ὑπὸ γῆν διὰ θανάτου κήρυκα φωτοειδῆ χρηματίσαι (20)· αἷμα, ὁ τῆς τοῦ Ἄβελ σφαγῆς πολυπλασίως εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ διαβεβόηται· τοῦ γὰρ ἔργου ἡ ποίησις, φωνῆς μυστικῆς ἐστιν ἀναβόμβησις, οὐ διὰ φωνητικῶν ὀργάνων προϊοῦσα, ἀλλὰ τῇ τῆς ἐνεργείας δυνάμει ἀκουτιζομένη· αἷμα, τὸ πατριαρχῶν μὲν αἰδεσιμώτερον, προφητῶν δὲ τιμαλφέστερον, καὶ δικαίων ὁσιώτερον· ἐπεὶ καὶ ἀποστόλων προφερέστερον, καὶ μαρτύρων εὐκλεέστερον, ὡς ὁ λόγος παρὰ τοῦ μεγάλου Λόγου τὴν μαρτυρίαν φέρει· αἷμα, τὸ πάσης ἀνθοβαφικῆς εὐχροΐας χαριέστερον ὡραΐζον τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ὑπὲρ δικαίου κενωθὲν ἐπὶ τέλει τοῦ παλαιοῦ νόμου, καὶ τῆς Χριστοῦ παρουσίας προεισόδιον ἄνθος τυγχάνον.

δ'. Ἀλλ' ὅπως τοῦτο, καὶ δι' οὗ τινος, καὶ ἐφ' ᾧπερ ὑποθέσει κεκένωται, μεθαρμοστέος ἡμῖν ἀπὸ τῶν ἱερῶν Εὐαγγελίων ὁ λόγος· Ὁ γὰρ Ἡρώδης, φησὶ, κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης, Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν· καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡσπερ προφήτην αὐτὸν εἶχον. Πρῶτον ζητείσθω

A phetæ Isaiæ sanctus sanguis bifariam serra dissecti a Manasse, qui ad idololatricum cultum concitaverat insanientem facile volubilemque Israelem, quique propheticas rvelationes audire non sustinebat. Talis etiam fortis Eleazari cum septem adolescentibus et divini animi matre, sanctus quem Antiochus diversis cruciatibus effudit sanguis, dum constantiam invictorum hominum pro Dei lege moleste fert, quos in fide perfecit mortis sigillum. Talis denique prophetæ Zachariæ sanctus sanguis, quem ante altare vesano Judæorum crudelitas gladio effudit, dum vaticiniorum notitiam audire recusaret. Sed cur me plura recensere oportet, præter, quam compendio dicere de apostolorum, prophetarum ac martyrum sancto sanguine, quem scelesti multi B homicidæ effuderunt, quasi aquæ copiam in terræ circuitu, quique impietatis exstinguendæ vim habuit?

3. Talis est Baptizatoris Christi Præcursorisque sanctus sanguis, de quo nobis hic institutus est sermo: qui exhaustus fuit ut pretiosum unguentum ex sacra cervice, et terrarum orbem suavitate perfudit: sanguis, quem non ventris voluptas adunavit, non vini sumptio, non carnium esus, non aliud quidquam pinguefacere solitum et commotionibus nostris blandiri; sed quem ab incunabulis usque ad vitæ finem abstinentiæ gratia confecit: *Venit enim*, Scriptura inquit, *Joannes neque manducans neque bibens* [83]: sanguis, qui Dominici immortalis poculi effusioni præivit. Oportebat enim lucis præcursorem, postquam splendida sua de C sterili matre nativitate terræ apparuerat, subterraneis quoque locis per mortem suam prædicatorem illustrem fieri. Sanguis, qui multo magis quam Abelis cædes, ad aures Domini Sabaoth clamat: nam peractio operis, mysticæ cujusdam vocis est resonantia, non per vocalia organa prodiens, sed ob suæ efficaciæ virtutem audita. Sanguis patriarchis venerabilior, prophetis honorabilior, justis sanctior: nam et apostolis præstantior est, et martyribus nobilior, ut magni Verbi verbum testatur. Sanguis qualibet coloria tinctura gratior, Christi Ecclesiam venustans, pro justitia exhaustus sub veteris legis finem, et Christi advenientis ingressum floris instar exornans.

4. Sed jam quomodo hic sanguis, et cujus opera, D et quam ob causam exhaustus fuerit, explanabit nostra de sacris Evangeliis deducta oratio. « *Herodes* enim, inquit Scriptura, *tenuit Joannem, et alligavit eum et posuit in carcere propter Herodiadem uxorem Philippi fratris sui. Dicebat enim illi Joannes: Non licet tibi eam habere: et volens illum occidere, timuit populum, quia sicut prophetam eum habebant*[84]. Quæratur primum quis iste Herodes, etenim homo-

[83] Matth. XI, 18. [84] Matth. XIV, 3 5.

(20) Quod Baptista exstinctus prædicaverit detentis apud inferos animabus, sententia Patrum aliquot fuit, nempe Hippolyti, Origenis, et Eusebii Alexandrini, ut in *Spicil. Rom.* t. IX, p. 685, diximus; quibus addendus est auctor tractatus *De remuneratione* statim post obitam animabus danda, item apud nos *Script. vet.* t. VII, p. 266, et nunc denique Theodorus.

nymia ambiguitatem inducit quominus vera persona dignoscatur. Nimirum est hic tetrarcha. Namque hujus pater qui infantes interemit, multo ante obierat. Cur hic autem a Joanne reprehendebatur? quia, legitima ejecta conjuge, Aretæ regis filia, Philippi fratris uxorem Herodiadem sibi contra fas desponsaverat. Licuisset ei utique liberorum expertem ducere in conjugium ob suscitandum fratri semen, juxta Mosaicam legem; sed liberorum jam matrem non licebat: porro erat huic filiola homonyma Herodias, aspidis fetus, diabolicum perditionis suæ instrumentum. Justa igitur abs Joanne reprehensio fiebat; et quidem monitoria non contumeliosa, medicinalis non vulnifica. Quid enim aiebat? *Non licet tibi eam habere;* atque ad legem provocabat, sic fere dicens: videsis et nosce quid tibi lex imperet. *Si fratres simul habitent, et unus ex his moriatur, nec semen ei fuerit; non dabitur exstincti uxor viro haud propinquo; sed viri illius frater ingredietur ad eam, sumetque sibi uxorem, et cum illa habitabit: et si filium pariet, constituetur ex defuncti nomine, et non delebitur nomen ejus ex Israel* [85]. Hæc tibi lex imperat; tu vero uxorem duxisti, quæ filiam ex fratre tuo susceptam habet. Ne itaque legislatoris præscriptum prætergrediaris; neque purpuram macules sanguine illicito; et cum cæteris exemplo esse debeas, cave ne subditis causa peccandi efficiaris: ideoque justam damnationem patiaris, *quoniam districtum judicium eos qui eminente dignitate sunt manet* [86].

A τίς οὗτος ὁ Ἡρώδης, τῆς ὁμωνυμίας ἀσάφειαν ἐμποιούσης τοῦ ὀφειλομένου προσώπου δηλοῦσθαι· ὁ τετράρχης δηλονότι· ὁ γὰρ τούτου πατὴρ, ὁ τῶν νηπίων ἀναιρίτης τετελευτηκὼς ἦν πάλαι· τίνος δὲ χάριν ἠλέγχετο παρὰ τοῦ Ἰωάννου; ὅτι τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα ἐκδεδιωκὼς, ἦγουν τὴν θυγατέρα Ἀρέτα τοῦ βασιλέως, τὴν τοῦ ἀδελφοῦ Φιλίππου Ἡρωδιάδα παρανόμως ἐγήματο· ἐξὴν γὰρ αὐτὸν ἄπαιδα οὖσαν ἀγαγέσθαι εἰς βίωσιν πρὸς ἀνάστασιν ἀδελφικοῦ σπέρματος, κατὰ τὸν μωσαϊκὸν νόμον· ὑπόπαιδα δὲ τυγχάνουσαν, οὐδαμῶς (21)· ἦν δὲ αὐτῇ θυγάτριον, ἡ ὁμώνυμος Ἡρωδιὰς, τὸ ἔγγονον τῆς ἀσπίδος, τὸ διαβολικὸν ὄργανον τῆς οἰκείας ἀπωλείας· οὐκοῦν εἰκότως ὁ ἔλεγχος παρὰ τοῦ Ἰωαννου· καὶ οὗτος ὑπομνηματικὸς, ἀλλ' οὐχ ὑβριστικὸς, ἰατρευτικὸς, ἀλλ' οὐ τραυματοποιός. Τί γάρ φησιν; Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν· ἐπὶ τὴν θείαν αὐτὸν νομοθεσίαν ἄνεισι, τοιαῦτά πως λέγων· Ἴδε καὶ ἐπίγνωθι τί σοι ὁ νόμος παρακελεύεται· Ἐὰν δὲ κατοικοῦσιν ἀδελφοὶ ἐπὶ τὸ αὐτὸ, καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν, σπέρμα δὲ μὴ εἴη αὐτῷ, οὐκ ἔστιν ἡ γυνὴ τοῦ τεθνηκότος ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι· ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς εἰσελεύσεται πρὸς αὐτὴν, καὶ λήψεται αὐτὴν ἑαυτῷ γυναῖκα, καὶ συνοικήσει αὐτῇ· καὶ ἔσται τὸ, παιδίον, ὃ ἂν τεχθῇ, κατασταθήσεται ἐκ τοῦ ὀνόματος τοῦ τετελευτηκότος, καὶ οὐκ ἐξαλειφθήσεται τὸ ὄνομα αὐτοῦ ἐξ Ἰσραήλ. Ταῦτά σοι ὁ νόμος παρακελεύεται· σὺ δὲ εἰσοικήσω τὴν ἔχουσαν παιδίον ἐκ τοῦ ἀδελφοῦ σου. Μὴ δὲ παραβῇς τοῦ νομοθέτου

B

τὸν ὅρον· μηδ αὐτὴν ἀλουργίδα μολύνῃς αἵματι ἀνοσίῳ· μήτε μὴν ὁ ἄλλοις τύπος εὐνομίας ὀφείλων καθεστάναι, τοῖς ὑπὸ χεῖρα αἴτιος ὀφθείης παρανομίας· κἀν τούτῳ ὑποίσοις τὸ κρῖμα ἔνδικον, Ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται.

5. Ille autem potentia elatus, Deum exsistere oblitus, furebat, ira æstuabat, reprehensionem repellebat. Non est imitatus Davidem, qui a prophela Nathane de adulterii crimine coargutus, in vocem illam erupit: *Peccavi Domino* [87]: cujus ob humilitatem Dominus peccatum transtulit. Sed hic, inquit Scriptura, *comprehensum Joannem vinculis constrinxit et carceri tradidit* [88]. Hominem philosophia invictum comprehendit is qui luxuriæ passione tenebatur: hominem liberum, utpote omni passione solutum, alligavit is qui intemperantiæ vinculis constrictus erat: custodem prædicatoremque Ecclesiæ tradidit custodiæ, is qui impurorum actuum mancipium erat. *Propter Herodiam Philippi fratris sui* [89]; Herodiadem, inquam, Dalilæ moribus similem, et diaboli complicem: ipsa enim tori socium vel potius ascititium ad Joannis odium impulit. Non fero, inquit, vituperari quæ sum regina a Zachariæ filio. Tarde carceri linguam quæ me diffamat: perime statim spiculo illum qui suis animam meam sermonibus ceu telis vulnerat. *Cumque eum vellet occidere, timuit populum, quia prophetæ loco eum habebant* [90]. Non enim si quando volunt reges parvum

C

ε'. Ὁ δὲ ἅμα τῷ κράτει, καὶ τὸ εἶναι Θεὸν ἐπιλελησμένος, ἐμάνη, ἐξήφθη τῷ θυμῷ, ἀπεσείσατο τὸν ἔλεγχον· οὐκ ἐμιμήσατο τὸν Δαβὶδ, ὃς ἐπειδὴ ἠλέγχθη παρὰ Νάθαν τοῦ προφήτου ἐπὶ μοιχείας ἐγκλήματι, ἐκείνην προεβάλετο τὴν φωνὴν, Ἥμαρτηκα τῷ Κυρίῳ· οὗ διὰ τὴν ταπείνωσιν καὶ Κύριος παρεκβίβασε τὸ ἁμάρτημα· ἀλλὰ Κρατήσας, φησὶ, τὸν Ἰωάννην, ἔδησεν αὐτὸν καὶ ἔθηκεν ἐν φυλακῇ. Ἐκράτησε τὸν φιλοσοφίᾳ ἀκράτητον, ὁ κεκρατημένος τῷ πάθει τῆς ἀσελγείας· ἔδησε τὸν ἀπολελυμένον τῇ ἀπροσπαθείᾳ, ὁ δεδεμένος τῇ μαγγανίᾳ τῆς ἀκολασίας· ἔθετο ἐν φυλακῇ τὸν φύλακα καὶ κήρυκα τῆς Ἐκκλησίας, ὁ καθειργμένος τῇ πράξει τῆς ἀκαθαρσίας· Διὰ Ἡρωδιάδα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· Ἡρωδιάδα τὴν τῆς Δαλιδὰ ὁμότροπον, καὶ τοῦ διαβόλου συμπράκτορα· αὕτη γὰρ

D

τὸν σύγκοιτον, μᾶλλον δὲ σύνθετον ὤτρυνε πρὸς τὴν τοῦ Ἰωάννου μανίαν· Οὐ φέρω, φησὶ, κωμῳδεῖσθαι, βασίλισσα τυγχάνουσα, ὑπὸ τοῦ παιδὸς Ζαχαρίου· κάθες τὴν γλῶσσαν ἐν φυλακῇ τὴν ἐμὲ στηλιτεύουσαν· κτεῖνον ἐν τάχει αἰχμῇ τὸν ἐμοῦ τὴν ψυχὴν τοῖς λόγοις ὡς βέλεσι τραυματίζοντα. Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὥσπερ

[85] Deut. xxv, 5. [86] Sap. vi, 6. [87] Reg. xii, 13. [88] Matth. xiv, 3. [89] Ibid. 9. [90] Ibid. 5.

(21) Josephus Hebr. loco mox citando.

(22) Errat Theodorus, nam diserte hanc Herodiadis filiam appellat Salomen, non Herodiadem. Joseph *Antiq.* lib. xviii, cap. vi, 4.

προφήτην αὐτὸν εἶχον· οὐ γὰρ ἡνίκα βουληθῶσιν A οἱ κρατοῦντες πρᾶξαί τι τῶν ἐκτόπων, εὐθὺς τὴν ὁρμὴν εἰς ἔργον ἄγουσιν, αἰδοῖ καὶ φόβῳ τοῦ ὑπηκόου ἀναβαλλόμενοι καὶ κλωθέντες εἰς ἑαυτοὺς τὸν ἐφαρμόζοντα καιρὸν τῆς μοχθηρίας.

ς'. Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ, ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. Ὅτε ἐχρῆν αὐτὸν δοῦναι δόξαν τῷ Θεῷ εἰς τόδε προαχθέντα τὸ φῶς, τότε τοῦ σκότους τὰ ἔργα ἀσπάζεται· θυμηδίας γὰρ ὁ καιρὸς οὐκ ὀρχήσεως καὶ μάλιστα γυναικώδους ἐπὶ ἀρρενικῆς θέας· ἐξ ἧς τί τὸ τικτόμενον; ὅρκος· ἐκ δὲ τοῦ; φόνος· ἀνελε τὰς ῥίζας τῆς κακίας, καὶ οὐ βλαστήσει καρπὸς τῆς ἀνομίας· τῶν πρώτων δὲ φυέντων, ἀναδοθήσεται δηλονότι τὸ πέρας τῶν πραγμάτων. Ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ· καὶ τί γὰρ ἔμελλε πεπαιδεῦσθαι παρὰ τῆς τεκούσης ἡ μαστροπόρινος θυγάτηρ, ἢ τὸ ἐξορχεῖσθαι; καὶ τοσοῦτο ἐξησκημμένως ἔχειν περὶ τὴν ὀρχήστραν, ὥστε καὶ ἀρέσαι τῷ Ἡρώδῃ; ὅθεν μεθ' ὅρκου ὡμολογησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσῃ. Τοιαύτη γὰρ ἡ προπέτεια τῶν ἐκβακχευομένων τοῖς πάθεσι τῆς ἀτιμίας, ἀπερισκέπτως ἀποφαινομένων κατὰ παντὸς οὗτινος δόξειεν· ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς ἥρπαζε τὸν τῆς μιαιφονίας θάνατον ὃν ὤδινε πάλαι ἀποτεκεῖν ἡ ἐχιδνοτόκος Ἡρωδιάς· καὶ πρὸς τὸ ἑαυτῆς θυγάτριον διαθερμανθεῖσα, ἔοικε τοιαῦτα λέγειν· Ἴδε ὁ καιρὸς, τέκνον, ὁ ἐπιζητούμενος ἡμῖν· ἤνυσας τῷ ποδὶ τὸ ἐμοὶ φιλούμενον, πέπαυκάς μου τὸ ἀλγεινὸν τῷ τεχνικῷ σου λυρίσματι. Κρύψωμεν εἰς C γῆν τὸν ἡμᾶς στηλιτεύοντα· ἴθι τάχιον ταῦτα λέγουσα· Δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Ὦ μανίας ὑπερβολῆς αἴτημα· μονονουχὶ ὅτι μὴ ἐντρυφᾷν εἶχε τῷ φονικῷ θεάματι· ἐδυσχέρηνεν ἡ μαικὰς καὶ φονεύτρια· οὐχ ἱκανὸν γὰρ ὅτι ξίφος διελάσαι τὰ τοῦ ἱεροῦ τραχήλοα ἤρετίσω· ἀλλὰ γὰρ καὶ ἐπὶ πίνακι δοθῆναί σοι τὴν ἁγίαν κεφαλὴν ἐπραγματεύσω. Ὦ ἀτάσθαλε, καὶ τῆς Ἰεζάβελ ἀπηνέστερον τὸ ἦθος ἔχουσα!

ζ'. Καὶ ἐλυπήθη, φησὶν, ὁ βασιλεύς· διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι· καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ· καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. Ὦ διαβολικῆς παρασκευῆς ἀποτέ- D λεσμα, τίς ὁ ἐπενεγκὼν κατὰ τῆς θείας κεφαλῆς τὸ ἀναιρετικὸν ξίφος; ὁ δεύτερος Δωὴκ, ὁ ἄνομος ὑπηρέτης, καὶ οὐ μιμητὴς τῶν ἐφεστηκότων ἐμφρόνως Σαοὺλ τῷ βασιλεῖ, ἡνίκα προσέττατε τοὺς τοῦ Θεοῦ προφήτας ἀποκτείνεσθαι. Καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πινακι. Συμπόσιον εἴποιμι ἢ φονευτήριον τὸ τοιοῦτον ἄριστον; δαιτυμόνας καλέσαιμι ἢ παλαμναίους τοὺς συνανακειμένους οἰνόφλυγας; Ὦ καινὸν θέαμα· ὦ πονηρὸν ὅραμα· ἐκεῖρεν ὄρνις παρετίθετο, ἐντεῦθεν προφητικὴ κεφαλὴ ἤγετο· ἐκεῖ-

aliquid agere, statim impetum suum in opus conferunt, reverentia metuque subditorum differentes atque intra se ipsos molientes idoneum futuro maleficio tempus.

6. *Dum autem agerentur Herodis natalia, saltavit filia Herodiadis in medio convivio, placuitque Herodi, adeo ut cum juramento promiserit se ei daturum quidquid petisset* [91]. Scilicet cum oportuisset eum dare gloriam Deo die hoc, quo in lucem editus fuerat, tenebrarum maluit opera exsequi. Erat insuper lætitiæ quidem tempus hoc, non tamen saltationis præsertim feminæ in virorum conspectu. Cujus rei quænam sequela fuit? nemque jusjurandum. Quid inde vero? homicidium. Aufer malitiæ radices, et non pullulabit fructus iniquitatis: et- B enim facto initio, rei quoque terminus consequetur. *Saltavit Herodiadis filia in medio convivio, et Herodi placuit.* Quid enim aliud edocta fuisset a matre filia lenonia, quam saltare? imo et tantopere in eo ludo exerceri, ut ipsi Herodi placeret? qui idcirco ei recepit quidquid postulasset concessurum. Hæc quippe est bacchantium in ignominiæ passionibus temeritas, ut inconsiderate decernant de re qualibet, prout visum fuerit. Puella vero a matre sua instincta, occasionem arripuit cruentam necem postulandi, quam jamdiu viperina mater Herodias paturire parabat. Cerne, ait, o filia tempus nobis expertitum. Rem mihi optatam pede saltante confecisti; dolorem meum artificioso tuo cantu sedasti. Terræ infodiamus hominem qui nos C diffamat. Perge statim ita dictura: *Da mihi in hoc disco Joannis Baptistæ caput* [92]. O summi furoris postulatio! Nisi ex cruento spectaculo fructum oculis consequeretur, haud satiata foret truculenta mænas. Non satis tibi fuit, quod cervicem sacram gladio secare incitasti; sed et in disco sanctum caput tibi dari curasti. O scelesta, et ipsa Jezabele crudeliorem indolem gerens!

7. *Et contristatus est*, inquit Scriptura, *rex: sed propter jusjurandum, et propter simul discumbentes dari jussit: missoque spiculatore decollavit Joannem in carcere: et allatum est caput ejus in disco, datumque puellæ, quæ ad matrem detulit* [93]. O iniquæ molitionis exitus! Quis divali capiti lethale ferrum intulit? Novus Doeg, scelestus minister, haud certe imitator illorum qui sobrie restiterunt regi Sauli, Dei prophetas occidi jubenti. *Et allatum est caput ejus in disco.* Dicam ne convivium, an potius supplicii locum prandium hoc? convivas ne appellem, an carnifices qui inflatis vino venis accumbunt! O spectaculum novum! o triste visum! Illinc avis apponebatur, hinc propheticum caput exhibebatur. Illinc vinum meracum fundebatur, hinc justus sanguis quasi fons saliens manabat.

[91] Matth. xiv, 6. [92] Ibid. 8. [93] Ibid. 11.

Quam terrificus nuntius ! quam horribilis rei narratio ! *Datumque est puellæ, et illa detulit ad matrem suam.* Hem summam absurditatem ! Datum est inæstimabile caput pro vili actu ; impuræ profanæque feminæ, res sancta et intacta, ipsis angelis honorabilis. Attulit ad matrem suam ; videlicet obtulit quasi edulium ingluviei matris quæ prophetæ necem discupiverat : Comede, inquiens, o mater, carnes viri qui sine carne vixit ; bibe sanguinem ejus, qui exsanguis in vita fuit. Tandem aliquando silentem habemus linguam hominis qui nos publica infamia aspergebat.

8. *Et accedentes*, inquit Scriptura, *discipuli illius, sublatum corpus sepulturæ tradiderunt* [94]. Specta mecum, studiose auditor, pictam in imagine justi viri sepulturam, simulque Iconomachos castiga ceu veritatis hostes. Cumque sedulo historiam pictam inspexeris, hinc tibi fructum compara : quomodo ex carcere producitur sanctus vir catenis vinctus : quomodo carnifex gladium crudeliter intendit in sacrum verticem : quomodo abscissum et odorato cruore manans caput furenti Herodiadi traditur : quomodo sacrum corpus manibus discipulorum sepelitur, mœstorum, illacrymantium, globatim astantium ; dum alius pedes tangit, alius caput reliquo corpori rursus accommodat, alius thurificat, et funebria psallit. Illic sum, o auditores, mentis meæ visione, cernoque sepulturam justi in pace versantem, ut ait Scriptura [95]. Cerno angelicam illam faciem, cujus oculi ceu duo luminaria occubuerunt, et cujus tota vultus species bonitatis typus videtur. Video exanimem, quod attinet ad temporalis vitæ actionem, apprime tamen animatum quod attinet ad divinæ gratiæ pretiosum odorem. Sacras illas deosculor manus, quarum tactus peccato fuit intactus, et quarum digito ille qui tollit peccatum mundi hominibus demonstratus fuit. Adoro pulchros pedes illos, quorum fuit officium bona nuntiandi incolis terræ, et a quibus parata fuit via Domini adventui. Jamque omittam dicere de venerabili catena, qua revinctus fuit præstantissimus inter homines angelus : omitto item honorabilem discum ; in quo fuit repositum augustum illud et auro pretiosius caput. Quin adeo carnificis quoque ensem, qui per sacrum collum actus fuit, sicubi invenero, haud inhonoratum relinquam. Sed et ipsam humum, in qua thesaurus hic fuit conservatus, si quando incurram, amplectar, ut gratia fertilem. O beatum sepulcrum, et non triste saxum, quod beatissimum illud corpus continet smaragdorum margaritarumque cumulo rutilantius ! Illic itaque visibiliter quidem aderat discipulorum turba, invisibiliter autem angelorum multitudo, qui homonymum sibi in corpore angelum,

[94] Matth. XIV, 13. [95] Isa. LVII, 2.

(23) Patet expositam fuisse in templo pictam imaginem martyrii sepulturæque Baptistæ, unde captat occasionem concionator Theodorus increpandi more suo Iconomachos.

θεν οἶνος ἐχέετο ἄκρατος, ἐντεῦθεν αἷμα δίκαιον κρουνηδὸν ἐφέρετο. Ὡς φοβερὰ ἡ ἀγγελία, καὶ φρικτὴ ἡ ἐξηγορία. Καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. Φεῦ τῆς ἀτοπίας· ἐδόθη ἡ ἀτίμητος κάρα ὑπὲρ ἀτίμου πράξεως, τῇ ἐναγεῖ καὶ βεβήλῳ ἡ ἁγνὴ καὶ ἄψαυστος καὶ τοῖς ἀγγέλοις αἰδέσιμος· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς, οἱονεὶ παρέθηκεν ὡς ἐδέσματι ἐμφορηθῆναι τῇ ὀργώσῃ τὸν τοῦ προφήτου θάνατον· Φάγε, λέγουσα, ω μῆτερ, σάρκας τοῦ ἀσάρκως βιώσαντος· πίε αἷμα τοῦ ἀναίμονος· ἔχομεν διὰ παντὸς σεσιγημένην τὴν γλῶτταν τοῦ ἡμᾶς στηλιτεύσαντος.

η'. Καὶ προσελθόντες, φησὶν, οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό. Ὅρα μοι, ὦ φελοΐστωρ, εἰκονογραφουμένην τὴν ταφὴν τοῦ δικαίου, καὶ τοὺς μὲν εἰκονομάχους ἐπιῤῥάπιζε ὡς ἀληθείας ἐχθροὺς· ἐναργῶς δὲ ὕπ' ὄψιν λαμβάνων τὴν ἱστορίαν, πορίζου τὸ ὠφέλιμον· πῶς ἐκ φυλακῆς αἴρεται ὁ ἅγιος σιδηροδέσμιος· πῶς ὁ παλαμναῖος ἐνατείνει τὸ ξίφος ἀπηνοειδῶς καοὰ τῆς ἱερᾶς κορωνίδος· πῶς ἀποτμηθεῖσα ἡ μυροφόρος κάρα ἐπιδίδοται τῇ κορυβαντιώσῃ Ἡρωδιάδι· ὅπως δὲ θάπτεται τὸ ἱερὸν σῶμα χερσὶ τῶν οἰκείων μαθητῶν, οἱονεὶ δακρυόντων, ψυχαλγούντων, στοιχηδὸν περιϊσταμένων· καὶ τοῦ μὲν ἐφαπτομένου ποδῶν, τοῦ δὲ τὴν κεφαλὴν ἐφαρμόζοντος τῷ λοιπῷ σκήνει, ἑτέρου θυμιῶντος καὶ τὰ ἐπικήδεια ἐπιψάλλοντος. Ἐκεῖ εἰμὶ, ὦ ἀκροαταὶ, τῇ διανοητικῇ θεωρίᾳ, καὶ βλέπω τὴν ταφὴν τοῦ δικαίοτ ἐν εἰρήνῃ οὖσαν κατὰ τὸ γεγραμμένον· ὁρῶ τὸ ἀγγελικὸν ἐκεῖνο πρόσωπον, οὗ οἱ ὀφθαλμοὶ ὡς δύο φωστῆρες δύσαντες, καὶ οὗ τὸ ὅλον εἶδος τῆς ὄψεως χρηστοφανῶς ἀποτετύπωται· ἄπνοῦν μὲν τῆς ἐπικήρου ζωτικῆς ἐνεργείας, εὔπνουν δὲ ὅτι μάλιστα τῇ τῆς θείας χάριτος μυρωδίᾳ· ἀσπάζομαι τὰς ἱερὰς χεῖρας ἐκείνας, ὧν ἡ ἁφὴ ἀνέπαφος τῇ ἁμαρτίᾳ, καὶ ὧν τῷ διακτύλῳ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου τοῖς ἀνθρώποις καθυπεδείχθη· προσκυνῶ τοὺς ὡραίους πόδας ἐκείνους, ὧν τὸ εὐαγγελίζεσθαι τὰ ἀγαθὰ τοῖς ἐπὶ γῆς, καὶ δι' ὧν προκατηρτίσθη ἡ ὁδὸς τῆς τοῦ Κυρίου παρουσίας· παρείτω μοι πρὸς προσκύνησιν καὶ ἡ τιμία ἅλυσις ἐφ' ᾗ ἐδεσμήθη ὁ πολυτίμητος ἐν ἀνθρώποις ἄγγελος· παρείτω μοι καὶ ἡ σεβασμία πίναξ, ἐφ' ᾗ ἐπετέθη ἡ χρυσίου τιμαλφεστέρα πανσέβαστος κάρα· οὐδέ γε τὴν μάχαιραν τοῦ παλαμναίου τὴν διελάσασαν κατὰ τοῦ ἱεροῦ τραχήλου εἰ εὕροιμι, ἀπροσκύνητον ἐάσαιμι (24), οὐδέ γε τοὔδαφος ὑφ' οὗ ἐφρουρήθη ὁ θησαυρὸς εἰ ἐπέτυχον, μὴ οὐχὶ προσεπτυξάμην ὡς μεταδοτικὸν χάριτος. Ὦ μακάριε τάφε καὶ οὐ πικρὲ λίθε, ὃς ἔχεις τὸ τρισμακάριον ἐκεῖνο σκῆνος, ὑπὲρ σμαράγδων καὶ μαργάρων σωρείας ἔνδον συνειλημμένον· ἐκεῖ τοιγαροῦν παρῆν ὁρατῶς μὲν ὁ τῶν μαθητῶν ὅμιλος, ἀορατως δὲ ἀγγέλων πληθὺς, τὸν ὁμώνυμον αὐτὸν ἄγγελον ἐν σώματι, τὸν τοῦ Κυρίου φι-

(24) Vides Studitæ nostra cognitas tanquam sacras reliquias catenam discumque ad Baptistæ martyrium pertinentes ; de quibus aliisque Paciaudius, *De cultu S. Joan. Bapt.* dissert. 6.

λον γνήσιον, τὸν νυμφαγωγὸν τοῦ νυμφίου, τὸν ἀείφωτον λύχνον τοῦ ἀφράστου φωτὸς, τὴν ζῶσαν φωνὴν τοῦ μεγάλου λόγου, τὸν προφήτου περισσότερον, τὸν μείζονα ἐν γεννητοῖς γυναικῶν εὐφημούντων, γεραιρόντων, ἀναγόντων πρὸς οὐρανὸν, καὶ εἰς τὴν ἀγήρω χαρὰν ἀποκομιζόντων· τοιαύτη μὲν οὖν ὡς εἴρηται εἰρηναία ἡ ταφὴ τοῦ δικαίου, ἀγαλλιάσιμός τε καὶ τῷ κόσμῳ σωτήριος.

θ'. Ἡρῴδης δὲ ὁ παράφρων ἆρά γε κἀντεῦθεν τῆς δίκης τὸ ἀπόκριμα διέφυγεν; οὐ μὲν οὖν· ἀλλ' ὡς εἴρηται (25) διὰ ταῦτα ὑπὸ παντὸς τοῦ ὑπηκόου ἀνταρσίαν ἀποστὰς κατασφάττεται· τοῦ Θεοῦ εἰς παιδείαν τοῖς εἰς ὕστερον βασιλεύσουσι τὰ κατ' αὐτὸν ἐκδειματοῦντος, ὡς ἂν μὴ τοῖς ὁμοίοις πάθεσι περιπέσειεν. Ἀλλ' ἐντεῦθεν ἐπανελθών, ἁρμόζουσαν τῇ παρούσῃ ἡμέρᾳ φωνὴν δεῦρο ἐκβοήσομαι· Σήμερον Ἰωάννης ὁ Πρόδρομος ὑπὲρ ἀληθείας τὴν κεφαλὴν ἀποτεμνόμενος μακαρίζεται, καὶ Ἡρῴδης ὁ παράνομος κωμῳδούμενος διασύρεται· σήμερον Ἰωάννης ὁ Πρόδρομος ἐν ταῖς ἁπάντων γλώσσαις τῷ τοῦ ἐλεγμοῦ διηγήματι τετίμηται, καὶ Ἡρῴδης ὁ πανέκφρων ὑφ' ἑκάστου τῶν φοβουμένων τὸν Κύριον τῇ μοιχείᾳ στηλιτευόμενος ἠτίμωται. Σήμερον ἡ κεφαλὴ Ἰωάννου τοῦ Προδρόμου ἐπὶ πίνακι προφέρεται ἱερὸν σφάγιον, καὶ Ἡρῳδιὰς ἡ μοιχεύτρια στηλιτεύεται καὶ μὴ βουλομένη αἰώνια. Σήμερον Ἰωάννου τοῦ Προδρόμου τὸ αἷμα ὑπὲρ φυλακῆς θείου νόμου χέεται, καὶ ὁ τοῦ Προδρόμου ἀντίθετος διὰ τῆς ἀντιπραγίας ἐνδίκως θριαμβεύεται· σήμερον Ἰωάννης ὁ Πρόδρομος διὰ τὴν πρὸς Ἡρῴδην ὑπὲρ δικαίου παῤῥησίαν ἀποκτείνεται, καὶ βασιλεῖς τῆς γῆς τῶν ἰδίων συνθρόνων μὴ διαζεύγνυσθαι παιδευόμενοι τὸν διαζευχθέντα ἀποπτύουσι· σήμερον Ἰωάννης ὁ Πρόδρομος αἴρει σημεῖον ἐπὶ τῆς γῆς, καὶ παραγγέλλεται πᾶς ἄνθρωπος ἀρκεῖσθαι τῇ ἰδίᾳ γυναικὶ καὶ περαιτέρω μὴ χωρεῖν· σήμερον Ἰωάννης ὁ Πρόδρομος εἰς ᾅδου κάτεισι, καὶ οἱ νεκροὶ χαρὰν τῆς Χριστοῦ παρουσίας ἀνεκλάλητον ἀκουτίζονται· σήμερον Ἰωάννην τὸν Πρόδρομον καρατομηθέντα διὰ δικαιοσύνην Θεοῦ οἱ οὐρανοὶ ἐπευφράνθησαν, ἄνθρωποι δὲ ἐπὶ γῆς ὁμνολογοῦσιν ἑόρτια· καί μοι δοκεῖ ὁ μέγας τοῦ Κυρίου Πρόδρομος ἐξ οὐρανῶν ἡμᾶς ἐποπτεύειν, καὶ ὡς ὁμωφδοὺς αὐτοῦ θείοις χαρίσμασιν ἀμείβεσθαι· ἐν προφήταις ὡς ἀστὴρ ἑωθινὸς διάττων τε καὶ ὑπεραυγάζων· ἐν ἀποστόλοις ὡς ἥλιος ἐν μέσῳ ἡλίων προλάμπων καὶ ὑπερλάμπων· ἐν μάρτυσιν ὡς οὐρανὸς πεποικιλμένος τοῖς ἄστροις τῶν θαυμάτων· ἐν δικαίοις ὡς πολλοῖς τῆς δικαιοσύνης αὐχήμασιν ὑψικομώτερος, τῶν κέδρων τοῦ Λιβάνου ὑπερφαίνων· ὁ χαρὰν ἐξακουτίσας σήμερον τῇ οἰκουμένῃ. Εἰ γὰρ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται κατὰ τὰ λόγια, ἀνάλογον ἂν εἴη καὶ ἐν τῇ αὐτοῦ τελειώσει τὴν αὐτὴν ἔσεσθαι εὐφροσύνην, ἣν πανηγυρίζειν ἠξιώμεθα, ὅσοι ἐν ἱερατικῷ τε καὶ ἐρημικῷ, ἐν μοναδικῷ τε καὶ λαϊκῷ τάγματι πᾶσιν ἀνήκοντος

A germanum Domini amicum, Sponsi paranymphum; candelabrum semper lucidum ineffabilis lucis, vorem vivam magni Verbi, illum plus quam prophetam, majorem illum in natis mulierum, collaudabant, celebrabant, in cœlum tollebant, et ad immortale gaudium transferebant. Talis itaque fuit justi viri pacifica sepultura, mundo lætifica et salutaris.

9. Num Porro insanus Herodes, in hac etiam terrena statione ultionis pœnam fugit? Minime gentium; sed, ut dicitur, propter hoc facinus subditorum omnium seditionem expertus, occisus fuit: Deo ob futurorum regnum eruditionem res hujus ad terrorem proponente, ne in paria facinora incurrant. Sed inde digrediens conveniente præsenti diei voce age jam exclamabo: Hodie Joannes Præcursor, capite veritatis causa minutus, beatus dicitur: Herodes vero impius conviciis laceratur hodie Joannes Præcursor omnium linguis propter regis reprehensi commemorationem honoratur: Herodes autem vesanus ab omnibus Dominum timentibus, adulterii vituperatione dehonestatur; hodie Joannis Præcursoris in disco circumfertur sacra laniena: Heroditas autem adultera æterno opprobrio vel nollens cumulatur; hodie Joannis Præcursoris sanguis propter divinæ legis observantiam funditur, Præcursoris autem adversarius propter contraria facta ignominiose traducitur; hodie Joannes Præcursor propter suam defendendæ justitiæ coram Herode fiduciam occidentur; reges autem terræ, quominus a regnandi consortibus dissocientur eruditi, eum qui se dissociavit contemnunt: hodie, Joannes Præcursor vexillum in terra attolit, atque omnis homo admonetur ut propria uxore contentus, ulterius non procedat; hodie Joannes Præcursor ad inferos descendit, et mortui gaudium propter Christi adventum percipiunt ineffabile: hodie ob Joannem capite propter justitiam minutum cœli lætantur, simulque in terra homines festales hymnos dicunt. Et mihi quidem videtur magnus Domini Præcursor de cœlis nos aspicere, atque ut suos cantores divinis donis remunerari. Hic inter prophetas, stella est matutina discurrens et illuminans: inter apostolos, sol est in mediis solibus præfulgens et supra cæteros radians: inter martyres, veluti cœlum est sideribus variatum miraculorum: inter justos, ceu multis justitiæ ornamentis alte frondescens, Libani cedros excedit. Hic hodie mundo universo gaudium intimat. Nam si multi in nativitate ejus gavisuri erant, juxta divinum effatum [96]; consentaneum sit in ejus quoque consummatione eamdem esse lætitiam, quam nos solemnitate hac celebrare digni fuimus, quotquot sacerdotalis, aut eremitici, aut monachalis, aut etiam laici ordinis sumus, cuncti scilicet

[91] Luc. II, 10.

(25) Merito hanc narrat tanquam popularem traditionem de Herodis nece Theodorus; ille enim reapse non in civium rebellione sed in Hispania exsul obiit, ut diserte Josephus narrat, *De bello Jud.* lib. II, cap. 9.

sacra hac commemoratione gaudium afferente : præcipue vero nobis qui sacræ illius ædis contubernales ; cujus propterea intercessionibus validioribus utinam fruamur ! in Christo Jesu Domino nostro. Cui gloria et potestas, cum Patre et sanctissimo vivifico Spiritu, nunc et semper et per infinita sæcula sæculorum. Amen.

τοῦ μνημοσύνου τὸ ἀγαλλίαμα · διαφερόντως δὲ ἡμῖν τοῖς τοῦ ἱεροῦ αὐτοῦ οἴκου (26) θιασώταις · οὗ μετασχοίημεν τῶν πρεσβειῶν ἔτι μᾶλα ἐκτενέστερον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν · ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

IX.

Laudatio in S. Joannem apostolum et evangelistam.

Θ'.

Ἐγκώμιον εἰς τον μέγαν Ἰωάννην τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν τοῦ Χριστοῦ (27).

(Ang. Mai. *loc. cit.* p. 62.)

1. Cum cœlum nobis ad laudationis argumentum propositum sit, quis sermo invenietur, qui encomiorum altitudinem æquare possit ? Quod vero ingenium ad magnitudinem se extollat nobilissimæ laudis ? Fors ipsa duntaxat argumenti aggressione fatiscemus, tanquam ea tentantes quæ nemo assequi possit, ac qui in immensam celsitudinem videamus prosilire. Non hunc autem polum dico, quem stellarum chori vario decore perornant, nec quem sol aurigans reciproco cursu quotidie peragrat ; at neque quem luna cornuta percurrens, diei fulgore noctem collucentem præstat ; cujus miraculi visus magister exsistit, dum in rerum creatarum pulchritudinem penetrat, animumque ad creationis auctorem transmittit : quin potius illud dixerim cœlum, cujus stellæ perpetuo lucentes sunt multarum virtutum turmæ, bonæque actionis splendore fulgentes : et cujus sol evangelica nempe prædicatio, ab orbis terrarum fines pervadens, mille partibus lucidius sole mundum collustrat, tum hunc oculis subjectum, tum illum sola cognitum mente. Non enim lunari lumine opus ei est : quippe cum ne nox quidem excipiat diem, quia splendoribus illustratur qui nunquam occidunt.

α'. Οὐρανοῦ προκειμένου ἡμῖν εἰς ὑπόθεσιν ἐγκωμίου, τίς ἄρα ἐξευρεθείη λόγος τῷ ὕψει τῶν ἐγκωμίων συνεπαρθῆναι δυνάμενος ; ποία δὲ διάνοια ὑφάψοι τὸ τοῦ μεγέθους τῆς ὑπερφυοῦς αἰνέσεως ; τάχα ἂν ἀποκάμοιμεν καὶ μόνον τῆς ὑποθέσεως κατάρξασθαι, ὡς τῶν ἀνεφίκτων ἐφαπτόμενοι, καὶ εἰς ἀπειροπλῆθες ὕψος πηδᾷν δοκιμάζοντες · καὶ μὴν οὐ τόνδε φημὶ τὸν πόλον, ὃν ἀστρῷοι χορεῖαι ἐκπρεπῶς καταποικίλλουσιν, οὐδ' ὅνπερ ἥλιος ἁρματηλατῶν τὸν ἐφήμερον διανύει δίαυλον, οὐδ' οὐ μὴν ὅνπερ σελήνη μηνοειδὴς διαθέουσα ἡμεροφανῆ τὴν νύκτα ἀπεργάζεται · οὗ τοῦ θαύματος καὶ ἡ ὄψις διδάσκαλος, τοῖς τῆς κτίσεως ἐμβαθύνουσα κάλλεσι, καὶ πρὸς τὸν τῆς δημιουργίας αἴτιον τὸν νοῦν ἀναπέμπουσα · ἀλλ' οὐρανὸν ἐκεῖνον λέγοιμι, οὗ ἀστέρες ἀειφανεῖς τῶν ἀρετῶν σύνοδοι πολλῶν, τῷ φάει τῆς εὐπραξίας ἀποστιλβοῦντες, καὶ οὗπερ ἥλιος, τὸ εὐαγγελικὸν κήρυγμα, εἰς τὰ τῆς οἰκουμένης διάττων πέρατα, μυριοπλασίως ἡλίου φωτεινότερον φρυκτωρεῖ κόσμον ὁρατόν τε καὶ ἀόρατον. Σεληνιαίου γὰρ φωτὸς οὔπω δέδεκται, ὅτι μηδὲ νὺξ τὴν περὶ αὐτὸ ἡμέραν οἶδεν διαδέχεσθαι, ἀνεπιδύτως τοῦ φάους μαρμαρύσσοντος.

2. At scire vultis quisnam hic sit magnifice adeo prædicatus ? Nimirum Joannes est, auditores ; Joannes, inquam, perquam excellenter apostolus ; evangulistarum præstantissimus ; Dei aquila, magna illa pennis laureis prædita ; cœlestis profundi investigator, quem nullus assequi potest : homo qui Cherubinos contemplatione superavit, qui æterni Verbi exsistentiam angelis ipsis nuntiavit, vocalissimus veritatis præco ; mens sublimia spectans ; lingua ignea : os divino sermone instructum ; immensum sapientiæ pelagus : dogmatum imperscrutabilis gurges ; scientiæ conceptaculum maximum fulgur Spiritus mundo relucens ; gratiæ tonitru mundum perstrepens ; sublimis Ecclesiarum columna, Dei firmissimum fundamentum ; humanæ naturæ prædatrix sagena ; piscatoria animarum arundo ad usque cœlum attingens ; serra adversus omnes hæreses, perpetuo motu agitata ; acutus gladius, impietatis zizania dissecans : cœlestis clavis impietatis turmas occludens : divino robore

β'. Καὶ τί οὗτος ὁ μεγαληγορούμενος, μαθεῖν βούλεσθε ; Ἰωάννης, ὦ ἄνδρες, ὁ ὑπερλίαν ἀπόστολος, τῶν εὐαγγελιστῶν ὁ προφερέστατος, ὁ τοῦ Θεοῦ ἀετὸς, ὁ μέγας, ὁ χρυσοπτέρυξ, ὁ τοῦ οὐρανίου βυθοῦ ἐρευνητὴς ἄφθαστος, ὁ ἐπέκεινα τῶν Χερουβὶμ ἀναπήξας τῇ θεωρίᾳ ἄνθρωπος· ὁ τῆς τοῦ Λόγου ἀνάρχου ὑπάρξεως καὶ ἀγγέλοις ἄγγελος · ὁ μεγαλοφωτότατος τῆς ἀληθείας κήρυξ ὁ νοῦς ὁ ὑψίβλεπτος, ἡ γλῶσσα ἡ πύρινος, τὸ στόμα τὸ θεόφραστον, τῆς σοφίας τὸ ἀπειρονοπέλαγος, τῶν δογμάτων ὁ βυθὸς ὁ ἄφθαστος, τῆς γνώσεως το δοχεῖον τὸ μέγιστον, ἡ κοσμοφανὴς ἀστραπὴ τοῦ Πνεύματος, ἡ οἰκουμενικὴ βροντὴ τῆς χάριτος, τῶν Ἐκκλησιῶν ὁ στύλος ὁ ἀκρότατος, ὁ τοῦ Θεοῦ στερεοπαγὴς θεμέλιος, ἡ ἀγρευτικὴ σαγήνη τῆς ἀνθρωπίνης φύσεως, ὁ ἁλιευτικὸς τῶν ψυχῶν οὐρανομήκης κάλαμος, ὁ κατὰ πασῶν αἱρέσεων πρίων ἀεικίνητος, ἡ τὰ τῆς ἀσεβείας ζιζάνια διατέμνουσα ὀξεῖα μάχαιρα, ἡ τὰ τῆς ἀθείας στρατεύματα διατειχίζουσα κλεῖς οὐράνιος, ἡ σφενδονῶσα τοὺς νοητοὺς θήρας θεοσθενὴς διάνοια, ὁ πελαγίζων πο-

(26) Scilicet Studii monasterium, et sacra ædes titulum S. Joannis Baptistæ gerebant. Confer Studitæ nostri Vitam et Opera ed. Sirmond. p. 18, et 618. Item Cangium *Constantinop. christ*, lib. vi, tit 4, ed. Paris. p. 103. De eodem S. Baptista hymnus quoque ex stitit nostri Theodori. Vit. p. 22.

(27) Græcus hujus orationis textus nunc primum prodit ; interpretatio autem Latina Combefisii est, a nobis tamen non parum, et quidem necessario, variata.

ταμὸς τῆς τοῦ Θεοῦ σοφίας τὰ νάματα, ὁ τῆς παρ- A
θενίας ναὸς καθαρώτατος, ὁ τῷ ὄντως ἐραστῷ λίαν
ἀγαπητὸς καὶ ἐπιστήθιος, ὁ μέγας τοῦ Εὐαγγελίου
ὡραιόδρομος ἥλιος, ἡ εὔηχος λύρα καὶ σάλπιγξ τοῦ
Πνεύματος· καὶ τί δεῖ λέγειν; οὐδ' εἰ μυριοστὸν
φαίην κατάλογον δυνηθείην ἂν ἐξιχνεῦσαι τῶν ἐγ-
κωμίων τὴν ἄβυσσον· φέρε δή, φέρε, οὐ τὸ ὅλον εἰ-
πεῖν, τοῦτο γὰρ ἥδη ἄπορον, οὐ τῇ ἐμῇ ἀγλωττίᾳ,
ἀλλὰ γὰρ καὶ οἷς ὑψηγορεῖν δύναμις, ἠττωμένοις τῷ
μεγέθει τοῦ θαύματος, ὅτι μηδὲ ὕψος οὐρανοῦ με-
τρητόν· κἂν δοίη τίς συναίρειν τὸν ἔπαινον, βραχέα
δέ τινα ἐκ τῶν εὐαγγελικῶν λειμώνων μελισσειδῶς
ἄνθη λογήσαντες, καὶ ταῦτα οἷά τινα σίμβλα λογικῶς
κηροπλαστήσαντες, καὶ ὡς ἀπαρτήσαντες τῇ ἀπο-
στολικῇ πανηγύρει ὥσπερ τινὶ βασιλίδι, ἐπίκουρον
τὸν περὶ οὗ ὁ λόγος λαμβάνοντες, προσενεγκεῖν ἥδι- B
στα θαρσήσομεν.

animus spiritales bestias velut funda impetens; fluvius Dei sapientiæ latice exundans; virginitatis mundissimum templum; ei, qui revera amabilis est, valde charus, ac supra ejusdem pectus recumbens; magnus Evangelii sol speciose discurrens; sonora Spiritus lyra ac tuba. At quid opus est dicere? Ne si mille quidem titulis auctum catalogum contexam, ejus possim pervestigare laudum abyssum. Age vero, age, non ut universa dicamus (hoc enim inconcessum, nedum mihi qui sermonis ac facundiæ penuria laboro, sed et iis qui altiloquii facultate pollent, quos tantum illud miraculum ingenti sua magnitudine vincit; quando neque altitudo cœli ejusmodi est, ut eam metiaris). Quod si nobis concedatur, partem aliquam laudum conferre, pauca quædam ex Evangeliorum pratis in modum apum decerpentes, ac velut in quibusdam alveolis ceras ingeniose fingentes, atque huic solemnitati apostolicæ, tanquam reginæ cuidam, circumponentes, ipsum sermonis auspicem adhibentes, de quo nobis est instituendus sermo; libentissime offerre præsumemus.

γ'. Πατρίδα μὲν εἴ τις ἐπιζητήσοι ἐγκωμίων νό-
μοις ἐπηρεισόμενος, ἀφ' ἧς ὁ ἀπόστολος εἰς φῶς
ἐλήλυθεν, οὐ περιφανῆ ταύτην εὑρήσοι, ἀλλὰ γὰρ
καὶ λίαν ἄσημον, τὴν Γαλιλαίαν· κοινοτέρως γάρ·
ὅμως κἀνταῦθα περίβλεπτος ὁ ἀπόστολος· πῶς καὶ
τίνι τρόπῳ; ὅτι ἐξ ἧς οὐδένα προφήτην ἐγηγέρθαι,
οὐδ' οὐ μήν τι ἀγαθὸν εἶναι Ἰουδαίοις τε καὶ τῷ
ἀληθῶς Ἰσραηλίτῃ ᾤετο, ἐνταῦθα Χριστὸς, ἡ πηγὴ
πάσης ἀγαθότητος, ἐν γαστρὶ Παρθένου τῆς ἀρχι-
προφήτιδος συλλαμβάνεται· ὧδε μορφωθεὶς τῷ καθ'
ἡμᾶς εἴδει ἐντέθραπται, τοῖς γονεῦσιν ὑποτασσόμε-
νος, τῆς πόλεως ἀφ' ἧς τὴν κλῆσιν εἴληφεν· (Ναζω-
ραῖος γὰρ) ὑπὸ τὴν Γαλιλαίαν, ὡς τῆς κώμης Βηθ-
σαϊδὰ ὑποτελούσης μάλιστα. Ὡς ἀξιάγαστον τὸ C
ἔδαφος! ὡς μακαριστὴ ἡ πατρὶς! τῆς Ἀδαμιαίας
πατρίδος αἰδεσιμώτερον διαλάμπουσα, ὡς τὸν ἐξ οὐ-
ρανοῦ δεύτερον Ἀδὰμ σὺν τῷ Ἰωάννῃ προικοφορή-
σασα. Γένος οὐδ' αὐτὸ εὐκαταφρόνητον· πῶς; ὅτι
ἀπὸ Ζεβεδαίου καὶ Σαλώμης ὁμαίμονος Χριστοῦ κατὰ
σάρκα ὁ εὐφημούμενος. Ὢ πῶς εὐαγῶς ἀμφότερα
εἰς ταυτὸν συνέδραμεν, τὸν υἱὸν τοῦ νυμφῶνος ἀδελ-
φιδοῦν Χριστοῦ ἐξευρεθῆναι ἁρμοδιώτατον! καί γε
τῶν ἀφ' ἡλίου ἀνατολῶν Ἰωάννης εὐγενέστερος, γέ-
νος Θεοῦ χρηματίζεται ἀμφοτέρωθεν. Ὁρᾶτε ἡλίκα
ἀνεφάνη τὰ δόξαντα εἶναι φαυλότερα τῇ φιλοπόνῳ
ἐργασίᾳ πλεκόμενα; τίς ἡ ἀνατροφή; ἐπιτήδευμα,
ἥτις καὶ οἷον ἐπιδεικτέον, εἰ ἄρα κἀντεῦθεν καθ' εἱρ-
μὸν βαίνει ὁ λόγος.

3. Patriam quidem, ex qua apostolus in lucem prodiit, si quis encomiorum legibus nitens, inquirendam dixerit, haud illam admodum illustrem invenerit: quin etiam obscuram valde et ignobilem, nempe Galilæam: communior enim hæc est opinio. At hinc tamen spectabilis exsistit apostolus. Quomodo, aut qua ratione? Quia unde nullus surrexisse propheta, ac nec boni quidem aliquid esse, Judæis pariter ac vere Israelitæ, videbatur, illic Christus totius bonitatis fons in Virginis principis prophetissæ utero conceptus, illicque cum humanam induisset formam parentibus subjectus, educatus est: cum civitas ex qua ille cognomen accepit (Nazarenus enim appellatus est) Galilææ provinciæ esset: cui quidem Bethsaidæ pagus subjectus erat. Quam dignum admiratione solum! Quam beata patria! Adami patria venerabilius effulgens, ut quæ secundum e cœlo Adamum cum Joanne protulerit. Genus ne ipsum quidem contemptibile. Quomodo? Nimirum, quod is, quem laudamus, natus sit patre Zebedæo, ac matre Salome, Christi, si carnem spectes, consanguinea. O quam sancte ac præclare ambo concurrerunt, ut thalami filius, Christi consobrinus inveniretur! adeo ut Joannes universis ab ortu solis nobilior exsistat, qui utrimque Dei genus sit. Videtis quanta hæc appareant, quæ videbantur contemptibiliora, studioso opere nunc contexta? Quid ultra? Vitæ studium, quodnam illud ac quale fuerit ostendendum est; siquidem hinc quoque orationis series procedit.

δ'. Οὐδὲν ἀπορώτερον ὧν ἴσμεν ἐν βίῳ μεθόδων
ἁλιευτικῆς τέχνης, οὔτε μὴν τῆς περὶ αὐτὴν ἀνα-
τροφῆς ἀγροικότερον· διότι τῶν μὲν ἄλλων τεχνῶν
αἱ προχειρίσεις πρὸς τῷ ἐμπολιτεύεσθαι καὶ πλείονα
πορισμὸν τῷ τεχνίτῃ εἰσφέρουσιν, ἄν τε λογικῶς ἄν
τε πρακτικῶς εἴποιέν τις· τῆς δὲ, πρὸς τῷ ἰδιάζων,
καὶ ἡ τῶν ἐδωδίμων σπάνη ἐφάμιλλος, ὡς πληροῦ-
σθαι τὸ τοῦ γράμματος πᾶς, Μόχθος ἀνθρώπου εἰς

4. Inter studiorum ac professionum nota nobis in sæculo genera, piscatoria arte egenum magis: nec quidquam vita piscationi addicta rusticius invenias: nimirum aliarum artium studia, præter vitæ ac conversationis rationem, majus quoque lucrum artifici conferunt, sive quis rationem æstimet, sive actionem: piscatoria autem ars, parem cum solitudine parcimoniam habet, ut impleatur quod scri-

ptum est: *Omnis labor hominis in ore ejus* [98]. Sunt namque pannis obsiti, ac vestibus detritis, squallenti coma, ac adusta facie, nudis pedibus discurrentes, littoribus, ac magis solitariis locis immorantes, modo quidem super petras sedentes, modo imos gurgites, unde prædam exspectant, dispicientes. Quorsum hæc tam diligenter exposui? Nimirum ut ostendam nihil esse dignum vituperatione, tametsi Joannes hanc exercuerit artem. Transi tu spiritalis sensus investigator ad visibilem metaphoræ modum, occurretque scientia generi congruens. David cum prius pastor ovium esset, postmodum a Deo electus est, *pascere Jacob servum suum, et Israel hæreditatem suam* [99]. Mihi quoque Joannem considera, ab irrationalium piscium, ad rationalium capturam magno Verbo vocante, prout Deum decebat, translatum. Non enim electus fuit ut hunc illumve gregem pasceret, aut quibusdam terminis discretas tribus, sed ut orbem universum piscatione caperet. *Venite* enim, inquit, *post me, et faciam vos piscatores hominum* [1]. Tametsi autem communis fuit vocatio: ad eum tamen a nobis reducenda est, de quo hæc est instituta oratio; quod etiam in quibusdam aliis universalioribus vocabulis fiet; non ut præ apostolis aliis theologo jus vindicemus, ex his quæ peculiarius de ipso exponimus; absit: nam neque accensis e communi aliquo lumine facibus, idcirco minor est splendoris ex uno plena participatio.

5. Quandoquidem vero magnus hic apostolus a Deo piscator constitutus est, age videamus eum allegorice, quasi in navicula, in corpusculo suo reficientem, non discissa retia, sed evangelica verricula. Quænam arundo? doctrinæ calamus. Quisnam piscatorius funiculus? theologiæ nexus. Quisnam hamus? tripartita crux. Quænam esca? caro deifera, qua inescatus magnus ille cetus Beliar captus est. Quæris super quam sedeat petram? Firmam mihi fidei considera sedem. O rem mirabilem! Verriculum jacit, non in hunc illumve sinum, sed in sæculi mare universum. Extendit calamum non in modicum aliquod spatium, sed in fines orbis terrarum: immittit funiculum non in gurgitem immensum, sed in ipsam impietatis abyssum. Tu mihi locupletem capturam considera ex singularibus pariter ac promiscuis collectam; crassos dico de populo ac gregales; moribus scilicet atque affectionibus varios, ex minoribus majoribusque, ætate nimirum ac dignitate: alios quidem pravis exasperatos doctrinis, tanquam e petris sub undis latentibus, ab impietate capit; alios mentis simplicitate interceptos tanquam per mare cursitantes, verriculo includit: et quidem haud neci tradens, sed vivificans, non in salsis peccati aquis continens, sed in dulcibus baptismi fluentis vivere faciens: quin neque corruptibili pecunia acquirens, sed adoptionis chirographo a diaboli servitute eximens, cum antea capti tenerentur ad hujus arbitrium. O rem mirabilem! Quis a sæculo capturam ejus-

A τὸ στόμα αὐτοῦ· καὶ γάρ εἰσι ῥακοδοτοῦντες καὶ ἐρικνωμένοι, αὐχμηροὶ τὴν κόμην καὶ ὀψίκαυστοι, γυμνοποδοῦντες ὁμοῦ καὶ ἀναθέοντες, ἀκταῖς τε καὶ ἐρημικωτέροις τόποις ἐνδιατρίβοντες· πῇ μὲν πέτραις ὑπερκαθεζόμενοι, πῇ δὲ βυθοὺς διορῶντες, κἀντεῦθεν τὴν ἄγραν ἀνέχοντες. Τίνος οὖν εἵνεκεν περιεργότερον ὑπεῖπον ταῦτα; ὅτι εἰ καὶ ταύτην τὴν τέχνην μέτεισιν ὁ Ἰωάννης, οὐ νεμεσητόν. Μεταβᾶθι ἐπὶ τὸν τῆς μεταφορᾶς τρόπον θεωρητόν, καὶ εὑρήσεις συμβαίνουσαν τῷ γένει τὴν ἐπιστήμην. Δαβὶδ ποιμὴν πρότερον προβάτων, εἶτα ὑπὸ Θεοῦ ποιμαίνων τὸν δοῦλον αὐτοῦ καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ. Σκέψαι μοι καὶ Ἰωάννην ἀπὸ τῆς ἀλόγου εἰς λογικὴν ὑπὸ τοῦ μεγάλου Λόγου μετενηνεγμένον θεοπρεπῶς ἁλιεύειν· οὐ γὰρ ποιμαίνειν τήνδε B ἢ τήνδε καί τισιν ὁρίοις διειλημμένας φυλὰς, ἀλλὰ γὰρ τὴν οἰκουμένην ἁλιεύειν ἅπασαν· Δεῦτε γάρ, φησὶν, ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· εἰ δὲ ὅτι κατὰ κοινοῦ ἡ κλῆσις, ἀλλ' ἡμῖν τε ἀκτέον ταύτην ἐπὶ τὸν περὶ οὗ ὁ λόγος· ὥσπερ καὶ ἐπί τισιν ἄλλαις γενικωτέραις φωναῖς, οὐ πλεονεκτοῦσι παρὰ τοὺς λοιποὺς ἀποστόλους τῷ θεολόγῳ τὰς δὲ διὰ τῆς μερικωτέρας ἀναλήψεως, ἀπαγε· ὅτι μηδὲ πλεονεξία τοῖς ἀπὸ κοινοῦ φωτὸς ἀναφθεῖσι λαμπτῆρσιν, ἢ ὑφ' ἑνὸς ὁλικὴ τῆς λαμπρότητος μέθεξις.

3. Itaque apostolorum alius aliam mundi partem sortitus ad prædicandam Dei notitiam, atque universum inter se partiti, duces reapse apparuerunt, et universalis regis Christi principes sunt constituti : *Constitues enim eos principes super omnem terram,* inquit Scriptura [19]. Huic autem laudato nostro sors portioque Armeniaca regio obtigit, ab Evilat usque Gabaoth, multis populis urbibusque distincta. Hunc ergo dum mitteret Dominus, videtur mihi sic mystice allocutus : Perge ad prædicationem, discipule, proficiscere in bellum, vade ad pericula. Consule creaturæ meæ, quam ego miserans factus sum homo, proque ea mortem turpissimam subii. Ego imperatum a Patre opus consummavi, primus testis veritatis factus. Officii vestri est, quod deest supplere ; et quæ ego reliqua feci, pari opere complere. Magistrum tuum imitare, Domini tui passiones æmulare, sanguinibus sanguinem retribue, carnibus carnem repende : quantum ego pertuli, tantumdem tu patiens, ostende in te ipso perspicua lineamenta formæ meæ. Arma tibi sint humanitas inter inhumanos, mansuetudo inter conviciatores, patientia inter homicidas, tanquam ovis in medio luporum effectus, miles fortitudine animi exactus. Non negavit obedientiam apostolus ; non dixit ; Quomodo superabit lupos agnus, unus mille, extraneus urbium proceres,

VARIÆ LECTIONES.

(*c*) Anastasius *æque jucundi*, quasi legerit ἡδύτερα. (*d*) Prave Anastasius *capax esto periculorum* sensu ambiguo verbi χωρέω deceptus. (*e*) Cod. Gr. Vat. κήδομαι. Sed constat Anastasium legisse κήδου. (*f*) Anastasius *necessarium*, quasi a δέον. (*g*) Anast. *crucialibus*, quasi ab αἰκισμοῖς. (*h*) Anast, *manifestas actiones*, sic intelligens γνωρίσματα. (*i*) Anast. male *sudoribus*. (*j*) Anast. *nancisci poterit*, non bene intellecto verbo περίειμι.

NOTÆ.

(37) Cod. Gr. Vat. ἔφορος, sed sequor Anastasium qui interpretatus est *ferax*, ab εὔφορος.

(38) Hinc item apparet Theodorum adhuc juvenem mandato sui hegumeni has conciones panegyricas dixisse. Hic tamen in alia prorsus abit Anastasius: *Sed ut quoquomodo declaretur amor circa te divinitus prælestinatus.* Num legebat προστεταχότος ?

(39) Græcam phrasim hic non satis expedio, vel locus fortasse corruptus est. Sequor igitur Anastasium qui aliter legisse videtur.

domo expers præfectos, reges homo nihil præter unicam tunicam gestans? sed tanquam fidelis famulus Dominico mandato obsequens, discedit lætus, nihil secum ferens, præter pretiosum Christi nomen, cujusvis armaturæ loco.

4. Igitur ad destinatam sibi regionem delatus, quanta ibi fecerit, quanta pertulerit, dicet oratio nostra, partim ex antiqua traditione, partim secundum evangelicorum mandatorum analogiam. Nam si lux mundi erat, utique lucis opera fecit inter tenebricosos : et si sal terræ, sine dubio irrationales gentes sale condiens, mundavit ; et si operarius appellatus fuit, sequitur ut spiritalem agriculturam fecerit. Quod vero communiter dictum fuit, id de singulis etiam personis accipi, æquissimum est. Propterea specta illum allegoria, modo terram haud bobus quidem ferrum trahentibus arantem, sed linguæ vomere rationalia arva fodientem, jugo scilicet contemplationis simul et actionis : neque serentem caducum aliquid aut corruptibile, sed fidei doctrinam in profunda cordium jacientem. Modo autem hortos vineasque Domini plantantem, quæ mox recepta doctrina in melius profecerunt, et ex novellis lapsu temporis ad fructificationem provenerunt. Modo etiam more medici remedia idonea suppeditantem, vel quomodocunque volueris, cæco illuminantem, leprosos mundantem, febres depellentem, facilem claudis gressum cæcos tribuentem, surdis auditum, varia demum morborum genera sanitatibus incorruptibilitus in naturalem valetudinem restituentem. Quin etiam cerne ipsum pastorali forma assumpta, gregem Deo conservare, deducendo, revocando, curam gerendo, defendendo, bestias hæresum dæmonumque turbas arcendo : imperfecta adhuc rigando jugiter, educando ut crescant in ætatem Christi, spinas intellectuales evellendo, sarmenta impietatis comburendo, vallos dogmaticos subjiciendo, sæpes didacticas circumponendo, et quidquid aliud usui est, providendo. Idem et fabricator est et architectus ædificii ac fabricæ non manufactæ, templorum Domini dico quæ in spiritu et veritate construuntur, atque in populum eximium, sectatorem bonorum operum, perficiuntur.

5. Intuere mecum oppida et habitacula, quæ ille præceps populi seductor in infidelitate olim detinebat, intuere hæc, inquam, Dei notitia tanquam turribus instructa, et adversariorum insidias facile repulsas, arva segetibus consita, vineas racemis nigrescentes, hortos florentes, ægros morbo quolibet et omni languore expeditos. Tales sunt hujus

περιέσεται (*j*) ὁ ἀρνὸς τῶν λύκων, ὁ εἷς τῶν μυριάδων ὁ ξένος τῶν πολυούχων, ὁ ἀνέστιος τῶν ἡγεμόνων, τῶν βασιλέων ὁ μονοχίτων ; ἀλλ' οἷα θεράπων πιστὸς τῷ Δεσποτικῷ καταπειθήσας προστάγματι, ἄπεισιν χαίρων, οὐδὲν ἐπιφερόμενος μεθ' ἑαυτοῦ ἢ μόνον τὸ τοῦ Χριστοῦ πολυτίμητον ὄνομα, ἀντὶ παντὸς ὅπλου.

δ'. Τοίνυν καταλαβὼν τὸ κεκληρωμένον ἔδαφος, ὅσα ἐκεῖσε ἔδρασεν, ὅσα ὑποίσας ἤνεγκεν, ἱστορήσειεν ὁ λόγος, τὰ μὲν κατὰ παράδοσιν ἀρχαιολογίας, τὰ δὲ κατὰ ἀναλογίαν τῶν εὐαγγελικῶν διδαγμάτων· εἰ γὰρ πέλει φῶς τοῦ κόσμοα, δῆλον ὅτι τὰ φωτὸς δέδρακεν ἐν τοῖς ἀωτίστοις· καὶ εἰ ἅλας τῆς γῆς ὑπάρχει, δῆλον ὅτι ἔθνη ἄλογα ἁλίσας ἐσάρωσεν· καὶ εἰ ἐργάτης ὠνόμασται, ἀκολούθως γεωργίαν πνευματικὴν τετέλεκεν· ὃ δὲ κατὰ κοινοῦ εἴρηται, καὶ καθ' ἑνὸς προσώπου λαμβάνειν εὐλογώτατον· οὐκοῦν ὅρα αὐτὸν κατ' ἀλληγορίαν· πῇ μὲν, οὐ γῆν ἀροῦντα ὑπὸ βουσὶν ἕλκουσιν τὸ σιδήριον, ἀλλὰ τῷ τῆς γλώττης ἀρότρῳ ογικὰς ἀρούσας διαλακτίζοντα, τῷ ζεύγει δηλονότι θεωρίας καὶ πράξεως· οὐδὲ σπείροντά τι τῶν ἀπορρύτων καὶ φθειρομένων, ἀλλὰ τὸν τῆς πίστεως λόγον εἰς βάθος καρδιακὸν κατατιθέμενον· πῇ δὲ, φυτουργοῦντα παραδείσους καὶ ἀμπελῶνας Κυρίου, τοὺς ἤδη τῇ εἰσδοχῇ τοῦ λόγου πρὸς τὰ κρείττονα τὴν ἐπίδοσιν ποιησαμένους, καὶ ἀπὸ νεογνίας εἰς τὴν κατὰ καιρὸν καρπυφορίαν ἀναδιδομένους· καὶ ποτὲ μὲν ἰατρικῶς διαγινόμενον, καὶ καταλλήλως ἀλεξιτήρια προβαλλόμενον, ὁποτέρως ἂν βούλῃ (*k*), τυφλοὺς ὀμματοῦντα, λεπροὺς καθαίροντα, πυρετοὺς ἀπελαύνοντα, χωλεύουσιο εὐβατεῖν πάρεχόμενον, κωφεύουσιν τὸ ἀκροατήριον, τὰ τῶν λοιπῶν νοσημάτων πολυπήμονα εἴδη, ἄκεσιν ἀφθόροις (*l*) ἀποκαθιστῶντα εἰς τὸ κατὰ φύσιν· καὶ μέντοι ποιμαντικὴν ἕξιν ἀναλαμβάνοντα, καὶ ποίμνια Θεῷ καταρτίζοντα (*m*), καθηγούμενον, ἀνακαλούμενον, ἐπιμελούμενον, προπολεμοῦντα, ἀποσοβοῦντα θῆρας αἱρέσεων, δαιμόνων τε φάλαγγας· ὅσα τε ἐν μέσῳ ἀρδεῦσαι ἀεννάως, χειραγωγῆσαι (*n*) αὐξουμένους τῇ κατὰ Χριστὸν ἡλικίᾳ, ἀκάνθας νοητὰς ἐκτῖλαι, ὅλας ἀσεβείας ἐμπρῆσαι (*o*), χάρακας δογματικοὺς ὑπερεῖσαι (*p*), φραγμοὺς διδακτικοὺς περιθέσθαι, καὶ εἴ τι ἄλλο τῶν δεόντων ἐφεπόμενον καταθρῆσαι. Ὁ δ' αὐτὸς καὶ οἰκοδόμος, καὶ ἀρχιτέκτων οἰκοδομῆς καὶ τεκτονίας ἀχειροποιήσου, τῶν διὰ πνεύματος, λέγω, καὶ ἀληθείας ἀναδε [δο] μημένων ναῶν Κυρίου, καὶ καταρτιζομένων εἰς λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

ε'. Σκέψαι μοι τὰς πόλεις καὶ τὰς κατοικεσίας ἃς πάλαι ὁ λαόπλανος (*q*) τῇ ἀπιστίᾳ κατεῖχεν ἡλίβατος, πκργωθείσας ἐν θεογνωσίᾳ, καὶ τὰς τῶν ἐναντίων ἐπιβουλὰς ῥᾳδίως ἀποπεμπομένας, τὰ λῃΐα τεθηλότα, τοὺς ἀμπελῶνας περκάζοντας, τοὺς παραδείσους κυπρίζοντας, τοὺς νοσοῦντας πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τεθεραπευμένους. Τοιαῦτα τὰ τοῦ Ἀπο-

VARIÆ LECTIONES.

(*k*) Anastasius aliud legebat, quia scribit *duplici sanitate*, quasi ἀμφοτέροις. (*l*) Anastasius : *Verum eumdem nosse velis*. (*m*) Anast. *Deo perficiente*. (*n*) Anastasius præpostere *rigare manu, educare crescentes*. (*o*) Anast. *silvas impactas secando*, nescio quid aliud legens. (*p*) Cod. ὑπηρίσαι. Videant ergo grammatici. (*q*) Anast. prave *populus seductus*. Item sequentia apud Anastasium perversa videntur.

στόλου, ὡς ἂν εἴποι τις, προτέλεια καὶ ἐκφόρια, τηλικοῦτοι οἱ ἀγῶνες, οἱ ἱδρῶτες, οἱ πόνοι· καὶ ταῦτα ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, ἐν ὕβρεσιν καὶ ὀνείδεσιν, ἐν φυλακαῖς καὶ δεσμοῖς, ἐν διωγμοῖς καὶ ἀπαγωγαῖς ἐκ τόπου εἰς τόπον, ἐκ πόλεως εἰς πόλιν, ἐκ θεάτρου εἰς θέατρον, ἐν βασάνοις καὶ αἰκισμοῖς, ἐν φόνῳ καὶ μαχαίρᾳ τε τελευταίου· ἀφ' ὧν γὰρ ἐχρῆν ἀμείβεσθαι ἀγαθοῖς τὸν διδάσκαλον, τὸν σωτῆρα, τὸν ἰατρὸν, ὑπὲρ τούτων εἰσπράττονται τὰ δεινά· προπηλακίζουσι, παίουσι, πλήττουσι, κολάζουσι, ξέουσι· τί οὐ λέγοντες; τί οὐκ ἐπινοοῦντες; τί οὐ πράττοντες; τί οὐκ ἐπεξευρίσκοντες τῶν δσα εἰς δριμυτέραν κάκωσιν καὶ ἀνίας ἐπεξεύρεσιν; βαβαὶ τῆς ἀπηνίας! φεῦ τῆς θηριομανίας! οἵους τοὺς μισθοὺς τῷ θεραπευτῇ προσήγαγον οἱ ἀναβλέψαντες, οἱ εὐακοήσαντες, οἱ οἰκοδομηθέντες, οἱ καταρτισθέντες· ἀντὶ τιμῆς ἀτιμίαν, ἀντὶ εὐλογίας κατάραν, ἀντὶ δώρων ποινὰς, ἀντὶ ἀναπαυστικῆς ζωῆς τὸν πικρότατον μόρον (40). Φασὶν γὰρ αὐτὸν μετὰ τὸ πολλὰς καὶ ἀνηκέστους ὑποῖσαι κολάσεις, ἐκδεδάρθαι ὑπὸ τῶν ἀσεβῶν εἰς θύλακος εἶδος· εἶθ' ὕστερον ὑπὸ τῶν πιστῶν τετάφθαι· ἵνα κἀνταῦθα πρύτανις καὶ μετὰ πότμον φανείη ὁ μέγας τοῦ Θεοῦ κήρυξ. Οὐ γὰρ ἐπεὶ μετῆλθεν τῶν τῇδε, ἠμέλει τῶν κτεινάντων, ἀλλ' ὡς ποιμὴν ἀγαθὸς ὅσον ἦν καιροῦ, ἐξεκαλεῖτο ταῖς θαυματουργίαις τοὺς ἀπολισθαίνοντας, προσψκειοῦτο τερατουργίαις τοὺς ἀπεστραμμένους· τὴν δὲ θηριότροπον γνώμην, τὴν ἀμείλικτον καρδίαν, οὐδὲν, τὸ ἀνακτοῦν, οὐδὲν τὸ ἀνασυράζον, ἡνίκα εἰς βάθη κακῶν εἴη ἐμπεπτωκυῖα.

Ϛ'. Τί γὰρ τὰ ἑξῆς; μαίνονται κατὰ τοῦ ἱεροῦ ἐκείνου σώματος· θυμομαχοῦσι κατὰ τοῦ ἰαματουργοῦντος λάρνακος· ἀποπέμπονται τὸ ἰατρεῖον οἱ ἀσθενοῦντες, οἱ τυφλοὶ τὸν χειραγωγὸν, οἱ μυωπάζοντες τὸν φωτοδότην, οἱ ναυαγοῦντες τὸν κυβερνήτην, οἱ θανατούμενοι τὸν ζωοποιοῦντα. Καὶ τοῦτο πῶς; ῥίπτουσιν κατὰ πόντον, ὡς ἂν μὴ εἴη τις ὁ πρὸς αὐτοῦ εὐεργετησόμενος· τοιοῦτο γὰρ τῶν βασκαινόντων τὸ πάθος, μηδὲ τὴν ἐθελούσιον ἐκ-ώλειαν, σωτηρίαν ἑτέρων ἀνεχομένων γενέσθαι (41).

Ἀλλ' ὁ διὰ Δαβὶδ πόρρωθεν ἀναφωνήσας· Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται· κἀνταῦθα τὴν ὑγρὰν βατὴν τῇ λάρνακι παρεσκεύασεν· καὶ ὁ Πέτρος ὁ μέγας περιπατῶν ἐν τῇ θαλάσσῃ καλοῦντος πρὸς αὐτὸν Χριστοῦ ἐφάνη· τοῦτο ὁ θεῖος Βαρθολομαῖος ὧδε τῇ λειψανοφόρῳ λάρνακι πεζεύων κατὰ κυμάτων δέδεικται. Ὦ τοῦ θαύματος! Ὦ τῆς μεγαλουργίας! ἐξορμήσας γὰρ ἐκ τῶν χώρων Ἀρμενίας ἡ λάρναξ σὺν τέσσαρσιν μαρτυρικοῖς ἄλλοις ἐφ' ὁμοίαις ταῖς σημειουργίαις ἐκριφείσαις, καὶ διὰ τῆς αὐτῆς θαλάσσης ἀμφοτέρων ποντοπορησάντων, προηγουμένων τῶν τεττάρων, καὶ ἰοῦσι ὀψικευόντων τῷ Ἀποστόλῳ, ἐκκλινεῖς τὰ ἐπέκεινα

apostoli, ut ita dicam, frugum primitiæ, tot tantaque certamina, sudores, labores : et quidem in fame et siti, in frigore et unditate, in contumeliis et conviciis, in carceribus et vinculis, in persecutionibus et abductionibus de loco in locum, de civitate in civitatem, de theatro in theatrum, in tormentis et cruciatibus, in cæde denique et gladio. A quibus enim oportebat remunerari magistratum, servatorem medicum, ab his contra is ad pœnam expetitur : hunc pedibus proterrent, pulsant, feriunt, excruciant, excoriant. Quid non dicunt? quid non excogitant? quid non intentant? quid non moliuntur ut acerbius molestiusque noceant? Hem sævitiam! hem ferinam rabiem! Qualem mercedem rependunt medico suo qui visum, qui auditum receperant, qui instaurati confirmatique fuerant! pro honore ignominiam, pro benedictione maledictum, pro donis pœnas, pro tranquilla vita acerbissimam necem. Aiunt ipsum multos intolerandosque cruciatus perpessum, ab impiis excoriatum in modum follis, et a fidelibus postea sepultum, ut hinc etiam patronus post obitum, magnus hic Dei prædicator appareret. Neque enim postquam hinc abscessit, carnificum suorum curam omisit, sed veluti pastor bonus, prodigiis omni tempore invitabat perditos, ad se miraculis trahebat aversos. Atqui ferinam mentem et immite cor, nihil placat, nihil reconciliat, simul ac in profundum malitiæ deciderit.

6. Quid enim postea? Adversus sacrum corpus insaniunt, et contra arcam, sanitatum fontem, furunt : expellunt medicum ægroti, cæci ducem, cæcutientes illuminatorem, gubernatorem naufragi, perempti vivificatorem. Et quomodo hoc? In mare projiciunt, ne quis ab eo deinceps beneficium accipiat. Tale enim est invidorum vitium, ut vel suo voluntario exitio, alienam salutem impedire velint. Sed qui per Davidem olim clamaverat [20] : *In mari viæ tuæ, et semitæ tuæ in aquis multis, et vestigia tua non cognoscentur;* nunc quoque marinum humorem arcæ gradibilem fecit. Et magnus quidem Petrus in mari ambulare, vocante eum ad se Christo conspectus est [21] : idemque fecisse apparet Bartholomæum in arca reliquias suas gestante, quasi, inquam, pedestri itinere fluctus calcasse. O miraculum! o grande portentum! Etenim ex Armeniæ terris discedens arca cum aliis martyrum quatuor ob paria miracula ejectis, et idem mare sulcantibus præcedentibus his quatuor et quasi obsequium apostolo præbentibus, ventum est, declinata superius Sicilia, ad insulam nomine Liparim, et Agathoni sanctissimo illic episcopo per visum ostensæ sunt. Quis unquam audiit tantum miraculum? Cui tale

[20] Psal. LXXVI, 20. [21] Matth. XIV, 28.

(40) Hic nonnulla sequuntur in interpretatione Anastasii, quæ Græcus codex Vaticanus non habet.

(41) Videtur locus sensum quem nos scripsimus postulare. Græca tamen verba non satis respondent.

tantumque prodigium innotuit? Miraculum cumulatur miraculo. Quippe orat (λιπαρεῖ congruenter suo nomini) insula tacitis fortasse ut credibile est vocibus clamans sic : Veni ad me pauperculam, o dives sanctissimi Spiritus thesaure : veni ad me indigentem, o pretiosa margarita : veni ad me supplicem, tu qui ab aliis iniquissime expulsus es : mecum habita, et habitatoribus affluam : meae urbes tuere et populi multitudine abundabo : tuum mihi nomen inscribe, et ubique terrarum celebris fiam. Alii te luminare expulerunt, ast ego tenebricosa tuum lumen exopto : alii tua vivorum sermonum mensa fruiti sunt, ast ego reliquiis tuis, ceu catellus micis, inhio.

A Σικελίας πρὸς τὴν τῆς Λιπάρεως καλουμένην νησον, δι' ἀποκαλύψεως τοῦ τηνικάδε ἐπισκοποῦντος ὁσιωτάτου Ἀγάθωνος ὁρώμεναι. Τίς ἠκουτίσθη κηλικοῦτον τερατούργημα; τίς ἐδιδάχθη τηλνκαύτην θαυματουργίαν; θαῦμα ἐν θαύματι· λιπαρεῖ (42) γὰρ οἷον ἡ φερώνυμος νῆσος, τοιαῦτα τυχὸν πρὸς αὐτὸν ἀλαλήτοις φωναῖς ἐπιβοῶσά· Δεῦρο πρός με τὴν πτωχεύουσαν ὁ τρισόλβιος θησαυρὸς τοῦ παναγίου πνεύματος· δεῦρο πρός με τὴν ἀγέραστον ὁ πολυτίμητος μαργαρίτης· δεῦρο πρός με τὴν δυσωπήτριαν ὁ παρ' ἄλλων ἀποπεμπόμενος ἀνομότατα· ἐνοικίσθητί μοι, καὶ πολοικισθήσομαι· πολιούχησόν με, καὶ πολυανθρωπισθήσομαι· ὀνοματίσθητί μοι, καὶ πανταχοῦ ἐξηχηθήσομαι· οἱ ἄλλοι σε τὸν φωστῆρα ἀπώσαντο, ἀλλ' ἐγώ σου τοῦ φάους ἐφίεμαι ἡ στυγνάζουσα· οἱ ἄλλοι σου τῆς τραπέζης τῶν ζώντων λόγων ἀπολελαύκασιν, ἀλλ' ἐγώ σου τῶν λειψάνων ὡς κυνάριον ψιχίσασθαι γλίχομαι.

7. Post ista, cæteros martyres quasi suos stipatores retro ablegavit apostolus, unum quidem nomine Papinum Mylas urbem Siciliæ misit : alium cui nomen Luciano, Messanam : duos reliquos ad Calabriæ littora, Gregorium urbi Columnæ, Acacium urbi Calæ appellatæ destinavit : ut singuli in singulis oppidis incolarum forent protectores, ubi reapse ad hunc usque diem beneficiis inclarescunt. Ipse autem Bartholomæus, tanquam rex propriis laribus in pace potitus, ad vocantem se urbem ac cessit, ubi splendide receptus fuit, multis cum facibus odoribus, hymnis a cunctis civibus ipsi lætanter occurrentibus. Deinceps vero haud ulterius arca procedebat ; nam trahentibus illis, ipsa erat immobilis. Tristitia gaudio successit : in anxietate erat populus. Sed rem expetitam impetravit : etenim *Prope est Dominus invocantibus eum* [22]. Duabus ergo arcam trahentibus castis buculis, illic reposita est, ubi sacrum divi templum statim fuit ædificatum : quo vix absoluto, ingens miraculum contigit. Nam cum Vulcanus, ut appellant, pene insulæ contiguus incolis damno esset, invisibili recessu, quasi pertractus, stadiis septem in pelagus se subduxit ; quod miraculum tractu illo quasi recedentis fluvii usque ad hanc diem prædicatur.

B ζ'. Πρὸς ταῦτα ὥσπερ τινὰς δορυφόρους, ἄλλον ἀλλαχοῦ τῶν μαρτύρων εἰς τοὐπίσω παραπεμψάμενος ὁ Ἀπόστολος, τὸν μὲν Παπίνον (43) τοὔνομα εἰς Μειλὰ (*r*) τὴν πόλιν Σικελίας· τὸν δὲ ἐν Μεσσήνῃ Λουκιανὸν τῇ κλήσει· ἑκάτερον αὖ τε ἐν τῇ Καλαβρίτιδι γαίᾳ· Γρηγόριον μὲν ἐν Κολύμνῃ (*s*) τῇ πόλει· Ἀκάκιον δὲ εἰς Κάλας (*t*) καλουμένην· ὡς ἂν ἕκαστος ἐν ἑκάστῃ ᾖ προασπιστὴς τῶν οἰκητόρων, οἵπερ καὶ μέχρι τήμερον διαλάμπουσιν ταῖς ἐπικουρίαις· αὐτὸς, ὡς ἄν τις βασιλεὺς οἰκείας ἀναπαύλης μεταληψόμενος, προσώρμησεν τῇ καλούσῃ, ὑπεδέχθη περιφανῶς πολλοῖς λαμπτῆρσιν, εὐωδίαις τε καὶ ὁμνολογίαις, ἁπάντων τῶν ἐκεῖσε ὑπαντησάντων ἐν ἀγαλλιάσει. Τὸ δὲ ἑξῆς οὐ προῆει ἡ λάρναξ· οἱ μὲν γὰρ εἵλκον, ἡ δὲ ἦν ἀπίνητος· διεδέξατο τὸ περιχαρὲς ἡ λύπη· ἐν ἀπορίᾳ ὁ λαός· ἐπέτυχεν τὸ ἐξευρεθέν· Ἔγγυς γὰρ Σύριος τοῖς ἐπικαλουμένοις αὐτόν· δύο τοίνυν δαμάλεσιν ἀγναῖς ἀναληφθεῖσα ἀπετέθη, ἔνθα ὁ ἱερὸς αὐτοῦ οἶκος αὐτίκα ἐνιδδύνθη· καὶ ἅμα τῷ ἀπαρτισμῷ, καὶ τὸ θαῦμα ἐξαίσιον· ἐπειδὴ τοίνυν ὁ καλούμενος Βουλκάνος ἐχέκολλος ὢν σχεδὸν τῇ νήσῳ, βλαπτικὸς ὑπῆρχεν τοῖς περιοίκοις, ἀπῶστο ἀορασίᾳ καὶ οἷον ἀπόσυρεὶς ὑπεξέστη σταδίοις ἑπτὰ πρὸς πόντον (44) τοῦ παρισθμοῦ ὥσπερ ποταμίου ῥεύματος μέχρι τῆς σήμερον τὸ θαῦμα ἀνακηρύττοντος.

C

8. Porro quot et quanta deinceps mirabiliter operatus sit, aut mira faciens hactenus operetur circa eos qui diversis languoribus et infirmitatibus obstricti ad ipsum fide confugiunt, nec necessarium est dicere ob prolixitatem [Vat. Lat. *prolixionem*] tractatus, nec incredibile audienti, cum pignus ex uno habeat aliorum exhibitiones mire gestorum.

D Τὰ μετέπειτα (45) ὅσα καὶ ἡλίκα τεθαυματούργηκεν, ἢ θαυματουργῶν ἐστι πρὸς τοὺς πίστει φοιτῶντας μέχρι τοῦ δεῦρο ἐν διαφόροις νόσοις καὶ μαλακίαις ἐνισχημένους, οὔτε πρὸς ἡμῶν τὸ λέγειν, διὰ τὸ μακρογορὲς, οὔτε πρὸς τοὺς ἀκούοντας τὸ ἀπειθὲς ἐνέχυρον, τοῦ ἑνὸς τὰς περὶ τῶν ἄλλων συγκαταθέσεις ἔχοντος. Ἀλλὰ χαίροις (46), ὦ μάκαρ μακαρίων

[22] Psal. CXLIV, 28.

VARIÆ LECTIONES.

(*r*) Men. Gr. Ἀμυλλαν. (*s*) Men. Gr. Κολήμνῃ. (*t*) Men. Gr. Ἀσκάλους.

(42) Sensum vocabuli λιπαρεῖ, et in eo lusum, non intellexit hic Anastasius.

(43) In *Manæo Gr.* die 25 Augusti Παππιανόν.

(44) Huc usque mutilus codex Vat. Gr. pertingit. Verba pauca reliqua Græca sumpsi ex Auctario novissimo Combefisii p. 400, qui narrationem reversionis reliquiarum S. ap. Bartholomæi Gr. et Lat. edidit, excerptam olim a nescio quo ex hac Studitæ nostri oratione, sed pro libito interpolatam.

(45) Quæ sequuntur, deficiente jam textu Græco ob codicis imperfectionem, prosequimur cum Anastasii utcunque impolita ac semibarbara translatione, collato tamen et interdum ascito codice Lat. Vat.

(46) Ex Græco χαῖρε et χίροις, ut diu ingeminat Theodorus etiam in oratione 6.

τρισμακάριστε Βαρθολομαῖε· χαίροις, τὸ θεοείκελον μίμημα τοῦ καλοῦ διδασκάλου. Χαίροις, τὸ θεοφεγγὲς ἀγλάϊσμα τῆς σεπτῆς Ἐκκλησίας· χαίροις, τὸ εὐηχέστατον ὄργανον τῆς τοῦ Πνεύματος μελῳδίας· χαίροις, τὸ πολύχωρον καὶ γλυκύκαρπον κλῆμα τῆς τοῦ Χριστοῦ ζωηρᾶς τε καὶ πατρογεωργήτου ἀμπέλου· χαίροις, ὁ ἀξιόχρεως θεράπων τοῦ Δεσπότου τῶν ἁπάντων· χαίροις, ὁ ἀξιοπόθητος φέλος τοῦ ἐπουρανίου νυμφίου· χαίροις, ὁ σοφόρειθρος καὶ πολύαρδος ποταμὸς τοῦ νοητοῦ παραδείσου· χαίροις, ὁ ἐμπειροθήρατος ἁλιεὺς τῶν λογικῶν ἰχθύων· χαίροις, ὁ θεοδύναμος τραυματιστὴς τοῦ λῃστεύσαντος τὸν κόσμον διαβόλου· χαίροις, ὁ εὐτεχνότατος ῥήτωρ τῆς ἀληθινῆς σοφίας· χαίροις, ὁ πολυφανὴς καὶ κοσμοφανὴς ἑωσφόρος τῆς θεολογίας· χαίροις, ὁ θεοφανὴς καὶ πυροειδὴς στύλος τῆς ὀρθοδοξίας· χαίροις, ὁ ἐξ ἀνατολῶν ἐπὶ δυσμὰς θαλαττοβαδίσας παραδόξως· χαίροις, παμφαέστατε ἥλιε τῆς οἰκουμένης· χαίροις, πολύγλωττον στόμα τῆς θεοσοφίας· χαίροις, ἀενναόβρυτε πηγὴ τῶν ἰαμάτων· χαίροις, διωκτὴρ φοβερώτατο τῶν δαιμόνων· χαίροις, τῆς Ἀρμένιας τὸ πολύευκτον ἐγκαλλώπισμα· χαίροις, τῆς Λιπάρεως τὸ ἀσπασίαστον καὶ πολυπροσκύνητον αὔχημα· χαίροις, ὁ τὴν θάλασσαν καθαγιάσας ταῖς πορευτικαῖς μεταβάσεσι· χαίροις, ὁ τὴν τῆν καταπορφυρώσας τῇ ἐρυθρότητι των παναγίων αἱμάτων σου· χαίροις, ὁ τὸν ἀέρα κατευωδιάσας ταῖς ἱεροπνεύστοις θεορρήμοσύναις σου· χαίροις, ὁ εἰς οὐρανοὺς φοιτήσας, καὶ τοῦ ὁμοστοίχου θιάσου μεσόχορος ἐκλάμπων ἐν ἀπροσίτῳ δόξης λαμπρότητι, ἐν ἀγαλλιάσεως ἀκορέστῳ θυμηδίᾳ. Αὐτόθεν ἡμᾶς ἐποπτεύοις εὐμενέστατα· αὐτόθεν εὐλογοῖς τοὺς σὲ μακαρίζοντας· αὐτόθεν δοξάζοις τοὺς σὲ ἀναμέλποντας· αὐτόθεν ὁμονοοῖς τὴν οἰκουμένην εἰρηνεύουσαν· ἱερεῖς δικαιοσύνην ἐν ὁσιότητι ἀμπέχεσθαι, βασιλεῖς ἀγαθοεργίαν ἐν ὀρθοδοξίᾳ κατὰ βαρβάρων ὁπλίζεσθαι· μονάζοντας πολιτείαν τὴν ἰσάγγελον ἀκαπήλευτον διασώζεσθαι· ἄνδρας γυναιξὶ, καὶ ἔμπαλιν, νόμῳ τῷ προσήκοντι φυλάττεσθαι· πατράσιν υἱοῖς, δούλοις δεσπόταις, ἄρχουσιν ἀρχομένοις, δανείζουσιε, ὀφείλουσι, συναλλάσσουσιν, ὠνουμένοος, πᾶσι τὰ τῆς εὐνοίας ἐπιλεύσει τελείᾳ τοῦ κοινοῦ, καὶ εὐαρεστήσει Θεοῦ ὀφειλόμενα πρυτανευόμενος· καὶ μέντοι τῶν τροφίμων (*u*) τῆς καλλωπιζομένης Λιπάρεως, τοῦ ποιμένος τε καὶ τοῦ ποιμνίου, τοῦ ἐπικτίσαντός σου τὸ ἱερὸν τέμενος, καὶ τοῦ ὑμνήσαντός σε διὰ βραχέως ἄγαν· ἐν Χριστῷ Ἰησοῦ τῶ Κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ παντοκράτορι Πατρὶ, καὶ τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

A Sed ave, o beate beatorum, ter beate Bartholomæe. Ave, qui es Dei amator et imitator boni scilicet magistri. Ave, qui es divinæ lucis splendor sanctæ Ecclesiæ. Ave qui es bene sonans organum spiritalis melodiæ. Ave, artificiose rhetor veræ sapientiæ. Ave, qui es peritæ capturæ piscator rationabilium piscium. Ave, qui es multi chori et dulcis fructus palmes, Christi vididæ et paternæ culturæ vitis. Ave, digni meriti famule Domini universorum. Ave, merito desiderabilis amice supercœlestis sponsi. Ave, qui es sapientiæ fluentis et multiplicis potationis, ac lumen spiritalis paradisi. Ave, qui es divina virtute vulnerator diaboli, mundum suo latrocinio vulnerantis. Ave, qui multipliciter appares mundo Lucifer Dei cognitionis. Gaudeas divinitus illustrata et ignea columna orthodoxiæ. Gaudeas, sol orbis B terræ, qui cuncta illuminas. Gaudeas, os Dei sapientiæ, linguam habens ignitam. Gaudeas, jugiter emanans fons sanitatum. Gaudeas, dæmonum terribilis insecutor. Gaudeas, qui es multipliciter optabilis formositas Armeniæ. Gaudeas, qui ab oriente ad occidentem per mare gloriose ambulasti. Gaudeas, qui es Lipareos salutabilis et multimodis adorabilis gloriatio. Gaudeas, qui mare sanctificasti meabilibus gressibus. Gaudeas, qui terram purpuream fecisti rubore castissimorum sanguinum tuorum. Gaudeas, qui aerem suavitatis odoribus replesti, sacris spiraminibus divinorum eloquiorum tuorum. Gaudeas, qui ad cœlum commeati, et medius in choro divinæ aciei tuæ refulges in gloriæ inaccessibilis splendore, in exsultationis insatiabili C jucunditate. Illinc nos benignissime intuearis: illinc benedicas te glorificantibus: illinc beatifices te canentes: illinc concordes orbem terræ pacatum. Sacerdotes justitia in sanctitate induantur: reges bonis operibus in orthodoxia contra Barbaros armentur: monasticam vitam tenentes, conversationem æqualem angelorum ac sine dolo custodiant: viri mulieribus, et rursum mulieres viris, competentem legem conservent. Patres cum filiis, prælatos cum subditis, dominos cum servis, mutuum dantes cum debitoribus, venundantes cum emptoribus: cæteraque omnia benevolentiæ tuæ affectu ad utilitatem reipublicæ protege; et cuncta quæ secundum beneplacitum Dei dirigi debent, patrocinio tuo, defende; et præcipue alumnos decoratæ Lipareos: D pastorem quoque ac gregem qui construxit sacrum teinplum tuum: et eum qui te, licet breviter, ex se laudare præsumit; in Christo Jesu Domino nostro quem decet omnis gloria, honor et adoratio, cum omnipotente Patre, ac sanctissimo et vivifico Spiritu, nunc et semper et in sæcula sæculorum. Amen (47).

VARIÆ LECTIONES.

(*u*) cod. τὸν προφημον.

(47) Pergit deinde Anastasius sic: *Hæc de beati Bartholomæi laudibus ejusque mirabiliter advecto in Liparim corpore, Theodorus fama sanctitatis, ac sacerdotii dignitate conspicuus, fido relatu explicuit.* Postea de penu suo subjungit idem Anastasius narrationem transvectionis illarum reliquiarum in urbem Beneventum anno Domini DCCCIX.

XI.

Sancti Patris nostri, et confessoris Theodori Studitarum abbatis Oratio funebris in Platonem ejus patrem spiritualem.

ΙΑ'.

Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοδώρου ἡγουμένου τῶν Στουδιτῶν Ἐπιτάφιος εἰς Πλάτωνα τὸν ἑαυτοῦ πνευματικὸν πατέρα.

(Ex ms. Vaticano signato 1660, fol. 79, edidere Bollandiani, *Act. Sanctor.* April. t. I Lat. pag. 366; (Græc. *App.* pag. xlvi.)

—

PROLOGUS.

1. Oratorum ac Sophistarum studium omne versatur in eo, non ut assequantur veritatem, dum se ad scribendum conferunt: sed ut exspoliant dictionem, et narrationem faciant augustiorem acceptis e poemate versiculis, ad oblectationem audientium. Demulcent enim eos verborum concinnitate, et quadam verisimilitudine circumveniunt; parum solliciti ne quid falsum dicant, utpote qui æstimationi duntaxat et humanæ gloriæ serviunt. At vero quos tenet amor veritatis, satagunt res, ut actæ sunt, dicere: quamvis propterea concinnitas et elegantia orationis esse deberet minor. Nam quia ipsam veritatis pulchritudinem adamant, ornatis verbis, tanquam stragulis, valefaciunt, quod est vere sapientis. Ad hunc igitur modum ego quoque, licet ingenio, dictione et spiritu admodum tenuis, Patrem meum laudabo: non autem quia sperem laudando gratiam inire apud eum. Quæ enim hæc foret gratia consueto nulla præsentium rerum delectari, et super cœlestem adepto requiem? quam quisquis possidet ridet præsentia, velut nihil stabile, nihil beatum continentia, et quæ instar ambræ prætereunt, aut ut flores verni corrumpuntur. Ad hæc si etiam in terris positus sese arbitrabatur indignum, qui vel in numero monachorum conseretur (quod summæ ejus modestiæ indicium et sanctæ animæ erat præcipuum argumentum) quomodo nunc, postquam hinc emigravit et incorruptibilia bona possidet, inter quæ nulla est inanis gloriæ appetentia, illam per nostras laudes desideraret consequi?

2. Laudabo ergo eum, qui ad hoc, si quis alius, justissime obligor, tum pro ejus in me officiis multis, tum vel maxime pro ipsa hac, qualiscunque est, dicendi facultate, quam laboribus et industria ejus exultam possideo, eique me velut Patri acceptam referre oportet. Neque tamen me existimet quispiam id quoque spectare, quod laus Patri danda, redundatura sit in filium, juxta illud Sapientis: *Gloria hominis ex honore patris sui* [1]. Scio enim quod cui domi suæ et a seipso gloria suppetit, is a patre etiam honorem accipiens, evadat gloriosior: sin minus, paternas laudes nihil prodesse ei, qui per se inglorius atque inhonorus est, qualis esse videor. Fas tamen non est vitam illius ex virtute actam sub modio silentii, tanquam lucernam abdere; quæ supra rationale candelabrum posita, fulgere debet, non uni alterive, sed omnibus (fidenter loquor) qui in Ecclesia Dei sunt. Quare cum jam demonstratum sit me ad

ΠΡΟΟΙΜΙΟΝ.

α'. Ῥήτορσι μὲν καὶ σοφισταῖς ἡ πᾶσα σπουδὴ, οὐ τοῦ ἀληθοῦς ἐπιτυχεῖν καθιοῦσιν ἑαυτοὺς ἐπὶ τὸ γράφειν, ἀλλ' ὥστε λαμπρῦναι τὴν φράσιν, καὶ συντεμεῖν τὸ ἔπος, κἀντεῦθεν ἐπᾶραι τὸ διήγημα, πρὸς γαργαλισμὸν τῶν ἀκουόντων. Θέλγουσι γὰρ ταῖς εὐεπίαις, καὶ παραλογίζονται ταῖς πιθανότησιν, ὀλίγα τοῦ ἀψευδοῦς φροντίζοντες, ἅτε δοξήθηρες ὄντες καὶ ἀνθρωπαρεσκείᾳ δουλούμενοι· οἷς δὲ ἀληθείας ἔρως, τὸ ὂν εἰπεῖν, καὶ τὸ ἀληθὲς πρεσβεῦσαι, κἂν μὴ τὺ γλαφυρὸν καὶ εὐφραδὲς ἔχοιεν ὁ λόγοις· ἐπειδὴ γὰρ κάλλους ἀληθείας ἐφίενται, παραπετάσμασιν ἐοικόσι ταῖς φράσεσι χαίρειν φαίουσιν (*sic*)· ὅπερ ἐστὶν σοφίας τῆς ὄντως εὕρεμα. Οὕτω δήπουθεν κἀγὼ, ὁ βραχὺς καὶ νῷ καὶ λόγῳ καὶ πνεύματι, τὸν ἐμὸν Πατέρα ἐπαινέσομαι· οὐκ ἐκείνῳ χαριζόμενος τὴν εὐφημίαν· τίς γὰρ καὶ χάρις τῷ μηδενὶ τερπομένῳ τῶν τῇδε, ἤδη τὴν ὑπερκόσμιον λαχόντι λῆξιν, ἧς πᾶς ἐητυχὼν διαγελᾷ τὰ παρόντα, ὡς μηδενὸς ἐν αὐτοῖς ὄντος στασίμου τε καὶ μακαρίου, ἀλλ' ἴσα σκιαῖς παρατρέχοντος, καὶ ἄνθεσιν ἠρινοῖς ἀπομαραινομένου; Ἄλλως τε, εἴ ἔτι ὑπὲρ γῆν ὤν, ἀνάξιον ἑαυτὸν ἡγεῖτο καὶ τοῖς ἁπλῶς μοναστᾶις ἐγκα [τα] τάττεσθαι, ὅπερ ἦν ἄκρας ταπεινοφροσύνης δεῖγμα, καὶ τῆς ἁγίας ἐκείνης ψυχῆς προτέρημα· πῶς ἂν μετελθὼν τῶν ἐνθένδε, καὶ ἐν τοῖς ἀκηράτοις γενόμενος, ἔνθα κενῆς δόξης οὐδεμία ἔφεσις, ταύτης ἐκζητήσειεν παρ' ἡμῶν, διὰ τῶν ἐπαίνων ἐπιτεύξασθαι;

β'. Ἀλλ' ὅτι χρέος ἐμοὶ ἐπίερ τινὶ ἄλλῳ δικαιότατον, ὀφείλοντι μετὰ τῶν ἄλλων, καὶ ὑπὲφ αὐτοῦ τοῦ ὅπως οὖν, καὶ ὑπ' ἐκείνου πόνων τε καὶ ἐπιμελειῶν προσόντος μοι λόγου, οἷά τινα ἀμοιβὴν, τῷ Πατρὶ τὸν λόγον ἀναθήσειν· καίτοιγε συννοῶν ὅτιπερ ὁ πατρικὸς ἔπαινος εἰς υἱοῦ δόξαν ἀναφέρεται, κατὰ εἰπόντα σοφόν· Ἡ δόξα ἀνθρώπου ἐκ τιμῆς τοῦ πατρὸς αὐτοῦ, οὐ μὴν διὰ τοῦτο, ὡς ἂν τις οἰηθείη ἐπαινέσων, εἰδὼς πάλιν, ὡς ἕκαστος, εἰ οἴκοθεν καὶ παρ' ἑαυτοῦ τὸ εὐκλεὲς ἔχοι, εὐκλεέστερος ἂν εἴη καὶ πατρόθεν δόξαν ἐρανιζόμενος· τί δὲ μὴ, οὐδὲν ὀνίνησιν τὸ πατρικὸν γέρας τὸν ἀκλεῆ τε καὶ ἀγέραστον, οἷος ἐγὼ φαίνομαι. Ἀλλ' ὅτι οὐχ ὅσιον, ὑπὸ τὸν τῆς σιγῆς μόδιον θεῖναι, καθάπερ τινὰ λύχνον ἀείφωτον, τὸν ἐνάρετον ἐκείνου, ἀλλ' ἐπὶ τὴν λογικὴν λυχνίαν μαρμαρύσσοντα, θαῤῥῶ λέγειν, οὐ τῷ δεῖνι καὶ δεῖνι, ἀλλὰ σχεδὸν εἰπεῖν πᾶσι τοῖς ἐὸ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Ἐπεὶ οὖν λυσιτελὴς ἡμῖν καὶ ὑπόχρεος κατὰ τοῦ (?) ἐδείχθη ὁ λόγος, ἔχων μετὰ ἀληθοῦς καὶ

[1] Eccli. III, 13.

τὸ χρήσιμον ἡλίκον · φέρε ἐκεῖθεν ἀπαρξώμεθα τῶν ἐγκωμίων, ὅθεν καὶ πρεπωδέστατον.

A hanc orationem et obligatione propria et utilitate aliena inductum accedere (est enim veritati conjuncta utilitas), age laudationem ab eo ordiamur, unde præcipue convenit initium ducere.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

CAPUT PRIMUM.

Ortus, educatio, secessus in Bithyniam.

γ'. Πατέρες μὲν τῷ μακαρίῳ Πλάτωνι, Σέργιος καὶ Εὐφημία, ὧν τὸ εὐγενὲς ἐπίσημον, καὶ ὁ τρόπος οὐκ ἀγενέστερος · ἤθεσι χρηστοτέροις ἀναστρεφόμενοι καὶ οἰκουριῶν ἐπιμελείαις τὰ ἐνόντα ὑπὲρ τοὺς πολλοὺς αὔξοντες, καὶ ζηλωτοὶ διὰ ταῦτα συγγενεῦσιν B ὑπάρχοντες · οἷς, μετὰ τῶν ἄλλων μέγιστον ἐγκώμιον καὶ εὐτεκνίας δώρημα. Φέρουσι γὰρ ὥσπερ τινὰ εὐθυγενῆ βλαστὸν, σὺν δυσὶ θυγατράσι, τὸν νῦν ἐπαινούμενον, οὐδὲ αὐταῖς ἀκλεέσιν ὀφθείσαις, ὧν πολλὰ καὶ καλὰ τὰ διηγήματα, τῆς μὲν ἐν τῷ κοινωνικῷ βίῳ διαπρεψάσης, τῆς, ἐξ ἧς καὶ ἡμεῖς, κἂν τῷ μοναδικῷ τάγματι διαλαμψάσης. Ἐρειδὴ δὲ ἐνέσκηψε κατ' ἐκεῖνο καιροῦ ὀργὴ οὐράνιος (ἄγει με γὰρ ταύτην δηλῶσαι ἡ ὑπόθεσις), φθορὰν ὅτι μάλιστα ἐπάγουσα πάνδημον, οὐκ ὀλίγαις μὲν ἄλλαις χώραις τε καὶ πόλεσιν μετενδημοῦσα, ὥσπερ τις Αἰγυπτιακὴ μάστιξ ἐν τῇδε εἰς τήνδε, μάλιστα δὲ τῇ βασιλιζούσῃ Βυζαντίδι · ταύτῃ τοι καὶ καταλύουσι τὸν βίον οἱ ἀείμνηστοι. Οὐκ ἄκαιρον δὲ ἰάχα, ὠφελείας χάριν καὶ τὸν τοῦ θανάτου τρόπον ἐπισημᾶναι · γένοιτο γὰρ ἂν τὸ διήγημα ἐκδειματοῦν τὰς ψυχὰς τῶν συνετῶς ἐπαϊόντων. C

3. Beati Platonis parentes Sergius atque Euphemia fuerunt, eorumque et genus illustre, et nihilo minus illustres virtutes : optimis autem moribus providam familiaris rei curam gerentes, illam supra multos auxerunt, etiam usque ad invidiam cognatorum. Præ cæteris tamen laudibus, commendari in ipsis meretur liberorum gignendorum felicitas : utpote qui, velut illustre germen, hunc quem modo laudamus, protulere, una cum duabus filiabus (1), nec ipsis ingloriis (nam et de his multa præclaraque dici possent), quarum una quidem in sæculari vita laudabiliter est conversata ; altera (2), unde nati nos sumus, etiam in monastico ordine effulsit. Porro cœlestis quædam ira tempore illo (de hac siquidem loqui res ipsa monet, cum mortalitatem vel maxime universalem adduxerit), non paucis duntaxat aliis locis et urbibus incubuit : sed ex una in aliam, instar Ægyptiaci flagelli transiens, Byzantinam potissimum civitatem afflixit. In hac etiam vitam posuere supra memorati ac semper memorandi conjuges. Quomodo autem, id acciderit, operæ pretium fuerit explicare : est enim ejus eri narratio talis, et salubri timore concutere possit animos, eam prudenter suscipientes.

δ'. Ἐωρᾶτο ἐξάπινα ἐν τοῖς ἑκάστου ἐσθήμασιν, ἐν βαφίδι ἐλαιώδει, τὸ σημεῖον τοῦ ζωοποιοῦ σταυροῦ κατεστιγμένον, οἷα παρὰ χειρὸς ὡραιογραφούσης, μᾶλλον δὲ ἐπὶ θεοῦ δακτύλῳ καὶ ὑπέρτερον. Ἐθροεῖτο ὁ λήθθεὶς, ὕπεισίν οἱ εὐθὺς ὁ θάνατος · αὐθημερὸν τοῦ αὐτοῦ, καὶ νεκρὸν ἐκκομίζοντος, καὶ νεκροῦ ἐκκομιζομένου, δύο ἐπὶ τοῦ αὐτοῦ ἐπισκιμποδος, δισδύο ἐπὶ ζώου ἀχθοφόρου · φόρτοι ἀλλεπάλληλοι δυστυχῶν σωμάτων · θρῆνοι παντα χοῦ περιηχούμενοι καὶ ἐλεεινολογίαι, ἠτόνουν οἱ ἐκκομισταὶ, ἐσκάνιζον οἱ ἐνταφιασταὶ, ἐκλείοντο οἶκοι, ἐκενοῦντο *ῥεγεῶνες* (*b*), ἐπληροῦντο πολυάνδρια, διὰ μέσου δυοῖν μηνοῖν, τῆς πολυανθρωπου τε καὶ μυριοίκιδος πόλεως ἐρήμου καὶ ἀοικίστου σχεδὸν εἰπεῖν ἐποφθείσης. Ταῦτα ἐν ἡμέραις Κωνσταντίνου τοῦ συσσεβοῦς βασιλέως, ὑσ' οὗ ἡ εἰκὼν τοῦ Χριστοῦ καθυβρίσθη, D

4. Cernebatur de repente in cujusque vestitu vivificæ crucis signum (3), tincturæ pinguis, velut a perita manu, seu potius divino digito superne efformatum. Id in se conspiciens turbabatur, subtrabat accelerata mors ; eodem die, qui extulerat mortuum, mortuus etiam ipse efferebatur. Videre erat duos in eadem sandapila, quatuor super unum jumentum portari, et cumulos infelicium cadaverum alios. Audiebantur undequaque sonantes planctus atque lamenta, lassabantur vespillones, rarescebant libitinarii, claudebantur domus, vacuabantur vici, cœmeteria replebantur ; adeo ut intra duorum mensium spatium, urbs populosissima atque habitatissima, pene deserta atque inculta appareret. Accidit hoc in diebus Constantini (4) imperatoris, illius, inquam, impostoris nefarii, a quo imago Christi simulacrum erroris

NOTÆ.

(*b*) Quoniam antiqua Roma in regionis dividebatur (quod in hunc usque diem obtinet), etiam nova Roma, Constantinopolin dico, ejusmodi nomen usurpavit, ut patet ex auctoribus a Meursio recensitis.

(1) Sirletus *post duas filias* genitum scribit : sed solum in Græco est σὺν, *cum*. In vita S. Theodori, infra citanda ad cap. 3, litt. c, adduntur fratres tres.

(2) Theoctista appellatur in Vita S. Theodori, nupta Photino, qui magistratum ab imperatore non valde remotum gessit : ambo postea, relicto conjugio, vitam monasticam amplexi sunt.

(3) Græce, ἐν βαφίδι ἐλαιώδει. Sirletus vertit *colore cæruleo ;* fortassis invenit ὑαλώδει, *vitreo*. Theophanes ad an. Christi 746, indictione 14, ista refert, ac de cruce sic exprimit, Ἐν τοῖς τῶν ἀνθρώπων ἱματίοις καὶ ἐν τοῖς τῶν ἐκκλησιῶν ἱεροῖς ἐνδύμασι σταυρία ἐλαιώδη πλεῖστα. *In hominum vestibus et in ecclesiarum sacris indumentis, cruces plurimæ oleaginæ conspiciebantur.*

(4) Constantinus Copronymus Leoni Isaurico patri, 18 Junii, an. 741 mortuo, successerat.

per injuriam appellata, aut verius ipse Christus Deus noster contumelia est affectus; siquidem honor exhibitus imagini ad prototypum transit, quemadmodum alicubi dicit divinus Basilius. Itaque fuit hæc super peccantem populum justissima virga, paterna tamen immensam nostram perversitatem ad conversionem erudientis Dei, et in ira præparantis viam salutis, iis qui æquanimiter correctionem susciperent. Sed ad Patrem nostrum sermo redeat.

5. Parentibus ergo et consanguineis plerisque orbatus (4*) adhuc puer admodum, ab aliquo alterutrius parentis germano suscipitur; et ad juvenilem provectus ætatem, tanquam rectissimus surculus, produxit florem intelligentiæ; quæ difficulter reperitur in orphanis, non habentibus qui eis uti parentes invigilent. Fructus autem propriæ ipsius solertiæ et diligentiæ fuit peritia praxis notarialis, quantam vix assequi potuisset aliquis paterna sollicitudine eruditus. Deinde prædicto tutori suo regiæ pecuniæ appendendæ præfecto, operam commodans, ita rem illam agebat dextere, ut hic solum præfecturæ nomen tenere, opus ille sciretur: et ob hoc in ærario imperatorio illustris, charus quidem principibus, ipsi autem Cæsari etiam notus esset.

6. Talis cum esset, mentem suam non tradidit effrenatis adolescentiæ cupiditatibus (uti petulantior aliquis faceret, sui factus arbitrii), sed ipsi sibi optimus domitor, abstinebat a consortio insipientium, et sapientioribus jungebatur: applicans se honoratiori, non minus honorato; ætate provectiori, non juniori; atque ex ipsis externis honoribus, ingenitam animi nobilitatem, latenter quodammodo, ad majora provehebat. Non tradebat se comessatoribus combibonibusque ad æquales haustus, uti in conviviis faciunt adolescentuli; neque substantiam dilapidabat alea meroque, ut frugiperdæ solent; sed publicæ libræ attendens, labore continuo divitias sibi accumulabat, et quidem tantas, ut ad paternam hæreditatem amplissimam haud modicas alias facultates apposuerit. Hoc vero nequaquam fieri potuisset, nisi temperantiam servasset in omnibus, quæ honestatis amantem exornabat continentia, et cunctis affabilem instruebat prudentia, procul abjiciens juveniles voluptates; quibus qui indulgent, non modo non acquirunt quæ desunt; sed et quæ adsunt, evacuare consueverunt.

7. Quid porro? Tam multiplici industria præditus, tamque peritus rerum agendarum evasit (quod maxime spectatur ab iis, qui in sæculo vivunt, et filias apte cupiunt elocare), ut undique invitaretur

εἴδωλον πλάνης ὀνομασθεῖσα παρὰ τοῦ λαοπλάνου ἐξαγίστου· μᾶλλον δὲ αὐτὸς Χριστὸς ὁ Θεὸς ἡμῶν ἠτιμώθη, εἴπερ ἡ τῆς εἰνόκος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, καθὼς ὁ θεηγόρος ὧδέ που φησι Βασίλειος. Ταῦτα ἡ κατὰ τῶν ἁμαρτανόντων δικαιοτάτη, ὡς ἄν τις εἴποι, παιδευτικὴ ῥάβδος τοῦ Θεοῦ, τὴν ἄμετρον ἡμῶν κακίαν ἐπιστρεπτικῶς σωφρονίζουσα, καὶ ὁδοποιοῦσα τρίβον σωτηρίας τῇ ὀργῇ αὐτοῦ τοῖς εὐαισθήτως δεχόμενοις τὴν νουθέτησιν. Ἐμοὶ δὲ ἐπὶ τὸν πατέρα μεθαρμοστέος ὁ λόγος.

ε'. Καταλιμπάνεται τοιγαροῦν ἔρημος γονέων σὺν τοῖς ὁμαίμοσι, κομιδῇ παῖς τυγχάνων· ὃς προσληφθεὶς ὑφ' ἑνὶ τῶν συγγενῶν, καὶ εἰς ἡλικίαν ἠδῶσαν ἀναχθείς, ἀνθεῖ μὲν εὐθύς, ὥσπερ τι ἔρνος εὐθύβλαστον, ἡ ἀκμὴ τῆς νεότητος τὴν καλλίστην σύνεσιν, ἥπερ δυσκατόρθωτος τοῖς ὀρφανίᾳ ἠγμένοις, οὐκ ἔχουσι τὸν ἴσα γονέων ἐπιστατοῦντα. Καρποφορεῖ δὲ, ταῖς παρ' ἑαυτοῦ σπουδαῖς τε καὶ φιλοζηλίαις, τὴν παίδευσιν τῆς νοταρικῆς μεθόδου, ὡς οὔπω τις τῶν καὶ πατρικαῖς ἐπιμελείαις προμηθευομένων, συζυγοστατῶν τε αὐτῷ προσειληφότι θείῳ τὰ βασιλικὰ χρήματα. Καὶ τοσοῦτον φανεὶς ἐνταῦθα περιδέξιος, ὡς ὄνομα μόνον ἔχειν ἐκεῖνον τῆς ἀρχῆς, τὸν δὲ τὸ ἔργον γνωρίζεσθαι, καὶ διὰ ταῦτα ἐπίσημον μὲν εἶναι ἐν τοῖς βασιλικοῖς ταμιεύμασιν, ἀσπαστὸν δὲ τοῖς ἄρχουσι, γνώριμόν τε κπὶ αὐτῷ τῷ Καίσαρι.

ϛ'. Οὕτω δὲ διαφαινόμενος, οὐ ταῖς ἀκαθέκτοις ὁρμαῖς τῆς νεότητος προῦδωκεν τὸν, νοῦν, ὡς ἄν τις τῶν ἀφέτων τε καὶ ῥηξιφρόνων, ἀλλ' (*c*) οἷά τις ἄριστος πωλοδάμνης αὐτὸς ἑαυτῷ γιγνόμενος, ἀπείχετο μὲν ἀσυνέτων. συνήπετο δὲ πεπαιδευμένοις, τῷ τιμαλφεστέρῳ συνταττόμενος, ἀλλ' οὐχὶ τῷ ἀτιμοτέρῳ συνερχόμενος, καὶ τῷ καθ' ἡλικίαν προέχοντι παραζευγνύμενος, ἀλλ' οὐχὶ τῷ νεοπαγεστέρῳ συνδιαιτώμενος, καὶ πρὸς τὸ ἄνωντες, κἀκ τῶν ἔξωθεν τιμῶν, τὸ τῆς ψυχῆς εὐγενὲς, λεληθότως πως ὁδοποιούμενος. Οὔ τί που συμπόταις καὶ συσσίτοις ἑαυτὸν ἐπιδιδοὺς κατᾶ κοινὴν φιλοτησίαν, ὡς εἴ τις τῶν νεανιευομένων ἐν εὐωχίαις, οὐδ' οὐ μὴν κύβοις καὶ μέθαις καταναλίσκων τὴν οὐσίαν, οἷα τὰ τῶν μαστρόπων· σχολαῖς δὲ ἐπιπόνοις ἐφεστὼς τῇ ζυγοστασίᾳ, κἀντεῦθεν πλοῦτον ἑαυτῷ συναθροίζων, καὶ τοσοῦτον αὔξων, ὡς ἄλλην συστήσασθαι περιουσίαν. παρὰ τὴν γονικὴν κληθονομίαν ἱκανωτάτην οὖσαν. Τοῦτο δὲ οὐκ ἄν προσεγεγόνει, εἰ μὴ αὐταρκείᾳ συνετηρεῖτο ἐν πᾶσι, δι' ἧς καὶ σωφροσύνῃ ἐκαλλωπίζετο ὁ φιλόκαλος καὶ φρονήσει ἠγλαΐζετο ὁ μειλίχιος, πόρρω βάλλων τὰς νεωτερικὰς ἐπιθυμίας, αἷς οἱ ἀλόντες οὐ μόνον τὰ οὐκ ὄντα προσλαμβάνονται, ἀλλὰ καὶ τὰ ἐνόντα κενοῦν εἰώθασιν.

ζ'. Τί τὸ ἐντεῦθεν; Τοσοῦτος γέγονε πολλοστὸς τῇ συνέσει, καὶ πυκτικὸς ταῖς ἀφορμαῖς τοῦ βίου (ὃ φιλεῖται παρὰ τῶν ἐν κόσμῳ, καὶ σπουδάζεται παρὰ ἐκδιδούντων ἀνδρὶ θυγατέρα), ὡς ἔλκειν αὐτὸν ἄλλον

(*c*) Suspicor legendum esse ῥιζαφρόνων ut si compositum a *ῥίζα radix* et ἄφρων *insipiens*, ad significandos, qui ab origine et educatione tales sunt.

(4*) Græce ὁμαίμοσι quod Sirletus vertit *sororibus*: sed infra num. 7, dicitur sanctus, cum ad monasterium abiit eisdem modicum quid de sua substantia reliquisse: vivebant igitur tum adhuc.

ἄλλοθεν, καὶ τῶν ἄγαν εὐπατριδῶν τε καὶ εὐπόρων, εἰς κοινωνίαν βίου. Ἀλλ' οὐ γὰρ ἀφῆκεν αὐτὸν ὁ θεῖος πόθος, ὃν ἀνῆψεν ἑαυτῷ διὰ κρείττονος ἐπιλογισμοῦ, ἐμπαγῆναι τοῖς βίου τέλμασιν· καὶ γὰρ ἦν ἀναγνώσεσι προσέχων ἀντὶ παιγνίων· ἔν τε ἐκκλησίαις προσεδρεύων ἀντὶ θεάτρων, καὶ ἐν σεμνίοις ἀναστρεφόμενος ἀντὶ ἀσέμνων καταγωγίων· καί γε τὸ ἀξιεπαινετώτερον, ἐξαγορεύσεις ποιούμενος τῶν κρυφίων τοῦ νοῦ κινημάτων τε καὶ δραμάτων τινὶ τῶν καθηγουμένων· ὃ τῆς μὲν ἐκείνου φιλοθείας ὑπῆρχε σύμβολον, τοῦ δὲ τὴν ἐξαγόρευσιν δεχομένου κατέπληττε τὴν διάνοιαν, τελειωτικῶς γινόμενον. A

ἡ. Ὅθεν ἐπάρας τὸ τῆς διανοίας ὄμμα ἐπὶ τὰς τῶν ἀϊδίων θεωρίας, καὶ τῷ ἐκεῖθεν πτερωθεὶς ἔρωτι, σβέννυσι τὸν κάτω πόθον, καὶ ποιεῖ τὸ τοῦ θείου Ἀντωνίου ὁ θαυμάσιος. Πάντα γὰρ διαπιπράσας σὺν αὐτῇ τῇ πατρικῇ ἑστίᾳ, καὶ πτωχοῖς διανείμας, τούς τε οἰκέτας ἐλευθερώσας, καὶ ταῖς δυσὶν ἀδελφαῖς βραχέα τινὰ καταλείψας, ἔξεισιν· Ἀβραμιαίᾳ προθέσει, οὐκ εἰς τὰς ἐγγύθεν κώμας ἀσκήσων, ἀλλ' ὧδέ που μακρὰν ἀποδραμῶν, ἐν τοῖς τοῦ Ὀλύμπου μέρεσι, κατὰ τὸν ὑποδειχθέντα αὐτῷ παρά τινι τῶν ἐν ἄστει ἀρχιμανδριτῶν τόπον καὶ ἄνδρα, τοῦ μὲν Συμβόλους ἐπικεκλημένου, τοῦ δὲ Θεοκτίστου ἐπονομαζομένου, οὗ ὁ τρόπος, ἀγαθὸς, τό τε γένος περίβλεπτον, καὶ τὸ τέλος ὅσιον. Ἀλλ' οἷα καὶ ἡ ἀναχώρησις; Μνήμης ὅτι μάλιστα ἐμοὶ ἀξία, ἀκούουσί τε κατανύξεως ἔχουσα φάρμακον· ἀπὸ γὰρ τῆς πατρίδος ἀπάρας μεθ' ἑνὸς θυμηρεστάτου οἰκέτου, καὶ κατὰ τοὺς λεγομένους Βασιλεῖς ἐφθακὼς, ὑπό τε λόχμην τινὰ εἰσδὺς, κείρει μὲν τὴν κόμην τῷ χειρὶ τοῦ ἐτομένου. μετενδιδύσκεται δὲ τὴν φαιὰν ἐσθῆτα, ὥς τινα πορφυρίδα. Καὶ τὸ ὅρμα ἡλίκον; Τοῦ μὲν χωριζομένου, καὶ οἴκαδε ἐπανιέναι μετὰ τῶν ἀπαμφιασμάτων παρεγγυωμένου, κἂν τούτῳ θρήνοις, ὡς τὸ εἰκὸς, βαλλομένου διὰ τὴν δεσποτικὴν στέρησιν· τοῦδε μονιωτάτου μετὰ Θεοῦ ἐγκαταλειφθέντος, ὑπὲρ οὗ καὶ δι' ὃν τὸ δρᾶμα. Τοιοῦτος ὁ θεῖος ἔρως, πάντων ἐξιστῶν τὸν ἐραστὴν, καὶ περὶ αὐτὸν μόνον συνάγων τὴν ἔφεσιν κορπολουμένην. B C

8. Hinc per perpurgatum mentis oculum ad sempiternarum rerum contemplationem sublevans, illarumque accensus amore, terrenum omne desiderium exstinxit; et divinum imitatus Antonium, divenditis omnibus, una cum paterno lare et servis libertate donatis, majorem quidem partem distribuit pauperibus; duabus autem sororibus suis modicum quid reliquit; et Abrahamia promptitudine exivit, non in vicinas villas, excerciturus seipsum; sed longius abscurrit in partes Olympi (5), ad virum locumque, ab aliquo eorum qui in urbe erant archimandritarum sibi monstratum. Loco symbolorum (6), viro Theoctisti nomen erat, cujus vita proba, genus illustre, exitus sanctus fuit. Qualis autem discessus Platonis e patria fuerit, mihi quidem memoria dignum, audientibus vero compunctoinis argumentum fore videtur, si exponam. Abivit cum uno solo charissimo famulo, et ad eum perveniens locum qui Reges dicitur, atque speluncam quamdam ingrediens, cæsariem suam comiti præbuit attondendam; deinde pulla veste se amicivit, tanquam si purpuram induisset. Quale autem spectaculum, cum unus quidem recessurus, juberetur radire domum cum vestibus, et ideo, ut par erat, perfunderetur lacrymis, domino suo privari dolens; alter vero relinqueretur, solus cum Deo, propter quem res tota agebatur. Talis utique est divinus amor, omnibus rebus exspoliat amantem et ad se solum trahit incensum illius desiderium.

ΚΕΦΑΛ. Β'. CAP. II.

Vita monastica, virtutum exercitia.

θ'. Ἐπειδὴ δὲ φοιτήσας πρὸς τὸν παιδοτρίβην ἠρωτήθη, ὅστις εἴη, καὶ ὅθεν ὥρμηται, καὶ ὅτου χάριν ἡ ἐπιδημία, εὐαγεῖς πρὸς ἑκάστην τῶν ἐρωτήσεων τὰς ἀποκρίσεις ἐδίδου· τοῦ δὲ μεμαθηκότος τήν τε πατρίδα, τὸ γένος, καὶ τὴν ἀνατροφήν· Οὔπω ἰσχύεις, φησὶν, ἐν τῇδε τῇ θέσει τοῦ τόπου, σκλη- D

Postquam autem ad magistrum venisset, atque interrogatus, quis, unde, qua causa veniret, apte respondisset ad singula; ille patriam, genus et educationem edoctus. Non poteris, inquit, in hac regione, haud parum aspera, monasticum sustinere laborem. Cui Christi pugil : Omnia, Pater, trado

NOTÆ.

(5) « S. Joannicius (ut in eju Vita 4 Novemb. legitur) cum vidisset montem, qui ssupereminet a dexterat Bithyiniæ qui apud nos vocatur Olympus, concepi animo vitam quietam et amantem solitudinis. » De eo loco agi constat ex Vita S. Theodori, ubi monachi, qui Olympi pas incolunt, ad eum ab exsilio reducem in Bithynia accesserunt. In eadem Vita dicitur S. Plato a teneris annis montem Olympi incoluisse.

(6) Colitur 21 Febr. sanctus Timotheus, qui in Symbolis vitam anachoreticam duxit. Ejusdem monasterii facta est mentio die tertia Aprilis in Vita S. Nicetæ, num. II. Quod autem hic legatur Græce τοῦ Συμβόλους ἐπικεκλημένου, non Συμβόλων, uti istic legitur, nos suspicamur esse mendum librarii, cum primus iste genitivus a nullo nominativo regulariter duci possit.

tibi; mentem, corpus, et voluntatem, utere, ut lubet famulo tuo, in cunctis obsecuturo. O admirabilis propositi indicium! omirabilioris renuntiationis argumentum! Istius quidem, quia in ipso ætatis flore, in prospero successu negotiorum, spe optima rerum majorum proposita, divitiis affluentibus, circumfulgente gloria, vigente corpore, in proprii arbitrii constitutus libertate, habuit dilectionem erga Deum istis omnibus superiorem: alterius, quod optime consultus, non uti multi nunc, simulate, aut, ut magis proprie loquar omnino non renuntiantes mundo, eidem se renuntiare professus sit; sed quemadmodum vere ipsa res exigit. Illi siquidem, nescio quo modo, obliti quod dicit Dominus : *Qui non renuntiavit omnibus quæ possidet, non potest meus esse discipulus* [2]; et quod alibi jubet : *Vende omnia quæ habes, et da pauperibus, et habebis thesaurum in cœlis, et sequere me* [3]; horum, inquam, obliti, ipsi sibi templa et monasteria, erigunt; deinde monasticam amplexi professionem, dominantur in propriis, servos atque substantiam variam post se trahentes; heri novitii, et hodie abbates; heri nec idonei quidem qui se prudenter regendos præberent, hodie alios imperite regere præsumentes; quibus prælaturam non virtus sua, sed suarum facultatum usurpatio attulit qui cum multis annis debuissent discere quomodo sit imperanti parendum, atque ita ad regimen aliorum ascendere; antequam prius istud didicerint, sese periculo ingerunt posteriori, et quales sunt, tales etiam efficiunt sibi subjectos. Ast ipse, postquam sæculo vere renuntiasset, ostendit obedientiam minime fucatam fuisse : præcedit enim primum secundo, sicut fulgur tonitruo, et lucifer soli exorienti. Nam qui sæculo bene renuntiaverit, clarum est quod etiam bene obediet : qui vero in altero oblique incesserit, in altero quoque certissime est claudicaturus.

ραγωγίαν οὐ τὴν τυχοῦσαν ἐχούσῃ, τὸν κόπον τοῦ μοναχοῦ ὑπομεμενηκέναι. Πρὸς ὃν ὁ τοῦ Χριστοῦ πύκτης· Πάντα σοι, ὦ Πάτερ, ἀποδίδωμι, καὶ νοῦν, καὶ θέλημα, καὶ σῶμα, χρῶ τῷ σῷ οἰκέτῃ ὡς ἂν βούλοι, εἰκοντί σοι κατὰ πάντα. Ὦ θαυμασίας προθέσεως ἀπόδειξις, καὶ θαυμασιωτέρας ἀποταγῆς ὑπόθεσις! τῆς μὲν, ὅτι ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, κατάρουν αὐτῷ χωρούντων τῶν πραγμάτων, τῶν ἐλπίδων χρηστοτέρων ὑποβαλλομένων, πλούτου προκειμένου, δόξης ὑπαστραπτούσης, σαρκὸς σφριγώσης, καὶ ταῦτα σὺν αὐτοκρατείᾳ, νικῶσαν ἔσχεν ἁπάντων τὴν εἰς Θεὸν ἐπιθυμίαν· τῆς δὲ, ὅτι καίπερ οὕτω ἄριστα βουλευσάμενος, οὐ κατὰ τοὺς πολλοὺς τῶν νῦν ἐπιπλάστως, οἰκειότερον δὲ εἰπεῖν, ἀναποτάκτως ἀποτασσομένων, τὴν ἀποταγὴν ἐθετο· ἀλλ' ὡς ἀπέδειξεν ὁ ἀληθὴς λόγος. Οἱ μὲν γὰρ, οὐκ οἶδ' ὅπως ἀπιλαθόμενοι τοῦ Κυρίου λέγοντος· Ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής· καὶ ἀλλαχοῦ προστάσσοντος· Πώλησόν σου τὰ πάντα τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς καὶ δεῦρο ἀκολούθει μοι· ἐγείρουσιν ἑαυτοῖς ναούς τε καὶ μοναστήρια, εἶτα ἀσπασάμενοι τὸ ἐπάγγελμα, τῶν οἰκείων ἄρχουσί τε καὶ κυριεύουσι, δούλους καὶ ὕλας διαφόρους ἐπισυρόμενοι, χθὲς ἀμύητοι τοῦ ἐπαγγέλματος, καὶ σήμερον ὡς παλαιοὶ καθηγούμενοι· χθὲς μὴ εἰδότες χειραγωγεῖσθαι μετὰ συνέσεως, καὶ σήμερον χειραγωγεῖν ἄλλους ἀπαιδεύτως προαιρούμενοι· ὧν οὐχ ἡ ἀρετὴ, ἡ χρῆσις δὲ τῶν ὑπαρχόντων τὴν ἡγεμονίαν κατεπίστευσεν, οἳ πολλοῖς ἔτεσιν ὀφείλοντες ἐκμαθεῖν καλῶς τὸ ἄρχεσθαι, εἶθ' οὕτως ἐπὶ τὸ ἄρχειν ἀνιέναι, πρὸ τῆς πείρας τοῦ προτέρου ἐπικινδύνως τοῦ δευτέρου ἐπιλαμβάνοντες, τοιούτους ἀπεργαζόμενοι τοὺς ὑπὸ χεῖρας, οἷοι καὶ εἰσίν. Ὁ δὲ ἐπειδὴ ἀληθινὴν τὴν ἀποταγὴν ἐποιήσατο, ἀνόθευτον καὶ τὴν ὑποταγὴν δείκνυσιν· καὶ γὰρ προηγεῖται τοῦ δευτέρου τὸ πρότερον, ὡς ἀστραπὴ βροντῆς, καὶ ἑωσφόρος ἡλίου ἀνίσχοντος· ὁ γὰρ ἄριστα ἀποταξάμενος, ἄριστα δηλαδὴ καὶ ὑποταγήσεται· ὁ δὲ καθ' ἑκάτερον σκολιώσας, καὶ ἐν θατέρῳ δηλονάτι χωλανεῖται.

10. Sunt autem virtutis exercitia multa, abstinentiæ extenuatio, somni parcitas, lacrymarum evacuatio, orationis alacritas, humicubationis molestia, vestitus vilitas, manuum operatio, genuflexionum frequentia, mortis meditatio, psalmodiæ assiduitas, perseverantia stationis. Horum tamen omnium nihil ita necessarium ei qui subest atque exercitium sinceræ confessionis et perfectæ obedientiæ : quibus illuminatur anima, mortificatur voluntas, et perfecta obtinetur conjunctio ejus qui spiritualiter nascitur cum eo qui gignit. Duo hæc cæteris omnibus non præferens, infirmus ab obedientiam erit; atque ita per quæ videbatur salutem consequi, illusionis subjacebit periculo. Etenim jejunia, vigiliæ, et quidquid ejusmodi aliud est; secundum se quidem laudabilia sunt; non tamen utilia, sed ad lapsum inducentia, ei qui proprio arbitrio agitur, nisi præsidis ductu et regula diri-

ι'. Πολλὰ μὲν οὖν τὰ κατ' ἀρενὴν ἐπιτηδεύματα ἐγκρατείας κατάτηξις, ἀγρυπνίας νῆψις, δακρύων κένωσις, εὐχῆς πτέρωσις, χαμευνίας σύνθλιψις, ἐσθῆτος εὐτέλεια, χειρῶν ἐργάσια, γονυκλισιῶν πυκνότης, μελέτη θανάτου, ψαλμῳδίας εὐτονία, στάσεως καρτερία· οὐδὲν δὲ τοιοῦτον τῷ ὑποτακτικῷ, οἷον τὸ κατ' ἐξαγόρευσιν ἀγώνισμα, καὶ τὸ καθ' ὑπακοὴν κατόρθωμα, δι' ὧν ψυχὴ φωτίζεται καὶ νεκροῦται θέλημα, καὶ ὁλοτελὴς εἰσοίκησις τοῦ πνευματικῶς γεγεννημένου πρὸς τὸν γεγεννηκότα ἐγγίνεται. Ὁ γὰρ μὴ ταῦτα τῶν ἄλλων προτιμήσας, σαθρὸς πρὸς ὑποταγὴν καθίσταται, καὶ δι' ὧν δοκεῖ σωτηρίας ἔχεσθαι, ἀπάτης ὑφίσταται ὄλεθρον. Τὸ γὰρ ἐγκρατὲς καὶ ἄγρυπνον, καὶ ὁτιοῦν ἄλλο τῶν προειρημένων κατορθωμάτων, αὐτὸ μὲν καθ' ἑαυτὸ ἐπαινετὸν δοίη τις εἶναι, οὐδ' ἂν δὲ εἴη λυσιτελὲς, μᾶλλον μὲν οὖν καὶ πτώσεως αἴτιον τῷ ἰδιορύθμως πράττοντι, εἰ μὴ γνώμονι καὶ κανόνι τοῦ καθηγου-

[2] Luc. XIV, 33. [3] Luc. XVIII, 22.

μένου περαίνοιτο, ὥστε ὁ τὴν ἐξαγόρευσιν μεθ' ὑπακοῆς ἐξασκῶν, τὰ δευτέρια τοῖς ἄλλοις δίδωσιν, ἐν τοῖς δυσὶ τὰ πάντα περικλείων.

ια'. Ταῦτα ὁ μακάριος ὡς οὐκ οἶδ' εἴ τις τῶν ἄλλων ἀφοσιωσάμενος, καλὴν τὴν βάσιν πήγνυσι, καὶ ἐπὶ ταύτῃ ἀσφαλῆ τὴν οἰκοδομὴν πεποίηται, πάντα λογισμὸν ἀνατιθέμενος, καὶ πάντα καθ' ὑπακοὴν διαπραττόμενος, καὶ διὰ ταῦτα. Γραφικῶς εἰπεῖν, ἀγαπώμενος ἐν προσώπῳ Πατρὸς αὐτοῦ. Γίνεται οὖν ἀδάμας τῇ καρτερίᾳ, περιδέξιος τῇ διακονίᾳ, διαλάμπων μὲν ἐν πολλοῖς συνάθλοις, ὧν οὐ πόῤῥω ἀφίστατο κατὰ τὴν κοινοβιατικὴν ζωὴν, ἰδίᾳ δὲ μεθ' ἑνὸς ὁμοτρόπου ὑποταττόμενος καθ' ἡσυχίαν τῷ ἀειμνήστῳ Θεοκτίστῳ, καὶ πῇ μὲν ἴκοι σχολάζων πῇ δὲ τῇ κοινότητι συνερχόμενος, ἔν τε ψαλμῳδίαις διατροφαῖς τε καὶ ἐργασίαις, καὶ οἷον εἰπεῖν κοινός τε καὶ ἐπίκοινος γινόμενος καὶ μέτριος κατὰ πάντα· Οὐ γὰρ, ἐπειδὴ εὐγενὴς τὸ κατὰ σάρκα, ἀπὲτραχύνετο τοῖς ἀγροικοτέροις συνδιαιτώμενος· οὐδὲ ἐπειδὴ ἐξυπηρετεῖτο παρ' οἰκετῶν πρότερον, τὰς ἀτιμοτέρας ἐγχειρίζεσθαι διακονίας ἐξενοπάθει. Τοιγαροῦν καὶ κόπρον ἐπὶ ὤμων ἐπεφέρετο, καὶ χῶρον ἀρδεύειν προσετάττετο, καὶ ἄλευρα φύρειν ἠνείχετο, καὶ ταῦτα μετὰ τοῦ γράφειν τόνῳ πολλῷ καὶ ἐπιμελείᾳ κρατίστῃ.

ιβ'. Βούλει μαθεῖν καὶ ἕτερα ὑπακοῆς ἀριστεύματα ἐγγύθεν; Ὁ πράκτωρ τῶν κατορθωμάτων. ὠνειδέζετο παρὰ τοῦ Πατρὸς ἐπὶ παρουσίᾳ ξένων, καὶ ὡς εὐφημίαν δεχόμενος, ἀκλόνητος διέμενεν ὁ εὐκλεέστατος· ὑπανεγίνωσκεν ἀξιολόγως ἐν ὠσὶν ἀδελφότητος, καὶ ὡς παρὰ λόγον ἀναγνοὺς ἐπιπληττόμενος ὑπέπτησσεν ὁ ἐμφρονέστατος· δουλογενὴς ἀκούων κατὰ ἀσνειασμὸν, τὴν κεφαλὴν κατένευεν συνερῶν τῷ Πατρὶ, ὁ εὐγενὴς ὄντως σὺν τῇ ψυχῇ καὶ τῷ σώματι· πολύτλας ὢν ἐν τῷ ἐργοχείρῳ καὶ πολλὰ ποριζόμενος, ὡς μηδὲν εἰσφέρων· ἄτυφος ὅτι μάλιστα διεἵρχετο ὁ φιλομαθὴς τε καὶ φιλόθεος, ἀποπεμπόμενος μετὰ γονυπέτησιν παρὰ τοῦ Πατρὸς, ὡς ἐπὶ τὸ αὐτὸ ἐμπεμπτωκὼς τῷ σφάλματι, οὐκ ἀπηυθαδίαζεν, ἀλλ' ἐπέμενεν ἐξαιτῶν τὴν συγχώρησιν ὁ θαυμασιώτατος· ἠτόνει, τὸ δὴ λεγόμενον, ὁ κατὰ πεῖραν σκώπτων καὶ διασύρων, οὐκ (*d*) ἐκορέννυντο τοῖς ὀνείδεσιν, ὁ διὰ τῆς ἐθελουσίου ἀτιμίας δόξαν ἑαυτῷ περιποιούμενος ἀΐδιον. Εἶπω τι καὶ τῶν οὐκ οἰκείων δοκούντων τῷ ἐπαγγέλματι, τὸν δὲ λόγον ἔχον κατευθὺ πραττόμενον, ὅτι ἔρωτι ταπεινώσεως βαλλόμενος, παρεκάλει, ἠντιβόλει, κοσσίζεσθαι, βαπίζεσθαι, καὶ μέντοι ἔπειθεν, καὶ πείθων ἐτετύφετο, καὶ τυπτόμενος παρα τινος κατ' ἐπιταγὴν τοῦ Πατρὸς, ὡς δῶρον εἰληφὼς ἐγεγήθει· καὶ ἦν τὸ γινόμενον ὑπερφυὲς, τοῦ μὲν ἐκβιαζομένου διὰ τὸ δοκοῦν ἀνοίκειον, τοῦ δὲ χαίροντος διὰ τὸ κερδόμισθον· καὶ ἡ ὠφέλεια ὅση ὁρῶσί τε καὶ ἀκούουσι.

A gatur : sed qui confessioni et obedientiæ studet cætera in secundis habens, omnia duobus istis comprehendet.

11. Hæc beatus iste, si quis alius, curans, optimum jecit fundamentum, eique solidum superexstruxit ædificium, omnem suam cogitationem abjiciens, et omnia secundum obedientiam agens : ob idque dilectus in conspectu Patris sui, ut phrasi Scripturæ utar. Fuit autem in tolerandis laboribus adamantinus, dexter in agendis rebus, et inter certaminum socios multos præcellens : a quibus etiam quoad cœnobiticam vitam, haut longe distabat, seorsim degens cum uno quodam sibi moribus simili, Porro, juxta reclusionis normam, subjectus (7) erat nunquam satis laudando Theoctisto, nunc in cella sese exercendo, nunc in communitate vacando psalmodiis, refectioni corporis, et manuum labori ; communiterque, ut sic dicam, et promiscue vivens, in omnibus se moderate gerebat. Non enim quia nobilis erat secundum carnem, a superior erat cum rusticioribus conversans ; nec quia prius habebat famulos multos sibi ministrantes, dedignabatur viliora suscipere ministeria : quin et fimum ferebat humeris et agrum irrigare jubebatur, et farinam subigebat patienter, et nihilominus scribebat multo cum studio ac diligentia.

12. Vin' etiam alias ejus virtutes discere, obedientiæ proximas ? Omnia recte faciens, reprehendebatur coram hospitibus ; et veluti si laudatus fuisset, perseverabat immotus, vir laude dignissimus legebat audiente fraternitate, ut congruum erat, et velut si absone vitioseque legisset, casti gatus verecundabatur sapientissimus. Propter urbanitatem audiens serviles natales sibi exprobrari inclinato annuebat capite, Petri consentiens, corpore et animo revera nobilissimus. In labore manuum multum contendens atque proficiens tanquam si intulisset nihil, non superbiebat, disciplinæ Deique amator eximius. Post petitam de genibus veniam dimissus a Patre, veluti in eamdem culpam relapsus non obloquebatur ; sed persistebat, ignosci sibi postulans, admiratione dignissimus. Denique lassabatur, is qui tentandi causa ingerebat convicium et opprobriis saturabatur, is qui per voluntariam ejusmodi contumeliam sibi comparabat æternam gloriam. Dicam amplius et quoda religiosa professione videri possit alienum ; consonum tamen rationi, dum recte fit. Tanto tenebatur humiliationis amore, ut oraret precareturque pugnis atque alapis cædi ; et sane persuadebat et persuadens percutiebatur, et ex mandato Patris percussus ab aliquo, velut accepto munere lætabatur : eratque stupore dignum, alterum quidem ad id quod incongruum videbatur violenter adigi, alterum vero

NOTÆ.

(*d*) Ecgraphum nostrum ἤ, *aut* ; puto legendum οὐκ, *neque*.

(7) Sirletus sic vertit, tanquam in eadem cum Theoctisto cella reclusus fuisset : quod hegumeni conditioni non convenit, nec Græco textui : imo infra num. 14 expresse dicitur Plato post Theoctisti mortem primum in ejus cellam migrasse, et solitarie vivere cœpisse.

gaudere de lucro exinde reportato, nec minus utile erat videntibus audientibusque, quod esset qui talia voluntarie pateretur, atque in hoc Christum imitaretur.

σιν, ὅστις εἴη ὁ ταῦτα ἑκουσίως ὑφιστάμενος καὶ Χριστὸν ἐντεῦθεν μιμούμενος.

13. Talis tantusque cum esset, an erat possibile non amari eum atque diligi? an rationable, eum qui totum se tradiderat obedientiæ, filium haberi inamabilem, et non esse charissimum genitori? Diligebatur, sane, uti dictum est, plurimum; et propter virtutis charitatem ubique prædicabatur, ut qui Patri suo factus esset omnia, veluti oculus dextra intuens, velut manus eadem operans, et pes ad illa progrediens: tanquam consiliarius bonus, adjutor robustus, suavis socius; fidelissimus in iis quæ domi erant, et circa foris posita vigilantissimus: qui simul et discipuli et fratris præstaret officia, addo etiam et Patris; tantusque esset in utroque, ut siquando, propter aliquam necessitatem, opus esset peregre Platonem agere, mœreret venerabilis Theoctistus; et quemadmodum de se loquitur Apostolus [4], non haberet requiem spiritui suo propter dilectum. Quis enim illo ad prospicienda futura providentior? quis ad mœrorem leniendum curandumque accommodatior? quis ad honorem multifariam impertiendum solertior? Talis ad conciliandam sibi benevolentiam, ut quæ Patris erant omnia haberet in potestate: tam interim alienus ab amore rerum terrenarum, ut nec obodi unius esset dominus. Pro quibus quod ei præmium, quæ retributio obtigit? Paterna utique benedictio super spiritualem Jacob, ex quo patriarchæ, imo hierarchæ et pœmniarchæ; et ab his plurimi secundum Deum filii multiplicantur, ac porro multiplicabuntur, nil dubito, per semen adeo benedictum. Talis denique fuit Plato, verus utique amator sanctitatis, et ad tantum perfectionis gradum ascendit, ut nonnisi adumbratione quadam exprimere potuerim characterem absolutæ in eo obedientiæ.

ιγ'. Τὸν οὖν τοιοῦτόν τε καὶ τηλικοῦτον ἦν ἄρα μὴ ἀγαπᾶσθαι καὶ στέργεσθαι; Καὶ πῶς ἂν ἔχοι λόγον, ὅλον ἑαυτὸν ἐμπαρέχοντα τὸν τῆς ὑπακοῆς υἱὸν, ἀπόθητον καὶ οὐχ ὁλόστερνον εἶναι τῷ γεννήτορι; Διὰ τοῦτο καὶ ἀγαπᾶται λίαν, ὡς εἴρηται· Καὶ παντα-χοῦ τῇ τῆς ἀρετῆς φανότητι διατεθρύλληται, ὡς πάντα τῷ Πατρὶ γινόμενος, οἷον, ὀφθαλμὸς δεξιὰ βλέπων, χεὶρ ἐργαζομένη, ποῦς βαδίζων, σύμβουλος ἀγαθὸς, παραστάτης καρτερὸς, συνόμιλος γλυκερὸς τῶν ἔνδον ὁ πιστότατος, τῶν ἐκτὸς ὁ φυλακτικώτατος, ὁμοῦ μὲν τὰ μαθητῶν ὁμοῦ δὲ τὰ ἀδελφῶν ἐπιδεικνύμενος, προσθείην δ' ἂν ὅτι καὶ τὰ Πατρὸς χαριζόμενος, καὶ τοσοῦτος ὢν ἐν ἀμφοτέροις, ὡς εἴ που κατά τινα χρείαν ἦν ἐκδημεῖν τὸ ἀοίδιμον Πλάτωνα, ἀδημονεῖν τὸν ἀείμνηστον Θεόκτιστον, καὶ μὴ ἔχειν ἄνεσιν, ἀποστολικῶς εἰπεῖν, τῷ πνεύματι διὰ τὸν ποθούμενον. Τίς γὰρ ἐκείνου τὸ μέλλον προβλέψαι στοχαστικώτερος; τίς δὲ τὸ λυποῦν μαλᾶξαί τε καὶ θεραπεῦσαι προσηνέστερος; τίς δ' αὐτο χρειῶδες εἰσοῖσαι εὐμαρέστερος; τίς δὲ τιμὴν ἀνάψαι ποικιλώτερος; Τοιοῦτος μὲν πρὸς εὔνοιαν γνήσιος ὡς πάντων ἐξουσιάζειν τῶν πατρικῶν, τοσοῦτος δὲ ἀφιλόϋλος, ὡς οὐδὲ κύριος ὁβολοῦ. Ἀνθ' ὧν τί τὸ πέρας, καὶ τίς ἡ ἀμοιβή; Ἡ πατρικὴ εὐλογία ἐπὶ τὸν κατὰ πνεῦμα Ἰακὼβ, ἐξ οὗ πατριάρχαι, εἶτ' οὖν ἱεράρχαι καὶ ποιμνιάρχαι ἀφ' ὧν πολλὰ τὰ κατὰ Θεὸν τέκνα πλήθουσί τε καὶ πληθυνθήσονται, εὖ οἶδα, τοῦ εὐλογημένου σπέρματος. Τοσοῦτος ὁ τῆς ὁσιότητος ἐραστὴς ὡς ἀληθῶς, καὶ τοιοῦτον αὐτῷ τὸ τέλος, ὡς ἐν σκιαγραφίᾳ προσεύχρουν χαρακτῆρα τῆς εὐμούσου ὑποταγῆς.

14 Postquam autem magister ejus ad Dominum abiit, ipse in ejus cellam atque vivendi modum transivit, legitime amplexus solitudinem; non quemadmodum nunc multi, eamdem periculose aggredientes; qui priusquam spiritui carnem perfecte subjecerint, audent per se solos congredi cum spiritibus nequitiæ, tunc primum exerceri incipientes, cum temporis est pugnæ; et experiendi gratia præsumentis obtinere victoriam, etiam Deo juvante, difficilem. Qui enim prius non didicit obedire, quomodo subjiciet sibi reluctantes spiritui carnis passiones? Et qui non custodierit intemeratam observantiam, quomodo ad montem solitariæ conversationis ascendet? Nunquid clarum est, quod qui illum attigerit intempestive, lapidibus obruetur aut configetur jaculis, et morte spirituali morietur, prout sacræ loquuntur Litteræ? Non ita is de quo nobis est sermo: nam verbis ac moribus obedien-

ιδ'. Ἐπειδὴ δὲ παραπέμπει πρὸς τὸν ἐν οὐρανοῖς Δεσπότην τὸν καθηγεμόνα, καθίστησιν ἑαυτὸν εἰς τὸν ἐκείνου τόπον καὶ τρόπον, καὶ τὴν ἡσυχίαν ἀσπάζεται ἐννόμως τε καὶ ἐνθέσμως· οὐ κατὰ τοὺς πολλοὺς τῶν νῦν σφαλερῶς ἐπὶ ταύτην ἐρχομένων, καὶ πρὶν ὑποτάξαι τὴν σάρκα τῷ πνεύματι. τοῖς τῆς πονηρίας πνεύμασιν μονομαχήσειν τεθαρρηκότων, καὶ ἐν καιρῷ τῆς νίκης παλαίειν ἐκμελετώντων, ὁπότε καὶ πεῖραν οἰόντων δυστέκμαρτον τὴν νίκην σὺν Θεῷ ποιήσασθαι· ὃς γὰρ ἂν οὐκ ἐπαιδεύθη τὴν ὑποταγὴν πρότερον, πῶς οὗτος ὑποτάξειεν τὰ πολέμια πάθη; καὶ ὃς δ' ἂν μὴ ἐφύλαξεν ἀγνὴν τὴν εὐπείθειαν, πῶς οὗτος προσβήσεται τῷ ὄρει τῆς ἡσυχίας; ἢ δηλονότι ὁ παρὰ καιρὸν αὐτῆς ἁψάμενος, λίθοις λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται, καὶ τελευτήσειεν τῷ κατὰ ψυχὴν θανάτῳ, καθὼς που φησι τὸ ἱερὸν Γράμμα; Ἀλλ' οὐχ, οὕτως ὁ περὶ οὗ ὁ λόγος· λόγῳ γὰρ καὶ τρόπῳ θεαρέστως ὑποτα-

[4] II Cor. II, 13.

NOTÆ.

(8) Id est « sacerdotum et pastorum principes: » visum est enim clarioris expressionis causa Græca verba servare.

γεὶς, εὐλόγως καὶ εὐαφόρμως ἐπὶ ταύτην πρόσεισιν, καὶ τὸν νοῦν καθαίρεται ἐγγίζων Θεῷ, καὶ ταῖς πρὸς αὐτὸν θεωρίαις γλυκαίνεται μετεωροπυρῶν τῷ νῷ· ἐπεὶ μηδὲ ἔνεστιν ἡδύτερόν τι τοῦ Θεὸν ἔχειν ἐν θεωρίᾳ, ὅς ἐστι γλυκασμὸς καὶ ὅλος ἐπιθυμία τοῖς γευομένοις αὐτοῦ τῆς ἀκορέστου ἀγάπης, ὡς λήθην λαμβάνειν καὶ αὐτῆς σχεδὸν τῆς ὀρεκτικῆς τροφῆς. Ἐφ' ἑαυτῷ μὲν οὖν ταῦτα καὶ ἐφέλκεται καὶ πορίζεται, καὶ δυνάμεως εἰς δύναμιν μετερχόμενος, καὶ ἀναβάσεις ἀρετῶν ἐν καρδίᾳ διατιθέμενος.

A tiam, uti Deo placitum erat, sectatus; opportune auspicatoque aggreditur solitudinem; et mentem attolens, appropinquat Deo; contemplationibus circa eum versantibus oblectatur, animo excelsa perambulans: nihil enim delectabilius est quam Deum speculari, qui totus est oblectatio et voluptas eorum, qui ipsum degustant amore insatiabili, ita ut pene in oblivionem veniant ipsius cibi appetendi. Itaque sibi ipsi in futurum sic prospexit Plato, ex virtute transiens in virtutem, et ascensiones suo in corde disponens.

ΚΕΦΑΛ. Γ'. CAPUT III.

S. Plato præficitur monasterio Symbolorum, excurrit Constantinopolim.

ιε'. Ἐπειδὴ δὲ οὐκ ἤρκει τὸ καθ' ἑαυτὸν μόνον σκοπεῖν, ζητούσης τῆς ἀγάπης, καὶ τὸ τῶν ἄλλων συμφέρον· τέθειται γοῦν καὶ ἐν τάξει Πατρὸς, μᾶλλον δὲ φωστῆρος δίκην τῇ μνημονευθείσῃ ἀδελφότητι, κατὰ διαδοχὴν τοῦ μακαρίτου Θεοκτίστου, ἐχούσῃ ἴδιον τὸν καθηγεμονα, ἣν καὶ ἀμφότεροι πνευματικῶς τε καὶ σωματικῶς ὅτι μάλιστα εἰς τὸ εἶναί τε καὶ ὀνομάζεσθαι μονὴν εὐαγεστάτην προήγαγον. Γίνεται δὲ καὶ δυοῖν φοιτητῶν καθηγητὴς ἰδιοτρόπως, ὑφ' ὧν ἐξυπηρετεῖτο, καὶ οὓς εἶχε συνεστίους, ἀλλ' οὐχὶ συσσίτους, ὧν ὁ εἷς ἔτι περίεστι τοὔνομα Ἀντώνιος, ὁ μεθ' ἡμῶν καὶ σὺν ἡμῖν μέχρι γήρους ὑποταττόμενος· αὐτὸς ἡμῖν ὑφηγητὴς εἴη ἐνταῦθα τῶν ἐπιζητουμένων. Ἄρτος, φασὶ, τῷ Πατρὶ καὶ κύαμος πρὸς λαχάνοις καὶ ἀκροδρύοις (*e*), ἡ καθ' ἡμέραν εὐανθίζουσα ἀνέλαιος διατροφὴ, πλὴν Κυριακῆς τε καὶ ἑορτῆς, καθ' ἃς εἰώθει ὁμοτράπεζος εἶναι τῇ κοινῇ ἀδελφότητι. Ποτὸν, ὃ βλύζουσι κρῆναι, καὶ ᾧ συνάγεται νοῦς, οὐ χεόμενος οἰνοφλυγίας ῥεύματι, οὐδ' αὐτὸ ἡμερήσιον ἀεὶ, ἀλλὰ πῇ μὲν ὑπερημερήσιον, πῇ δὲ δυσσευόμενον τῇ ἑβδομάδι, ἢ καὶ δεκατημέρον λαμβανόμενον τῆς βραδυποσίας, ἵν' οὕτως εἴπω καὶ ἀποσίας, μετὰ τῆς ἐγκρατοῦς ἐφέσεως. καὶ ἐκ φυσικῆς κράσεως, εἰς ἕξιν αὐτῷ καθεστώσης.

B 15. Quoniam vero nequaquam sufficit sua duntaxat curare, sed et aliis utilia quærit perfecta charitas, ordinatus Pater seu potius illuminator præmemoratæ fraternitatis, proprium habere hegumenum solitæ beato Theoctisto succedit in ejus loci regimine, quem ambo in spiritualibus æque ac temporalibus promoverant maxime, adeo ut esset ac diceretur monasterium optime constitutum. Duobus tamen præcipue sese præbuit ducem vitæ spiritualis, a quibus ei ministrabatur, quosque habebat, non comessatores, sed convivas. Horum unus adhuc superest Antonius nomine, qui nobiscum usque ad senium sub obedientia vivit; ipse nobis suggerat, quæ hic desiderantur. Quotidianus, inquit, cibus hic Patri erat panis, cum faba et oleribus C atque arborum fructibus, absque oleo, præterquam Dominicis festivisque diebus, quibus consueverat communi cum fratribus mensa uti. Potus erat quem fontes præstant, et quo mens colligitur, nequaquam capiens fluxum vinolentiæ; et hic quidem non semper quotidianus, sed quandoque ultra diem dilatus, aut bis in hebdomade sumptus. Quandoque etiam decimo duntaxat die, exigua illa seu potius nulla utebatur refocillatione, propter summam appetentiæ continentiam, quæ illi quodammodo in naturam transierat.

ις'. Ἐσθὴς εὐτελὴς καὶ βραχύτιμος, καὶ πρὸς μόνην θάλψιν πεποιημένη, ἀλλ' οὐχὶ λεπτοῖς ὑφάσμασιν ἐπιτετηδευμένη, οὐδὲ βαφικαῖς χροιαῖς ἐξηνθισμένη, ἣν οἱ καλλωπισταὶ, ἀλλ' οὐ μοναστὰι θηρᾶν ἐφίενται. Προσευχὴ καὶ ἀνάγνωσις ἐπίπονος, ἀφοριζομένη κατὰ καιρὸν, καὶ εἰς τροφὴν αὐτῷ ἀντὶ τρυφῆς καρυκευομένη. Γονυκλισιῶν πυκνότης, πατρόθεν ἠργμένη, ἐξ ἧς τύλοι χειρῶν τε καὶ γῆς ἐφ' ἧς ἐβεβήκει, μέχρι τοῦ δεῦρο τὴν ἀρετὴν στηλιτεύοντες. Στρωμνὴ οὐχ ἁπαλή τε καὶ διαῤῥέουσα, ἀλλ' ὅση καὶ ὑποπιάζειν τὸ σῶμα δυναμένη, καὶ ἀταπείνωτον αὐτὸ πρὸς τὰς πνευματικὰς λειτουργίας διαφυλάττειν ἰσχύουσα. Χειρῶν ἐργασία διὰ σπουδῆς· τοῦτο γὰρ τῶν ἐκείνου κατορθωμάτων παρὰ τοὺς πολλοὺς, ἵνα μὴ λέγω τοὺς πάντας, τὸ ἐπίσημον, ἢ μᾶλλον, οἰκειότερον εἰπεῖν, σὺν τῷ ἱερῷ Ἀποστόλῳ φάναι (*f*),

16. Vestis et curta, ad solum calorem facta, non autem subtilibus filamentis contexta aut colorum tincturis florida, qualem videre amant non monachi, sed elegantiarum studiosi. Oratio et lectio ejus laboriosa erat, et statis temporibus definita, cibum D quoque ejus deliciarum loco condiebat. Frequentia genuflexionum, a Patribus tradita, tanta erat ut manibus ipsique in qua flebant terræ callos inducerent, in monumentum virtutis ejus. Stratum nec molle erat, nec lecto circumfluum: sed quo affligi corpus, et ad spiritualia officia firmum posset servari. Manuum operatio diligens: hoc enim ex præclaris illius dotibus unum præ multis, ut non dicam omnibus, ipsum faciebat illustrem; aut ut magis proprie loquar, Apostolo similem, quod dicere posset: *Ad ea quæ mihi opus erant et his*

NOTÆ.

(*e*) Ἀκρόδρυα *summas herbas* interpretatur Sirletus: sed quia δρύον, altera compositi pars, significat *nemus*, malui arborum fructus, et quidem silvestres, intelligere.

(*f*) Ecgraphum nostrum φαίην· sed sensus videtur infinitivum exigere, quem substitui.

qui mecum sunt, ministraverunt manus istæ : ne que gratis panem comedi [5]. Quæ enim manus elegantius, quam illius dextera, litterarum formabat tractus? aut quis scribebat studiosius, cum ipsius alacritas qualecunque opus ferventer aggrederetur? Quis autem enumerare valeat eos in quorum manibus sunt ab ipso scripti libelli et opuscula, ex diversis divinis Patribus collecta et multam afferentia utilitatem? Unde vero monasteriis nostris ista librorum copia? nunquid ab illius sanctis manibus et laboribus? Ipsos volutantes et illustramur quoad animum, et scripturam admiramur talem ac tantam. Sed quædam tacita præterivit sermo, ad quæ enarranda regrediatur necesse est.

A ἔχοντος, Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται, ὅτι μηδὲ γωρεὰν ἄρτον ἔφαγεν. Ποία γὰρ χεὶρ τῆς ἐκείνου δεξιᾶς μουσικώτερον ἐσυρμαιογράφησεν, ἢ τίς ἐπικονώτερον τῆς ἐκείνου προθυμίας ἐσπουδαιογράφησεν; καὶ πᾶν ὁτιοῦν προσπεσὸν ἔργον θερμῶς διεχειρίσατο. Πῶς ἄν τις ἐξαριθμήσειεν, τοὺς τὰ ἐκείνου πονήματα εἴτ' οὖν βιβλιδάρια ἔχοντας, ἐκ διαφόρων θείων Πατέρων ἀνθολογηθέντα, καὶ ἱκανὴν ποριζόμενα τοῖς κεκτημένοις τὴν ὠφέλειαν; Ταῖς καθ' ἡμᾶς δὲ μοναῖς πόθεν ἄλλοθεν ἡ τῶν δέλτων εὐπορία; ἢ οὐχὶ ἐκ τῶν ἐκείνου ἁγίων χειρῶν καὶ πόνων; ἃς οἱ μετιόντες καὶ τὴν ψυχὴν φωτιζόμεθα, καὶ τὴν γραφίδα

B θαυμάζομεν ὁποία τε καὶ ἡλίκη. Ἀλλὰ γὰρ παραδραμὼν ὁ λόγος ἀνιστόρητά τινα, πάλιν ὑπονοστήσας ἀπαγγελλέτω τὰ παραλειφθέντα.

17. Tempore illo invaluit tempestas impietatis, Constantinus, inquam, ille cogitatione impius (9) malitiæ omnis receptaculum, multiceps draco, hæresis iconoclasticæ ductor, monasti ordinis persecutor acerbus. Quem ille nostrorum Nazaræorum non exterminavit? quem absconditum non produxit in medium? quem sibi oblatum non traxit in barathrum impietatis? Sane si quis ex illustrioribus ipsum latuit, tanquam scintilla in loco abdito, inter mortuos reputabatur ab iis qui vivebant super terram. Talis autem etiam noster Elias fuit, custoditus a Domino in quibus exercebatur locis, ut neque in manus novi istius Achab incideret, neque particeps fieret impietatis; sed post transitum nocturnæ illius confusionis, appareret nobis velut stella matutina; quod et factum vidimus. Etenim necessariis quibusdam ex causis ingressus est Byzantium; cumque ii qui in urbe reliqui erant monachi, denuo velut luminaria cœpissent conspici; comparuit tanquam a mortuis redivivus beatus, nam nec nobis quidem ipsis innotuerat (10), genitricis meæ fratrem adhuc superstitem esse.

ιζ'. Ἤκμαζε τηνικαῦτα ὁ χειμὼν τῆς ἀσεβείας, Κωνσταντῖνος ὁ δυσσεβὴς λογισμὸν, τὸ τῆς κακίας δοχεῖον, ὁ πολυκέφαλος δράκων, ὁ τῆς εἰκονομαχικῆς αἱρέσεως τριστάτης, ὁ τοῦ μοναδικοῦ τάγματος πικρὸς διώκτης, ὃς τίνα μὲν τῶν καθ' ἡμᾶς Ναζιραίων οὐκ ἐξηφάνισεν; τίνα δὲ κρυπτόμενον οὐκ εἰς μέσον ἤγαγεν; ποῖον δὲ ἀντιφερόμενον οὐ κατέσπασεν εἰς τὸ καὶ ἀσεβείας βάραθρον; ὡς εἴ πού τινα ἐναπολειφθέντα τῶν ἐπιφανῶν, ὥσπερ τινὰ σπινθῆρα ἐν ἀποβύστῳ τόπῳ κείμενον, ἐν νεκροῖς λελογέναι, παρὰ τῶν ἔτι ὑπὲρ γῆν ὄντων. Τοιοῦτος ὁ ἡμέτερος Ἠλίας, ὑπὸ Κυρίου φυλαττόμενος ἐν οἷς ἠσκεῖτο τόποις, καὶ μὴ εἰς χεῖρας ἄλοὺς τοῦ νέου Ἀχαὰβ, μηδὲ μετασχὼν τῆς ἐκείνου ἀσεβείας, ἵν' ἀναφανῇ μετα παρέλευσιν τῆς νυκτομαχίας, ἀστὴρ ἑωθινὸς ἡμῖν, ὅπερ καὶ γέγονεν. Ἐντεῦθεν διά τινα ἀναγκαῖα εἴσεισιν εἰς τὸ Βυζάντιον, ἄρτι ὥσπερ τινῶν φωστήρων ἐπιφαινομένων τῶν ἐπιλελειμμένων μοναστῶν τοῖς ἐν ἄστει.

18. Diffusa est autem adventus ejus fama non tantum inter cognatos et notos, sed per totam urbem Byzantinam; aliis alio ipsum trahentibus et benigne suscipientibus, atque salutari ejus doctrina frui cupientibus. Erat enim, ut qui maxime, suavis sermone, suavior moribus, ea autem forma quæ monachum commendat, et in doctrina varius; omnibus omnia factus, secundum Apostolum; conjugalis auctor temperantiæ, virginibus defensor, adhortator constitutorum in potestate, spiritu infirmorum medicus. Patribus filios concordes efficiebat, et filiis patres reconciliabat; servis suadebat, ut dominis essent morigeri; et hos inducedat ut illis facerent bene. Ut cætera porro omnia, quæ vir Dei faciebat dicebatque, cognosci possint, unum

ιη'. Καὶ ἐπείπερ ὡς ἐκ νεκρῶν ζῶν ἀνεγνωρίσθη ὁ μακαρίτης (οὐδὲ γὰρ ὅτι ὑπῆν ἡμῶν τῆς τεκούσης ὁμαίμων ἐγνωρίζετο), γίνεται περιδόητος οὐ μόνον σογγενεῦσιν, ἀλλὰ γὰρ καὶ πᾶσῃ τῇ Βυζαντίδι, ἄλλων ἀλλαχοῦ ἑλκόντων αὐτὸν, περιχαρῶς τε ἀσπαζομένων, καὶ φιλοφρόνως δεξιουμένων, καὶ ἀπολαυόντων διδασκαλίας προσηκούσης. Ἦν γὰρ ὅτι μάλιστα ὁ ἀνὴρ ἡδὺς τὸν λόγον, ἡδύτερος τὸν τρόπον, ἀσκητικὸς τὸ ἶδος, πολυειδὴς τὴν διδασκαλιαν, τοῖς πᾶσι τὰ πάντα, ἀποστολικῶς εἰπεῖν, γιγνόμενος, τῶν ἐν συζυγίαις σωφρονιστὴς, τῶν παρθενευόντων συνασπιστὴς, τῶν ἐν ἐξουσίαις παρακλητικὸς, τῶν ἀσθενούντων εἰς ψυχὴν ἰατρὸς, πατράσι τέκνα συμβιβάζων, πατέρας τέκνοις καταλλάσσων, δεσπόταις δούλους εὐνοιεῖν ἀντιβολῶν, καὶ τούτους ἐκείνοις εὐ-

[5] Act, xx, 34.

NOTÆ.

(9) Summa crudelitas Copronymi in monachos et sacras reliquias refertur a Theophane ad annum imperii ejus 31, Christi 772. Mortuus est Copronymus 14 Septembris anni 775. Successor ejus filius Leo regnavit usque ad annum 780, mortuus 8 Septembris.

(10) Indefinitius Sirletus : « Neque enim a cognatis superesse credebatur. »

ἐργέτας καθιστῶν. Τἄλλα ὅσα ὁ τοῦ Θεοῦ ἄνθρωπος ποιῶν τε καὶ λέγων γνωρίζεται, ἓν εἰπὼν εἰς σύστασιν τῶν εἰρημένων, πιστώσω τὸν λόγον. Ὅτιπερ ἀφ' οὗ ἐπεδήμησεν τοῖς ἐν ἄστει, ὅλους οἴκους μετέπλασεν, καὶ μετεστοιχείωσεν εἰς βίον ἐνάρετον. Τί δή τοῦτο; Ὅρκον ἐκκόψας τῇ παραινετικῇ αὐτοῦ γλώττῃ, καλλωπισμοὺς συστείλας τῇ εὐκόσμῳ διδασκαλίᾳ· φιλοπτωχίαν ἐμποιήσας τῇ ἠθικῇ ὑφηγήσει, ἐξ ἧς κένωσις χρημάτων καὶ διανομαὶ ἐφ' οὕς ἠσκεῖτο τόπους δημόσιοι. Πρός τε ἀνάγνωσιν ῥυθμίσας, καὶ πρὸς ὁτιοῦν τῶν καλῶν εὖ ἐπανάγων, καὶ ταῦτα ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας, τληπαθῶν, ἀγρυπνῶν, πεζοπορῶν, ταῖς παρὰ τῶν φίλων καὶ συγγενῶν δεξιώσεσιν, ἀνταλλάσσων τὰς παρ' ἑαυτοῦ κακοπαθείας, ἔργῳ τὸ τοῦ Ἀποστόλου φθεγγόλόμενος· Ὑποπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

ιθ'. Ἤρεν τοιγαροῦν σύσσημον τῇ βασιλιζούσῃ, τον λόγον ὑπὸ τοῦ βίου μαρτυρούμενον ἔχων, κἀξ αὐτοῦ τοῦ εὐτελοῦς καὶ ἀπερίττου σχήματας, παράκλησις εἰς ἀρετὴν τοῖς ὁρῶσι γινόμενος· εἰ δὲ ὅτι πολιτικὸς ἦν ἔν τισι γλυκαίνων τὴν φράσιν πρὸς τὸ τῶν ἀκουόντων ἰδιότροπον, ὁράτω τις τὸν καρπὸν, καὶ μὴ μεμφέσθω τὸν τρόπον. Τίς δὲ οὗτος; Ὁ τῶν ἁμαρτανόντων μετάμελος, καὶ ὁ τῶν ἀποτασσομένων τοῦ βίου ὅμιλος· πρῶτος γὰρ καὶ μόνος σχεδὸν εἰπεῖν πτερωτὴς τῶν τοῦ γένους καὶ τῶν ἔξω γένους, ὁ τῆς ὁσιότητος ἐρασὴς ἡμῶν δέδεικται. Διὰ ταῦτα καὶ προστατεῖν μοναστηρίου ἀστικοῦ ἀναγκάζεται μὲν οὐ καταπείθεται δέ· καὶ ἄρχειν τῆς Νικομηδέων Ἐκκλησίας ὑπὸ τοῦ τηνικαῦτα προέδρου προτρέπεται μὲν, οὐ συνέρχεται δὲ, φεύγων τὸν κλῆρον ὁ τούτου ἄξιος, καὶ τὸ τῆς ἱεραρχίας ὕψος δεδιὼς ὁ τὴν ἀρετὴν μετέωρος. Διὸ καὶ πρὸς τὴν φίλην αὐτῷ ἡσυχίαν ἐπάνεισιν, κἀκεῖ καθιστᾷ μνήμης ἄξια, πτωχῶν προϊστάμενος, ἀδικουμένων ὑπερασπιζόμενος, θλιβομένους παραμυθούμενος, καὶ θλίψιν οἵαν βούλῃ πιεζομένους θεραπεύων, τοῦτο μὲν διὰ γλώσσης καὶ μέλανος, ἐπεὶ μὴ εἶχεν ἄλλῳ τινὶ φαρμάκῳ ἐπαμύναι τῷ προσιόντι, καὶ ἴσχυέν γε τὸ γράμμα ὡς δῶρον αἰδοῖ τοῦ ἀνδρὸς, κάμπτων πρὸς οἶκτον τὸν ἐλεεῖν δυνάμενον.

κ'. Τοῦτο δὲ καὶ ἐξ ὧν εὐπορεῖτο ἡ χεὶρ ἐπιδιδόναι. πληρούντων αὐτὴν τῶν καλῶς τὰ ἐνόντα κενούντων ἐπὶ μεθέξει τῶν ἀκενώτων καὶ αἰωνίων. Εἰ δὴ μηδ'

A dicam, quod fidem præstet reliquis: videlicet quod ex quo cum civibus versari cœpit, totas reformavit familias, et ad virtutis cultum convertit. Qua ratione? inquies. Jurandi consuetudinem exscindendo communi notoria sua lingua: reprimendo corporis ornatum superfluum, sua ornatissima doctrina, dissertatione morali inculcando amorem pauperum, unde largitiones pecuniariæ et eleemosynarum distributiones publicæ, per loca in quibus exercebatur; ad lectionem denique piam et ad quidquid est bonorum operum inducendo, idque in pressura et fatigatione, diu noctuque laborans, vigilans, discurrens, ut accepta ab amicis cognatisque hopitalitatis solatia æquaret tolerantia ærumnorum, ipso opere cum Apostolo protestans: *Castigo corpus meum et in servitutem redigo; ne posteaquam*
B *aliis prædicavero, ipse reprobus efficiar* [6].

19. Sustulerat ergo publicum regnatrici civitati signum, habens sermonem, cui vita congrua præberet testimonium: adeo ut, ex ipsa vili abjectoque habitu videntibus esset ad virtutem hortator. Quod si, quia urbanus erat, suavitate quadam condiebat dictionem, ut se aptaret audientium genio; consideretur fructus, et non vituperabitur modus. Quis autem iste? Peccantium resipiscentia et sæculo renuntiantium multitudo. Primus namque et solus, ut si dicam, fuit, qui generi nostro, eisque qui extra illud erant alas addidit ad virtutem, nosque ad amorem perfectionis induxit (11). Propterea
C instanter rogatus urbani cujusdam monasterii præfecturam suscipere, omnino renuit, et ab eo qui tunc erat patriarcha (12) ad Nicomediensium Ecclesiam regendam invitatus obsequi noluit. clericatum fugiens, quo erat dignissimus; et hierarchicum formidans fastigium, qui solam suscipiebat virtutem. Revertit autem ad dilectam sibi solitudinem, et ibi res fecit memoria dignas, pauperes defendens, injuste oppressos propugnans, tribulatos consolans, et quamcunque afflictionem patientibus subveniens; idque vel sermone vel epistola propter viri reverentiam, instar muneris efficax ad flectendum eum qui poterat misereri.

20. Ex iis quæ ad manum erant replentibus eam illis qui substantiam suam credebant bene exhauriri, propter desiderium inexhaustorum æterno-
D

[6] I Cor. ix, 27.

NOTÆ.

(11) Michael in Vita S. Theodori ista explicat: « Plato sanctissimus Theodori nostri avunculus, iis quibuscum ageret gratissimus, multos ad cœlestis philosophiæ studium pellexit: imprimis autem egregium hunc Theodorum, suum ex sorore nepotem, qui et ipse jam dudum per se ut dicitur, cœperat philosophari. Quin ipsos quoque Theodori parentes et fratres, Josephum et Eutymium, cum parva sorore, et suos ipsius fratres adjecit Plato, qui numero item tres erant. Hos omnes tanquam ex composito communi vitæ cælibem anteponentes, deducit ille secum et disciplina imbuit præstantiore. At illi confestim ei opes et divitias et cæteras facultates pauperum sinibus ingerunt, servos innumerabiles in libertatem vindicant, Deumque secuti ac ducentem Patrem, Byzantium reliquunt. « Hæc ibi: quæ sub Leone Chazares cœpta, sub Irene peracta sunt, quando pariter omnes ad Sacudionis monasterium secessere, ut mox sequenti capite dicetur.

(12) S. Tarasium CP. patriarcham intelligo: qui cum piissima Irene orthodoxiam restituit, dabatque operam ut Ecclesiæ quæ sub Iconomachorum tyrannide, vel episcopis orbatæ mœrebant, vel hæreticis traditæ, lupos pro pastoribus alere cogebantur, his ejectis, legitimos et orthodoxos sortirentur.

rumque bonorum satagebat largiri, ut poterat, aut saltem consolando dolorem eximens, exasperatum mœrore animum leniebat prolixiori confabulatione. Quid mirum? Poterat cum venerando Job dicere: *Salvum faciebam egenum de manu violenti, et orphanum cui non erat adjutor: benedictio perituri super me veniebat, et cor viduæ consolatus sum: causam, quam nesciebam, diligentissime investigabam* [7]. Quapropter agnoscebatur ut pater, laudabatur ut protector, benedicebatur ut curator, visebant, occurebant, suscipiebant eum tam qui solitariam quam qui communem profitebantur vitam (13); et ultra quæ incolebat loca differebatur ejus fama, cum in omnium ore esset Plato, velut res maxima atque dignissima: quem profecto nec futura silebunt tempora, cum virtus res sit immortalis.

A ἑτέρῳ. παρακλήσει ἐξαίρων τὸ ἄλγος, καὶ μακροτέρᾳ διερωτήσει ἀπαλύνων τὴν τραχυνομένην καρδιαν τοῦ κάμνοντος. Τί θαυμαστὸν πρὸς ταῦτα, καὶ αὐτὸν μετὰ τοῦ ἀοιδίμου Ἰὼβ ἐκεῖνα λέγειν· Διέσωσα πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ ὀρφανῷ οὗ οὐκ ἦν βοηθὸς ἐβοήθησα, στόμα δὲ χήρας με ηὐλόγησεν, δίκην δὲ ἣν οὐκ ἤδειν ἐξιχνίασα· ὧν ἕνεκεν καὶ ὡς πατὴρ ἐγνωρίζετο, καὶ ὡς προστάτης ἐμεγαλύνετο, καὶ ὡς κηδεμὼν ἐμακαρίζετο, ὁρώμενος, ἀπαντώμενος, ξενιζόμενος, παρὰ μονασταῖς, παρὰ μιγάσιν, εἰς τὰ ὑπερέκεινα ὧν ἠσκεῖτο τόπων τῆς περὶ αὐτοῦ φήμης διαδραμούσης, καὶ πάντων τὸν Πλάτωνα ἐν ταῖς ἑαυτῶν γλώσσαις, ὡς μέγα τι καὶ ἀξιάγαστον χρῆμα, ἐπιφερόντων· ὃν καὶ ὁ μέλλων χρόνος εὖ οἶδ' ὅτι οὐ σιγήσειεν, εἴπερ ἀρετὴ B πρᾶγμα ἀθάνατον.

CAP. IV.

ΚΕΦΑΛ. Δ'.

Præficitur Sacudionis monasterio Plato, et pro veneratione sanctarum imaginum agit in concilio.

21. Nunc commemoranda nobis venit Christianissima Irene, pacifica, juxta sui nominis etymon, imperatrix; in qua hoc præter alia laudendum venit, quod sub ea sit aperta janua volentibus vitam monasticam amplecti, ante hac regnantibus impiis haud minus clausa sub ethnicis erat ad Christianismum. Tunc universa nostra familia renuntiavit sæculo: tunc celeberrimus Pater noster post quietem solitudinis suscepit prælaturam: suscepit, inquam, nec volens nec cupiens (quomodo enim, qui maximas fugerat, dignitatum minimarum desiderio teneretur?), sed partim consanguineorum precibus emollitus (dicam enim quod res est, etsi paulo id C inconcinnius videatur), partim confidens, quod vel in ipsa præfectura posset pristinam quietem conservare: sed hoc nequaquam ut sperabat obtinuit; multæ enim tentationes ei ex hoc capite provenerunt: a quibus vero et per quos eæ fuerint suscitatæ, personarum respectu dicere prætermitto: hoc tantum significo, quod vitam molestiis plenam a suoque instituto et proposito alienissimam duxerit.

κα'. Ἀλλ' ἦκεν ἡμῖν ἡ χριστοφόρος Εἰρήνη, ἡ φερωνύμως βασιλεύσασα, ἐν ᾗ μετὰ τῶν ἄλλων καλῶν καὶ ἡ τσῦ μονάζειν παντὶ τῷ βουλομένῳ ἠνέῳκτο θύρα, πάλαι ὑπὸ ἀσεβοῦς βασιλείας κεκλεισμένη, καθάπερ ὑπὸ Ἑλληνιζούσης το Χριστιανίζειν. Ἐντεῦθεν ἡ περὶ ἡμᾶς μὲν πανέστιος ἀποταγὴ, τοῦ δὲ πανεσφήμου Πατρὸς ἡ μετὰ τὴν ἡσυχίαν ἡγεμονία, οὐ βουλομένου μὲν, οὐδὲ ὀρεγομένου ἄρχειν (πῶς γὰρ ἂν ὁ τὰς μεγίστας φυγὼν ἐρχὰς ἐφέσει τῶν ὑφειμένων ἡλίσκετο) ἀλλὰ τὸ μὲν κατακλασθεὶς ὑπὸ τοῦ αἵματος (εἰρήσεται γὰρ τ' ἀληθὲς, εἰ καὶ τραχύτερος ὁ λόγος), τὸ δὲ καὶ ἐλπίσας τὴν αὐτὴν ἴσχειν ἡσυχίαν, κἂν τῇ ἡγεμονείᾳ, ὅπερ οὐχ οἷόν τε. Οὐδὲ γὰρ ζητήσας εὗρε τὸ ἐλπιζόμενον· κἀντεῦθεν αὐτῷ οἱ πολλοὶ πνεύσαντες πειρασμοί· τὸ δὲ ὑφ' ὧν καὶ δι' ὅτ, ἀφίημι λέγειν, αἰδοῖ τῶν προσώπωτ, πλὴν ἕλκει βίον ὀδυνηρόν τε καὶ ἀνώμαλον, καὶ τῆς οἰκείας ἕξεως ἀναρμόδιον.

22. Quid autem fecit generosi animi rectique consilii vir? Postquam ad prælaturam raptum se vidit, neque eam effugere (quamvis de hoc sæpius deliberaret) citra periculum posse; quemadmodum gubernator prudens, in medio circumstrepentis procellæ constitutus, omnem animi torporem a se excussit: et mentis oculos sursum attollens, investigare cœpit vivorum sanctorum vitas, non ad D recentia exempla respiciens (hæc enim plerumque distorta confusaque sunt), sed ad archetypam apostolicæ vitæ imaginem, quod facere oportet omnes eos qui perfectæ virtutis simulacrum exprimere in se cupiunt, et vitam volunt ad similitudinem Patrum atque ad salutem instituere.

κβ'. Ἀλλὰ τί ποιεῖ ὁ γενναῖος ἐκεῖνος ὄντως καὶ εὐθύβουλος; Ἐπειδὴ ἑώρα ἑαυτὸν ἁλωκότα τῇ προστασίᾳ, καὶ φυγεῖν ταύτην οὐκ ἀκίνδυνον, καίπερ πολλάκις βουλευσάμενος, οἷά τις οἰακοστρόφος, ἐν μέσῳ κκύδωνος περιζέοντος, τὸ τῆς ψυχῆς ὀκνῶδες ἀποσεισάμενος, καὶ τὸ τῆς διανοίας ὄμμα ὑψιφρόνως ἀνατείνας, ἰχνηλατεῖ λοιπὸν τοὺς τῶν μακαρίων ἀνδρῶν βίους· οὐ πρὸς τὰ προσεχῆ παραδείγματα βλέπων, ἐπεὶ λοξᾶ καὶ συγκεχυμένα, πρὸς δὲ τὴν ἀρχέτυπον εἰκόνα τῆς ἀποστολικῆς ζωῆς ἀποσκοπῶν (ὃ δεῖ πάντας τοὺς τῆς ἀρετῆς γραφέας ποιεῖν, εἴ γε μέλλοιεν Πατροείκελον καὶ σωτήριον τὸν ἑαυτῶν βίον ἀπεργάζεσθαι), πρῶτον τοῦτο ποιεῖ, καὶ λίαν νεανικῶς.

23. Primum autem hoc fecit, et quidem admo-

κγ'. Εἰς τὰς τοῦ μεγάλου καὶ θεοφόρου βασιλείου

[7] Job. v, 13; xxix, 12, 16.

NOTÆ.

(13) Græce μιγάδες. Sirletus *conjugatos* vertit, et μονασταῖς, monachis, eos opponit.

νομοθεσίας εἰσελθών, ὡς ἐν παραδείσῳ, καὶ εὑρὼν ἐναντιουμένην τῇ μοναδικῇ πολιτείᾳ τὴν ἀνθρωπίνην συνήθειαν, πρὸς τῷ τοῦ θήλεως ζώῳ δούλαις τὰ κοινόβια διοικούμενα, κἀντεῦθεν πολλὰς τὰς ἀτοπίας τικτομένας, μείζους δὲ τὰς ψυχικὰς ζημίας ὑφισταμένας, ὅρα τί ἐργάζεται. Ἐπερωτήσεσι πρότερον χρησαμένος παρὰ τῶν εὖ εἰδότων, ὡς ἂν μηδὲ αὐτὸ τὸ καλὸν ἀβασάνιστον εἴη (τῆς γὰρ αὐταρεσκείας πόρρω νεύων, οὐκ ἦν τι, ὃ μὴ συμβουλίαις διεπράττετοι, καινοτομεῖ τὰς ἐκνόμους παραδόσεις ὡς φιλοκάκους αἱρέσεις, καὶ καθιστᾷ τὸ ἑαυτοῦ μοναστήριον ἄτερ δούλων, ἔξω τοῦ θήλεως ζώου δίχα ἐμπορικῆς ἄλλης προσόδου, ἅτινα καπηλικὰ κέρδη ὁ αὐτὸς θεῖος Βασίλειος ὀνομάζων, φευκταῖα εἴρηκεν. Γίνεται δὲ ἡ κατόρθωσις οὐκ ἀμογητί, ἀλλὰ γὰρ καὶ λίαν περιστατικῶς ἐκ τῶν ευνασκουμένων ἀηθῶν ὄντων, καὶ ἐκ τῶν ἔξωθεν ἀντιπραττόντων τῷ ἀγαθῷ σκοπῷ, οὐκ ὀλίγων ὑπαρχόντων. Καὶ οὐ θαυμαστόν· ἐπεὶ μηδὲ συνήθειαν περικόψαι τῶν ῥᾴστων καὶ εὐπετῶν, μηδέ τι ἀνεπίφθονον τῶν ἐπαινετῶς ἐλουμένων. Ἆρ' οὖν οὐχ ὑπερανεστώσης διανοίας ἀπορράγῆναι ἐπιβλαβοῦς παραδόσεως, καὶ τοιοῦτον προθεῖναι ἑαυτὸν ὑπόδειγμα καλὸν τοῖς βουλομένοις μὴ μόνον ὀνόματι, ἀλλὰ καὶ πράγματι μονάζειν, καὶ οἰκεῖον τῷ βίῳ καὶ τὸ ἔργον ἔχειν. Πῶς γὰρ ἂν μοναστὴς ἀληθινὸς, ὁ δεσποτείας φόβον δούλοις ἐπαναπειθόμενος; ἢ πῶς ἀγοήτευτος τὴν ὅρασιν ὁ ἐκ θεωρίας τοῦ συνόντος αὐτῷ ὑπουργικοῦ θήλεως ἀσκητὴς καθυπηρετούμενος; ὅπουγε καὶ τούτου ἐκτὸς ὑπάρχων, τῷ ἐμφυλίῳ πολέμῳ συνδέδηκεν ἀλίσκεσθαι. Ἤψατο τοιγαροῦν ὁ ζῆλος τῶν ἐγγύθεν, καὶ μετέλαβον τοῦ ἀγαθοῦ οἱ φιλόθεοι πόρρωθεν, κἀκεῖνος τὸ κλέος διαιωνίζον ἀπηνέγκατο. Εἰ δὲ καὶ ἄλλον ἔσχεν συναγωνιστήν τε καὶ συλλήπτορα, φημὶ δὴ τὸν ταῦτα λέγοντα καὶ γράφοντα, τῷ Πατρὶ τὴν χάριν ἀνεκτέον· παιδὶ γὰρ προσήκει τὸ πάντα πατρώζειν, καὶ ὅλον ἑαυτὸν ἐμπαρέχειν τῷ γεννήτορι.

κδ'. Ἔπειτα περιστέλλει ἑαυτὸν ἐκ τῶν ἐν ἄστει προόδων, ἐκ συνουσίας ἀγχιστευόντων, ἐκ συνδιατριβῆς ἀρχόντων, εἴσω τῆς πνευματικῆς αὐλῆς ἐρηρισμένον ἔχων τὸν πόδα· ἐπιστατεῖ τοῖς λογικοῖς θρέμμασι, διατρέφων διδασκαλίας πόᾳ, καὶ ναματίζων κατηχήσεως ῥείθρῳ· ἐξ οὗ τί γίνεται; Εὐθαλεῖ ἡ Λία, αὔξει τὸ ποίμνιον, γίνεται περιβόητον, δοξάζεται ὁ ἅγιος θεὸς, παρ' οὗ πᾶν ἀνθρώποις τὸ κατορθούμενον. Ἀλλ' οἷόν με ἐν μέσῳ τῶν εἰρημένων λαθὼν μικροῦ δεῖν παρέδραμεν! Ἤδη κρατησάσης τῆς εὐσεβοῦς Εἰρήνης, καὶ πολλῶν λόγων βαλλόντων καὶ

A dum strenue. In magni atque divini Basilii Regulas, velut in paradisum ingressus, et inveniens monasticæ conversationi contrariam esse consuetudinem humanam, qua inductum erat, ut propter feminei generis animalia ancillæ in monasteriis habitarent (14), unde multa proveniebant incommoda, et plures quoad spiritum molestiæ, vide quid egerit. Auditis peritiorum sententiis, ut ne ipsum quidem bonum temerarie ageret (procul enim remotus ab arrogantia, citra consultationem faciebat nihil), abscidit illegitimas traditiones velut pestiferas, hæreses, suumque monasterium habendum constituit absque mancipiis, absque feminei sexus animalibus, absque omni alio mercatorio proventu quæ cauponaria lucra idem divinus Basilius appellans, fugienda esse dixit. Inducta est autem hæc B reformatio haud sane facile, sed perquam ægre tum propter cohabitantes inexpertos, tum propter externos bonæ isti intentioni repugnantes : qui non erant pauci. Neque id sane mirum ; quia non est facile aut expeditum consuetudinem exscindere, neque invidia carent præclari conatus. Nunquid enim præcelsæ mentis est recedere a noxia traditione, seque ipsum ponere in exemplum bonum, volenti solitarie vivere, non solum nomine, sed etiam re, et professioni congruum opus habere? Quomodo autem vere solitarius erit, qui dominationis mancipiis incutit? Quomodo castos habebit oculos ascetes ille, qui mulieris sibi cohabitantis utitur ministerio? cum etiam contingat aliquos, extra hoc discrimen positos, capi. Accensa est ergo vicinorum æmulatio, et ad longius positos Dei amatores C participatio boni inventi pervenit ; ipse vero æternam sibi comparavit gloriam. Quod si alium habuit consilii atque laboris socium, ipsum qui hæc dicit et scribit, omnis ad Patrem referenda est gratia : decet enim filium in omnibus assimilari patri, seque totum formandum tradere genitori.

24. Postea sequestravit se ab urbanis circuitionibus, a conversatione habitantium civitates, a familiaritate virorum principum, intra spiritualem aulam fixum retinens pedem ; ubi rationali intendebat gregi, pascens eum doctrinæ gramine, et potans flumine instructionis. Unde factum est, ut fecundo germine prolificaret Lia, grex augeretur et celebris fieret, Deus autem, ut sanctus, laudaD retur, a quo hominibus omne bonum provenit. Sed quale illud est quod in medio dicendorum latens parum abfuit quin præterirem. Cum jam regnaret

NOTÆ.

(14) Græce est πρὸς τῷ τοῦ θήλεος ζώῳ δούλοις τὰ κοινόβια διοικούμενα, et infra καθιστᾷ τὸ ἑαυτοῦ μοναστήριον ἔξω τοῦ θήλεος ζώου, quæ Sirletus, longissime aberrans a mente auctoris, sic Latine reddidit. *Cum feminarum cœnobia gubernarentur a servis maribus*, et infra, *suumque monasterium constituit remotis servis ac mulieribus*. Existimo levi correctione fieri posse, ut et feminas removisse a suo monasterio sanctus intelligatur, et animalia quorum causa illæ adhibebantur ; et hanc esse mentem genuinam auctoris, qui de mulierum cœnobiis nec cogitavit quidem cum hæc scriberet, patebit examinanti. Ergo τὸ τοῦ θήλεος ζῶον intelligo femini sexus animalia, vaccas, oves, capellas et quæ etiam in monasteriis aluntur ad fœturam, itemque ad lactis et casei proventum : atque pro δούλοις, lego δούλαις. quod autem διοικεῖν non solum gubernare, sed etiam habitare significet, palam est. Dissimulo cætera hic consequenter minus apte reddita.

pientissima Irene, et circa quæstionem de venerandis imaginibus in utramque partem multa jactarentur, ante multos et cum paucis libere veritatem profitetur; pugnat quantum potest contra Iconomachos. Quamvis enim non esset dogmaticus, sed simplici uteretur sermone; eum tamen habebat copiosum (juxta nominis sui, a latitudine sumpti, proprietatem) et persuasioni perquam idoneum. Cujus rei argumentum est, quod in ea quæ ad sanctos apostolos coacta est synodo (15), ab eo qui tunc erat patriarcha electus ipse sit, qui poneretur in cathedra metropolis omnium illustrissimæ, et sicut antea non timuerat minas faventium hæresi, sic neque tunc formidavit prohibitionem incursumque ordinis militaris, quando is impetum fecit in magnum illud templum, insanis clamoribus patriarchæ obstrepens, et pseudosynodum laudans olim adversus imagines habitam. Paulo post, cum dissolutus esset cœtus ille, pro veritate stabilienda collectus, evasit imperatrix, velut e medio leonum, facta, ut sic loquar, circa sanguinem martyr; et hegumenus noster patriarcham secutus, propter ea quæ fuerant audacter designata non fuit perterritus: moxque inventus est in secunda Nicæna synodo, quia dissipata tunc fuit plebs illa tumultuosa et pervicax.

A βαλλομένων περὶ τῆς τῶν σεπτῶν εἰκόνων ὑποθέσεως, παῤῥησιάζεται πρὸ τῶν πολλῶν καὶ σὺν ὀλίγοις τὴν ἀλήθειαν, μάχεται τοῖς εἰκονομαχοῦσιν καθ-ὅσον οἷόν τε, ἐπεὶ μηδὲ δογματικὸς ἦν, ἀλλ' ἁπλοῦν μὲν τὸν λόγον, εὐρύχωρον δ' ὅμως φερωνύμως καὶ πειθήνον [f. πειθανὸν] ἔχων. Ἀπόδειξις τῶν εἰρημένων, τὸ ἐν καθέδρᾳ μητροπόλεως τῶν ἐπιφανῶν, ἐν τῇ κατὰ τοὺς ἁγίους Ἀποστόλους συνόδῳ, παρὰ τοῦ τηνικάδε προεδρεύοντος κατ' ἐκλογὴν τεθῆναι τὸν ἄνδρα, οὔτε πρότερον πτοηθέντα τὰς ἀπειλὰς τῶν αἱρετιζόντων, οὔτε τηνικαῦτα ὑποπτήξαντα τὴν ἀποτροπὴν καὶ ἐπιδρομὴν τοῦ στρατιωτικοῦ τάγματος, ἡνίκα ὥρμησεν πρὸς τὸν μέγαν νεὼν, καταβοῶν τοῦ προέδρου καὶ ἀνευφημῶν τὸν κατὰ τῶν σεπτῶν εἰκόνων ψευδοσύλλογον. Καὶ μικρὸν ὕστερον, ὁπότε διελύετο τὸ B τῆς ἀληθείας ἄθροισμα, καὶ ὡς ἐκ μέσου λεόντων ἡ βασίλισσα ὑπεξῆει, ἄνευ αἵματος, ὡς εἰπεῖν, δειχθεῖσα μάρτυς, καὶ ὁ ἡμέτερος καθηγητὴς τῷ ἀρχιερεῖ συνεπόμενος, οὐδὲν ἐπὶ τοῖς τετολμημένοις ἐδεδοίκει· μικρὸν γάρ ἐστι τὸ ἐν τῇ Νικαέων συνόδῳ ἐκ δευτέρου εὑρεθῆναι, διὰ τὸ ἐκ μέσου τότε γεγονέναι τὸν ἀτίθασον λαὸν καὶ ἀτεράμονα.

25. Postquam hæc sic gesta et orthodoxiæ trophæum erectum fuit; ad suum monasterium revertit beatus, exercendæ prælaturæ vacans: ubi prolapsus in morbum, qui mortis indicia præ se ferebat (16), ac velut insperato gavisus lucro, regiminis onus in nos transfert, nec dignos quidem qui ab ipso regeremur. Invenit ergo concupitam humilitatem, accepit inducias molestiarum, liberatus est a circumdantibus se vexationibus, apparuitque idem qui antea nec pecuniæ, nec possessionum, nec negotiorum appetens, cum jam non haberet invidia amplius occasionem obnubilandi radios virtutis ejus. Nam et viri justi tentantur, ut ex ipsa malorum tentatione auro similiores evadant quoad animam, recteque incedentes non labascant, et discant quidquid a se bene geritur esse ex Deo.

κε'. Ἐπειδὴ δὲ ταῦτα οὕτω καὶ τὸ τῆς ὀρθοδοξίας τρόπαιον ἐκρατύνθη, ἐπανῆκεν ὁ Πατὴρ εἰς τὸ οἰκεῖον φροντιστήριον, ἐχόμενος τῆς προστασίας· καὶ βληθεὶς νόσῳ, ἀπόγνωσιν ζωῆς ὑποδηλούσῃ τῷ ἐρ-C μαίῳ τῆς ἐπιθυμίας, μετατίθεται τὴν ἀρχὴν ἐφ' ἡμᾶς, τοὺς μηδὲ τοῦ ἄρχεσθαι ἀξίους. Εὑρίσκει οὖν τὴν ποθουμένην ταπείνωσιν, λαμβάνει ἀνακωχὴν τῶν λυπηρῶν, λύεται τῶν συνεχόντων ἐπηρειῶν, ὀφθεὶς οἷος ἦν τὸ πρότερον, ἀφιλάργυρος, ἀφιλοκτήμων, ἀφιλοπράγμων, τῆς δυσμενείας οὐκ ἐχούσης χώραν ἔτι συννεφεῖν τῆς ἐκείνου ἀρετῆς τὴν ἀκτῖνα· πειράζονται γὰρ καὶ δίκαιοι, ὡς ἂν τῇ πυρώσει τῶν λυπηρῶν χρυσοειδέστεροι τὰς ψυχὰς γένοιντ' ἂν καὶ μὴ ὑπολισθαίνουσιν εὐθυποροῦντες, ὡς ἂν μάθοιεν παρὰ Θεοῦ αὐτοῖς εἶναι πᾶν τὸ κατορθούμενον.

NOTÆ.

(15) « Anno 6 imperii Constantini et Irenes, die 17 Augusti, indictione 9, anno Christi 785, cœpta illa synodus. Sed scholariorum et excubitorum D copiæ, nudatis gladiis, impetum in eos fecere; mortemque tam ipsi patriarchæ, quam orthodoxis episcopis, et monasteriorum præpositis inferre minati sunt. » Ita Theophanes. Patriarcha erat S. Tarasius, in cujus Vita 25 Februarii, num. 17, eadem latius dicuntur. Hallucinatus est autem in signiter Sirletus, quando pro Constantinopoli quæ hic μητρόπολις τῶν ἐπιφανῶν dicitur, id est illustrium urbium metropolis, finxit urbem metropolitanam Epiphanorum, in quas synedus convocata fuerit. Neque in hoc tantum hallucinatus est nimis festinus interpres: sel semel sibi imaginatus pseudosynodum aliquam, in qua non ad dicendum e cathedra honorifice invitatus, sed ad disputandum fuerit insolenter provocatus Plato; consequenter de Platone dicit, adversus præsidem clamavisse, et vituperasse impiam synodum: cum ἀνευφημεῖν significet contrarium, idque dicatur de militibus laudantibus pseudosynodum, habitam sub Copronymo. Huic autem principio consona sunt quæ sequuntur cætera. Cœpta ea synodus 8 Kalend. Octobr., indict. 11, anno 787., desiit 3. De ea Michael in Vita Sancti Theodori: « Convenerunt ex variis Patres trecenti numero et quinquaginta, inter quos adfuit et Plato: » et subscribit ipse, Πλάτων ἡγούμενος Σακουδιῶντο. Plato hegumenus, seu præpositus Sacudionis. De hoc monasterio ista habentur in Vita S. Theodori: «Cum agrum quemdam ex suis Boscycium nomine ad sacram mansionem abdicasset, cui et oratorium inerat Sacudionis cognomento, illuc omnes quos ante retulimus, se una recipientes, Deo promissa reddere et implere properabant. » Describitur dein amœnitas loci in olive inter arbores, aquas, et campos siti: nec procul videtur Constantinopoli abfuisse.

(16) In eadem Vita dicitur extrema sibi instare simulasse, et sic, conspirantibus suffragiis, Theodorum electum fuisse.

ΚΕΦΑΛ. Ε'.

CAP. V.

Quæ passus sit Plato ob reprehensum Constantini et Theodotes adulterium.

κζ'. Ὁ μὲν οὖν τῆς καθηγήσεως τρόπος, ἤδη πεπέρασται· τρέψομαι δὲ τὸν λόγον ἐπὶ τὸ διαβοητότερον. Ἀλλ' οἴμοι! στένειν πάρεστιν, ὁρμωμένῳ μὲν τ' ἀληθῆ φρᾶσαι, ἀναινομένῳ δὲ τὴν διήγησιν φειδοῖ τῶν δεδρακότων· Ὅμως ἐπεὶ μὴ οἷόν τε ἄλλοις φανερῶσαι τὰ κρυβῆναι μὴ ὀφείλοντα, καίπερ πανταχοῦ διαθρυλλούμενα, ἐπὶ τὴν δήλωσιν ἐλεύσομαι· οὐ θριαμβεύειν τοὺς δράσαντας βουλόμενος, ὅσον στηλογραφῆσαι τὴν ἀρετὴν τοῦ ἀειμάκαρος. Οὐαί σοι, πόλις, φησὶν, ἧς ὁ βασιλεύς σου νεώτερός ἐστιν, τῆς Γραφῆς πάλαι μὲν ἀκήκοα, νῦν δὲ ἐν πείρᾳ γεγένημαι. Κωνσταντῖνος, ὁ τῆς Εἰρήνης ῥάδαμνος, οὗ ἡ πίστις μὲν ὀρθὴ ἐκ μητρικῆς εὐσεβείας ἐσφραγισμένη, ὁ βίος δὲ σκαμβὸς ἐξ αὐτοκρατορικῆς ἀκολασίας οἰστρηλατημένος· ἄρτι γὰρ κρατήσας ἐν νεαζούσῃ ἡλικίᾳ, ὁμοῦ μὲν τῆς μητρῴας αἰδοῦς καὶ φυλακῆς ἀφηνιάσας, ὁμοῦ δὲ τῶν τοῦ Θεοῦ νόμων ὑπερφρονήσας, ἐκβαλὼν τὴν νομίμως αὐτῷ συναφθεῖσαν γυναῖκα, μοιχεύει κατὰ τὸν Ἡρώδην. Ἀλλὰ τίνος ἕνεκεν ἡ ἱστορία; Ὅτι τοῦ Προδρόμου ὁμόζηλος καὶ ὁ ἡμέτερος καθηγητὴς πεφανέρωταί πως, πάντων σχεδὸν συνελθόντων τῇ παρανομίᾳ, μόνος, ὡς εἰπεῖν, οὗτος σὺν τοῖς ἑαυτοῦ παισὶν εἴτ' οὖν φοιτηταῖς ἀκλόνητος διαμένων, ὑπὲρ οὗ ὅσα καὶ ἡλίκα δι' ὅλου ἔτους τὰ ἀγωνίσματα, ἀκοαὶ ἐπ' ἀκοαῖς, ἀπειλαὶ ἐπ' ἀπειλαῖς, μαστίγων, ἐξοριῶν, ἀκρωτηριασμῶν.

A 26. Quomodo prælaturam gesserit sanctus Plato jam dicendo absolvimus: quare ad id quod celebrius fuit orationem convertamus. Sed hic prope adest ut ingemiscam, veritatem quidem picere aggrediens, invitus tamen rem ut acta est narrans, dum iis parcitum cupio qui ipsam egerunt. Quando tamen possibile non est aliter manifestare ea quæ minime occultari debent, quoniam ubique vulgata jam sunt, exordior ipsa hic describere; non ut iis qui impliciti fuere insultem, sed ut beati virtutem deprædicem. *Væ tibi, terra,* inquit ille, *cujus rex puer est*[8]! quod autem olim ex Scripturis audivi, nunc ipsa didici experientia. Constantius, Irenes surculus, cujus recta quidem ex materna pietate fides fuit, vita autem depravata, tanquam œstro B stimulabatur imperatoria insolentia, cum in ætate admodum juvenili regnare cœpisset, simul et maternæ reverentiæ custodiæque frenum excutiens, et Dei legem contemnens, ductam legitimis nuptiis conjugem repudiavit, et Herodis instar mœchatus est (17). Hoc autem quo spectat? Quia zelum Prodromi palam est imitatus Pater noster; cumque fere omnes iniquitati consentirent, solus ipse, ut sic dicam, cum pueris sui, seu mavis filiis, inconcussus perstitit: quamobrem quæ et quanta non fuerunt per totum unum annum subeunda certamina! rumores supra rumores, minæ supra minas, verberum, exsiliorum, mutilationum.

κζ'. Ὡς δὲ οὐδὲν ἐντεῦθεν ἠνύετο τῶν σπουδαζομένων τῷ Καίσαρι, ἐφ' ἕτερον μέτεισι τρόπων· καὶ ἦν τὸ μὲν δρᾶμα κατὰ τὸ φδόμενον ἑτέρων, ἡ δὲ χεὶρ Ἀβεσσαλὼμ ἡ τοῦτο πρακτεύουσα. Ἵστε τοὺς παρπεμφθέντας μονάζοντας, καὶ τὰ σταλέντα γράμματα. Καὶ τέλος ἐπειδὴ καὶ ταῦτα ἕωλα καὶ ἀβέβαια, τοῦ Πατρὸς τὰ δέοντα ἀντεπιφέροντος καὶ ἀντεπιστέλλοντος, ἡ ἀνακάλυψις τῆς βασιλικῆς μορφῆς, οὐκέτι χώραν ἔχοντος τοῦ προσωπείου, φαίνεσθαι. Ἀβάλε τὰ τότε γεγενημένα παρὰ τῶν σταλέντων δύο στρατηγῶν, ὡς ἐπὶ πολεμίων τινῶν πρὸς τὸν ἄοπλον μοναστὴν τοῦ Χριστοῦ, καὶ μόνῳ τῷ θείῳ νόμῳ φραττόμενον. Ἠρθη ποιμὴν ἐκ μέσου, καὶ διέσκορπίσθη τὰ πρόβατα ἀπὸ τῆς ποίμνης· οἱ μὲν ἐτύφθησαν, ἄλλοι ὑπερωρίσθησαν, ἕτεροι ἐδιώχθησαν, καὶ τόγε ἐλεεινότερον, θέσπισμα βασιλικὸν ἀπροσδέκτους εἶναι πανταχοῦ τοὺς διὰ Κύριον δεδιωγμένους· καὶ ὑπήκουσάν γε οἱ τῶν σεμνίων προϊστάμενοι, καὶ σπάνιος ὁ ἀποτολμῶν εἰσδέξασθαι· καὶ Χριστὸς ἐκάθευδεν, δι' οὕς οἶδεν τρόπους, δοκιμάζων τὰ γιγνομενα, τῶν μὲν βασανίζων τὸν πρὸς αὐτὸν πόθον εἰ ἐπιμένοιεν τῶν δὲ τὸ ἀπάνθρωπον οἰκτιζόμενος ἐνεγκεῖν εἰς μετάμελον.

27. Cum autem sic nullatenus intentum suum C assequeretur imperator, ad aliud se convertit: et erat quidem aliorum opus; sed secundum illam decantatissimam in Scripturis tragœdiam, manus Absalom faciebat omnia. Scitis submissos fuisse monachos, scitis litteras scriptas. Cumque hæc etiam inania et infirma esse appareret, Platone quod æquum erat manutenente et præferente, revelatus est tandem ipse imperator, qui sub persona diutius occulari non poterat. Vah! ob ea quæ gesta a duobus exercituum ducibus, tanquam adversus hostes quosdam missis, contra inermem Christi monachum, et sola Dei lege defensum. Sublatus est de medio pastor, et dispersæ sunt oves gregis. Et alii quidem verberabantur, relegabantur alii, cæteri persecutionem sustinebant; quodque mirabilius fuit, Cæsareum edictum erat ne uspiam D reciperentur, qui talia patiebantur propter Dominum; et edicto illi parebant præsides monasteriorum, adeo ut vix ullus inveniretur, qui auderet præbere receptum. Christus autem dormiebat, ob notas sibi causas; horum quidem in se probans amorem, an esset constans, illorum vero miserans inhumanitatem, ut eos ad pœnitentiam provocaret.

[8] Eccle. x, 10.

NOTÆ.

(17) Copulavit sibi Constantinus illegitimo conjugio Theodoten cubiculariam, mense Augusto, indictione 3, an. 795. Vide Theophanem.

28. Quid autem athleta Christi? Avellitur sponte a propriis membris, solusque derelinquitur, animam suam ponens pro ovibus suis, juxta Evangelium, utpote vere pastor bonus. Violenta manu ad Cæsarem ducitur: resistit in faciem, audacter dico, velut alter Joannes Christi prodromus, eo solum excepto, quod hic suo ipsius, ipse alterius ductu venit. O virilem animum! Non est reveritus majestatem imperii, non formidavit minas, non est emollitus blanditiis, idque cum ex suo sanguine esset mulier quæ Herodiadem referebat: sed imperterritus pronuntiavit, et non erubuit verbum veritatis. Dixit Præcursor Domini: *Non licet tibi habere uxorem Philippi fratris tui* [9]: similia illius imitator dixit, ad eum qui similem se Herodi fecerat, capite tamen minutus non est: noluit enim imperator, quemadmodum prædixerat, martyrem facere, ad ultimum certamen voluntate promptum. Confessorem tamen Christi fecit, etiam nolens, veritatis thesaurum, ut maleficum hominem, concludens cellula, clavesque supra claves ponens, et jubens per angustum foramen cibum ei præberi sic ut a nemine conspici posset, quem Christus intuebatur.

quennio et ultra inter se non cognoverint; quod est admirabile ac rarum. Qui enim fierit possit, ut ignis adjacendi stipulæ non admisceatur, nisi hoc forte supranaturale fuit? Quod si Boosus, qui condormientem Rutham una nocte reliquit intactam, laudatur, quidni uterque parens meus meritam temperantiæ gloriam referat? Esto igitur hoc amborum encomium: etenim hac in re non improprie pater meus laudem matris participabit. Jam vero libros plenissima virtutis femina monitis et adhortationibus erudiebat. Et modo rationali virga percutiens, modo sedulitate deducens, urgens ac provehens ad perfectiora. Quid inde? Filiolam roborant stupendi matris mores, quæ nec illam ad virorum conspectum adducebat, nec feminea monilia et dextralia purpureasque vestes eidem ostendebat; sed ad pietatem potius erga Deus impellebat, et in sacris Litteris erudiebat, pauperes hospitio excipere docebat, quin etiam leprosorum ulcera propriis manibus cogebat abstergere. Postremo ad Deum cœlestesque pulchritudines ex his humi repentibus mentem puellæ transferens, Deo consecrat, Et lautos quidem hoc optimæ educationis argumentum commentarios mihi suppeditaret; sed ne quem satietate onerem, hic sistam. Unum tamen, quod recte reticeri nequit, adjiciam: quod nimirum quotidie, postquam se liberi in lectis composuerant, haud ante ipsa cubitum ibat, quam superveniens crucis signo membra illorum signasset. Rursusque cum surgerent, sæpe nos exstimulans atque expergiscens, ad preces compellebat: scilicet ut non ipsa tantum, sed et filii, Dei servitio assuescerent.

5. Age vero de famulis famulahusque multus mihi sermo oboriretur, si exponere vellem, quomodo illos sibi conciliaret, aleret, potaret, vestiret. quantum nemo alius vel clementissimus. Neque, ut fit, panis tantum et vini ac lardi diurnum victum suppeditabat; sed sæpe et solemnibus plerumque diebus, recente carne nutriebat, piscibus, et altilibus, et mulsorum propinationibus; quia nempe haud ipsa sola his frui volebat. Nonne hæc dilaudanda sunt et rara? nonne peculiares sanctæ illius animæ prærogativæ? Credo equidem id mihi assentiemini quotquot anditis. Sed illud quoque recte me dicturum puto, quod etiam minitabantur, corrigebat, et præcipue domesticis (quod haud scio utrum vitio an laudi vertam) alapas impingebat, objurgabat eos et verberabat: quia hæc honestatis docendæ causa, a furtis absterrendi, aliarumque virtutum studio fiebant; ejusque rectitudinis amans animus iracundia percellebatur, cum et aliqui satis irritabili natura esset, zelo Dei sæpe compuncta. Verum eadem post verberationes cubiculum suum ingressa, sibi genas pulsans, et utinam dulcas! sibi dicens, atque ad pœnitentiam inflexa, vocata ad se quæ vapulaverat famula, flexo genu veniam petebat. O sanctam resipiscentiam! Certe si forte aliquis priora vituperaverit, is hæc

A ὅλοις πέντε ἔτεσιν ἢ καὶ πρὸς, οὐκ ἔγνωσαν ἑαυτοὺς, τὸ παραδοξότατόν τε καὶ δυσεύρητον· πῶς γὰρ ἂν καὶ οὐχ ὁμιλήσειεν τὸ πῦρ τῇ παρακειμένῃ καλάμῃ, εἰ μὴ ὑπερφνῶς ἐστι τὸ γινόμενον; καὶ εἰ ὁ Βοὸζ τὴν Ῥοὺθ ἐάσας ἀνέπαφον συγκαθευδήσασαν ἐν μιᾷ νυκτὶ ἐπαινεῖται, πῶς οὐκ ἀμφότεροι εἰκότως σωφροσύνης ἀπενέγκωνται κλέος; Ἀλλ' ἔστω μὲν τοῦτο τοῖν δυοῖν ἐγκώμιον· παραπολαύσει γὰρ ἐνταῦθα οὐκ ἀκαίρως καὶ ὁ γεννήσας, τοῦ τῆς τεκούσης ἐπαίνου. Τὰ δὲ τέκνα ἡ πανάρετος παιδεύει ἐν νουθεσίαις καὶ παραινέσεσιν, πῇ μὲν ῥάβδῳ λογικῇ πλήσσουσα, πῇ δὲ ἐμμελείᾳ ἄγουσα καὶ προσάγουσα καὶ αὔξουσα εἰς τὰ τελειότερα. Ἐξ οὗ τί γίνεται; καταρτίζει τὸ θυγάτριον καὶ ὁ τρόπος θαυμαστός· οὔτε εἰς ὄψιν ἀῤῥένων φέρουσα, οὔτε τὰ γυναικικὰ
B ἐμπλόκια καὶ περιδέξια καὶ περιπόρφυρα ὑποδεικνύουσα· πρὸς δὲ θεοσέβειαν ἀνάγουσα, καὶ τὰ ἱερὰ γράμματα ἐκπαιδεύουσα, καὶ τοὺς πτωχοὺς ὑποδέχεσθαι ἐκδιδάσκουσα, καὶ τῶν λωβῶν τὰ ἕλκη ἐκμάσσεσθαι αὐτοχείρως ὑπαναγκάζουσα· καὶ τέλος, εἰς Θεὸν καὶ τὰ ἐπουράνια κάλλη ἀπὸ τῶν ἐνθένδε χαμαιζήλων τὸν νοῦν τοῦ κορίου μετάγουσα, Θεῷ ἀνατίθησιν. Ἀλλὰ πολλά με λέγειν ἡ ὑπόθεσις τῆς καλλίστης αὐτῆς παιδοτροφίας ὑπομνήματα παρεχομένη, διὰ τὸν κόρον ἐνταῦθα στήτω· ὃ δέ με καταλιπεῖν οὐ καλὸν, τοῦτο προσθείην· ὅτι ἑκάστοτε μετὰ τὸ καθευδῆσαι τοὺς παῖδας, οὐ πάντως ἦν αὐτὴν κοιτασθῆναι, πρὶν ἂν ἀπιοῦσαν σημειοῦσθαι τὰ σφῶν μέλη τῇ τοῦ σταυροῦ σφραγῖδι· εἶτα πάλιν μετὰ τὴν ἔγερσιν ὡς ἐπὶ τὸ πολὺ νύσσουσαν καὶ ἀφυπνοῦσαν ἡμᾶς καὶ πρὸς προσευχὴν προτρεπομένην,
C ἵνα μὴ μόνον ἐκείνη, ἀλλὰ καὶ τὰ τέκνα Θεῷ λατρεύειν παιδεύωνται.

ε'. Ἃ δὲ περὶ δούλων καὶ δουλίδων, πολὺς ὁ λόγος, βουλομένῳ μοι φράζειν, ὅσα ἐκείνη ὡμήρετο. διέτρεφεν, ἐπότιζεν, ἐνεδίδυσκεν, ὡς οὐδεὶς πολὺ τῶν ἄλλων, καὶ εἰ λίαν φιλανθρώπων· οὐχ ὡς ἔτυχεν ἄρτῳ καὶ οἴνῳ καὶ λάρδῳ δεξιουμένη, τὸ ἐφημερήσιον σιτηρέσιον, ἀλλὰ πολλαχῶς καὶ ἐν ἑορταστικαῖς ἡμέραις, καὶ προσφάτῳ κρέει διατρέφουσα, ὄψοις τε καὶ ὀρνέοις καὶ καρυκευτικοῖς προπόματιν, οὐ φέρουσα τὴν τῶν τοιούτων μετάληψιν ἐφ' ἑαυτῆς μόνης ἱσταμένην. Ἆρ' οὐκ ἐπαινετὰ ταῦτα καὶ ξενίζοντά, καὶ τῆς ἁγίας ψυχῆς ἐκείνης προτερήματα; συμφήσετε οἶδ' ὅτι οἱ ἐνωτιζόμενοι. Ἀλλ' ἔμοιγε εὖ
D ἂν ἔχοι πρὸς τούτοις εἰπεῖν, ὅτι καὶ ἠπείλει, καὶ ἠσφαίζετο, καὶ μάλιστα τοῖς ἐγγύθεν (οὐκ οἶδ' ὅ τι, ἐν μέρει ψόγου ἢ ἐπαίνου θήσομαι) τὸ καὶ ἐῤῥάπιζε καὶ ἐφύβριζε, καὶ προσέτυπτε διὰ τὸ ὑπὲρ σωφροσύνης καὶ ἀκλοπίας καὶ ἄλλης ἀρετῆς ταῦτα γίνεσθαι, καὶ τῷ θυμῷ ἐπλήσσετο ἡ σπουδαιόψυχος, ἐπειδὴ καὶ φύσεως ἦ ὀξυτέρας, ζήλῳ Θεοῦ τὰ πολλὰ τιτρωσκομένης. Ἐκείνης δέ ἐστιν τὸ μετὰ τὸ τετυφέναι εἰσερχομένης εἰς τὸν κοιτωνίσκον, καὶ ἑαυτῆς ἀντιτυπτούσης τὰς παρειὰς, Εἰ πονοίης, ἑαυτῇ ἐπιλεγούσης, κἀκ τούτου ἀνακοπτομένης πρὸς μετάμελον, καὶ τὴν τυφθεῖσαν προσκαλουμένης καὶ γονυπετούσης, καὶ ἐξαιτουμένης συγχώρησαν. Καὶ ὢν τῆς εὐαγοῦς ἐπανακλήσεως! κἂν γὰρ τὸ πρότερον δοίη

τις κατηγορούμενον, ἀλλά γε τὸ δεύτερον παραδόξως γενόμενον, ὁ αὐτὸς ἐπαινέσειεν· ὅθεν καὶ κεράσασα τῷ φόβῳ τὸν ἔλεον, καὶ στέργεσθαι παρ' αὐτῶν ἐγνωρίζετο, καὶ φρουρεῖν αὐτὰς πρὸς σωφρονισμὸν ὑπεδείκνυτο καὶ ἑκατέρωθεν τὸ κράτιστον ἐκέκτητο. Ἀγάπησιν δὲ παρὰ τῶν γειτνιαζουσῶν, ἐλεημοσύνην δὲ πρὸς τοὺς ἐνδεεῖς, τίς ὑπερέβαλεν ἐκείνην; ἔχουσαν τὸ μὲν ἐκ τοῦ συμμετριάζειν, μάλιστα ταῖς ὑποδεστέραις· τὸ δὲ ἐκ τοῦ ἄγαν συμπαθοῦσα, κἂν ὅσον τὸ δαψιλὲς τῆς προθέσεως, οὐκ εἶα προφαίνεσθαι ἡ μετριότης τῆς ὑπάρξεως. Ἱλὴν μάρτυρες τῆς ἀληθείας οἱ πολλοὶ καὶ πολλάκις καὶ ἀποτεταγμένως, ὀρφανοί τε καὶ χῆραι, ξένοι τε καὶ αὐτόχθονες, νοσεροί τε καὶ γέροντες, καὶ οἱ τῆς ἱερᾶς νόσου λαχόντες, παρὰ τῆς πτωχοτρόφου δεξιᾶς θεραπευόμενοι. Καὶ γοῦν καὶ τοῦτο αὐτῆς τὸ ἐξαίρετον, τὸ σύνδειπνον καὶ ὁμοτράπεζον τὸν Χριστὸν ἔχειν, ἡνίκα μάλιστα παρῆν καιρὸς τοῦ ἑορτάζειν. Ταῦτα οὐ μικρά μοι καταφαίνεται τοῖς προληφθεῖσι τῷ γάμῳ πρὸς σωτηρίας ἐφόδιον, εἰ καὶ ἔτι λέγειν οὐκ ἔχομεν μείζονα περὶ τῆς εὐφημουμένης.

Ϛ'. Τοιγαροῦν ἐπειδὴ ἤνεγκεν ὁ καιρὸς τὴν τοῦ μοναδικοῦ σχήματος ἀνάκλησιν, τίς πρὸ ἐκείνης, ἢ ὑπεδέξατο τοὺς Χριστοῦ θεραπευτὰς, ἢ ἐξενοδόχησεν, ἢ ἐθεράπευσεν, μάλιστα καὶ ἐκ τοῦ οἰκείου ἀδελφοῦ συνελκομένη; Ὅθεν ἵνα τὰ πολλὰ συντέμω, εἰς πόθον ἐλθοῦσα τῆς ἀσκητικῆς ζωῆς, πείθει τὸν ἄνδρα, συμπείθει τοὺς παῖδας πολλαῖς ἐπιμελείαις καὶ νουθεσίαις καὶ ὑποσχέσεσιν, ἔπειτα τοὺς ἐξ ἀνδρὸς ἀδελφούς· καὶ τὰ πάντα εὖ διαθεμένη, ἐξέρχεται τῆς οἰκίας δῆμον ὅλου τῷ Θεῷ παραστήσασα· τέτταρα μὲν τὰ τέκνα (3), τρεῖς τοὺς ἐξ ἀνδρὸς ἀδελφοὺς (4), καὶ μεθ' ἑαυτῆς τὴν κεφαλήν. Ὦ τῆς θαυμασίας καινοτομίας! ὦ τῆς παραδόξου μετάστάσεως! Τοῦτο ἐξένισε μὲν κατὰ τὴν ἡμέραν τὴν βασιλίδα, ἐξέπληξε δὲ τὰς συγγενίδας, ἐθάμβησε δὲ τὰς γνωρίμους, κατένυξεν δὲ οὐ μόνον τοὺς ὁρῶντας, ἀλλὰ καὶ ἀκούοντας, ὅτι συζυγία ἔτι μεσηλικιοῦσα, αὐαρκουμένη τε κατὰ τὸν βίον, ἀξιώματι βασιλικῷ καὶ ταμιευτικῷ τιμωμένη, τοὺς παῖδας ἡλικιώτας ἔχουσα, οὐχ εἰλχθη μὲν τῷ τούτων φίλτρῳ, οὐ τῷ καταλιπεῖν διάδοχον τοῦ γένους, οὐδὲ τῷ αἵματι τῆς ἀγχιστείας, οὔτε τῇ τῆς οἰκίας ἀποστερήσει, οὐ μὴν οὐδὲ τῇ τῆς θεραπείας ἀλλοτριώσει· ἀλλ' ἔῤῥιψε μὲν τὰς ἐκ βασιλέων τιμὰς, κατεπάτησε δὲ τὰ τοῦ βίου τερπνὰ, διέκοψέ τε τῇ τοῦ πνεύματος μαχαίρᾳ ἑαυτὴν ἐκ τῶν σαρκικῶν σχέσεων, καὶ τὰ δόξαντα Θεῷ πέπραχε μεγαλοβούλως. Ὦ τῆς Ἀβραμιαίας ψυχῆς ὡς ἀληθῶς καὶ ἀνδρειόφρονος! Εἰκότως ἄν τις αὐτὴν μετὰ τῆς Μακκαβαϊκῆς ἀρίστης μητρὸς συντάξειεν, θύσασαν τῇ ἀσκητικῇ ἀθλήσει τὰς ὠδῖνας· καὶ μετὰ Ἄννης τῆς Σαμουηλίτιδος, οὐχ ἕνα τὸν ἐξ ἐπαγγελίας, ἀλλ' ὅλον τὸν καρπὸν αὐτῆς ἀφιερώσασαν τῷ Κυρίῳ. Χαρίσομαι δὲ ὑμῖν τοῖς ἀκροαταῖς τάχα τι ὁσιώτερον, καὶ τὸν τῆς ἐκβάσεως αὐτῆς τρόπον διηγησάμενος. Ἐπὶ γὰρ τῇ ὡρισμένῃ τὴν οἰκίαν ἐξαλλά-

A mirabiliter facta posterius commendabit. Sic metui misericordiam admiscens, et ab ancillis palam amabatur, et illarum se custodire honestatem monstrabat; et rem utramque optimam obtinebat. Jam amore erga circumstantes, et eleemosyna ad egenos, quis eam superavit? Et amor quidem ex ejus moderatione apparebat, præsertim erga infirmiores misericordia autem ex ejus nimia compassione: quanquam voluntatis hujus copiam, facultatum nostrarum mediocritas effulgere non sinebat. Sed tamen testes veritatis sunt multi et sæpenumero et statutis vicibus, orphani ac viduæ, peregrini et indigenæ, ægroti ac senes, et sacro morbo correpti, qui ejus nutrice pauperum manu adjuti fuerunt. Atque hoc etiam excellens in ea fuit, quod convivam in mensa habere Christum

B (pauperam aliquem, præsertim tempore solemnitatis, solita fuit. Hæc haud levia mihi videntur in iis qui nuptialem statum ad salutis viaticum præsumpserunt; etiamsi forte majora alias de hac benedicta femina dicere non haberemus.

6. Quamobrem postquam lapsu temporum monachalis habitus restitutus fuit, quis ante illam Christi famulos suscepit, hospitio fovit curisque refecit, a fratre præsertim ad id inducta? Unde etiam, ut multa compendio intercipiam, viro suadet, liberis pariter consuadet curis multis, monitis ac promissionibus, mox etiam viri fratribus: et jam rebus bene compositis, domo egreditur populum integrum Deo offerens, quatuor nemque filios, tres viri sui fratres, secumque ipsum domus

C caput. O mirabilis novitas! o inexspectata conversio! Id sane peregrinum tunc visum est reginæ, stupore affecit consanguineas, notas quasvis admiratione suspendit, compunxit denique non cernentes tantum sed et audientes; quod nempe conjugio medium adhuc cursum tenente, ipsa rebus ad vitam satis instructa, dignitate aulica, quæstoria scilicet fulgens, filios habens ætate florentes, non fuisset horum amore commota, non desiderio successorum stirpis reliquendi, non consanguineorum affectu, neque domus derelictione, neque servorum destitutione; sed regis omnes projecisset honores, vitæ delicias calcasset, seque gladio spiritus a carnalibus consuetudinibus præcidisset, Dei placitum magnanima cum voluntate exsecuta.

D O Abramitica vere anima atque virilis! Merito aliquis cum Machabæorum strenuissima matre hanc connumeraverit, quæ ascetico certamini partus suos hostiam objecit: itemque cum Anna Samuelitide, quia non unum ex voto, sed universum uteri sui fructum Domino consecravit. Sed gratificabor vobis auditoribus adhuc aliquid fortasse sanctius, discessum ejus enarrando. Nam definito tempore domo jam decedens, ceu si festum diem ageret, ad se omnes convocavit affines: quorum viri quidem

(3) Nemque Theodorus, Josephus postea arch. Thess., Euhymius, et filia una, de qua jam sermo fuit.

(4) In vita Theodori cap. 5, in interp. lat. σφάλμα *cum tribus sororibus* corrige *cum tribus fratribus*, ubi jam non fuerit emendatum.

dolebant, feminæ etiam plorabant, peregrinum hoc videntes spectaculum voluntarii discessus; ac reputantes mysterii magnitudinem, rem præconiis extollebant. Nam utrique observabant, patremfamilias domo jam exeuntum, matrem autem parumper subsistentem, mox ad asceterium transeuntem, post divenditam domum pretiumque pauperibus distributum. Hæc sunt matris nostræ in mundana vita facinora; atque hæc exposui, ut non vos soli, sed et si qui in sæculari mundo cognoverint habeant, quo juventur pulcherrimis his narrationibus, et Deo laudem tribuant.

A ξασα, ὡς οἷον ἄγουσα ἑορτάσιμον ἡμέραν, οὕτω προσκαλεῖται τοὺς τοῦ γένους ἅπαντας· καὶ οἱ μὲν ἤλγουν, αἱ δὲ ἐθρήνουν, ξένον τι ὁρῶσαι θέαμα τὸν ἑθελοντὶ χωρισμὸν, καὶ ἐν ἑαυταῖς δοκιμαζουσαι τοῦ μυστηρίου τὸ μέγεθος, ἀνύμνουν τὸ γινόμενον· καὶ γὰρ ἑώρων ἀμφότεροι, τὸν μὲν ἐξιόντα τῆς οἰκίας, τὴν δὲ πρὸς μικρὸν ἐπιμένουσαν, εἶτα ἀπιοῦσαν πρὸς τὸ ἀσκητήριον, καὶ αὐτὴν τὴν οἰκίαν ἀπεμπωληθεῖσαν καὶ διανεμηθεῖσαν τοῖς ἐνδεέσιν. Ταῦτά εἰσιν τῆς ἡμετέρας μητρὸς τῆς κοσμικῆς βιώσεως τὰ ἐπίσημα, καὶ ταῦτα διῆλθον, οὐχ ἵνα μόνον ὑμεῖς, ἀλλ' εἴ καὶ τινες τῶν ἐν τῷ κόσμῳ φθάσωσιν ἐπανιέναι, ἔχωσιν ὠφελεῖσθαι τοῖς καλλίστοις διηγήμασιν Θεῷ ἀνθομολογούμενοι.

7. Sed agesis reliqua persequamur, in quibus præcipue proprieque sermo noster versabitur, o dilecti. Pulchram facit mutationem, angelicum induens habitum ornatissima femina: multorum eo facto lacrymas elicit, qui illa die vocati convenerant, vel etiam sponte concurrerant, ut hoc tantummodo spectarent mysterium peragi. Aderamus et nos cum genitore communi, festumne acturi an phoraturi? matrem amittentes, neque jam confidentia solita eam alloquentes aut adeuntes, sed de ipsius discessu cogitantes mœsto cum corde. Nam cum et nos ipsi post certum temporis intervallum abituri ad professionem essemus cum genitore, ego quidem utopte ex imberbi ætate jam in virum progrediens, dolens utique mœrensque eram; qudini enim? Attamen cum gratiarum actione, hanc mœstitiam ferebam. Sed duorum fratrum unus admodum adolescens, statim ac affuit discessus hora, et postremum vale jam dicebatur, et compellationes ploratusque atque amplexus fiebant; ille, inquam, ad matris sinum convolans inseparabiliter hærebat, quasi vitulus sejungi se renuens, rogabatque ut parumper cum matre maneret tum ejus postea voluntatem expleturum se promittebat. Num igitur cor adamantinum molitum est, aut concidit, aut pueri ploratibus fractum est? Minime gentium. Quidnam vero sancte respondit? Cum quadam vultus torvitate, potentissimum maternorum viscerum vincens affectum; Nisi sponte, inquit, fili, abieris, ego te manu propria in navim imponam. Cessit itaque puer, et seorsum discessimus. Illa autem, ut puto, par quiddam patrasset, ac in quadraginta martyrum supplicio sancta mater, quæ celebram illum spirantem adhuc filium suum in plaustrum attollens imposuit.

B ζ'. Δεῦρο δὴ λοιπὸν, τῶν ἑξῆς ἐχώμεθα. πρὸς ἃ μάλιστα καὶ οἰκείως ἡμῖν ἕξει ὁ λόγος, ἠγαπημένοι. Ἀλλοιοῦται τὴν καλὴν ἀλλοίωσιν, τὸ ἰσάγγελον σχῆμα μεταμφιασαμένη ἡ περίκοσμος· κινεῖ γοῦν πολλῶν δάκρυα ἐπὶ τῷ γεγενημένῳ σύνεληλυθότων κατὰ τὴν ἡμέραν, ἔστιν ὧν καὶ ἀκλήτως, ἵνα καὶ μόνον θεάσωνται τὸ μυστήριον τελούμενον· παρῆμεν δὲ καὶ ἡμεῖς σὺν τῷ κοινῷ Πατρὶ, τί καὶ φῶ, ἑορτάσοντες ἢ θρηνήσοντες; τήν τε μητέρα ἀποβεβληκότες, οὐκέτι μετὰ τῆς αὐτῆς παῤῥησίας, οὔτε προσομιλοῦντες, οὔτε προσιόντες, τόν τε ἀπ' αὐτῆς χωρισμὸν ἐπινοούμενοι, καὶ καρδιαλγούμενοι. Καὶ γὰρ μελλόντων ἡμῶν μετὰ τὴν συμπλήρωσιν τοῦ καιροῦ ἀπαίρειν πρὸς τὸ καὶ ἡμᾶς τελεσθῆναι μετὰ τοῦ γεννήτορος, ἔγωγε μὲν ὡς ἅτε ἐξ ἀγενείων εἰς ἄνδρα τελῶν, ἀλγεινῶς μὲν καὶ ὀδυνηρῶς (πῶς γὰρ οὔ), πλὴν ἔφερον μετ' εὐχαριστίας τὸ πάθος· τοῖν δυοῖν C δὲ ἀδελφοῖν, ὁ ἕτερος κομιδῇ νέος ὢν (ᾖ), ἐπειδὴ παρῆν ἡ τῆς ἐκδημίας, ἡμέρα, οἵ τε ἐξιτήριοι λόγοι καὶ προπεμπτήριοι, αἵ τε ἀνακλήσεις, αἵ τε οἰμωγαὶ, αἵ τε περιπλοκαὶ, ἐπέτρεχεν, εἰσεκολποῦτο, δυσαποσπάστως εἶχε τῆς μητρὸς, ὡσανεὶ μοσχάριον τὴν διάζευξιν ἀπαναινόμενον, ἐξῄτει ἔτι ἐπιμένειν πρὸς βραχὺ τῇ μητρὶ, εἶθ' ὕστερον πληροῦν αὐτῆς τὸ βούλευμα. ἐπῄγγελτο. Ἆρ' οὖν κατεμαλακίσθη ἡ ἀδάμαντίνη καρδία ἐκείνη, ἢ συνέπεσεν, ἢ συνώκλασε τοῖς τοῦ παιδὸς κλαυθμυρίσμασιν; οὐμενοῦν· ἀλλ' οἷον τὸ ὅσιον αὐτῆς ἐπιφθεγμα; μετά τινος ἐμβριθοῦς ἕξεως ὑπερνικήσαντος τῶν μητρῴων σπμάγχνων τὸ τυραννικώτατον, Εἰ μὴ ἑκὼν, φησὶν, ὦ τέκνον ἀπέλθοις, ἐγώ σε τῇ νηῒ αὐτοχειρὶ ἐπιβαλοῦμαι (6)· εἶξεν οὖν ὁ παῖς, καὶ διέστημεν ἀμφότεροι· κἀκείνη, D ὡς δοκῶ, ἐφάμιλλόν τι τῆς ἐπὶ τοῦ τῶν Τεσσαράκοντα μαρτύρων ἁγίας μητρὸς ᾠδομένου ἐπὶ τῇ τῆς ἁμάξης τοῦ ἔτι ἐμπνέοντος οἰκείου υἱοῦ ἄρσει τε καὶ ἐπιθέσει, ἐξετέλεσεν (7).

8. Quid vero postea? Optabat præclara femina sub obedientis magis vivere, quod et æquum erat. Sed quia ex præterito temporum turbine, neque monasterium adhuc erat constructum, neque mo-

η'. Ἀλλὰ τί τὰ ἑξῆς; Ἐπόθει τοίνυν ἡ γενναία ἄρχεσθαι μᾶλλον, ὥσπερ καὶ ἦν δίκαιον· ἐπειδὴ δὲ ἐκ τῆς πρὶν διειλήσεως, οὔτε μοναστήριον ἦν συνιστάμενον, οὐδ' αὖ ψυχὴ ἐπιστημόνως δυναμένη

(5) Erat hic nomine Euthymius, de quo infra in adnot. pag. seq.

(6) Sanctorum facta admiramur, qui omnia pio mentis affectu egerunt; quanquam non æque omnia imitari debemus. Certe adolescentis Euthymii non satis firmum religiosi instituti suscipiendi propositum mox matri fratrique sollicitudinem gravem creavit, ut post dicetur. Impositura autem fuisset in navim Theoctista filium, quia transeundum erat ultra Bosphorum ad Saccudionis in Asia monasterium. Vit. Theod. cap. 5.

(7) Exstant pulcherrimæ de his XL MM. orationes SS. Basilii, et Greg. Nysseni.

ἀφηγεῖσθαι τῶτ πολλῶν, ἐκ τούτου βιάζεται ὑπὸ τοῦ ἀδελφοῦ κελλιωτικῶς (8) βιωσαι μετὰ τῆς προκαρθείσης θυγατρίδος καὶ ἑτέρας συγγενίδος. Ζῇ μὲν αὐτίκα ὑπομονητικῶς· ζῇ δὲ ὀδυνηρῶς· πῶς γὰρ οὐς τὸν χειραγωγοῦντα μὴ κεκτημένη, καὶ τὰς ἀντιπραττούσας τῷ εὐσεβεῖν ἐφευραμένη, καὶ τοσοῦτον, ὥστε καὶ τοῦ σεμνείου ἐξορίζεσθαι. Αἰδοῦμαι εἰπεῖν ὑπὲρ τίνος καὶ διὰ τίνος, φειδοῖ τῶν ἀκροωμένων· ὅμως φέρει ὑπὲρ τοῦ καλοῦ πάσχουσα καὶ διὰ Κύριον πελαζομένη. Καὶ οὐκ οἶδ' ὅπως ἀπαγγείλω τάς ἐπαλλήλους ἐπιφορὰς καὶ μεταγωγὰς τῆς ζωῆς αὐτῆς, καὶ τὰς ἐπισυμβάσας ἡμῖν, ἔκ τε συγγενείας, ἔκ τε βασιλείας θλίψεις καὶ ὀδύνας καὶ περιστάσεις· τὸ δὲ συναγόμενον ἦν, ἡ θρυλλουμένη μοιχεία τοῦ αὐτοκράτορος, ὑπὲρ ἧς καὶ τὸ πάσχειν ἦν αὐτῇ [cod. αὐτή]. Ἐπεὶ δὲ τοῦ οἰκουμενικοῦ τολμήματος ἐμνήσθην, ἴστε οἷον ὀδυνηρὸν ἔλαβεν, ἡνίκα ἐώρα ἡμᾶς ἐκ τοῦ μοναστηρίου ἁρπαζομένους, συνελθοῦσα κατὰ τὴν ὥραν· ἀλλὰ εἰ καὶ τὸ θρηνεῖν ἦν αὐτῇ μονουμένῃ μάλιστα ἐξ ἡμῶν, οὐκ ἠγανάκτησεν, οὐ προΐετο ῥῆμα ἀγενὲς, οὐδὲ ἔρρηξε τὸν χιτῶνα, οὐκ ἠλάλαξε τοῖς κωκυτοῖς· ἀλλ', Ἄπιτε, φησὶν, ὦ παῖδες καὶ σώζοισθε ἐν Κυρίῳ, ὅπουπερ ἂν ἀπάγοισθε, καὶ ὁποῖά ποτ' ἂν πάθοιτε, διὰ νόμον αὐτοῦ τοῦτο προελόμενοι· ἀγαθὸν γὰρ ὑμῖν ὅ τι ἂν καὶ ὑποσταίητε δεινὸν μέχρι καὶ αἵματος, ἢ προσήκασθαι τὸν μοιχεύσαντα, καὶ διὰ τοῦτο προδοῦναι τὴν ἀλήθειαν. Ὦ τῆς τολμηρᾶς καὶ γενναίας ψυχῆς! εὐθὺς οὐ κατέπεσεν, ὥσπερ ἦν εἰκὸς, χθαμαλωτέρας καὶ ἀνάνδρου παθεῖν· ἀλλὰ τίς συνεξεδήμησε, συνωδοιπόρησε, συνέθραυσε τὸ ἁπαλώτατον σαρκίον, τῇ τοῦ ὄρους ὑπερβάσει· οὐδὲ τὸν πρόθυμον συνοδοιπόρον εὑραμένη· αἴ, αἴ, πῶς γεγόνασι πάντες τοῦ καιροῦ ἀπανθρωπότεροι; καὶ μᾶλλόν τινες καὶ προσεπεμβαίνοντες καὶ προσονειδίζοντες τῶν ὑποχειρίων, ὡς πληρωθῆναι τὸ εὐαγγελικὸν, ὅτι Ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ· ἔφθασε γοῦν ἡμᾶς καὶ αἰκισθέντας ἡ μακαρία.

A nialis aderat quæ prudenter cæterarum cœtum regere posset, propterea a fratre cogitur cellulanorum more vivere, cum filia jam antea tonsa, aliaque cognata. Statimque patientem vitam experta est, necessarioque tristem, quia et spiritali duce carebat, ei quasdam nacta est sodales pietati adversas, in tantum ut etiam sacro illo loco expelleretur. Cur autem vel cujus opera, pudet dicere, ut audientium auribus parcam. Attamen virtutis causa, et propter Dominum afflicta, patienter se gerebat. Nec quo pacto recitem scio alias ex aliis vitæ ejus calamitates et vices, nostrasque affinibus et ab imperio pressuras, afflictiones, et adversitates. Summa rei fuit, famosum imperatoris adulterium, quod matri quoque nostræ causa doloris exstitit. B Nunc quia publicum facinus commemoravi, probe scitis quam ægre illa tulerit, cum nos de monasterio abstractos vidit, quippe quæ ad illam horam convenerat. Sed quamvis in luctu erat, sodalitio præsertim nostro spoliata, non est indignata, neque indecorum quidquam locuta, neque tunicam scidit, neque clamores lugubres sustulit; sed Abite, inquit, filii, et in Domino salvi estote, quocunque demum ducemini, et quælibet perpetiemini, quandoquidem legis illius gratia propositum hoc suscepistis. Melius enim vobis est, grave quodlibet usque ad sanguinem pati, quam aduletrum in communionem admittere, atque ita veritatem prodere. O intrepida anima et generosa! Ibi minime concidit, ceu par fuisset contingere infimæ olicui et enervi. Quid vero? Nobiscum dis- C cessit, nobiscum iter suscepit, delicatum attrivit corpusculum in montis ascensu, nullum alacrem viæ comitem nacta. Heu! heu! quomodo omnes occasionibus fiunt inhumani! Quin et nonnulli insultabant et conviciabantur qui fuerant de famulitio, ut evangelicum illud compleretur: *Inimici hominis domestici ejus* [5]. Itaque ad nos in cruciatibus quoque positos beata hæc adventavit.

θ'. Καὶ μή τις ἐν τῷδε λογίσηται ἑαυτοὺς ἡμᾶς ἐγκωμιάζειν, οὐκ ἔχουτάς τι τῶν ἐπαινουμένων· ἄλλοι γὰρ οὐχ ἡμεῖς οἱ ἀνδρισάμενοι, καὶ τῷ κοινῷ Πατρὶ ἐπιγραπτέον τὸ κατόρθωμα (9)· Ἵνα δὲ παραστήσωμεν τὸν τῆς ἐπαινουμένης ἀγῶνα, ἐνεπέσαμεν, σύγγνωτε, εἰς τοὺς περὶ τῶν ἡμετέρων ἐκείνων λόγους, ὡς οὐ βεβουλήμεθα· ἀλλὰ, Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. Ὡς ἐκείνη λανθανόντως ὑπεισήει ἐν τῷ φρουρίῳ τὰς πληγὰς ὁρῶσα, καὶ ταύτας ὑπαλείφουσα, καὶ τῷ Θεῷ δόξαν καὶ αἶνον ἐν τῷ δι' ἐντολὴν αὐτοῦ ταῦτα ὑφίστασθαι τὰ αὐτῆς ἔγγονα ἀναπέμπουσα· οὕτως ἡμᾶς εὐκτικῶς καὶ κλαυθμυρικῶς καὶ περιχαρῶς ἐν μεταιχμίῳ τῶν δύο παθῶν, ἐκ τῶν ἐκεῖσε πρὸς τὰ ἐπέκεινα τῆς

9. Nemo autem, quæso, reputet nosmet ipsos a nobis prædicari, qui revera nullam partem hujus laudis attingimus. Quippe alii, non nos, strenue egerunt, et communi potius Patri res bene gesta vertenda est. Ignoscite autem, si dum laudatæ feminæ certamen exponimus, inviti in rerum illarum narrationem incidimus. Sed *Magnus Dominus* D *noster, et magna virtus ejus* [6]! Illa itaque clam in custodiam ingressa, visis plagis easque osculata et medicamine ungens, Deo gloriam laudemque obtulit, quia filii sui propter ejusdem legem talia paterentur. Sic illa nos cum precibus, gemitibus, simulque hilaritate, inter has duas animi passiones, ab illo loco ad ulteriora abductos comitans ad-

[5] Matth. x, 36. [6] Psal. CXLVI, 5.

(8) Cellulani seu celliotæ monachi aut moniales extra monasterium in cellis habitantes, de quibus satis Cangius in Lexico, citatis Græcis auctoribus, et præsertim Allatio.

(9) Ipse Theodorus patrem suum spiritalem Platonem ad constantiam in adversitate, exempli cæteris præbendi causa, magnopere hortatus fuerat *Epist.* lib. I, 1 et 2.

mirationi erat, et a Deo piisque hominibus beatæ nomen consequebatur. Sic nos rursus prævenit redeuntes Catharis et Thessalonicam exsilium pulsos, hora brumali et vespertina in taberna rustica, clandestino et incognito adventu, ut nos videret et tota ferme nocte nobiscum versaretur, dum nos invicem in Domino testamenta conderemus. Statimque summo mane, quod erat acerbum et miserabile, separatis invicem, illa vale dicens, et tanquam in animæ commendatione oscula singulis corporis membris imprimens, cum gemitu, Ego, aiebat (ut ejus locutione utar) jam nunc o filii suprema verba morientibus dicere videor. Cuilibet autem rationali mente prædito cujusmodi id negotium fuerit, conjectare licet. Nam si amanter inter se copulatis, et mox dissociatis fit, juxta magnum Theologum Gregorium, unius corporis in duo dissectio, et utriusque mortificatio ; vel si boum simul educatorum, eidemque jugo subditorum, non sine lugubri mugitu fit dissociatio, separari non patientium ; quid, quale quantumque in re præsenti contigisse concedemus? Sane utrimque, ob Dei timorem, doloris acerbitatem reprimebamus ; sed id quidem quale quantumque fuit, magnanimitati ejus ascribatur.

10. Porro ad res vestras quod attinet, fratres, ipsi vos narrastis, qui beneficientia fruiti estis, quo tempore vos collegit ad nos veniens, et ceu pullos nido excussos, in suum claustrum recepit. Deinde reversa singulos consolata est, ad urbem se conferens ; illucque utcunque intromissa, ingemiscendo, orando, et hunc hospitem excipiendo, alium roborando, alium sustentando, alium subducendo : et more optimi œconomi et secundum Deum præsidentis, partim alens, partim administrans, velut nova Natalia, et Priscillæ æmula. Testes vos, beneficia experti, qui et lingua commoditates acceptas fatemini ac celebratis. Tunc vero mirabilis hæc femina postremam quoque beatitudinem consequi digna fuit, conviciis nimirum a quibusdam affecta, quorum nomina sponte reticeo ; et persecutionem propter justitiam passa ac veritatem. Responde tu mihi, o Pater, quid pro te carceri mancipato patientissima hæc sustinuerit, cum accusareris, cum quæstio de te fieret, postremo ob rei necessariæ ministrationem. Dic tyranni rapinas, minas, examinationes. Nonne ipsa socia tibi dolorum triginta diebus fuit in custodia detenta, cum quatuor asceseos consortibus, et quidem per carceres distributis ? Ibique omitto dicere quanta fue-

ἀπαγωγῆς παραπέμπουσα ἐθαυμάζετο, Θεῷ τε καὶ τοῖς εὐσεβεστέροις τῶν ἀνθρώπων μακαριζομένη · οὕτως προέφθασεν αὖθις παλινστροφήσαντες ἐκ τῶν Καθαρὰ (10), καὶ πρὸς Θεσσαλονίκην ὑπεροριζομένους εἰς χειμερινὴν καὶ ἐσπεραίαν ὥραν ἐν χωριακῷ καταλύματι, φόβῳ πολλῷ κρυπτοφανῶς καὶ ἀδιαγνώστως θεάσασθαι, καὶ συντυχεῖν ἡμῖν δ' ὅλης σχεδὸν τῆς νυκτός · διαθεμένων ἡμῶν διαθήκας (11) τὰς ἐν Κορίῳ πρὸς ἀλλήλους, καὶ εὐθὺς ἔωθεν (ὁποῖον ἦν ἀλγεινὸν καὶ ἐλεεινόν !) διαζευγνυμένων ἡμῶν ἀπ' ἀλλήλων, κἀκείνης τὸν συντακτήριον λόγον ποιούσης, καὶ ὡς ἐξόδια τοῖς φιλήμασιν προσεπιτιθεμένης ἡμῖν κατὰ πᾶν μέλος τοῦ σώματος μετὰ κλαυθμῶν . Ἐγὼ γὰρ, φησὶν, ἄρτι, τέκνα, ἵνα καὶ τὸν αὐτόλεκτον αὐτῆς λόγον εἴπω, ἐξοδιάζειν ὑμᾶς δοκῶ (12) · ἔξεστι στοχάσασθαι ταῖς ἐχέφροσιν · εἰ γὰρ ἐπὶ τοῖς συγκραθεῖσιν ἀγαπητικῶς πρὸς ἀλλήλους καὶ διισταμένοις γίνεται, κατὰ τὸν μέγαν Θεολόγον Γρηγόριον, ὥσπερ ἑνὸς σώματος εἰς δύο τομὴ καὶ ἀμφοτέρων νέκρωσις, ἢ μόσχων συντρόφων καὶ ὁμοζύγων διάζευξις γοερῶς μυκωμένων ἐπ' ἀλλήλοις καὶ οὐ φερόντων τὴν ἀλλοτρίωσιν · τί καὶ πόσον καὶ ἡλίκον δοίημεν ἐπὶ τοῦ παρόντος ; καὶ κατεκρατοῦμεν ἀμφότεροι φοβοθείᾳ τῆς δριμυπαθείας . Ἀλλὰ τοῦτο μὲν δὴ τοιοῦτον καὶ τηλικοῦτον ὄν, τῆς μεγαλοψυχίας αὐτῆς τιμάσθω .

ι'. Τὸ δὲ ὑμέτερον, ἀδελφοὶ, αὐτοὶ ἐξηγήσασθε, οἱ καὶ τῆς εὐεργεσίας ἀπολαύσαντες, ὡς συμβέβληκεν ὑμᾶς ἐξερχομένη πρὸς ἡμᾶς, καθάπερ νεοττοὺς ἐκριφέντας ἐκ καλιᾶς, εἰς τὸ οἰκεῖον φροντιστήριον · ἔπειτα ὑποστρέψασα καθάπερ ἕκαστον παρηγορήσατο πρὸς τὰ ἐν ἄστει πορευομένη · κἀκεῖσε ποδαπῶς εἰσελθοῦσα περιέτρυζεν, ἠντιβόλει, τὸν μὲν προσδεχομένη, τὸν δὲ ὑπαλείφουσα, τὸν δὲ ἐρείδουσα, τὸν δὲ ὑπεξάγουσα · καὶ οὓς μὲν τροφευομένη, οὓς δὲ διοικουμένη, ὡς ἄν τις ἄριστος οἰκονόμος καὶ κατὰ Θεὸν προστάτης, ἡ ὄντως νέα Νατάλια, καὶ Πρισκίλλης (13) ὁμόζηλος · καὶ μάρτυρες ὑμεῖς, οἱ εὖ παθόντες, καὶ διὰ γλώσσης τὸ εὐσυμπάθητον φερόμενον ἔχοντες καὶ θαυμαζόμενον . Ἠξιώθη τοιγαροῦν τηνικαῦτα ἡ θαυμασία καὶ τοῦ τελευταίου μακαρισμοῦ ἐπιτυγχάνουσα, ὀνειδιζομένη ὑπό τινων, ὧν τὰ ὀνόματα ἐκὼν ὑπερβήσυμαι · καὶ μέντοι διωκομένη ἕνεκεν δικαιοσύνης καὶ ἀληθείας . Ἀπόκρινέ μοι καὶ αὐτὸς, ὦ Πάτερ, ὅ τι καὶ ὑπέστη διὰ σὲ πεφρουρισμένου σου ἕνεκα ἡ πολύαθλος, ἐν τῇ συζητήσει, ἐν τῇ φροντίδι τῶν ἀναγκαίων · λέγε τὴν ἁρπαγὴν τοῦ κρατοῦντος, τὴν ἀπειλὴν, τὴν ἀνέτασιν · οὐχὶ καὐτὴ συμπέπονθέν σοι, τριακονθήμερον μείνασα φρουρουμένη, ὑπὸ τεττάρων τῶν συνασκουμένων, καὶ ταῦτα διῃρημένων ταῖς εἱρκταῖς ; κἀκεῖ ἐῶ λέγειν ὅσα ὑπὸ

(10) Post verberationem missus fuit a Constantino imp. exsul Thessalonicam Theodorus cum aliis monachis, cujus itineris prima mensio fuerunt *Catharæ*, ut ipsemet scripsit *Epist.* lib I. 3. Loci *Catharæ* mentio fit etiam lib. II, epist. 12.

(11) Theoctistæ cum fratre deportato nocturnum colloquium cognoscimus etiam ex epist. 3. lib. I, p. 184.

(12) Horum hujusmodi testamentorum, habemus *exemplum* apud ipsum Studitam infra.

(13) Priscilla nota est ex Act. apost. et ex Pauli epistolis. De Natalia sic Baronius in Martyrologio. 1 Decembris : « Sanctæ Nataliæ, uxoris beati Adriani martyris quæ sub Diocletiano imp. 88. martyribus Nicomediæ in carcere detentis multo tempore ministravit ; impletoque eorum certamine, Constantinopolim profecta, ibidem in pace quievit. » Videsis reliqua de ea documenta a Baronio citata.

τῶν δουλίδων τοῦ φρουρέως ὑπέστη, καὶ ὅσα ἐταλαι- A
πωρήθη κατὰ τὴν τῆς ζωῆς ἀφορμὴν, καὶ ἄρτον
ὀδύνης ἐσθίουσα καὶ πόμα θλίψεως πίνουσα· καὶ οὐ
τοῦ παρόντος καιροῦ τὰ τηνικάδε τετολμημένα καὶ
γεγενημένα διασημαίνειν· ἀλλὰ συγχωρείσθω τοῖς
δεδρακόσιν, ὅ τι καὶ πεπράχασιν. οὕτω γὰρ εἰπεῖν
ἁρμοδιώτερον, εἰ καὶ κρίμασιν οἷς παρεχώρησεν ἢ
ᾠκονόμησεν, ἵνα ἐγκόπτηται κακία, καὶ μὴ εἰς νό-
μον ἔρχεται τὸ παρανομούμενον, Θεὸς τὸν διωγμὸν
ἀνεκαλέσατο· καὶ γὰρ ἐπανήκομεν οἱ ὑπερορισθέντες
καὶ διασκορπισθέντες εἰς ταυτὸν, ὡς ἴστε, δεξιᾶς
τυχόντες τῆς ἐπανελεύσεως παρὰ τῆς κρατούσης.

ια'. Ἀλλὰ τί ἔτι τῇ θεοτιμήτῳ μητρὶ πρὸς τοις
εἰρημένοις προσθείημεν, καὶ τί προσερεισόμεθα ἁρ-
μοδιώτερον; Ὦ δακρύων ὀχετοί, ὅσοι ἐκ τῶν ἐκείνης
ὀφθαλμῶν ἀενάως προεχέοντο διὰ τὸν ἄνδρα, διὰ τῶν B
παίδων τὸν σφαλερώτερον (14), διὰ τὸ ποίμνιον, διὰ
τοὺς ὀλισθαίνοντας, διὰ τὸν καθ' ἕκαστον στηριγμόν!
ἐπειδὴ ὡς μήτηρ πνευματικὴ τὸ ἐλεεῖν εἶχεν· καὶ
ὡς ἀδελφὴ ὑπὲρ ἀδελφῶν κατὰ Κύριον ἀεὶ ἡ γωνίζετο,
κἂν οὐ συνῳκίζετο. Ὦ ψυχῆς οἰκτίρμονος καὶ
ἐλεήμονος ἐπίδοσις! καὶ ὦ σπλάγχνων συμπαθῶν
κένωσις, οὐ φερόντων τὴν τῶν προσιόντων στέ-
νωσιν! ὥστε καὶ δέεσθαι αὐτὴν ὑπὲρ τῶν δεο-
μένων, καὶ δανείζεσθαι ὑπὲρ τοῦ δανείων ἀπαλλά-
ξαι· καὶ χαίρειν καὶ ἑαυτὴν πρίασθαι ὑπὲρ τῆς
ἑτέρων ἀπολυτρώσεως, τραπεζοποιουμένην αὖ πλει-
στάκις χριστομιμήτως, καὶ τὰς πενομένας συγκα-
λουμένη, καὶ ταῖς ἰδίαις χερσὶν ὑπηρετοῦσαν, διότι
ἔρως ἦν αὐτῇ, τὸ τῆς φιλοπτωχίας δώρημα. Ὦ τί-
μίου στόματος τῆς ἐκ θείων λογίων ἀενάου ἐκμελετή- C
σεως, καὶ ἀπαραλείπτου μέχρι θανάτου διαλειτουρ-
γήσεως! Ὦ τιμίων ποδῶν ἀποσφυρώσεως, ἐκ τῆς
ἐντευκτικῆς πρὸς Θεὸν ἀνενδότου πήξεώς τε καὶ πα-
ραστάσεως! Ὦ οὐ μόνον ἑσπερινῆς, ἀλλὰ καὶ ὀρθρι-
νῆς καὶ μεσονυκτινῆς ὁσίων χειρῶν πρὸς Θεὸν ἐπ-
άρσεως καὶ διανυτικῆς τῶν αἰτηθέντων ἐπιτεύξεως!
καὶ ὦ νυκτερινῶν ἐνυπνίων διασαφήσεως! ἐπειδὴ
πρὸς τὰ παριστάμενα λυπηρὰ, πολλάκις αὐτῇ Θεὸς
τὸ μέλλον προμεμήνυκεν. παραμυθούμενος τὴν αὐτοῦ
θεράπαιναν. Ὦ τῆς τοῦ ὅλου σώματος ἐξ ἀσκήσεως
παραλύσεως! καὶ ὦ εὐτελοῦς καὶ ἀθάλπου ἐν καιρῷ
κρύους ἐνδύσεως! καὶ ὦ στρωμνῆς διαξήρου στενῆς
τε καὶ κολοβῆς, καὶ ψυχοόσης ἀνακλίστως! ὦ τῆς
ἀφίλου καὶ ἀσυνδυάστου προς πᾶσαν ὄψιν ἄῤῥενος
διαθέσεως! καὶ ὦ τῆς ἐπιμόνου καὶ τεταμένης αὐ-
τῆς πρὸς Θεὸν μονώσεως. Διὰ τοῦτο γὰρ καὶ ἀκηδίᾳ D
παλαίουσα, καὶ μήτε ἡμᾶς ὁρᾷν ἔχουσα συχνότερον,
μήτε ἄλλον τὸν πνευματικῶς ὑπαλείφοντα, ἠττᾶτο
ποιουμένη τὰς τινας προόδους καὶ ἀποδημίας· ἀλλὰ
κἂν τούτῳ τὸν κανόνα φυλάττουσα ἀπαράλειπτον
ἀπεδείκνυτο· ὦ φιλεργίας ἀνυπερβλήτου νύκτωρ τε
καὶ μεθ' ἡμέραν διακοπώσεως! καὶ ὦ δακτύλων τοῦ
ἐργαστικοῦ ἀποσκληρώσεως, καὶ εἰς βύρσης σκληρό-
τητα μεταποιηθείσης τῆς φυσικῆς ἁπαλότητος· μὴ

rit passa a custodis ancillis, quanta in angustia
fuerit quod attinet ad vitæ sustentationem, panem
doloris comedens, et calicem bibens tribulationis.
Sed non est hujus temporis omnia quæ tunc ausa
et acta fuerunt significare. Ignoscamus malorum
auctoribus quidquid egerunt. Sic enim dicere con-
venientius est ; quandoquidem judiciis suis per-
missionis aut providentiæ, ut malum abrumpere-
tur, et ne lex fieret quod erat illegitimum, persecu-
tionem Deus sedavit : nam et exsules, reversi su-
mus ; et dispersi, denuo convenimus ; felicem, ut
scitis, reditum abs regnante Domina consecuti.

11. Age vero quid adhuc venerandæ matris lau-
dibus addemus, aut quid convenientius attexemus ?
O lacrymarum rivuli, quotquot ex ejus oculis peren-
niter fluxerunt, propter virum, propter unum e
filiis lubrico magis obnoxium, propter Ecclesiæ
gregem, propter lapsos, dum singulos solidare co-
natur ! Namque ut spiritalis mater, clemens erat ;
ut soror, pro fratribus in Domino nunquam non
sollicita, etiamsi contubernalis non esset. O anima
misericordiæ et eleemosynæ semper parata ! O vis-
cerum benignorum effusa charitas, quæ neminem
accedentem angustiis angi sinebat ! ita ut egeret
ipsa pro indigentibus, versuram faceret pro redi-
mendis aliorum versuris, gestiret denique pretium
pro aliorum redemptione persolvere, trapeziticam
etiam sæpissime Christi imitatione exercens. Pau-
peribus quoque feminis ad se convocatis propriis
manibus ministrabat ; namque in deliciis ei fuit
erga inopes benignitas largitasque. O venerandum
os, quod divina eloquia semper meditabatur, et
incessabilem usque ad mortem liturgiam obivit !
O venerandorum pedum ad ambulandum indesi-
nenter ad Deum malleoli firmi semper atque para-
ti ! O non vespere tantum sed et mane et nocte me-
dia sanctarum manuum ad Deum elevatio, et certa
postulatorum impetratio ! O nocturnorum somnio-
rum revelationes ! Etenim ob circumstantes mole-
stias sæpe Deus futura præmonstravit, famulam
suam consolans. O totius corporis ob asceticam
vitam dissolutio, vilisque et male ab hiberno fri-
gore protegens vestis ! O lectule rigide, anguste
curteque, frigidique discubitus ! O indifferens et
inconciliabilis erga cujuslibet viri aspectum animi
habitus ! O constans et enixa ipsius cum Deo soli-
tudo ! Quare et cum tristia conflictans, neque nos
sæpe aspicere valens, neque alium qui spiritaliter
recrearet, mœrori cedens, egressiones aliquas et
peregrinationes faciebat : verumtamen in his ipsis
solemnem precum ordinem accurate observare se
demonstrabat. O diurni nocturnique laboris sum-
mus amor ! O digitorum ex opere durities, et natu-
ralis teneritudo in corii asperitatem conversa ! quia
videlicet non pro se tantum, (id enim minime cura-

(14) Intelligit Euthymium, quem ad constantiam multis verbis roborabat ipse Theodorus lib. I, epist. 1 : ἀνδρίζου οὖν καὶ αὐτός, ἀδελφὲ κῦρι Εὐθύμιε : *Viriliter age et tu, domine frater Euthymi*, etc.

bat), sed pro totius fere cœnobii indumentis operabatur, ut vos auditores scitis.

12. Singularis quippe in hoc femina fuit præter cætera, ita ut si qua in re reprehendi ut homo potest, hinc ansa arripiatur, atque ex reliquo ejusdem erga virtutem fervore; quo fiebat plerumque vehemens et nimia erga socias asceseos ac subditas exactrix. Imo et iracundia succendebatur in defectibus sive operum. sive psalmodiarum, sive ad officia assiduitatis; raroque in his a quapiam superabatur, socordesque urgebat, et alapis etiam inobsequentes pulsabat. Sed tamen sic etiam magis diligebatur, quam illi qui plus nimio indulgentes sunt; quia non nisi recti bonique amore iis motibus percellebatur: alioquin prorsus ab his abhorrens, et subesse aliis deposcens: interim Deum sibi misericordem implorans, sicut nos aliis pariter condonamus. Reapse post Patrem (Platonem) custodia inclusum, adeo mihi ob suam humilitatem subjecta erat, seque in obsequium tradiderat, ut [et famulam se appellaret, et indignis pedibus meis advolveretur, et cordis arcana mihi patefaceret, et nullatenus a meis præscriptis discederet. Pudore igitur miser ego suffundor, quoties reputo quomodo illa me dominum patremque nominaret, et quomodo me coleret, amorem timori admiscens, neque ut mater, sed ut filia morem gereret.

13. Præterea lex illi vel limes continentiæ fuit, nunquam comedere ad sactetatem: sed tamen ciborum qualitatem coercere per obedientiam ei non licebat; etsi in hoc magnopere repugnabat, neque exaudiebat. Semel itaque in die vescebatur, et quidem circa solis occasum plerumque, sumens tenuem et simplicem sine oleo vinoque cibum. Et siquando statis diebus jejunium omittebat; non sane ad repletionem, sed parum quid brevique degustans, sats ei erat. Religiosæ vero paupertatis demonstratio erat, quod nihil omnino habebat, non famulam, non aurum argentumve, neque mundanum aliquid, sed vestimenta cilicina, et paupercula duo tegumenta. Hæc mortis causa mihi et fratri largita, cæteris sepulturæ reservatis, sic nuda substantiis et mundi affectibus, læta tanquam ad propria proficiscens rebus humanis excessit, bene nobis salubriterque precata, præsentes quoque omnes crucis symbolo signans; nam multi inventi sunt ibi fratres, ejus obitum spectaturi.

14. Sed, o veneranda et desideratissima mater, ad te enim sermonem converto, dulcis mihi res et

(15) Id affirmat Theodorus etiam in epistola ad matrem, lib. II, 6.

(16) Confer prædictam Theodori ad matrem epistolam.

(17) Auctor chronicæ synopseos Vitæ Theodori in editione Sirmondi ad an. 795, putat epistolam ad matrem scriptam fuisse ante suam profectionem in exsilium ad urbem Thessalonicam; quod si ita se haberet, Theoctista quoque per id tempus obiisset; quod a veritate plane abhorret. Nam Theoctista comes illius itineris filio fuit.

A ὅτι πρὸς τὸ ἑαυτὴν ἐπαρκεῖν ἐργαζομένης (τοῦτο γὰρ μηδενὸς λόγου πρὸς αὐτῆς), ἀλλὰ καὶ πρὸς τὸ ὅλον κοινόβιον σχεδὸν ἐνδιδύσκειν, ὡς ἐπίστασθε, οἱ ἀκούοντες (15).

ιβ'. Καὶ γὰρ ξένη τις τῶν γυναικῶν ἐν τούτῳ ὤφθη μετὰ τῶν ἄλλων· ὥστε καὶ εἴ τι ὡς ἄνθρωπον αὐτὴν ἔστι μωμεῖσθαι, ἐντεῦθεν τὰς ἀφορμὰς προσεῖναι, καὶ ἐκ τῆς ἄλλης αὐτῆς περὶ τὰ καλὰ θερμότητος, ἐπιτατικὴν ὡς τὰ πολλὰ οὖσαν ἀκριβολογουμένην πρὸς τὰς συνασκουμένας ὑποχειρίους, καὶ θυμουμένην ἔστιν ὅτε ἐν ταῖς ἐλλείψεσιν εἴτε τῶν ἔργων, εἴτε τῶν ψαλμῳδιῶν, εἴτε τῶν παραστάσεων· ὡς καὶ νικηθῆναι αὐτὴν οὐ πολλάκις, ὠθῆσαί τε νυσταζούσας, ἢ καὶ ῥαπίσαι ἀνηκοούσας. Ἀλλὰ καὶ εἴθ' οὕτως εἶχε τὸ ἀγαπᾶσθαι μᾶλλον ὑπὲρ τεὺς λίαν
B ὁμαλωτάτους, διὰ τὸ ἐξ ἀγαθοῦ αὐτὴν κινεῖσθαι πρὸς ταῦτα, καὶ πάντοτε ἀπογινώσκουσα καὶ ζητοῦσα ὑποτάσσεσθαι· καὶ μέντοι διὰ τοῦτο τὸν Θεὸν ἱλεουμένη, ὡς ἡμεῖς αὐτοὶ τὰς συγχωρήσεις εἰκότως ἐποιούμεθα· καὶ γὰρ μετὰ τὴν κάθειρξιν τοῦ Πατρὸς τοσοῦτον ὑπετάγη μου τῇ ταπεινώσει καὶ ἐπιδέδωκεν εἰς ὑπακοήν, ὥστε καὶ δούλην ἑαυτὴν ὀνομάζειν καὶ τῶν ἀναξίων μου ποδῶν ἐφάπτεσθαι, ἐξαγορεύειν τε τὰ κρυπτὰ τῆς καρδίας, καὶ εἰς πᾶν ὁτιοῦν μὴ ἀντιτείνειν τῶν ἐπιταγμάτων. Αἰδοῦς τοίνυν πληροῦμαι ἔγωγε ὁ τάλας ὁσάκις ἂν καὶ ἀναλογίσωμαι ὅπως τέ με ὠνόμαζε κύριον καὶ Πατέρα, καὶ ὅπως ἐσέβετο συμμίξασα τῷ φόβῳ τὸν πόθον, καὶ οὐχ ὡς μήτηρ, ἀλλ' ὡς τέκνον πειθαρχοῦσα.

ιγ'. Πρὸς ταῦτα ἐγκρατείας μὲν ὅρον, τὸ μὴ εἰς
C κύρον φαγεῖν εἶχεν· τὴν δὲ ποιότητα τῶν βρωμάτων συστεῖλαι ἡ ὑποταγὴ οὐκ εἶα, καίπερ προσκειμένην ἐπὶ τοῦτο σφοδρῶς, καὶ μὴ εἰσακουομένην. Ἦν τοίνυν μονοσιτοῦσα, καὶ πρὸς δύσιν τοῦ ἡλίου ὡς τὰ πολλά, μεταλαμβάνουσα λιτήν τινα καὶ σχέδιον, ἀνέλαιόν τε καὶ ἄοινον τὴν τροφήν· κἂν ὁπότε δὲ κατέλυεν ἐν ταῖς ὡρισμέναις ἡμέραις, οὐ κατὰ πλησμονήν, ἐξ ὀλίγου δὲ καὶ κατὰ μικρὸν λαμβάνουσα ἤρκειτο· ἀκτημοσύνης δὲ δεῖγμα, τὸ μηδὲν ἔχειν αὐτήν, μήτε θεραπαινίδα, μήτε χρυσίον, μήτε ἀργύριον, μήτε τι τοῦ αἰῶνος τούτου, ἢ μόνον τὰ τρίχινα ῥάκια ἃ περιβέβλητο, καὶ τὰ δύο πενιχρὰ σκεπάσματα (16). Ἀμέκει τοίνυν ὅτε ἀπετελεύτα,
D ἐμοί τε καὶ τῷ ἀδελφῷ διανείμασα ταῦτα, καὶ τὸ λοιπὸν εἰς ἐνταφιασμὸν ἔχοῦσα, οὕτως γυμνὴ καὶ ταῖς ὕλαις καὶ ταῖς τοῦ κόσμου προσπαθείσις, χαίρουσα καὶ ὡς πρὸς τὰ ἴδια χωροῦσα, ἀπεδήμησεν ἐκ τῶν ἐνθένδε, ἐπιφθεγξαμένη ἡμῖν εὐκτήρια καὶ σωτήρια, καὶ κατασφραγίσασα ἕκαστον τῶν παριστamένων, ἐπειδὴ καὶ πολλοὶ τῶν ἀδελφῶν εὑρέθησαν θεώμενοι τὴν κοίμησιν (17).

ιδ'. Ἀλλ' ὦ μῆτερ σεβασμία καὶ πολυπόθητε (πρὸς σὲ γάρ εἰμι ἐπιστρεφόμενος, τὸ γλυκύ μοι καὶ

πρᾶγμα καὶ ὄνομα, τὸ ποθητόν μοι καὶ ἐράσμιον θεώρημα, ἡ μητρότεκνος, μᾶλλον δὲ διτοτόκος μου διμήτηρ), ποῦ ποτε ἡμᾶς ἀπολέλοιπας ; ποῦ ποτε μετακεχώρηκας ; πῇ δὲ μεθωρίσθης ; πῇ δὲ καὶ ἐν ποίοις τόποις ἐναυλίζῃ ; ἐν ποίαις ἐπαύλεσι συγχωριάζεις ; ὁπηλίκας κατοπτεύεις ; Τὸν γὰρ ἄρχοντα τοῦ ἀέρος τούτου εὖ οἶδα ἐκ τῶν ἀγαθῶν σου πράξεων ὑπερνικήσασαν, ἐκεῖσε εἶναι ἔνθα ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμὸς, ἔνθα τῶν ἁγίων πάντων ἐστὶν εὐφραινομένων ἡ κάτοικία, ἔνθα ἦχος καὶ χορὸς ἑορταζόντων καὶ ἀγαλλιωμένων, ἔνθα καὶ οἱ κοινοὶ ἡμῶν ἀδελφοὶ οὕς καὶ ἐπόθησας καὶ συγκοινωνεῖν ἤρω · ἄρτι γὰρ τὰ ἰδιώματα τῆς σαρκὸς παρόντα διάφορὰν ποιοῦνται τῆς συτδιώσεως. Μὴ μὴ ἐπιλάθῃ ἡμῶν τῶν σῶν ἐλαχίστων τέκνων · μὴ, παρακαλῶ· μὴ, ἀντιβολῶ, μὴ ἐπιλήσῃ τοῦ ποιμνίου σου τοῦ μικροῦ τε καὶ τοῦ μεγάλου · ἀλλὰ παῤῥησίας τυχοῦσα, πιστεύω δ' ὅτι καὶ ἐπιτετύχηκας, στῆθι καὶ ἵλεοῦ καὶ ἐξιλάσκου προσεύχου καὶ ὑπερεύχου καὶ μᾶλλον ἄρτι ἐκτενεστέρως, παιδαγωγοῦσα καὶ στηρίζουσα καὶ ῥρουροῦσά με τὸν δείλαιον ἀπὸ φόβου ἁμαρτητικοῦ, ἀπὸ βέλους πετομένου ἀνομίας, ἀπὸ πάσης ἄλλης ἐπηρείας δαιμονικῆς · ποιμαίνουσα καὶ συμποιμαίνουσα, νύσσουσα καὶ προσυπομιμνήσκουσα διὰ ψυχικῆς ἐντεύξεως · ἐπισκεπτομένη τε καὶ ἐπανορθουμένη ἑκάστοτε, καὶ θεωμένη πῶς ἀνίσταμαι, πῶς κεκίνημαι ψυχῇ τε καὶ σώματι, ἵνα παντοίῳ λόγῳ ῥυθμούμενος καὶ καταρτιζόμενος, κατὰ σκοπόν τε βαίνων τῆς ἀληθείας, φθάσω εὐαρεστεῖν Θεῷ διὰ τῆς ἀγαθῆς ἀφηγήσεως, καὶ τύχω μετὰ νὸν τῇδε βίον σὺν τοῖς ἑπομένοις μοι ὑπὸ τὴν σκέπην σου εἶναι, καὶ συμμετασχεῖν σου ὡς τέκνον ἐλάχιστον τῆς ἐκ δεξιῶν Χριστοῦ τοῦ ἡμῶν παραστάσεως. Ταῦτα μὲ, τέκνα, ἠνάγκασεν ἡ ἀλήθεια διηγήσασθαι καὶ ὑμῖν, παρὰ ῥεῦσιν τὰ τοιαῦτα κελεύουσιν.

nomen, desiderabilis amabilisque conspectus mater simul et filia, quæ bis me peperisti, bie genitrix, ubinam nos reliquisti ? quonam te migrasti ? quos in fines translata es ? quæve loca nunc habitas ? quibus in sedibus diversaris ? quales nunc contubernales spectas ? Nam principem quidem aeris hujus certo scio te bonis tuis operibus devicisse, ibique te esse unde dolor et mœror et luctus exsulant : ubi sanctorum omnium incolatus est beatorum : ubi strepitus chorusque solemnizantium atque lætantium est : ubi nostri communes fratres quos et amasti et consortes habere exoptasti. Nunc enim præsentes adhuc carnis proprietates discrimen convictus efficiunt. Neque mei obliviscaris filiorum tuorum minimi : ne, inquam, oro quæsoque, pusilli gregis tui curam omittas neque magni. Sed securitatem adepta credo enim te illa potitam adesto indulge, propitiare. Ora et exora nunc maxime enixius ; dirige, firma, custodi me miserum a peccandi periculo, a telo volante iniquitatis, ab omni reliquo diaboli nocumento. Pasce me, compasce, urge, commone, spiritali præsentia visita, corrige in singulis, atque observa quomodo surgam, quomodo cubem, quomodo corpore animoque commovear : ut omnimodis directus et perfectus, ex norma veritatis incedens, Deo placere bono vitæ tramite queam : et post hanc vitam impetrem ut cum asseclis mei sub tuo patrocinio fiam, et filius minimus tecum sortiar in dextera Christi Dei nostri consistere. Hæc me, o filii, eloqui veritas coegit, vobismet scilicet talia cursim perorare me jubentibus.

EPISTOLÆ.

(SIRMOND. p. 177.)

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΘΕΟΔΩΡΟΥ ΗΓΟΥΜΕΝΟΥ ΤΩΝ ΣΤΟΥΔΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ΕΚ ΤΩΝ ΔΙΑΦΟΡΩΝ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΩΝ ΕΚΛΟΓΗ ΤΗΣ ΠΡΩΤΗΣ ΚΑΙ ΔΕΥΤΕΡΑΣ ΕΞΟΡΙΑΣ.

SANCTI PATRIS NOSTRI ET CONFESSORIS

THEODORI PRÆPOSITI STUDITARUM,

EPISTOLÆ.

LIBER PRIMUS

EX DIVERSIS EJUS EPISTOLIS QUÆDAM SELECTA IN PRIMO ET SECUNDO EXSILIO SCRIPTIS.

1. — *Platoni patri spirituali.*

Theodorus exsul Platonem, vel potius sub Platonis persona, monachos suos hortatur, ne Imperatatori adultero consentiant (Baronius an. 786. n. 4.)

Quibus verbis te affabimur. Pater dulcissime, A sanctis visceribus tuis propter Deum orbati? quid læti aut jucundi loquemur? Neque enim luctuosa et tristia quasi acerbe ferentes hoc quod exsilium existimatur; quod nos a te didicimus non agnoscere, ut qui incolæ simus universæ terræ: sed illud solum, quo quis a Deo per cujuslibet ejus mandati prævaricationem excidit, longeque projicitur. Quapropter gaudemus sane et lætamur, quod quamvis indigni cœlo et terra simus, tecum tamen sancto patre nostro digni habiti sumus, qui pro ejus mandato hæc pateremur, tuaque secundum carnem consuetudine privaremur. Cæteroqui enim nobiscum semper es, pater, in oculis et ore omnium nostrum. Et qui aliter vivere possimus, nisi a te sanctarum precum præsidio tegamur, et a malo servemur innoxii? Seorsum abjuncti ac segregati B singuli fuimus; salvi tamen omues atque integri ac stabiles permansimus. Et quanquam parva quædam incommoda in via pertulimus, nonnullis nostrum etiam morbo affectis; ille nihilominus qui dixit: *Respicite volatilia cœli, et lilia agri* [1]; qui minime fallit in promissis suis, incolumes nos tandem præter spem nostram huc [Thessalonicam]

[1] Matth. VI, 26, 28.

Α'. — Πλάτωνι πνευματικῷ πατρὶ.

Τί σοι, ὦ Πάτερ γλυκύτατε ἡμῶν, προσφθεγξώμεθα, οἱ ἀπορφανισθέντες διὰ Θεὸν ἀπὸ τῶν σῶν ἁγίων σπλάγχνων; ποῖον δὲ προσηνὲς ἢ περιχαρὲς λέξομεν; οὐδὲ γὰρ ὀδυρτικὰ καὶ θλιβερὰ, δυσχεραίνοντες τὴν δοκουμένην ἐξορίαν· ἣν ἡμεῖς οὐ γινώσκειν δεδιδάγμεθα ὑπὸ σοῦ· κατὰ τὸ παροίκους ἡμᾶς εἶναι πάσης τῆς γῆς· ἢ μόνην τὴν ἀπὸ Θεοῦ διὰ τῆς παραβάσεως τῆς ὁποιασοῦν ἐντολῆς αὐτοῦ ἔκπτωσιν καὶ μακρὰν ἀποβρίψῃν. Διὸ χαίρομεν καὶ εὐφραινόμεθα, ὅτι κἂν ἀνάξιοί ἐσμεν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πλὴν σὺν σοὶ τῷ ἁγίῳ ἡμῶν Πατρὶ κατηξιώθημεν ὑπὲρ τῆς ἐντολῆς αὐτοῦ ταῦτα παθεῖν, καὶ στερηθῆναί σου τῆς κατὰ σάρκα συναφείας. Ἄλλως γὰρ μεθ' ἡμῶν εἶ ἀεὶ, Πάτερ, ὁρώμενος καὶ συλλαλούμενος. Καὶ πῶς γὰρ ἑτέρως ζήσομεν, εἰ μὴ σοῦ τῷ τῶν ἁγίων εὐχῶν σκέπῃ περιφυλαχείημεν ἀβλαβεῖς ἀπὸ τοῦ Πονηροῦ, καταμόνας εἷς ἕκαστος ἡμῶν διορισθείς; πλὴν διεφυλάχθημεν καὶ διασεσώσμεθα καὶ ἠδράσμεθα πάντες. Καὶ εἰ καὶ μικρόν τι ἐταλαιπωρήσαμεν ἐν τῇ ὁδῷ, τινῶν καὶ ἀσθενησάντων· ὅμως ὁ εἰπὼν, Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ εἰς τὰ κρίνα τοῦ ἀγροῦ, καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίας αὐτοῦ, ἀπεσώσασο ἡμᾶς, ὡς οὐκ ἠλπίζομεν, παραθέμενος ἡμᾶς ἐνταῦ-

θα· κλίνας τε εἰς συμπάθειαν τὰς καρδίας τῶν ὄντων ἀνδρῶν τῆς ταλαιπωρίας ἡμῶν, καὶ μάλιστά γε τοῦ ἀρχιεπισκόπου. Μία δὲ λοιπὸν μέριμνά ἐστιν ἡμῖν καὶ ἀδιάσπαστος ἀδολεσχία, μετὰ δεήσεως ἐκτενοῦς καὶ ἀναξίας, τὸ σὲ κραταιοῦσθαι, Πάτερ ἡμῶν πολυπόθητε, καὶ μένειν ἐν τοῖς δεδογμένοις τῆς ὑπὲρ ἀληθείας Θεοῦ ἀμολογίας ἀκλινῆ καὶ ἀκίνητον, ἐν μηδενὶ πτυρόμενον, ἢ διψυχοῦντα ταῖς τῶν προβαλλόντων κατ' ἐκστροφὴν τῶν οἰκοδομηθέντων σοι χάριτι Θεοῦ ὑπὲρ εὐσεβείας ἀγωνισμάτων ἐγχειρήσετιν. Ἐξήχηται γὰρ ὁ λόγος πανταχοῦ, καὶ δεδυσώπηκε σχεδὸν πᾶσαν ψυχὴν, καὶ ἤγειρε κέρας σωτηρίας ἐν τοῖς Χριστιανοῖς, καὶ ἀφεῖλεν ὄνειδος ἐκ τῶν μοναστῶν. Καὶ οἶδ' ὅτι φήσειεν ἕκαστος εὖ φρονῶν, ὅτι ζῇ Χριστὲς ἐν ἡμῖν, καὶ βασιλεύει, καὶ πειθαρχεῖται μᾶλλον ὑπὲρ ἀνθρώπους οὓς ἔπλασεν, οὐχ ἵνα ἀπειθῆται, δοξάζηται δὲ ὑπ' αὐτῶν. Πάντα οὖν γινώσκεις, οἶδας τὰ δέοντα, οὐ τῆς ἡμετέρας ὑπομνήσεως δεῇ· πλὴν προεκέλευσας οὕτως ἡμᾶς γράφειν. Διὸ δὴ μὴ φοβηθῇς, Πάτερ, ἄνθρωπον, ἢ ἀνθρώπων ἐκθλίψεις. Γνωρίζεις ὅτι οἱ ἅγιοι ὄναρ καὶ σκιὰν ταῦτα λογισάμενοι, ἐθαυμαστώθησαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Μικρὸν δέομαι, πονήσωμεν· ἔτι μικρὸν ὑπομείνωμεν· καὶ ἥνυσται ἡμῖν ὁ δρόμος ὁ κολός. Καὶ ὁ στέφανος πέπλεκται, καὶ ὁ μισθὸς ἑτοιμάζεται αἰώνιος, καὶ φίλος κληθήσῃ τοῦ ἐπουρανίου βασιλέως, καὶ τῶν ἁγίων κοινωνὸς, καὶ ὁμολογητὴς παρὰ ἀνθρώποις. Ναὶ, ναὶ δέομαι καὶ ἀντιβολῶ τὰ πατρικά μου σπλάγχνα· γενοῦ ἡμῖν ὀχύρωμα, ὑπομονὴ, καρτερία. Ἐὰν γὰρ σὺ, Πάτερ, στήκῃς, ἡμεῖς τὰ ἀχρεῖά σου τέκνα εὐτονούμεθα, πάντα οἴσομεν γενναίως τὰ συμβαίνοντα, δυνάμει Θεοῦ καὶ εὐχαῖς σου. Ἐκ γὰρ Θεοῦ ἡ παραχώρησις, οὕτως εὐδοκοῦντος πάντως τὰ ἡμέτερα, καὶ αὐτοῦ διδόντος δύναμιν. Τὰς τεχνολογίας τῶν ὑποκλίνειν σε τῆς ἀληθείας πειρωμένων μὴ δὴ πτοοῦ, ὦ Πάτερ. Ἁπλοῦς ὁ λόγος. Φησὶ γάρ που ὁ ἅγιος Ἐπιφάνιος ἐν τῷ περὶ τοῦ Πάσχα αὐτοῦ λόγῳ· Οἷος ἂν ᾖ ἄνθρωπος, παρὰ τὰ ἐν τῇ θείᾳ Γραφῇ κείμενα συμβουλεύων, ἀπὸ καρδίας λαλεῖ, καὶ ἐντάλματα ἀνθρώπων διηγεῖται· καὶ περὶ τῶν τοιούτων φέρων τὰ τοῦ Ἀποστόλου λέγει, ὅτι Κἂν ἄγγελος ἐξ οὐρανοῦ ἐστιν, ἀνάθεμα αὐτῷ. Ποῦ δὰ φήσομεν τὸ, Οἱ ἱερεῖς μου ἠθέτουν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἁγιά μου; ὃ προφητικὸν ὂν προσλαβὼν ὁ Θεολόγος ἐν τῷ μεγάλῳ Ἀπολογητικῷ, προστίθησιν οὕτω λέγων· Βεβήλοις καὶ ὁσίοις οὐ διέστελλον· ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Πόσα δὲ ἄλλα, ἐάν τις θέλῃ ἀκούειν; Παυέσθωσαν λοιπὸν οἱ διαστρέφοντες τὴν ἀλήθειαν τοῦ Θεοῦ ψευδέσι λόγοις, καὶ ἑαυτοῖς προσεχέτωσαν. Ἡμεῖς γαρ τῆς ἐντολῆς τηλαυγοῦς οὔσης, καὶ τῇ παραβάσει τὸ αἰώνιον πῦρ ἀπειλούσης, οὐχ ὑποκύψομεν τοῖς ἀνθρωπίνοις φόβοις ἢ πόνοις· οὐ, μὰ τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας· ἀλλ' εἰ καὶ τὸ αἷμα χεῦσαι δεῖ, μετὰ χαρᾶς ποιησόμεθα, Θεοῦ ἐνισχύοντος διὰ τῶν σῶν ἁγίων προσευχῶν.

perduxit, ad ærumnæ nostræ commiserationem incolarum corda inflectens, sed potissimum archiepiscopi. Reliqua vero una est cura nostra, et assidua meditatio, cum prolixis precibus et immeritis, ut ipse corroboreris, Pater desiderabilissime, et in instituta pro veritate Dei confessione fixus atque immobilis maneas; nihil trepidans, aut animum conturbans ad eorum insultus, qui certaminum gloriam quæ pro pietate cum divina gratia obiisti, evertere conantur. Sparsa enim ubique fama est, omnesque propemodum homines stupore complevit, et cornu salutis erexit in Christianis, infamiam auferens ex ordine monachorum. Atque hoc, scio, fatebitur unusquisque compos rectæ mentis, vivere Christum in nobis, et regnare, eique obedire nos magis quam hominibus quos creavit; non ut contemnatur, sed glorificetur ab eis. Omnia ergo tibi perspecta sunt: scis quid facto opus; commonitione nostra non eges: verumtamen hæc ita nos scribere præcepisti. Quare noli hominem timere, Pater, aut hominum vexationes. Nosti sanctos cum umbram et somnium hæc ducerent, admirabiles cœlo terrisque exstitisse. Modicum, quæso, laboremus: modicum adhuc sustineamus, et egregium cursum consummabimus. Jam corona texitur, merces æterna præparatur, et cœlestis regis amicus sanctorumque particeps vocabere, et apud homines confessor. Sic, sic oro atque obtestor Patris mei viscera: esto nobis fortitudo, patientia, constantia. Tu enim, Pater, si steteris, non imbecilles filii tui valentiores reddemur: et viriles animos capiemus, casus omnes fortiter feremus, Dei virtute ac precibus tuis. A Deo siquidem est hic secessus, sic approbante omnino res nostras; viresque suppeditante. Facundiam eorum qui te a veritate dimovere conantur, haud quaquam reformides, Pater. Simplex sermo. Ait enim uspiam sanctus Epiphanius in oratione sua de Paschate, qualis sit homo, præter ea quæ in divinis Litteris scripta sunt, consultus; ex corde loquitur, et enarrat mandata hominum. Et de his ipsis Apostoli verba producens: *Licet*, inquit, *angelus de cœlo sit, anathema illi*[2]. Quo autem numero illud consbimus, *Sacerdotes mei contempserunt legem meam, et polluerunt sanctuaria mea*[3]? quod prophetæ dictum usurpans Theologus in magno *Apologetico*, hæc addit: Profana et sacra non distinguebant, sed omnia illis communia erant. Quam multa sunt alia, si quis audire velit? Desinant ergo, qui falsis sermonibus pervertunt Dei veritatem, sibique ipsis attendant. Nos enim cum perspicuum sit mandatum, et ignem æternum prævaricantibus minetur, nequaquam cedemus humanis terroribus aut suppliciis; non, per suscepta pro veritate certamina. Quin si sanguinem profundere opus sit, libentes atque hilares profundemus, Deo nos per sanctas preces tuas corroborante

[2] Galat, I, 8. [3] Ezech. XXII, 26.

Viriliter age et tu, domine frater Euthymi : bonum certasti certamen [4] : ne deseramus nos, lux mea, et viscera mea : ne pro exiguo et brevi lætitiæ fructu, beatam vitam amittamus. Ne præsentium rerum jucunditate capiaris, neve ad tribulationes succumbas, frater. Noli terga dare. Gavisus est Christus, videns te sua causa flagellatum. Cave illum contristes, dilecte mi, vel collætantes angelos, vel dominum Patrem, vel, quæ nos Spiritu sancto enixa est, venerandam Matrem, vel fratres tuos omnes, meque præcipue, quem amare te dicis. Tres sumus carne fratres, simus et spiritu : ne violemus sacrum et divinum numerum : exponamus nos ipsos pro Dei mandato ad supplicium, ut in æternum vivamus. Quod superest, solliciti etiam, Pater, sumus de reliquis fratribus nostris dulcissimis, quam recte illos Dominus direxerit. Hoc enim peccatores oramus, ut ipse illorum curator sit, dispensator, et ductor, prout ipse novit et jubet et vult, res illorum administrans. Revera enim uberes pro illis lacrymas fundimus ; semperque in oculis nostris illorum vultus versantur, quum eorum preces imploramus subsidio negligentiæ nostræ. Verumtamen tu pro omnibus precare, Pater, ut patientiam adipiscamur, felicitatem, præsidium a Deo, et auxilium adversus diaboli tentationes : et, quod Deo placuerit, ut te in carne, aut alios fratres nostros videamus : fiat, fiat. Quæsumus et audemus ex nobis salutare dulcem fratrem nostrum, si tecum est, aut si quis alius fratrum nostrorum, quisquis erit cui nuntiabis. Salutat mecum sanctam animam tuam dominus diaconus, et pater noster, egregius frater meus, et filius tuus œconomus cæteri honorandi fratres et desiderandi. Ora pro nobis, Pater, enixe et incessanter, ut jubes. Aliud enim dicere non habemus.

A Ἀνδρίζου οὖν καὶ αὐτὸς, ἀδελφὲ κῦρι Εὐθύμιε · καλὸν ἀγῶνα ἠγωνίσω · μὴ ἀπολειφθῶμεν ἀλλήλων, φῶς ἐμὸν καὶ σπλάγχνον μὴ δι' ὀλίγην καὶ πρόσκαιρον εὐζωΐν, ἀπολέσωμεν τὴν μακαρίαν ζωήν. Μὴ τερφθῇς τοῖς παροῦσιν ἡδέσι, καὶ ὀκλάσῃς πρὸς τὰ θλιβερὰ, ὦ ἀδελφέ. Μὴ δώσῃς νῶτα. Ἐτέρφθη οὖν ὁ Χριστὸς, ἰδών σε τυπτόμενον ὑπὲρ αὐτοῦ · μὴ λυπήσῃς αὐτὸν, ἀγαπητέ μου, μηδὲ τοὺς περιχαρέντας ἀγγέλους, μηδὲ τὸν Κύριον τὸν Πατέρα, μηδὲ τὴν καὶ Πνεύματι ἁγίῳ ὠδίνουσαν ἡμᾶς σεβασμίαν Μητέρα, μηδὲ τοὺς ἀδελφούς σου πάντας · ἐξαιράτως ἐμὲ, ὃν λέγεις δῶρον φιλεῖν. Τρεῖς ἐσμεν (1) ἀδελφοὶ τὸ κατὰ σάρκα, ἔστω καὶ τὸ κατὰ πνεῦμα · μὴ ἀτιμάσωμεν τὸν τίμιον καὶ θεαρχικὸν ἀριθμόν · δῶμεν ἑαυτοὺς ὑπὲρ ἐντολῆς Θεοῦ πάσχειν, ἵνα B ζήσωμεν τὰν αἰῶνα. Λύπη δ' οὖν ἡμῖν ἐστι, Πάτερ, μεγάλη καὶ διὰ τοὺς λοιποὺς γλυκίους ἀτελφοὺς ἡμῶν, πῶς ὁ Κύριος διευθέτησεν αὐτούς. Τοῦτο γὰρ ὡς ἁμαρτωλοὶ εὐχόμεθα, ἵνα αὐτὸς μεριμνητὴς αὐτῶν γένηται, διοικητὴς, ὁδηγὸς, ὡς οἶδε καὶ κελεύει, καὶ θέλει, τὰ κατ' αὐτοὺς πρυτανεύων. Τῷ ὄντι γὰρ πικρὰ δάκρυα ἀποστάζομεν δι' αὐτούς · καὶ ἐπ' ὀφθαλμοὺς ἡμῶν ἀεὶ αἱ ὄψεις αὐτῶν κεῖνται, τὴν εὐχὴν αὐτῶν δεομένων εἰς βοήθειαν τῆς ῥᾳθυμίας ἡμῶν. Ὅμως εὔχου, ὦ Πάτερ, ὑπὲρ πάντων, ὑπομονὴν κτήσασθαι ἡμᾶς, εὐτυχίαν, σκέπην ἐν Θεοῦ, καὶ βοήθειαν ἐκ τῶν πειρασμῶν τοῦ διαβόλου · καὶ ᾧ ἀρέσκει τῷ Θεῷ, περὶ τοῦ ἐν σαρκὶ ἰδεῖν σε ἢ τοὺς ἀδελφοὺς ἡμῶν, γένοιτο, γένοιτο. Δεόμεθα καὶ τολμῶμεν ἐξ ἡμῶν προσαγορεῦσαι τὸν γλυκὺν ἡμῶν ἀδελφὸν, εἴπερ ἐστὶ μετὰ σοῦ, ἢ καὶ ἄλλος ἀδελφὸς C ἡμῶν οἷον ἂν ᾖ, κἂν φθάσῃς μηνύσαι. Ἀσπάζεται δὲ σὺν ἐμοὶ τὴν ἁγίαν σου ψυχὴν ὁ κύριος διάκονος (2) καὶ Πατὴρ ἡμῶν, ὁ καλός μου ἀδελφὸς, καὶ τάκνον σου, ὁ οἰκονόμος · οἱ λοιποὶ τίμιοι ἀδελφοὶ καὶ πολυπόθητοι. Εὔχου ἡμῖν, Πάτερ, θερμῶς καὶ ἀδιαλείπτως, ὡς κελεύεις. Τί γὰρ ἄλλο λέγειν, οὐκ ἔχομεν.

II. — *Eidem.*

Β'. — Τῷ αὐτῷ.

Platonem magnis effert laudibus : tum, ut in suscepta veritatis defensione perseveret, rursus cohortatur. (Baronius an, 790, n. 7.)

Jam iterum ad te scribo, dominum et Patrem meum. Nescio an litteras meas acceperis. Atque in illis quidem quod tempus exigebat, quoad in nobis fuit, indigne licet, elocuti sumus. Nunc vero quæ congruunt, et suppeditat Deus, ad humilis animæ meæ utilitatem, aut ad tuæ etiam, quod D audentius dico, magnanimitatis consolationem, pater, adjiciam. Hoc enim, ut alias sæpe, ita nunc dico ac profiteor : si qua in me est dicendi vis, et facultas scribendi quantulacunque, non propter me infelicem famulum tuum datam fuisse, sed tui

Δευτερεύω ἄρτι γραφων [cod Regius ἀντιγράφων] πρὸς τὸν κῦριν καὶ Πατέρα μου. Οὐκ οἶδα εἰ ἐδέξω τὰ γράμματα. Καὶ ἐν ἐκείνοις οὖν, εἴ τι ὁ καιρὸς ἀπήτει, καὶ ἦν ἡμῖν εἰς δύναμιν, ἀναξίως ὅ, οὖν, ὅμως ἐφθεγξάμεθα. Καὶ ἄρτι δὲ ὅσα ἐπιβάλλει, καὶ διδοῖ Θεὸς ἐπ' ὠφελείᾳ τῆς ταπεινῆς μου ψυχῆς, ἢ καὶ πρὸς παρηγορίαν, τολμῶν λέγω, τῆς σῆς μεγαλοψυχίας, ὦ Πάτερ, προσερήσομεν. Τοῦτο δὲ, ὡς πολλάκις, καὶ νῦν λέγω καὶ ἀπολογοῦμαι · ὅτι εἴ τις λόγος ἐν ἐμοὶ καὶ ἐπιτηδειότης πῶς ποτε μικρὰ περὶ τοῦ γράφειν, οὐ δι' ἐμὲ τὸν ἄθλιον δοῦλόν σου δεδώ-

[4] I. Tim. IV, 7.

NOTÆ.

(1) Τρεῖς ἐσμεν, Theodorus, Josephus, qui archiepiscopus Thessalonicensis fuit, et Euthymius, supra in Theodori Vita, num. 7.

(2) Κύριος διάκονος. Forte Naucratius, de quo in Theodori Vita, num. 123, ad quem Theodorus plures scripsit epistolas.

ρηται, ἀλλ' ἕνεκα τοῦ τοῦ ἔχοντος τὴν ἄφθονον χάριν ἐν καρδίᾳ πηγάζουσαν. Καὶ διὰ τοῦτο ἡδομένως καὶ χαιρόντως ἔργον ἔχεις παιδεύειν καὶ σοφίζειν, οὐ μόνον ἡμᾶς, οὓς ὡς ἀδελφιδοῦς οἰηθέντες τινὲς ἀπεσφάλησαν, ἀλλὰ καὶ πάντας ὅσους ἐκ πνεύματος ἤνεγκας υἱούς τε καὶ παῖδάς σου· καὶ ὅτι ἀληθεύω, ἔδειξε τὰ πράγματα ὑπὲρ σοῦ ἀληθινοῦ ποιμένος, τοῦ τὴν ψυχὴν τεθεικότος ὑπὲρ ἰδίων προβάτων· ὡς ἂν μὴ παρατραποῖμεν ἔξω που τῆς ἀληθείας, αἱρετισάμενοι [ms. Reg. αἰρησάμενοι] τάχα προθύμως, καὶ τὸ οἰκεῖον αἷμα κενῶσαι. Αὕτη οὖν ποιμένος ἀληθινοῦ ἐπιστασία, διελέγχουσα τοὺς ψευδωνύμους, καὶ ὄντως δεικνυμένη τῷ Θεῷ καὶ Πατρὶ καὶ ἀρχιποίμιοι ἐπάξιος. Τὰ διὰ σὲ τοιγαροῦν κεχαρισμένα μοι ὀλιγοστῶς πώς σοι πρόσάγω· καὶ εἴ δρεπόμενος τοὺς τῶν καταβληθέντων σοι πσλυφροντίστως καὶ ἀφθόνως σπερμότων ὡς ἀγαθὸς γεωργὸς, τοὺς οὐκ οἶδ' ὅπως εἰποιμι ἰσχνοφόρους καρπούς. Τί οὖν λοιπὸν εἶπω πρόσφορον καὶ εὐαπόδεκτον τῇ σῇ ἁγίᾳ ψυχῇ, Πάτερ μου γλυκύτατε; τίς με διέστησεν ἀπὸ τοῦ σοῦ ἀειποθοῦς προσώπου; τῆς ἡδυλάλοῦς συντυχίας; τῆς σωτηριοποιοῦ ὁδηγίας; Σό μου τὸ φῶς, ὁ ἀειφανὴς λύχνος τῶν ἐν ψυχῇ σκοτεινῶν λογισῶν· ῥάβδος ὑποστηρίζουσά μου τὸ ἄτονον τῆς καρδίας, ἀθυμίας μεταβολὴ, προθυμίας ἀλοιφὴ, εὐαγγέλιον, χαρὰ, ἑορτὴ, εὐδοξία. Ἄνευ σοῦ καὶ ὁ ἥλιός μοι κατηφής, Ἐγὼ τὸν ἀέρα βλέπειν οὐκ ἤθελον, ἢ τὸν σὸν προσβλέπειν χαρακτῆρα. Οὐδέν μοι ἦν ἡδὺ τῶν ἐπὶ γῆς, μὴ παρούσης τῆς σῆς συνουσίας. Τί γὰρ Πατρὸς ἀληθινοῦ ποθεινότερον, καὶ τοῦτο ἐπὶ Θεοῦ λαμβανόμενον; Οἶδε τοῦτο παῖς φιλόπάτωρ, καὶ ὄντως γνήσιος. Τί πολλῶν ῥημάτων χρεία; ἐξείπω ὅπερ ἐπάνθανον. Ὅτι μου πολλάκις καὶ μὴ ὡρμημένου ἔρχεσθαι ἐν τῷ ἁγίῳ κελλίῳ σου, ἀνεπαισθήτως πως, ὥς τινος ἕλκοντος, ἐπῆειν κατὰ πρόσωπόν σου· ὡς πολλάκις ἐρωτῶντος, Τί ἧκες; ἀπορεῖν με ἀποκρίνεσθαι, οὕτως τῆς σωτηρίας μου ἐν σοὶ ἀποκρεμαμένης. Καὶ τίς πρὸς τὸ φῶς οὐκ ἐπιτρέχει; Ἀλλ' εὐχαριστῶ τῷ Θεῷ, δι' οὗ σου ἐξεσπάσθην ὑπὸ χειρῶν τῶν πατησάντων τὸν νόμον αὐτοῦ, καὶ ἠργμένων ἐξ ὁμοίων. Μὴ αὐτοῖς λογισθείη Κύριος ὁ Θεός μου τὴν ἁμαρτίαν· ἔλξοι δὲ εἰς ἐπίγνωσιν τοῦ τολμήματος, κἀκεῖνοι περὶ τοῦδε ἀνεύθυνοι εὑρεθῶσιν. Ἐνέκλεισάν σε, ὡς ἐμάθομεν, ἐν οἰκίσκῳ μικῷ (3)· ἀλλὰ τοῦ οὐρανοῦ σε οἰκήνορα ἀνέδειξαν. Ἐφρούρησαν, οὐκ ἤσθοντο δέ· θησαυρὸν γὰρ ὁμολογίας Θεοῦ· κἀκ τούτου γνοῖεν δ' ἄν, εἴπερ βλέψοιεν, ὅτι σε τίμιον ἐν ἀνθρώποις ἐγνώρισαν, καὶ κόσμῳ σωτήριον, καὶ πολλοῖς φιλοθέατον.

Ἐδέξω τὰς ἀτιμίας καὶ ὕβρεις μετὰ Χριστοῦ· ἐδιώχθης ὡς μακάριος· ἐσκόρπισάν σου τὰ πρόβατα, ὅτι σε τὸν ποιμένα, ὡς Χριστὸν ἐπάταξαν. Εἰ καὶ τολμηρὸν εἰπεῖν, ὅμως αὐτοῦ καὶ ἡ φωνὴ, Εἰ

A causa, qui copiosam in corde scaturientem gratiam habes. Indeque læto ac libenti animo id agis, ut doceas et erudias, non modo nos, quos pro nepotibus habentes quidam aberrarunt; sed omnes adeo, quotquot ex spiritu filios procreasti. Et quod aio, verum esse res docuerunt de te vero pastore, qui pro tuis ovibus animam posuisti, ne usquam a veritate deffectamus; parati vel sanguinem ipsum non gravate profundere. Hæc itaque veri pastoris est vigilantia, falsos redarguens, et Deo ac Patri, pastorumque Principi vere dignam se exhibens. Quæ igitur propter te mihi gratis concessa fuerunt, hæc tibi exigua quadam ex parte offero: et seminum quæ magna cura copiose sparsisti, tanquam bonus agricola, exhiles nescio quos fructus metis. Quid ergo congruum de cætero, sanctæque animæ B tuæ acceptum, dulcissime pater, proferam? Ecquis me a semper optanda facie tua disjunxit? à suaviloquo congressu? a salutari ductu? Tu lux mea, tu semper splendens lucerna tenebricosarum animæ cogitationum: virgo cordis mei languorem fulciens, mœroris profligatio, alacritatis conciliatio, bonum nuntium, gaudium, festum, gloria. Sine te sol ipse mihi injucundus: aere ipso carere malebam, quam oris tui conspectu fraudari. Nihil omnium quæ in terra sunt, suave mihi esse poterat, si consuetudo tua deesset. Quid enim vero et secundum Deum patre optabilius? Novit hoc filius patris amans, ac vere germanus. Quid multis opus est verbis? Dicam quod mihi accidit. Sæpenumero enim, tametsi ad sacram cellulam tuam accedere C onn instituissem, sine sensu fiebat, ut quasi trahente aliquo ad te venirem: ita ut adventus causam interroganti, quid causarer, plerumque non haberem: usque adeo salus mea ex te pendebat. Et quotus quisque est qui ad lumen non occurrat? Verum gratias Deo ago, propter quem a te avulsus sum illorum manibus, qui ejus legem conculcarunt, et a similibus exorsi sunt. Non imputet illis Dominus Deus meus peccatum; sed ad temeritatis agnitionem illos compellat, ut nobis quidem patrem restituant; ipsi autem pœnas ejus causa non luant. Incluserunt te, ut accepimus, angusta in ædicula; at cœli civem te renuntiarunt. Te in custodiam homines sensus expertes conjecerunt, thesaurum confessionis divinæ. Vel hinc autem D agnoscerent, si quid viderent, quod te pretiosum apud homines ostenderint, et mundo salutarem, et multis expetendum.

Probra et contumelias cum Christo pertulisti, persecutionem passus es ut beatus: disperserunt oves tuas, quia te pastorem, sicut Christum, percusserunt. Etsi dicere audax videatur, attamen

NOTÆ.

(3) Ἐν οἰκίσκῳ μικρῷ. Theophanes ad annum VI Constantini et Irenes. Ὁ βασιλεὺς ἀπέστειλεν Βαρδάνιον τὸν πατρίκιον καὶ Δομέστικον τῶν Σχολῶν, καὶ Ἰωάννην τὸν Κόμητα τοῦ Ὀφικίου, καὶ εἰσήγαγεν τὸν Πλάτωνα εἰς τὴν πόλιν, καὶ ἀπέκλεισιν εἰς Ἐγκεῖστραν ὀν τῷ ναῷ τοῦ Ἀρχιστρατηγοῦ ἐν τῷ Παλατίῳ. *Imperator Bardanium patricium et scholarum domesticum, et Joannem Officii comitem misit, qui Platonem in urbem inductum, in ergastulo ad Michaelis cælestis militiæ principis in palatio erectam ædem inclusit.*

ipsius vox est : *Si me persecuti sunt, et vos persequentur* [5] ; et cætera, quæ ipsum sequentium similitudinem declarant : *Si tamen* ipsi *compatimur*, ut magnus Paulus ait, *ut et conglorificemur* [6]. Atque hæc quidem in hunc modum. Mihi vero prodigo et indigno, sanctis precibus tuis, Pater juste, consolationem hanc largitus est misericors Deus, ut et spiritu tecum sim. Sic enim semper ago, quasi te videam, quasi tecum loquar, quasi precationem percipiam, quasi protegar, quasi mutuos conferam sermones ad stabiliendam confessionem quam confessus es. At mihi videor percepta voce tua hæc audire: Pusille Theodore, exiguum est revera quod affligimur ; quia spem præclaram offert Deus. Hæc miæi sunt consolatio, hæc refocillatio. Ne reformides, Pater, mei causa, qui servus tuus sum plane abjectus, cœli terræque piaculum, mortalium omnium frigidissimus. Verum tamen dicere audeo, tanquam spe bona præter meritum fretus, sursum spectans, intercessione tua corroboratus, non ob ea insolescens quæ passus sum ; sed me ipsum damnans potius, quod non fortiter, nec ut decebat, et quod pauca, nulliusque momenti, vivificas considerans passiones sanctorum, In multa enim martyria incidi duodecim voluminibus descripta, ita ut cor obstupesceret, nec me aliquid pro Christo passum dicere auderem. Quid porro dulcius, Pater, tanquam servus suggero, quam pro ipso pati ? Sursum aspice, Pater, cerne Dominum, intuere angelorum discursus, considera sanctorum choros : vide in edito et sublimi solio Judicem mundi, qui te fidelem servum præceptorumque suorum custodem pronuntiabit, et, quod majus est, confessorem. Deinde quonam te mittet ? Non in ignem æternum, qui legi ejus non obsequentes excipit : sed ad vitales sedes, ad quietem immortalem, ad sempiternam immensamque lætitiam, *Intra*, inquit enim, *in gaudium Domini tui* [7]. Omnium nostrum oculi ad te collimant : omnes te stante magnis et erectis animis sumus. Adsit tibi etiam atque etiam auxilium Dei muniens te, confirmans te, constabiliens te, fortiorem reddens te. Qui Deum times, ne timeas quod fecit tibi homo [8], aut fors etiam facturus est. Confidis in Domino, mons es Sion, non commoveberis in æternum [9] : inhabitantem enim habes supernæ Jerusalem conditorem et architectum. Virulentas et ad fraudem compositas eorum voces, qui tibi serpentium ritu insusurrant, teque a vitali veritatis ligno abducere volunt, fuge, et aures obfirma, veritati firme adhærens, multisque sacræ Scripturæ ad piorum etiam hominum testimoniis, ad omnimodam immobilitatem obstrictus, ut vocis quoque illius laudem consequare. *Qui facit hæc, non movebitur in æternum* [10]. Sani fratres sunt omnes : dominus diaconus Pater meus, dulcis frater meus, ac magis nunc merito desiderabilis, reliqui etiam dilecti mihi et honorandi filii tui; pro qui-

A ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι· καὶ τἄλλα, ὅσα τοῖς ἀκολουθοῦσιν αὐτῷ φέρει τὴν ταυτοπάθειαν· Εἴπερ γὰρ συμπάσχομεν αὐτῷ, ὡς φησιν ὁ μέγας Παῦλος, ἵνα καὶ συνδοξασθῶμεν. Καὶ οὕτω μὲν ταῦτα. Ἐμοὶ δὲ τῷ ἀσώτῳ καὶ ἀναξίῳ, διὰ τῶν σῶν ἁγίων εὐχῶν, Πάτερ δίκαιε, ἐχαρίσατο ὁ ἐλεήμων Κύριος παράκλησιν, καὶ τὸ ἐν πνεύματι συνεῖναί σοι· εἰμὶ γὰρ ἀεὶ ὡς ὁρῶν σε καὶ ὁμιλῶν σοι, καὶ ὡς κομιζόμενος τὴν εὐχήν, καὶ ὡς σκεπόμενος, καὶ ὡς διδοὺς καὶ λαμβάνων λόγους εἰς ἔδρασμα τῆς ὁμολογίας ἧς ὡμολόγησας. Καὶ δοκῶ σου ἐπαϊούσης τῆς φωνῆς ταῦτα ἀκούειν· Ταπεινὲ Θεόδωρε, μικρὸν ὄντως ταλαιπωροῦμεν, ἐπεὶ καλὴν φέρει ὁ Θεὸς τὴν ἐλπίδα. Ταῦτά μοι κρηγορία, ταῦτα ἀναψυχή. Μὴ δείσῃς. Πάτερ, δι' ἐμὲ τὸν δοῦλόν σου καὶ παντάπασιν ἀπερρίμμενον. Καὶ γάρ εἰμι τοῦ οὐρανοῦ καὶ τῆς
B γῆς μίασμα, καὶ παντὸς ἀνθρώπου κατεψυγμένος μᾶλλον. Ἰλὴν τολμῶ λέγειν ὡς ἀνάξιος εὔελπις, ἄνω βλέπων ῥωννύμενος ὑπὸ τῆς σῆς πρεσβείας, οὐκ ἀπευδοκῶν εἰς ἃ ἔπαθον, ἐπιμεμφόμενος δὲ ἐμαυτὸν, ὅτι μὴ ἀνδρείως καὶ κατὰ λόγον, καὶ ὅτι ὀλίγα καὶ οὐδενὸς ἄξια ἀφορῶν πρὸς τὰ ζωοποιὰ πάθη τῶν ἁγίων. Ἐγένετό μοι γὰρ πολλῶν ἔντευξις μαρτυρίων ἐν δώδεκα δέλτοις ἀπογεγραμμένων· ὥστε παταχθῆναι τὴν καρδίαν, καὶ μηδὲ τολμᾷν λέγειν ὅτι ἔπαθόν τι διὰ Χριστόν. Καὶ τί γλυκύτερον, Πάτερ, ὑπομιμνήσκω ὡς δοῦλος, τοῦ δι' αὐτὸν πάσχειν ; Ἄθρει, Πάτερ, ἄνω· ὅρα τὸν Κύριον, ἐπόπτευε τὰς ἀγγελοθείας· ἐνατένιζε τὰς ἁγιοχορείας· ἴδε ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου τὸν Κριτὴν τοῦ κόσμου· ὅς
C σε ἀνακηρύξει πιστὸν δοῦλον, καὶ τῶν ἐντολῶν αὐτοῦ τηρητὴν, καὶ, τὸ μεῖζον, ὁμολογητήν. Εἶτα ποῦ σε πέμψει ; οὐκ εἰς πῦρ αἰώνιον, ὅπερ λαμβάνει τοὺς ἀπειθεῖς τοῦ νόμου αὐτοῦ· ἀλλ' εἰς ζωοδόχον χωρίον, καὶ ἀθάνατον κατάπαυσιν, καὶ ἀπειροαγαλλίατον εὐφροσύνην [ms. Reg. θεοφροσύνην]. Εἴσελθε γὰρ, φησὶν, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Πάντων ἡμῶν οἱ ὀφθαλμοὶ εἰς σὲ βλέπουσι. Πάντες μεγαλοψυχοῦμεν, σοῦ ἡδρασμένου. Εἶη σοι ἐπὶ πλέον ἡ βοήθεια τοῦ Θεοῦ ὀχυροῦσά σε, δυναμοῦσά σε, εὐτονοῦσά σε, ἀνδρειοῦσά σε. Ὁ τὸν Θεὸν φοβούμενος, μὴ φοβηθῇς ὃ ἐποίησέ σοι ἄνθρωπος, ἢ καὶ ποιήσει τυχόν. Πέποιθας ἐπὶ Κύριον, ὄρος εἶ Σιών, οὐ σαλευθήσῃ εἰς τὸν αἰῶνα· κάτοικον γὰρ ἔχεις τὸν τῆς ἄνω Ἱερουσαλὴμ τεχνίτην καὶ δημιουργόν. Τὰς ἰοβόλους φωνὰς, καὶ ἀπατηλοθελεῖς, τῶν ὡς ὄφεων ὑποσυρομένων σοι, καὶ
D θελόντων σε τοῦ ξύλου τοῦ ζωτικοῦ τῆς ἀληθείας ἀπάξαι, φεῦγε, καὶ ἐνωτίζου ἅπαξ κραταιωθεὶς ἐν τῇ ἀληθείᾳ, καὶ διὰ πολλῶν μαρτυριῶν τῆς ἁγίας Γραφῆς συσφιγχθεὶς, ἔσθ' ὅτε καὶ ἀνθρώπων εὐσεβῶν, εἰς παντελῆ ἀκινησίαν· ὅπως τεύξῃ κἀκείνης τῆς φωνῆς τὸ ἐγκώμιον· Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. Ὑγιαίνουσιν οἱ πάντες ἀδελφοὶ, ὁ κύριος διάκονος ὁ Πατήρ μου, ὁ γλυκύς μου ἀδελφὸς, καὶ νῦν μᾶλλον ἀξίως περιπόθητος, οἱ λοιποὶ προσφίλιοι καὶ τίμιοί μου, καὶ τέκνα σου, οἷς σὺν ἐμοὶ πᾶσι, Πάτερ, εὔχου. Πάντες αὐτῶν εὐδρο-

[5] Joan. xv, 20. [6] Rom. viii, 17. [7] Matth. xxv, 23. [8] Psal. lv, 5. [9] Psal. cxxiv, 1 [10] Psal. xiv, 5.

μοῦσι· ποθητὸν αὐτοῖς μόνον ἡ σὴ ὑγεία ἐν Κυρίῳ, καὶ εὐφόρητον πᾶν ὁτιοῦν παθοῦσι. Πάντως καὶ λυποῦμεθα, καὶ ἀδημονοῦμεν, καὶ ἀσχάλλομεν, καὶ ῥᾳθυμοῦμεν, καὶ λογισμῶν πονηρῶν ὀχλήσεις ἔχομεν· καὶ οὐδὲ γὰρ ἔστιν ἐκτὸς Θλίψεων παρελθεῖν τῶν τῇδε· ἀλλὰ διὰ τὴν ἐλπίδα καὶ εὐχήν σου ἰσχύομεν. Ἐμοὶ δὲ, Πάτερ, εὔχου, ὅτι τὸν Ἡσαΐαν τὸν ἅγιον ἐκστηθίζω. Καὶ δήθωσόν μοι εἰ, παρὰ τὸ γράφειν, ἀναγινώσκειν με θέλεις.

A bus omnibus mecum, Pater, ora. Omnes recte currunt : unum illis votum, tua in Domino salus : leve autem et tolerabile, quidquid est quod patiuntur. Omnino et dolemus et tristamur, et angimur, et animo dejicimur, et pravarum cogitationum fluctibus agitamur : neque enim sine ærumnis ex hac vita egredi licet ; sed spe subnixi, ac precibus tuis vires sumimus. Tu vero, Pater, bene mihi precare, in sanctum Isaiam incumbenti et significa mihi, an legere me duntaxat, non autem et scribere velis.

Γ'. — Τῷ αὐτῷ.

III — *Eidem.*

Thessalonicam in exsilium deportatus, itineris sui modum et ordinem exponit, (Baron. an. 796. num. 1.)

Προχεῖταί μοι τὸ δάκρυον πρὸ τοῦ λόγου· καὶ τὰ σπλάγχνα δονεῖται· καὶ ἡ χεὶρ ὑποτρέμει τοῦ γράφειν· καὶ ἕλκομαι πανταχόθεν, καὶ φέρειν τὸ ὀδυνηρὸν οὐχ οἷός τέ εἰμι. Ὦ πῶς ἐνέγκω σου, Πάτερ, Πάτερ, τὰ χριστομίμητα πάθη ; ὦ πῶς οἴσω σου τὴν ὑψηλὴν καὶ ἁγίαν ταπείνωσιν; πῶς ὑπαντήσω σοι κατὰ λόγον ἀντιγράφειν ; καὶ ποῖ τράπωμαι, καὶ ὅθεν ἴωμαι κατάρχειν τῶν γραμμάτων ; Πρὸς ἐμὲ οὖν σὺ, ὦ Πάτερ, τοιαῦτα γράφεις ; πρὸς ἐμὲ τὸν σκώληκα, καὶ βόρβορον, καὶ ἄσωτον, ὁ Πατὴρ φωνὰς ἀφίησι πρεπούσας τέκνῳ ; Ἱκετικὸν ἀναλαμβάνεις σχῆμα ὁ ὀφείλων ἱκετεύεσθαι. Κἀγὼ λοιπὸν ὁ τάλας τί προσφθέγξωμαι ; καὶ πῶς ταπεινωθῶ τῷ δικαίῳ μου Πατρί ; ὅμως ἐδεξάμην σου, ὦ Πάτερ, τὴν ἁγίαν ἐπιστολὴν ἐν χερσὶν ἀναξίαις ὡς θεογράφους πλάκας. Ἠκούσά σου τῆς ἐγγραμμάτου φωνῆς ὡς εἴ τις ἀκούσειεν ἀγγέλου φωνῆς ἢ ἀποστόλου· καὶ συνέτριψε τὴν κάρδίαν, καὶ ἐξέβλυσε δάκρυον, καὶ ἀπεκλαύσάμην, καὶ ἐθρήνησα οὐχ Ἱερεμιτικὸν θρῆνον ἐπὶ παθῶν θεοστυγέστι γεγενημένων· ἴδιον δέ τινα καὶ φιλοπάτριον, καὶ θεῷ ὄντως χαριστήριον. Αἰνέσεως γὰρ ἀληθοῦς ἃ ἀπέσταλκας, Πάτερ δίκαιε, ἀπογραφῆς ἄξια, τῆς εἰς Θεὸν ὁλοτελοῦς σου προθέσεως γνώρισμα.

B Profluunt mihi lacrymæ ante verba : (et viscera quatiuntur, et manus scribendo contremiscit. Torqueor undique nec dolorem ferre jam valeo. Et quo pacto, Pater, o Pater, Christum imitantes cruciatus tuos perferam ? quo pacto excelsam sanctamque demissionem tuam sustinebo ? quo pacto quæam tibi, prout ratio postulat rescribere ? Quo me vertam et unde litteras exordiar ? Ad me igitur, Pater, tu talia scribis ? ad me vermiculum, cœnum, intemperantem, Pater congruentes filio voces mittit. Supplicis cultum induis, cui supplicari par est. At ego tandem infelix quid eloquar, et quo pacto justo Patri meo humiliabor? Verumtamen accepi, Pater, indignis manibus sanctam epistolam, tanquam tabulas a Deo exaratas. Audivi vocem tuam litteris consignatam ut si quis angeli vel apostoli vocem C audiat; et cor contrivit et lacrymas expressit. Planxi et lamentatus sum, non Jeremitica lamentatione, de inimicorum Dei calamitatibus composita; sed peculiari, quæ et studium in Patrem testetur, et vere Deo grates referat. Veræ enim laudationis, Pater juste, sunt quæ misisti, digna quæ describantur, perfectam erga Deum mentem, animumque tuum demonstrantia.

Τοιγαροῦν, ὦ Πάτερ, ἐστήριξας ἡμῶν τὰ φρονήματα· ἐνεύρωσας ἡμῶν τὰς καρδίας. Ὑπὲρ **ἐλπίδα** ἡ ἀνδρία σου· ὑπὲρ προσδοκίαν ἡ **παῤῥησία σου.** Ἄλλος τις ἡμῖν **ὤφθης**, ἢ ὅσπερ ἐγνωρίζου· ὅλος ἐν **Θεῷ** ἠλλοιωμένος. Δόξα τῷ σε δυναμώσαντι. Οὐ κατ**έβαλέ** σε φόβος βασιλείας· οὐκ ἐχαύνωσέ σε γοητικὴ θωπεία. Οὐχ εἵλου προσκαίρου ἀπολαύειν ἡδονῆς, προκινδυνεύειν θέλων τῆς ἀληθείας τοῦ Θεοῦ. D Ὁ ποιμὴν ὁ καλὸς, ὁ θεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· ὁ καὶ νῦν δέσμιος διὸ τῆς φρουρᾶς, ὡς Χριστοῦ Ἀπόστολος. Ὦ τοῦ δωματίου ἐκείνου, ἐν ᾧ φέρῃ καὶ περιάγῃ ὡς τίμιον καὶ εὔχρηστον σκεῦος τῷ Δεσπότῃ Θεῷ ! Εἴθε οὖν τὸ ἔδαφος ἐκεῖνο περιεπτυξάμην, οὗ οἱ πόδες τοῦ κυρίου μου καὶ Πατρὸς βαδίζουσιν. Εἴτε τὰς κατὰ σοῦ κλεῖς καὶ κλεῖθρα προσεκύνησα, ὡς θησαυρὸν εὐσεβείας φυλάττοντα. Μᾶλλον δὲ ἐβουλόμην τὸ τίμιον ἐκεῖνο ἀσπάσασθαι στόμα τὸ ὁμολογῆσαν τὸν λόγον τῆς ἀληθείας· τὰς ὁσίας χεῖρας τὰς ἐπαιρομένας εἰς ἁγίας προσευχὰς καὶ εὐπροσδέκτους. Ποῦ ποτέ μου τὸ γλυκὺ ἀπέπτη πρόσωπον ; ποῦ δὲ ἡ σωτήριος φωνὴ κατεσιγάσθη ; Ἰδοὺ δὴ ἐγὼ ὀρφανὸς ὁ ἐλεεινὸς καὶ παντέρημος, οὐκ

Quare sensus nostros, Pater confirmasti : corda nostra corroborasti. Supra spem fortitudo tua, supra exspectationem libertas tua. Alius quispiam nobis visus es ab eo quem noveramus : totus in Deo immutatus. Laus ei qui te confirmavit. Non dejecit te terror imperatoris. non emollivit te insidiatrix adulatio. Noluisti exigui temporis voluptate frui, qui pro Dei veritate periclitari volebas. Bonus pastor, qui pro ovibus animam posuit qui nunc quoque vinctus in custodia ut Christis Apostolus. O cellulam illam in qua versaris atque concluderis tanquam pretiosum et utile vas Domino Deo. Utinam ad solum illud advolverer, in quo domini et Patris mei pedes inambulant ! Utinam et claves et clausa exosculerer, quæ thesaurum pietatis custodiunt ! Quin potius venerandum os illud amplecti malim, quod veritatis verba confessum est ; et sacras manus, quæ ad sanctas et acceptabiles preces attolluntur. Et quo tandem mihi dulcis facies avolavit, quo pacto salutaris vos conticuit ? En ego scilicet orphanus, miserabilis, undique destitutus ; Patrem meum non habens, luminare meum non

habens, medicum nutritoremque animæ meæ ; sine tutore sine defensore adversus invisibiliter impugnantes me, *Factus sum sicut corvus in solitudine et sicut passer solitarius in tecto* [11], oculos intendens quotidie, huc illuc prospectans et circumspiciens, nec usquam optata facies. Sed ne sic quidem dolorem meum pro meritis exaggerare queam. Cæterum gratias ago, agoque etiam atque etiam, quod propter Dei legem his dignus habitus sum ; quod tanti Patris filius nuncupor. Fors etiam regnare per te hodie videar. Pater sancte, si modo preces tuæ salvum me custodiant. Timeo enim peccatis meis, et intemperantiæ meæ. Scito autem me precibus tuis, etsi valde imbellis sum, confirmatum et erectum : neque ego solum, sed omnes unum sumus, idem tecum sentientes, unanimes, ad mortem usque eadem perpeti parati : nec causa nostra quidquam reformides. Eia, Pater, eia. Eia, optime gubernator, æmulator pietatis, sanctorum imitator. Magnifice revera dimicasti, viriliter decertasti. Inter martyres, sat scio, spiritus tuus locum habet. Hæc igitur ad hunc modum, quamvis adhuc infra desiderium meum, et infra dignitatem tuam. Et quoniam distincte narrare me jubes ab illa die, qua luctuosam separationem sustinuimus, totum iter nostrum, tum quæ in eo nobis contigerunt : equidem impar sum ; aggrediar tamen impigre quod jubes. Illo ergo die quo abiisti tu quidem, Pater, ad mortem tua voluntate, missi et nos in exsilium sumus obviis, ut res tulit, jumentis subvecti. Et primum quidem tanquam harum rerum rudes atque inexperti, nonnihil animo consternati sumus. Appulimus enim ad pagos quosdam, spectaculum facti omni hominum sexui et ætati, ubi tumultu clamoribusque impletæ nobis aures fuerunt, cum solverent et subsisterent ad comparanda victui necessaria, qui nos ducebant. Postquam vero assuefacti tandem fuimus, facilius et lenius ferre cæpimus adversa. Omnium porro maxime nos angebat Patris et domini diaconi infirmitas. Atque hoc modo tristes et exhausti iter confecimus. Mansiones autem hæc fuerunt, a Catharis ad Liviana, inde ad Leuceas. tum Phyræum : quo in loco lugubre quiddam et memoratu dignum nobis accidit. Cum enim ex improviso se obtulissent novem ex primariis fratribus, ovium instar dispersarum, circumsederunt nos flentes et corda nostra conficientes. At ductor noster nec alloqui eos sinebat. Ita miserum in modum aspectantes mutuo, et vale dicentes, cum lacrymis tandem divulsi et separati fuimus. Deinde Paulam ducti, invenimus venerandam sororem tuam cum domino Sabba, et clam venimus in conspectum, totamque noctem congruo sermone duximus : tum invicem tanquam morti addictos salutantes, discessimus cum gemitu

A ἔχων τὸν Πατέρα μου, οὐκ ἔχων τὸν φωστῆρά μου, τὸν ἰατρὸν καὶ τροφέα τῆς ταπεινῆς μου ψυχῆς · ἀπροστάτευτος, ἀνεπαμύνευτος πρὸς τοὺς πολεμοῦντάς με ἀοράτως · Ἐγενόμην ὡσει κόραξ ἐν ἐρήμῳ · ὡς · στρουθίον ἐπὶ δώματος, καθ' ἡμέραν ἐποφθαλμιῶν, ὧδε κἀκεῖσε βλέπων καὶ περιαθρῶν, καὶ οὐδαμῶς τὸ ποθούμενον πρόσωπον. Καὶ οὔπω κατ' ἀξίαν δυναίμην ἐκτραγῳδῆσαί μου τὸ πάθος. Πλὴν εὐχαριστῶ καὶ ὑπερευχαριστῶ, ὅτι διὰ νόμον Θεοῦ ταῦτα κατηξίωμαι · ὅτι τοιούτου Πατρὸς ἐχρημάτισα τέκνον. Τάχα βασιλεύειν οἶομαι διὰ σοῦ σήμερον. Πάτερ ἅγιε, εἴπερ ἡ εὐχή σου σῶόν με διαφυλάξοι. Δέδοικα γάρ μου τὴν ἁμαρτίαν καὶ τὴν ἀσωτίαν · εἴσῃ δὲ γινώσκων ὅτι σου ταῖς ἁγίαις εὐχαῖς ἐνίσχυμαι καὶ ἐνίδρυμαι · κἂν λίαν εὐκαταγώνιστός εἰμι · καὶ οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ
B οἱ πάντες τὸ ἓν ἐσμεν συμφρονοῦντές σοι σύμψυχοι, συμπάσχειν αἱρούμενοι μέχρι θανάτου. Καὶ μηδαμῶς ἡμῶν ἕνεκα δεδιὼς ἦς. Εὖγε, ὦ Πάτερ, εὖγε. Εὖγε, ὦ ἄριστε κυβερνῆτα, ζηλωτὰ τῆς εὐσεβείας, μιμητὰ τῶν ἁγίων. Μεγαλοπρεπῶς ὄντως ἠγώνισαι. Νεανικῶς ὑπερήθλησας · μετὰ μαρτύριον οἶδ' ὅτι εἶη τὸ πνεῦμά σου. Ἔχει μὲν οὕτω ταῦτα, εἰ καὶ μήπω τῆς ἐπιθυμίας μου καὶ τῆς ἀξίας, σου, εἰς δέον. Ἐπεὶ δὲ κελεύεις ἱστορῆσαί σοι κατ' ἔπος, ἀφ' ἧς ἡμέρας ὑπέστημεν ἐκείνην τὴν ὀδυνηρὰν διάζευξιν, τήν τε ὁδοιπορίαν, καὶ τὰ κατ' αὐτὴν ἡμῖν συμβεβηκότα · οὐχ ἱκανῶ · πλὴν τὸ κελευσθέν μοι ποιήσω ἀοκνότατα. Κατ' αὐτὴν τοιγάρτοι τὴν ἡμέραν καθ' ἣν ἀπῇεις σὺ μὲν, ὦ Πάτερ, τὴν ἐπὶ θάνατον ὁδὸν τῇ προαιρέσει, καὶ ἡμεῖς ἐστειλάμεθα τὴν
C ἐξόριστον ὁδοιπορίαν, ἐποχηθέντες ἐφ' οἷς ἔτυχε ζώοις. Καὶ ὡς ἀπείραστοι κατ' ἀρχὰς τοῦ τοιούτου δράματος, ἤμεν πως ἐν ἀθυμίᾳ. Προσεβάλλομεν γάρ καί τισι κώμαις, θεατριζόμενοι ἐπὶ πάσης ὄψεως καὶ ἡλικίας ἀνθρώπων · θορύβοις τε καὶ κραυγαῖς περιηχήθημεν ἀμφότερα τὰ ὦτα · ἔν τε τῷ ἀπαίρειν καὶ καταπαύειν παρὰ τὸ τὰ ἐπιτήδεια συμπορίζεσθαι τοὺς ἄγοντας. Ὡς δὲ ἤομεν [unus ἤειμεν] ἐπὶ πρόσω ἐθισθέντες, ῥᾷον μᾶλλον ἐφέρομεν τὰ δυσχερῆ. Τὸ δὲ ἀνιῶν ἡμᾶς πλέον ἡ ἀσθένεια ἦν τοῦ Πατρὸς τοῦ κυρίου διακόνου. Καὶ οὕτω τὴν ὁδὸν ἀχθόμενοι, περιαντλούμενοι διεπεράναμεν. Αὗται δὲ αἱ καταμοναί · ἀπὸ τὰ Καθαρὰ εἰς Λιβιανά · ἔπειτα εἰς Λεύκας · εἶθ' οὕτως εἰς αὸ Φύραιον · ἔνθα καὶ ὀδυνηρὸν ἡμῖν συνέβη, καὶ ἱστορίας ἄξιον. Ὑπερφανέντες γάρ πως ἐξ ἀπροόπτου ἐννέα τῶν πρωτευόντων
D ἀδελφῶν, ὡς πρόβατα διεσπαρμένα, περιέστησαν ἡμῖν κλαίοντες, καὶ συνθρύπτοντες ἡμῶν τὴν καρδίαν. Καὶ ὁ μὲν ἄγων ἡμᾶς οὐδὲ προσλαλῆσαι εἶα · ἐλεεινὰ δὲ βλέποντες καὶ βλεπόμενοι, καὶ ἐπιφθέγματα ἀλλήλοις ἐπειπόντες, τελευταῖον μετὰ δακρύων διεχωρίσθημεν. Εἶτα καταχθέντες ἐν τῇ Παύλᾳ, εὑρομεν τὴν πολυτίμητόν σου ἀδελφὴν σὺν τῷ κυρίῳ Σάββᾳ (4), κρυπτῶς συνοψισθέντες, καὶ δι' ὅλης νυκτὸς ἐν ταυτῷ μείναντες, λαλήσαντές τε τὰ εἰκότα,

[11] Psal. ci, 7. 8.

NOTÆ.

(4) Τῷ κυρίῳ Σάββα. Sabbas, Studitarum Hegumenus, in concilio Nicæno II una cum Platone subscriptus legitur·

καὶ ἀσπασάμενοι ἀλλήλους ὡς ἐπιθανατίους, διέστημεν στένοντες καὶ ποτνιώμενοι. Ἦν ἰδεῖν ἐκεῖ σπαρασσόμενα σπλάγχνα καὶ σφαδάζοντα, θεοπρεπῶς νικωμένης τῆς φύσεως. Ἐκ τῶνδε κατεπαύσαμεν ἐν τῷ Λουπαδίῳ, φιλοφρόνως συμπαθηθέντες παρὰ τοῦ ξενοδοχοῦντος, χρησάμενοί τε καὶ λουτρῷ διὰ τοὺς μώλωπας· γεγόνασι γὰρ καί τινων δυσίατοι, ἀπὸ τῆς ὁδοιπορίας. Καὶ κατήχθημεν εἰς Τίλιν. Ἐκεῖ τοίνυν καταλαβὼν ἡμᾶς ὅ τε Ἀββᾶς Ζαχαρίας μετὰ τοῦ Πιονίου, ἐκ θερμῆς προθέσεως κλαίοντες, καὶ μεθ' ἡμῶν αἱρούμενοι πορεύεσθαι, κἂν οὐκ εἰάθησαν. Ἀπὸ τοῦδε εἰς Ἀλκέριζαν· ἐκ τῶνδε εἰς Ἀναγεγραμμένους, ἐπειτα εἰς Περπερίναν· κἀκεῖθεν εἰς τὸ Πάριον· κοινωνοῦντες παρὰ τῶν ἐπισκόπων, πλὴν καὶ μετὰ ταπεινώσεως ὑπομιμνήσκοντες ὁμνύοντας. Εἶτα εἰς Ὀκρὸν, ἐκεῖθεν εἰς Λάμψακον· ἐν ᾗ εὑρόντες Ἡρακλειώτας, προσανεπαυσάμεθα τριήμερον, πλεῖν οὐ δυνάμενοι. Εἶτα ἐξορμίσαντες κατεπλεύσαμεν ἐν τῇ Ἀβύδῳ· ὑπὸ τοῦ ἐκεῖσε ἄρχοντος εὐσεβῶς κατελεηθέντες· καὶ ἐπιμείναντες ἕως τοῦ σαββάτου ὀκταήμερον, ἀπεπλεύσαμεν εἰς Ἐλεοῦντας. Ἑβδοματιαῖόν τε χρόνον ἐπιμείναντες, διὰ τὸ ἄπλοον, δεξιοῦ ἀνέμου πνεύσαντος, ἐπετάσθημεν ἐν τῇ Λήμνῳ ἐν ἐνναωρίῳ. Ἴστησί μου τὸν λόγον ἐνταῦθα ἡ τοῦ ἐπισκόπου τῶν τῇδε εὐσέβεια. Ὃς οὐκ εἴ τις γὰρ ἄλλος καὶ ἐδεξιώσατο, καὶ παρηγόρησε, καὶ ἐφωδίασεν.

A et ejulatione. Ac tunc videre erat convulsa pectora et fatiscentia, cum decenter victa cederet natura. Ex hoc loco digressi substitimus in Lupadio, ubi peramanter ab hospite habiti fuimus, balneoque usi propter vibices: nonnullis enim pene insanabiles evaserunt ex itineris agitatione. Et divertimus Tilim. Illic ergo assecutus nos abbas Zacharias cum Pionio, præ animi ardore nobiscum venire cupiebant: sed permissum id eis non fuit. Inde Alcerisam, tum ad Anagegrammenos, deinde Perperinam, atque illinc Parium, cum episcopis communicantes, et de jurejurando modeste admonentes. Post Hæc Horcum, inde Lampsacum, ubi Heracleotas nacti, triduo hæsimus navigare non valentes. Deinde solventes appulimus Abydum, a præ- B side humaniter excepti. Cumque ibi usque ad Sabbatum octo dierum spatio mansissemus, vela fecimus ad Eleuntes, ubi heddomadem commorati, quod navigari non posset, secundo vento flante pervenimus in Lemnum novem horarum velificatione. Orationem hic moratur pietas episcopi qui me, si quis alius, benigne suscepit, consolatus est, et viatico instruxit.

Ἐκ τῶν τῇδε τοίνυν ἀποπλεύσαντες ἐν φόβῳ, διὰ τὸ παρακείμενον ἔθνος, ἀντεπεράσαμεν βορρόφορου καὶ ῥοιζήδοντος ἐν δωδεκαωρίῳ ἑκατὸν πεντήκοντα μιλίων ὂν τὸ πέλαγος, ὁρμίσαντες ἐν τῷ Κανάστρῳ ἐν τοῖς Θεσσαλονίκης ὁρίοις· ἔπειτα εἰς Παλλήνην τὰ πρόσγεια τοῦ κόλπου· εἶτα εἰς τὸ ἔμβολον. Ἐκ τῶν ἔνθεν ζώοις πάλιν ἐπιβεβηκότες Σαββάτῳ ἡμέρᾳ ἑορτῆς τοῦ Εὐαγγελισμοῦ (5), ὥρᾳ τρίτῃ εἰσήχθημεν ἐν τῇ πόλει. Καὶ οἵα ἡ εἴσοδος! Οὐδὲ γὰρ τοῦτο παρελθεῖν ἀναγκαῖον. Προπεμφθεὶς τοίνυν παρὰ τοῦ ὑπάρχου τῶν ἐξόχων, εἷς μετὰ στρατιωτῶν, προσέμενεν ἐν τῇ ἀνατολικῇ πόρτῃ, καὶ ἐπιστᾶσιν ὑπήντησαν ὄρθιοι διὰ σιγῆς. Καὶ μετὰ τὸ εἰσελθεῖν κλείσαντες τὰς πύλας, ἦγον διὰ τῆς ἀγορᾶς, προπομπεύοντες ἐπὶ τῆς ὄψεως τῶν εἰς τοῦτο συνδεδραμηκότων· καὶ ἀπαγαγόντες εἰσήγαγον πρὸς τὸν ἄρχοντα. Καὶ εὖγε τῷ ἀνδρί· εὐμενὲς γὰρ πρόσωπον δείξας, μετὰ τὸ πεσεῖν χρηστὰ ἐφθέγξατο ἡμῖν. Παρέπεμψέ τε πρὸς τὸν ἀρχιεπίσκοπον, πρῶτον προσευξαμένους ἐν τῇ ἁγίᾳ Σοφίᾳ. Καὶ ἐν τῷ εὐκτηρίῳ τῷ παρ' αὐτοῦ ποιήσας εὐχὴν, ὁ ἁγιώτατος ἐδέξατο καὶ κατησπάσατο ἡμᾶς, ὁμιλήσας ἡμῖν τὰ δέοντα, καὶ παρ' αὐτὰ κρατήσας, καὶ ἀναπαύσας διά τε λουτροῦ καὶ βρωμάτων. Τῇ δευτέρᾳ πρωΐθεν ἦραν ἡμᾶς, καὶ δι' αἰτήσεως ποιήσαντες εὔξασθαι εἰς τὸν ἅγιον Δημήτριον, διεχώρισαν πάντας ἀπ' ἀλλήλων, προπεποιηκότας εὐχὴν, καὶ ἀσπασαμένους ἀλλήλους. Τοὺς δύο δὲ ἡμᾶς ἀδελφοὺς ἀναγαγόντες ἐπὶ τὸν ἐν ᾧ εἰμι νυνὶ τόπον, διέζευξαν δακρυρῶς καταφιλήσαντας ἀλλήλους, ὡς καί τινας τῶν θεω-

Inde ergo soluta navi, non sine metu, propter finitimam gentem, in adversam oram, valido spirante borea, transmisimus, centum quinquaginta millium pelagus duodecim horis emensi: C appulimusque Canastrum in finibus Thessalonicæ, deinde Pallenam sinui contiguam: tum ad portum, ex quo in animalibus iterum sedentes, urbem ingressi sumus Sabbato, die festo Annuntiationis, hora tertia. Qualis vero ingressus! neque hoc præterire fas est. Præmissus a præfecto unus ex primoribus cum militum manu, ad Orientalem portam exspectabat. Et appropinquantibus nobis, occurrerunt recta acie, silentio: et clausis post ingressum nostrum portis, per forum nos duxerunt celebri pompa, in oculis eorum qui ad spectaculum accurrerant, perduxeruntque ad præsidem. O præclarum virum! placidum enim nobis vultum exhibens, cum prostratus salutasset, miti nos sermone affatus est, misitque ad archiepiscopum precibus D ante fusis in sanctæ Sophiæ. Ubi ergo in oratorio suo precatus est sanctissimus, excepit nos, et opipare tractavit, consentaneis verbis alloquens, tum balneo cibisque reficiens ac restituens. Postridie mane abducti sumus, et per speciem quasi ad sancti Demetrii precum causa duceremur, separaverunt nos omnes, orantes mutuo et vale dicentes. Nos vero fratres duos, cum in hunc in quo nunc dego locum perduxissent, sejunxerunt, flebiliter amplectentes mutuo, adeo ut spectantium nonnulli misericordia commoverentur. Sic se habent res nostræ;

NOTÆ.

(5) Ἡμέρᾳ ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. Dies festus Annuntiationis; sive 25 Martii, Sabbatum fuit an. 797, proinde anno illo data videtur hæc epistola; licet Baronius referat ad annum 796.

Pater, et ego hic vitam nunc ago luctuosam et lamentabilem. Cæterum eulogias sanctæ manus tuæ, velut sanctæ Trinitatis vim obtinentes, suscepimus, easque amuleti loco habemus, et oculis nostris velut dexteram tuam exosculantes admovemus. Rursum lacrymæ, rursum viscera convolvuntur. Orationem enim claudere est animus. O Pater, cur me deseruisti ? At non deseruisti. Quomodo a me procul abscessisti ? At in me habitas. Ubinam te iterum visurus sum ? quomodo te cernam ? ubi suavissimam et salutarem tuam vocem exaudiam ? ecquando mensæ tuæ accumbam ? ubi congressu tuo fruar ? aut ubi tandem te audiente legam ? aut te præsente canam ? aut castigabor ? aut reprehendar ? aut admonebor ? amplectens assidue id quod tibi placuerit, convictum, escam, potum, colloquium, statum, sessum, recubitum. Quid est quod mihi accidit ? Testes appello mortales, appello et cœlestes potestates patronas mihi, quod te lex Dei a me separarit, mandatum unum æternum. Audiat terra universa. Propterea gaudeo, et laudationis vocem Deo reddo. Abundantius omnia recipio. Exsulto, non amplius orbabor, non tristabor, nec indecorum quidquam eloquar. Suscipe autem et superiora, Pater, ut sincera et pia : tui enim amoris sunt symbola. Itaque plangam etiamnum, sed planctu grato et accepto. Tu vero, ter beate Pater, gaude et lætare. Bravia tibi contexta sunt : requietis locus paratus est : zelus tuus patrum tuorum zelum refert : custodia tua veritatem proclamat. Vinctus est justus, velut intractabilis. Qui pietatem colunt, gratias agunt : qui pari zelo tenentur, ferventiores sunt, pulcherrimum exordium contemplantes. Qui persequuntur, sermones foris nectunt et maledicunt ; quidam præsertim monachi. Intus vero cogitationibus diverberantur, et acerbum accusatorem habent suam ipsorum conscientiam. Quin etiam admirantur. Norunt quippe, ut magnus Gregorius ait, viri fortis virtutem admirari etiam hostes ; cum, ira cessante, suo res momento æstimatur. Te laudant angeli, beatum prædicant homines, Christus excepit, regni cœlorum tibi januas aperuit in sæcula. Amen.

A μένων ταραχθῆναι τῇ συμπαθείᾳ. Οὕτως τὰ καθ' ἡμᾶς ἔχει, ὦ Πάτερ. Καὶ νῦν εἰμι ἐγὼ ὁ ταπεινὸς ἐνταῦθα βίον ἕλκων ὀδυνηρὸν καὶ πολυστένακτον. Τὰς δὲ ἐκ τῆς ἁγίας κου χειρὸς εὐλογίας ἐδεξάμετα, ὡς δύναμιν ἐχούσας (6) τῆς ἁγίας Τριάδος · καὶ ἔχομεν αὐτὰς ὡς φυλακτήριον, καὶ περιτίθεμεν αὐτὰς ἐν ὀφθαλμοῖς ἡμῶν, ὡς τὴν δεξιάν σου καταφιλοῦντες. Πάλιν δάκρυα, πάλιν στρέφονταί μου τὰ ἐντός. Καταπαῦσαι γὰρ θέλω τὸν λόγον. Ὦ Πάτερ, τί με ἐγκατέλιπες ; Ἀλλ' οὐκ ἐγκατέλιπες. Πῶς δέ μου ἀπεμάκρυνας ; Ἀλλ' ἐν ἐμοὶ εἶ. Ποῦ δέ σε ἔτι μέλλω ὁρᾷν ; πῶς σε ὄψομαι ; ποῦ σου ἀκούσω τῆς ἡδίστης καὶ σωτηρίου φωνῆς ; Ὁπότε σου γένωμαι ὁμοτράπεζος ; Ποῦ σου συνουσίας ἀπολαύσω ; ἢ πώποτε ἐν
B ὡσί σου ἀνάγνώσομαι ; ἢ πρὸ προσώπου σου ᾄσω ; ἢ σωφρονισθῶ ; ἢ ἐπιτιμηθῶ ; ἢ ἐπιμνησθῶ ; ἔξιν ποιῶν ἃ φίλον σοι, ἐστίασιν, βρῶσιν, ποτὸν, ὁμιλίαν, στάσιν, καθέδραν, ἀνάκλισιν. Τί μοι συμβέβηκε ; Καλῶ τοὺς ἀνθρώπους μάρτυρας, καλῶ καὶ τὰς οὐρανίους δυνάμεις συνηγόρους μοι · ὅτι νόμος σε Θεοῦ ἐχώρισεν ἀπ' ἐμοῦ · ἐντολὴ μία αἰώνιος. Ἀκουσάτω ἡ ὑπ' οὐρανόν. Διὰ τοῦτο χαίρω, καὶ φωνὴν ἀφίημι αἰνέσεως Θεῷ. Ἀπέχω πάντα ὑπὲρ ἐκ περισσοῦ. Ἀγάλλομαι, οὐκ ὀρφανισθήσομαι ἔτι, οὐκ ὀδυνηθήσομαι, οὐδ' ἀγενές τι φθέγξομαι. Δέξαιο δὲ καὶ τὰ ἀνώτερα, Πάτερ, ὡς εὐαγῆ · τοῦ πόθου σου γὰρ σύμβολα. Πλὴν ὅτι καὶ ἔτι κλαύσομαι, ἀλλ' εὐαπόδεκτα. Σὺ δὲ, ὦ Πάτερ τρισμακάριε, χαῖρε καὶ εὐφραίνου. Τὰ βραβεῖά σοι ἐπλάκησαν, ὁ τῆς ἀναπαύ-
C σεως τόπος ἡτοίμασται. Ὁ ζῆλός σου κατὰ τοὺς πατέρας σου · ἡ φρουρὰ βοᾷ τὴν ἀλήθειαν. Ἐδέθη ὁ δίκαιος, ὡς δύσχρηστος · οἱ ἐν εὐσεβείᾳ εὐχάριστοι, οἱ ὁμόζηλοι, θερμότεροι, κάλλιστον προοίμιον θεασάμενοι. Οἱ διώκοντες λόγους ἔξωθεν πλέκουσι καὶ κακίζουσι, καὶ μάλιστα οἵτινες τῶν μοναχῶν. Ἔσωθεν δὲ ταῖς ἐννοίαις ὑπωπιάζονται, καὶ πικρὸν κατήγορον τὴν ἰδίαν συνείδησιν ἔχουσιν. Ἐπεὶ καὶ θαυμάζουσιν. Ἴσασι γὰρ ἄγασθαι, ὡς ὁ μέγας Γρηγόριος, ἀνδρὸς ἀρετὴν καὶ πολέμιοι · ὅταν τοῦ θυμοῦ λήξαντος ἐφ' ἑαυτῇ ἡ πρᾶξις δοκιμάζηται. Ἄγγελοι ὑμνοῦσί σε, ἄνθρωποι μακαρίζουσι · Χριστὸς ἀπεδέξατο · τὰς πύλας σοι ἀνέῳγε τῆς βασιλείας τῶν οὐρανῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

IV. — *Nicephoro præposito.*

Δ'. — Νικηφόρῳ (7) ἡγουμένῳ (8).

Quam grave sit scelus imperatoris qui, uxore legitima ejecta, aliam assumpserit. (Baron. ann. 795, n. 63.)

Reddito nobis per dominum diaconum responso, germane ac desideratissime mi consobrine, animus erat illico ad te scribere. Sed quia hybernum tempus erat, mutatumque consilium retrahebat, satius duxi non cito verba fundere. Postquam vero ad in-

Τῆς ἀποκρίσεως δοθείσης ἡμῖν παρὰ τοῦ κυρίου διακόνου, γνήσιε καὶ πολυπόθητέ μου ἀνεψιὲ, εὐθὺς ἠβουλήθημεν ἐπιστεῖλαί σοι. Ἐπεὶ δὲ ἦν καιρὸς χειμέριος (9), καὶ ἡ παλιμβουλία συστέλλουσα, ἀγαθὸν ἡγησάμεθα μὴ ταχὺ δοῦναι λόγον. Ἡνίκα δὲ μετὰ

NOTÆ.

(6) Ὡς δύναμιν ἐχούσας. Sanctus Paulinus epist. 45. « Panem unum sanctitati tuæ unitatis gratia misimus, in quo etiam Trinitatis soliditas continetur. Hunc panem eulogiam esse tu facies dignatione sumendi. » Videsis Rosweydi notas in Paulinum.

(7) Νικηφόρῳ. « Consobrinus Theodori Nicephorus et alii affines, quod ex matrimonio Imp. cum Theodote ipsorum propinqua, jam Augusta creata, corradere magnum sperarent emolumentum, in Theodorum ista nihili facientem, sed adversantem, commovebantur. (Baron. 795, n. 64.)

(8) Ἡγουμένῳ. Sic appellabantur præfecti monasteriorum, interdum etiam et præsides alii, velut in Justiniam. Nov. VIII, cap. 5.

(9) Καιρὸς χειμέριος. Constantinus Porphyrogenitus anno imperii 5, mense Januario. indictione 5, Mariam conjugem repudiavit, et in monasterium detrusit. Mense deinde Augusto Theodoten cubiculariam coronavit Augustam, et illegitimo sibi co-

τῆς ἐπερωτήσεως καὶ τὰ γράμματα ἀπήτουν, αὐτὸ τοῦτο τί δεῖ ἔτι διακρίνεσθαι, καὶ μὴ τὸ παριστάμενον ἐξειπεῖν; Πρῶτον δὲ ἐκεῖνο ἐρῶ, καὶ με δέξαιο, τιμιώτατε, ὅτι, ὡς καὶ αὐτὸς οἶδας, πολλῆς κακίας ὑπόδειγμα τὸν ἐαυτοῦ βίον παρεστησάμην τοῖς πολλοῖς. Καὶ οὐκ ἔστι σχεδὸν εἰπεῖν σφάλμα, οὗ μὴ καὶ αὐτὸς ἐγὼ μετέσχον, καὶ ἄλλοις προσπαρέδωκα. Ἀλλ' ἐπειδὴ μανθάνω τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, καὶ τὸν εἰς πυθμένα κακίας κατενεχθέντα ἀναῤῥύεσθαι, καὶ ὀρέγειν χεῖρα πρὸς μετάνοιαν· ἔφυγον τὴν ἀπόγνωσιν, καὶ ἔδοξα μικρόν τι ὑποστηρίζειν ἐμαυτὸν πρὸς τὸ εὐθές.

Διὰ τοῦτο, ὡς ὁ τῶν ἀφανῶν γνώστης Θεὸς ἐπίσταται, ἀπεσχοίνισα ἐμαυτὸν καὶ τῆς συνδιατριβῆς τῶν συγγενῶν μου, καὶ τοῦ ἐθισμοῦ τῶν κατὰ σάρκα φίλων μου, καὶ εἴ τινος δὴ οὖν ἄλλου, μόνης τῆς δυνάμεως τοῦ Θεοῦ ἐπιβοηθούσης τῇ ἀσθενείᾳ μου περὶ πάντα. Καὶ νῦν ὃ ἐπεζήτησας παρ' ἐμοῦ τοῦ ἀμαθοῦς μαθεῖν, οὕτως ἔχει, ὡς εἴρηκέ σοι ὁ κύριος διάκονος. Τοῦτο δὲ οὐκ ἀκρίτως, ἢ ἀπεφθεγξάμεθα, ἢ καὶ ὑπέσχομεν, ἀλλ' ἐν ἐρευνήσει καὶ συζητήσει τῆς θεοπνεύστου Γραφῆς βεβαιωθέντες καὶ κρατυνθέντες, καὶ μὴν ἀλλὰ καὶ δι' ἐρωτήσεως τῶν ὀφειλόντων. Καί γε ἡ ἀλήθεια οὕτως ἔχει, τοῦ θείου νόμου ἐμφανῶς ἀπαγορεύοντος, οὐ διὰ τοῦ θείου Παύλου μόνον, ἀλλὰ καὶ δι' ἄλλων θεολόγων Πατέρων, αὐτὸ τοῦτο διευκρινούντων καὶ ἀπολευκαινόντων, καὶ συναποφαινομένων τῇ ἀποστολικῇ ἐγκελεύσει. Καὶ πῶς λοιπὸν ἀλόγως ἀδιαφορήσω; καὶ μὴ μᾶλλον διασταλθῶ, καὶ ὑπεξαγάγω ἐαυτὸν ἀπὸ τῶν βλαπτόντων τὴν ἐλεεινήν μου ψυχήν; καὶ οἷος ἂν κίνδυνος παρῇ, τοῦ τῶν Πατέρων κορυφαιοτάτου βοῶντος καὶ λέγοντος, ὅτι Ἐάν τι παρ' ἐντολήν ἐστιν, ἢ τὴν ἐντολὴν παραβλάπτῃ, οὔδαμῶς ἀνέχεσθαι χρή· κἂν ζωῆς ἐπαγγελίαν ἔχῃ, κἂν θανάτου ἀπειλήν; Ἐῶ λέγειν ὅσαι παρυφίστανται καὶ ἄλλαι χρήσεις, μὴ ἐῶσαι ἡμᾶς ἐξυπάγεσθαι κἂν τὸ σμικρότατον γοῦν ἔξω τῆς ἐντολῆς· ἄλλως τε καὶ πάλιν παραγγελίαν ἔχοντας τοῦ μεγάλου Βασιλείου, ὅτι δεῖ πάντα ἀπαραλείπτως φυλάττειν τὰ διὰ τοῦ Εὐαγγελίου καὶ τῶν ἀποστόλων ὑπὸ τοῦ Κυρίου παραδεδομένα. Ταῦτα ὡς Πατρὶ καὶ φιλουμένῳ τεθάῤῥηκα φανερῶσαί σοι· ἐπεὶ καὶ ἡμεῖς, ὡς μάρτυς ὁ καρδιογνώστης Θεὸς, οὔτε κηρύσσομεν (οὔτε γὰρ ἐσμεν προϋχοντες), οὔτε ἀπεχθανόμεθα· ἀλλὰ καὶ τὸν αὐτοκράτορα καὶ (10) εὐσεβέστατον βασιλέα ἐγκαρδιωμένον ἔχομεν τῇ ἀγάπῃ, καὶ ἅπαντας τοὺς συγγενεῖς μου, φιλοίδιος ὑπάρχων, ὡς ὑμεῖς γινώσκετε, καὶ μνημονεύομεν αὐτοῦ καὶ ἐν τῇ θείᾳ λειτουργίᾳ, καὶ ἐπευχόμεθα ἰδίᾳ τε καὶ δημοσίᾳ. Καὶ τῆς Ἐκκλησίας κοινωνικοί ἐσμεν. Καὶ μὴ εἴη ἡμῖν ποτε διασχισθῆναι ἀπ' αὐτῆς. Συγχωρήσατέ μοι τῷ μόνῳ ἁμαρτωλῷ· εἰλόμην θρηνῆσαι τὰς ἁμαρτίας

A terrogationem, etiam litteræ idipsum flagitantes accesserunt, quid amplius deliberare opus est, ac non potius quod res est profiteri? Primum autem illud dicam, (et sustine me, reverendissime) me, ut ipse nosti, singularis nequitiæ exemplum in vita mea multis exstitisse; nec ullum fere vitii genus esse, quod non et ipse attigerim, et in alios derivarim. Verumtamen sciens benignitatem Dei, etiam illum qui in imo vitiorum fundo demersus sit, eripere, manumque ad pœnitentiam porrigere; desperationem declinavi, meque ipsum ad recti studium paululum confirmare visus sum.

Propterea, ut occultorum cognitor scit Deus, subduxi me a contubernio propinquorum meorum, et a consuetudine amicorum meorum secundum carnem, aliorumque quorumlibet, sola Dei potentia B imbecillitati meæ in omnibus opitulante. Quod ergo a me indocto discere voluisti, sic penitus habet, ut dictum est a domino diacono. Neque id nos temere aut affirmavimus, aut locuti sumus: sed investigandis et perscrutandis sacris Litteris confirmati et corsoborati, iisque etiam interrogatis quos conveniebat. Et profecto veritas sic habet, lege divina manifeste vetante, non modo per beatum Paulum, sed per alios etiam theologos Patres, qui hoc ipsum discutiunt ac declarant, et cum apostolico mandato consentiunt. Et quorsum ego amplius dissimulabo inconsulte, ac non potius retraham me ipsum, et subducam ab iis qui infelicem animam meam opprimunt? Quantum porro est periculum, cum Patrum summus vociferetur, et dicat: C Si quid fit præter mandatum, aut mandato officiens, nequaquam ferendum est, quamvis promissionem vitæ, quamvis mortis minas habeat? Mitto dicere quam multæ aliæ sint sententiæ, quæ nos vel minimum a mandato discedere prohibent, cum magni iterum Basilii edictum habeamus: quod omnia prorsus per Evangelium et apostolos a Domino tradita, servanda sint [12]. Hæc ego tibi ut Patri et amico patefacere non dubitavi, quandoquidem nos (ut testis est cordium inspector Deus) neque prædicamus; non enim præeminentes sumus; neque odia profitemur, sed et imperatorem ipsum piissimumque regem charitate gerimus in pectore, omnesque sanguine mihi conjunctos, cum necessariorum studiosus sim, ut ipsi nostis; et mentionem D ejus facimus etiam in divina liturgia, et pro illo precamur privatim ac publice, et Ecclesiæ communionis participes sumus: absitque ut ab ea unquam separemur. Ignoscite mihi soli peccatori. Deligi hunc mihi angulum, ut defleam, peccata mea, et ne miscear cum mundo. Quodnam hoc crimen est? Concede hoc mihi, dilectissime consobrine,

[12] *Moral.* Regula XII, cap. 3.

NOTÆ.

pulavit matrimonio. Mense demum Septembri, indictione 4, feria hebdomadis quarta, nuptiæ in S. Mamantis templo celebratæ sunt. (THEOPH.)

(10) Εὐσεβέστατον βασιλέα. Scripta est hæc epistola paulo ante primum exsilium, cum nondum se imperatoris communione sejunxisset.

potes enim, sat scio, ut quietus hic agam, ab omnibus, quod licet, segregatus : et acri solertia tua obliqua dirige, et aspera complana, pacisque nostræ conciliator esto, et quietis adjutor, ut si quid hinc nobis commodi exstet, juste atque ex ratione dispensetur.

μου ἐν τῇ γωνίᾳ ταύτῃ, καὶ μὴ συμφύρεσθαι τοῖς ἐν κόσμῳ. Τί τοῦτό ἔγκλημα; χάρισαί μοι τοῦτο, ποθεινότατε ἀνεψιέ· οἶδα γὰρ ὅτι καὶ δύνῃ· καὶ ἠρεμεῖν ἐνταῦθα, καὶ ἀποδιίστασθαι παντὸς τυχὸν ἀνθρώπου· καὶ τῇ ἐμμελεῖ ἀγχινοίᾳ σου τὰ σκολιὰ ποίησον λεῖα· καὶ τὰ τραχυνοντα καθομάλισον. Καὶ γενοῦ τοῦ εἰρηνικοῦ ἡμῶν βραβευτὴς, καὶ τῆς ἡσυχίας συνασπιστής· ἵνα εἰ καί τι ἡμῖν ἐστιν ἐν τούτῳ χρήσιμον, διαϊτήσῃ δικαίως καὶ κατὰ λόγον.

V. — *Stephano a secretis.*

Ε'. — Στεφάνῳ ἀσηκρῆτις.

Sacros etiam antistites, cum peccant, rite ab aliis, licet gradu inferioribus admoneri. (Baron. an. 995, n. 61.)

Hesterno die cum gloriosa præsentia tua frueremur, post alia quædam colloquia, quorum causa huc veneras, devenimus tandem ad Scripturæ quæstiones, et in ambigua hærentes disputatione, re infecta, digressi sumus. Et nos quidem, domine, rudes et ignari, sapientiæ tuæ minime pares sumus. Ne tamen eorum quæ dici debent silentio nobis judicium accersamus; etenim, *Arguendo*, ait, *argues proximum tuum, et non habebis super illo peccatum* [13], maxime cum sapientem arguentes magis diligamur : necessarium duximus congruentia tibi commemorare. Tu, domine mi, ut compendio dicam, interrogationes multas responsionesque præcidens, hæc dixisti : Non debere antistitem qui gregi præsit, extra fidei causam, si quid in aliis Domini mandatis vel imprudens, vel sua sponte faciat quod vetitum sit, ab ullo admoneri : nobis contra affirmantibus, omnino debere, sed ab iis qui inter alios scientia et prudentia eminent. Undenam vero dicti hujus absurditatem tibi non ostendemus? Primum quidem ex Veteri Testamento. Quid enim de Daniele censes? An seniores, quamvis ea nondum ætate quæ legitimam loquendi libertatem daret, in divinæ Susannæ condemnatione prævaricantes, non solum admonens, verum etiam condemnans, laudatus est, an non [14]? Deinde non animadvertis Joab in populi enumeratione, cum in Dei tentationem res vergeret, supplicantem, obtestantem, persuadere divino Davidi conantem, ne id faciat [15]? nota enim tibi est historia. Me vero movet et Jethro magnum Mosen admonens, et exhortans non sic regere populum, hominemque rudimentis quodammodo instituens, traducensque ad consilium suum. Et quisnam ipse? Alienigena, etsi socer. Cui loquens? Ei qui omnia ex divina revelatione agebat [16]. Atque hæc quidem paucis, ne longiores simus. Transeundum est ad Novum. Reveramur, si placet, gloriosissime, clarissimi orbis terræ præconis edictum : *Si postremo revelatum fuerit, primus sileat* [17] . Non, sicut objicit caritas tua, de fide sola. Et, quod me propemodum fugiebat, magnus præco veritatis Joannes Herodem reprehendit [18]. Quæso, responde mihi. Sed explodar, ut video et deridebor, quod æquiparem me prophetæ. Absit : non ita est, optimo. *Hæc vero*, inquit, *scripta sunt ad correctionem nostram* [18a]. Et iterum

C more fuit sanctorum Patrum. Ne transgrediaris leges et regulas Patrum, præcipue sancti Patris nostri Basilii: sed quidquid agas discave, tanquam testimonium ex sacris Litteris habeas, aut ex paterna consuetudine, id age, sine divini præcepti prævaricatione. Non deseres gregem tuum, ut ad alterum transeas, vel ad majorem dignitatem conscendas sine Patris tui arbitrio. Non ineas familiarium cum cononica, neque muliebre monasterium ingrediaris, neque seorsum cum ulla colloquaris monacha vel sæculari, nisi necessitas compellat; ac tum quoque duabus utrinque personis astantibus: una enim, ut aiunt, calumniæ obnoxia est. Non aperies ostium ovilis, ut feminam ullam intromittas sine magna necessitate:
D quod si absque mutuo aspectu admitti potest, neque id negligendum. Non facies tibi diversorium, aut spiritualibus filiis tuis sæcularem domum in qua sint feminæ: ita ut eam frequentes: sed apud religiosos potius viros diversari, et necessaria vitæ subsidia capere studebis. Non habebis in cella tua discipulum adolescentem, quo afficiare: sed personæ minime suspectæ, ac diversorum adeo fratrum ministerio uteris. Non sit tibi vestimemtum elaboratum, et pretiosum, præter sacerdotale; sed humiliter Patrum exemplo et indueris et calceaberis. Non eris delicatus ac lautus, neque in privato tuo sumptu, neque in hospitum receptione:

hoc enim ad hujus vitæ voluptarios pertinet. Non thesaurizabis aurum in monasterio tuo; sed quidquid in unoquoque genere redundabit, adaperto atrio tuo pauperibus, sanctorum Patrum more, largire. Non servabis locum obseratum, nec curam geres œconomiæ : sed tota cura tua animarum esto. Aurum vero et res usui necessarias œconomo committes, et cellario, et ut cuique convenit ministerio : ita nimirum, ut penes te sit omnium potestas, et officia in hunc aut illum, ut voles, transferas, rationemque exigas cujuslibet administrationis, prout mandaeti. Non facies vel ages quidquam in re ulla ex proprio sensu, sive proficiscendum est, seu vendendum vel emendum; neque in receptione vel ejectione fratrum, neque in aliis rebus externis; sed neque in animæ erratis, sine consilio eorum qui judicio et pietate præstant, unius aut duorum, triumve aut plurium, prout res feret, sicut a Patribus sancitum est. Hæc omnia, et quæcunque alia accepisti, servabis et custodies, ut bene tibi sit, et prospere agas in Domino omnibus diebus vitæ tuæ. Contrarium enim absit vel dicere vel cogitare.

ταῖς ὑποδοχαῖς τῶν ξένων · τοῦτο γὰρ τῆς μερίδος τῶν ἀπολαυστικῶν τοῦ παρόντος βίου. Οὐ θησαυρίσεις χρυσίον ἐν τῇ μονῇ σου · ἀλλὰ τὸ κατὰ περισσείαν ἐπὶ παντὸς εἴδους μεταδοίης τοῖς πενομένοις ἐν ἀνοίξει τῆς αὐλῆς σου, καθὼς καὶ οἱ ἅγιοι Πατέρες. Οὐ κρατήσεις τόπον ἠσφαλισμένον καὶ τὴν οἰκονομικὴν φροντίδα · ἀλλ' ἔστω σοι πᾶσα ἡ φροντὶς ἀνήκουσα περὶ τῶν ψυχῶν. Τὸ δὲ χρυσίον, καὶ τὰ κατὰ χρείαν, ἐγχειρίσεις τῷ οἰκονόμῳ, τῷ κελλαρίτῃ, καὶ ὡς ἐπιβάλλει ἐν ἑκάστῃ διακονίᾳ · σοῦ προδήλως πάντων τὴν ἐξουσίαν ἔχοντος, καὶ μεταφέροντος ὡς ἂν βούλῃ ἑκάστην διακονίαν ἐν τῷ τυχόντι προσώπῳ, καὶ ἀπολαμβάνοντος τὸν λόγον ἑκάστης διοικήσεως καθὸ ἐντέλλῃ. Οὐ ποιήσεις τι ἢ πράξεις κατ' οἰκείαν γνώμην ἐν παντὶ πράγματι, οὔτε ἐν προόδῳ, οὔτε ἐν πράρει καὶ ἀγορασίᾳ, οὔτε ἐν δοχῇ ἢ ἐν ἀποκρίσει ἀδελφοῦ, οὔτε ἐν ὑπαλλαγῇ διακονίας, οὔτε ἐν ἄλλῳ τινὶ τῶν σωματικῶν, ἀλλ' οὖν οὐδὲ ἐν τοῖς ψυχικοῖς σφάλμασιν, ἄνευ βουλῆς τῶν προεχόντων ἐν γνώσει καὶ εὐλαβείᾳ, ἑνὸς ἢ δύο, ἢ καὶ τριῶν, ἢ καὶ πλειόνων, κατὰ τὴν ὑποκειμένην ὑπόθεσιν · ὥσπερ ἐντέταλται Πατρικῶς. Ταῦτα πάντα, καὶ ὅσα ἕτερα παρέλαβες, φυλάξοις καὶ φρουρήσοις, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ κατευοδούμενος ἐν Κυρίῳ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Τὸ γὰρ ἐναντίον ἀπείη καὶ λέγειν καὶ ἐννοεῖν.

XI. — *Anastasio episcopo Cnosiæ.*

ΙΑ'. — Ἀναστασίῳ ἐπισκόπῳ Κνωσίας. [κβ'.]

De officio episcopi.

Quid vis tibi, sanctissime Pater, et quid tantopere post unam et alteram excusationem adhuc instas, ut a me imperito et vitiis dedito utilitatis sermonem recipias ? Ego potius a te doceri opus habeo, qui et ordine inferior sum, et vita obcæcatus, non de episcopatus officiis, (quam enim ineptus sim !) sed de monastico statu, sive de præpositura ; quonam pacto indigne mihi commissum gregem congruenter regens, propitium in terribili responsionis meæ die judicem nanciscar. Sed tu nimirum per summam modestiam tuam hoc egisti : explorare enim ignorantiam meam voluisse, id mihi de pontificatu tuo nefas est suspicari. Ego vero meum ipsius gradum, o sacrum caput, pertimesco, et animo æstuo circa animarum gubernationem; quomodo tandem ex turbulento ac procelloso mari spirituali traditum mihi parvum hoc et spirituale navigiolum ad salutis portum perducam : cum ad munus hoc et vita integra, et scientia idonea sit opus ; ut tanquam duplici clavo gubernans, vigilonter ac perite intactum aquis peccati meipsum et eos qui me sequuntur custodiam. Hæc igitur tam miseri est excusatio. Verum quia sanctitatis tuæ præcepto penitus non obtemperare, tametsi vires meas superet, periculo non vacat : præsertim cum ab ipso etiam Patre meo mandatum acceperim : utriusque obedientia fretus, hoc tibi, divinissime Pater, per commonitionis speciem profitebor : longe majus multisque partibus navicula mea excellentius esse navigium perfectionis tuæ, episcopale, inquam fastigium, si cum præpositi dignitate comparetur : et tanto scilicet, quanto in plures imperium sortitus es, eosque non valentes

Τί σοι γέγονεν, ὦ ἱερώτατε Πάτερ, καὶ τί τοσοῦτον μετὰ μίαν καὶ δευτέραν παραίτησιν ἔτι παραβιάζῃ, ὥστε παρ' ἐμοῦ τοῦ ἀμαθοῦς καὶ περιπαθοῦς εἰληφέναι λόγον ὠφελείας ; Ἔγωγε μᾶλλον ἔχω χρείαν ὑπὸ σοῦ φωτισθῆναι · ὁ καὶ τῇ τάξει δεύτερος, καὶ τῷ βίῳ ἐσκοτισμένος · οὐ τὰ περὶ ἐπισκοπῆς ὀφειλόμενα · φεῦ γὰρ τῆς ἐμῆς ἀνοίας ! ἀλλὰ τὰ περὶ μοναχικῆς, εἴτ' οὖν ἡγουμενικῆς καταστάσεως, τὸ πῶς ἄρα ἀφηγησάμενος κατὰ λόγον τὸ ἐμπιστευθέν μοι ἀναξίως ποίμνιον, εὑρόιμι Θεὸν ἵλεω ἐν ἡμέρᾳ τῆς φρικτῆς ἀπολογίας μου. Ἀλλὰ τοῦτο πέπονθας πάντως ἐξ ἄκρας μετριοφροσύνης. Ἐκπειράζειν γάρ μου τὴν ἀπαιδευσίαν, οὐ θέμις με ὑπονοεῖν τὴν ἀρχιερωσύνην σου. Ἐγὼ τοίνυν δέδοικα τὰ τοῦ οἰκείου βαθμοῦ, ὦ ἱερὰ κεφαλή, καὶ ἱλιγγιῶ περὶ τὴν ψυχικὴν κυβέρνησιν τῷ ὄντι · πῶς δὴ οὖν ἐκ τῆς πολυταράχου καὶ ἀεικυμάντου νοητῆς θαλάσσης ἀποσώσαιμι τὸ ἐγχειρισθέν μοι τοῦτο βραχύτατον καὶ λόγικὸν πλοιάριον εἰς λιμένα σωτηρίας · ὅτι πρὸς τοῦτο καὶ πολιτείας ἀκραιφνοῦς χρεία καὶ γνώσεως ἱκανῆς ἐπιτυχία, ἵν' ὡς ἐν δυσὶν αὐχέσι πηδαλιουχῶν, γρηγόρως καὶ ἐπιστημόνως ἀκαταβάπτιστον τοῖς ὕδασι τῆς ἁμαρτίας ἐμαυτόν τε καὶ τοὺς ἑπομένους μοι διαφυλάττω. Αὕτη τοίνυν ἡ ἐμὴ ἀπολογία τοῦ ταλαιπώρου. Ἐπεὶ δὲ τὸ τῆς ὁσιότητός σου κέλευμα οὐκ ἀκίνδυνον πάντη καταλιπεῖν, εἰ καὶ ὑπὲρ δύναμίν μου ἀνυπήκοον, ἄλλως τε καὶ ἐκ τοῦ οἰκείου μου Πατρὸς τὴν ὑποταγὴν δεξάμενος · πεποιθὼς τῇ ἀμφοτέρων εὐπειθείᾳ, τοῦτό σοι, ὦ θειότατε Πάτερ, ἐν εἴδει ὑπομνήσεως ἐπιφθέγξομαι, ὅτι μεῖζον κατὰ πολὺ καὶ ὑπερβάλλον τὸ πλοῖον τῆς σῆς τελειότητος πρὸς τὸ ἐμὸν νηάριον · φημὶ δὴ τὸ ἐπισκοπικὸν

ὕψωμα πρὸς τὸ ἡγουμενικὸν ἀξίωμα· καὶ τοσοῦτον ὅσῳπερ ἂν καὶ πλειόνων ἄρχειν ἠξιώθης, καὶ ταῦτα οὐχ ἑκόντων ἴσως, οὐδὲ ὁμογνωμόνων, οὐδὲ τῆς αὐτῆς φύσεως καὶ ἀξίας, ἀλλὰ καὶ ἀῤῥένων καὶ θηλειῶν, μοναστῶν τε καὶ μιγάδων, ἀρχόντων τε καὶ ἀρχομένων, γημάντων καὶ ἀγάμων, δούλων τε καὶ ἐλευθέρων, ὀρφανῶν τε καὶ χηρευόντων, πλουσίων τε καὶ πενήτων, δυναστευόντων τε καὶ καταπονουμένων, χρεωφειλετῶν τε καὶ δανειστῶν, ἀβροδιαιτούντων τε καὶ λιμοκτονουμένων, πολυκτημόνων τε καὶ ἀνεστίων, μαλακοφορούντων τε καὶ ῥακοδυτούντων. Ταῦτα γὰρ καὶ πλείω τούτων οὐκ ἐπιφαίνεται τῷ ἡμετέρῳ βίῳ· ὁ δὲ σὸς ἐμπέπληται. Καὶ οὐδὲ πᾶς ὁ λαός σου ὑπὸ μιᾶς φροντίδος δεδιοίκηται, οὐδὲ πάντων τὰ πρόσωπα καὶ τὰ ὀνόματα οἶσθα, οὐδ' ἑκάστου τὰς μεθόδους τῆς ζωῆς διαγινώσκεις· ἀλλὰ ἄλλοι ἄλλως κατὰ πολὺ τὸ διάφορον ἔχουσιν. Οἱ μὲν γὰρ ἴσως γεωπονοῦσιν, οἱ δὲ ναυτίλλουσιν, οἱ δὲ ποιμαινεύουσιν, οἱ δὲ ἀπρακτοῦσιν, οἱ δὲ πρακτορεύονται· καὶ πολὺς ὁ λόγος τῆς ἑφ' ἑκάστῳ ὁρωμένης ἐργασίας. Ἐπὶ τούτοις δὲ πᾶσιν ὅσος καὶ πηλίκος ὁ κόπος! καθὰ λογίζομαι, ἀλόγιστος· ὅσος ὁ ἱδρὼς, ὁ ἀγών, ὁ δρόμος, ἡ εὐτονία, ἡ φροντὶς, ἡ μέριμνα, ἡ ἔκτηξις τῆς σαρκὸς, ἡ ὀδύγη τῆς ψυχῆς, ἡ τῆς διανοίας κατακοπή! Ὥσπερ οὖν ὁ ἀπευθύνων τὴν ναῦν ἐν μεγάλῃ ζάλῃ καὶ καταιγίδι θαλάσσης, ὅλος νήφων ἐστὶ καὶ ἀπερίτρεπτος, ἀνύστακτον ἔχων τὸν ὀφθαλμόν· οὐδὲ γὰρ εἰς βραχὺ φέρει κίνδυνον τὸ μικρῶς πῶς παρεμπεσεῖν ἀπειρίαν καὶ ἀμέλειαν· οὕτω πολλῷ μᾶλλον ὁ κυβερνήτης τῶν ψυχῶν ἀγωνιστικώτερον καὶ ἀκριβέστερον εἰδέναι ὀφείλει τὸ τῆς προστασίας ἔργον, ἵνα μὴ ὑποβρύχιος γένηται τῷ βυθῷ τῆς ἀπωλείας. Διὰ ταῦτα, ὡς οἶμαι, ἀγιώτατε, ἐβόα ὁ μέγας Ἀπόστολος, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Καὶ πάλιν, Ὅτι ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος, ἀλλ' ἔννομος Χριστῷ. Τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα τοὺς πάντας κερδήσω. Ἰδοὺ οὕτως καὶ οἱ κατ' αὐτὸν κανόνες καὶ ὅροι ἐπισκοπῆς· καθάπερ καὶ αὐτοὶ οἱ θεσπέσιοι Πατέρες ἡμῶν διαγορεύουσι. Λοιπὸν ἀναγνοὺς καὶ διαγνοὺς τὰ τῶν ἁγίων, καὶ ἐπὶ χεῖρας ἔχων τὰ θεοπαράδοτα λόγια· τί πρὸς ἐμοῦ τοῦ τάλανος τοιοῦτόν τι ἐπιζητεῖς; Ἐγὼ δοκῶ τὸν ἐπίσκοπον εἶναι ἔφορον, καὶ ὑπεύθυνον τῆς ἐπὶ πᾶσι τῶν ἀρχομένων γενομένης διαπράξεως. Ἄγγελον ἀσίγητον, τὰ τοῦ Θεοῦ δικαιώματα κηρύσσοντα· ὄμμα ἀκοίμητον τὰς ἑκάστου ὁδοὺς τῶν ὑπ' αὐτοῦ ἐξαγομένων ἐπιβλεπόμενον· μίμημα Χριστοῦ, εἰς ὃν οἱ ἑπόμενοι προσέχοντες τὴν ἑαυτῶν ζωὴν εὐαγγελικῶς χαρακτηρίζουσι· φωστῆρα ἀειλαμπῆ τοῖς ἐξ ἀγνοίας καὶ ἁμαρτίας νυκτομαχοῦσι γνωριζόμενον. τὸν λόγον τῆς διδασκαλίας ἐπομβρίζοντα τοῖς διψῶσι τὰ σωτήρια· οἰκονόμον μέγιστον, τὸν ἑκάστου βίον λογοθετεῖσθαι μέλλοντα ἐν καιρῷ ἀνταποδόσεως. Οὔτε οὖν μεῖζόν τι τῆς πρὸς Θεὸν ἐγγύτητος καὶ ἀγάπης, οὔτ' αὖ εὐ-

A fortasse, nec conspirantes, nec ejusdem naturæ et dignitatis; sed mares pariter ac feminas, monachos et sæculares, imperio præditos et subditos, conjuges et cælibes, servos ac liberos, orphanos et viduas, divites et pauperes, potentes et inopes, debitores et feneratores, laute viventes et fame laborantes, locupletes et tecto carentes, molliter vestitos et pannosos. Hæc enim, et his plura, in vita nostra non cernuntur; tua vero his referta est. Nec populus tuus sub una cura universus cogitur, nec omnium facies et nomina nosti, nec vitæ uniuscujusque vias et rationes distinguis; sed alii aliter magno discrimine se habent. Etenim alii terram fortasse colunt, alii navigant, alii greges pascunt, alii in otio degunt, alii negotiantur: longumque esset

B quas in singulis videmus occupatione recensere. In his autem omnibus qualis quantusque labor? æstimari, ut puto, non potest. Quantus sudor, certamen, cursus, contentio, cura, sollicitudo, carnis afflictio, animi dolor, mentis defatigatio? Quemadmodum ergo qui navem gubernat in magnis maris fluctibus et tempestate, totus advigilat, et in ea cura defixus est, nec sumnum oculis indulget (non enim parvi et periculi si vel exigua aliqua obrepat imperitia vel negligentia), sic multo magis animarum gubernator præfecturæ partes studiosius et accuratius teneat necesse est, ne extremi exitii profundo demergatur. Propterea, at arbitror, sanctissime, magnus Apostolus exclamabat: *Quis infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror* [35]? Et iterum

C *: Factus sum Judæis tanquam Judæus; iis qui sub lege sunt, tanquam sub lege essem; iis qui siue lege erant, tanquam sine lege essem; cum sine lege non essem, sed in lege essem Christi. Omnibus omnia factus sum, ut omnes lucrifacerem* [36]. En, vel ejus sententia, leges et regulas episcopatus, quemadmodum et divini quoque Patres nostri testantur. Cæterum, cum sanctorum placita legas et intelligas, et divina oracula in manibus habeas, quid ad me misero tale quidpiam efflagitas? Ego episcopum censeo inspectorem esse, ac de omnibus quæ a subditis aguntur obnoxium; angelum non silentem, justificationem Dei perpetuo prædicantem; oculum insomnem, gregis sui singillatim vias considerantem; simulacrum Christi, ad quod intenti qui sequuntur, vitam suam ad Evangelii

D formam effingant; facem perpetuo ardentem, iis qui in ignorantiæ peccatique tenebris dimicant, conspicuam; sermonem doctrinæ, solutaria sitientibus infundentem; dispensatorem maximum, qui de singulorum vita, retributionis tempore, rationem redditurus sit itaque nulla affinitas cum Deo et charitas major est, aut cui certior sit merces, quam præfectura tanta: quemadmodum Christus ipse apostolorum principi dixit: *Si amas me, Petre, plus his, pasce oves meas* [37]. Nec periculosius quidquam, aut exitiosius quam in ea indigne versari.

[35] II Cor. xi, 29. [36] I Cor. ix, 20-23. [37] Joan. xxi, 15.

μένους, ὡς ἡ τοῦ λαοῦ ἐπιστασία· καθὼς φησι καὶ ὁ Χριστὸς πρὸς τὸν προφήτην ἐκπυλῶν· « Ἐν ροπῇ μι. Βίου, τοῦτον τοῦτον, τοῦτο τὸ τοῦτό μου. » Ὅσῳ ἐπικινδυνότερον καὶ ὑπευθυνότερον τοῖς ἀνῶς ταῦτα πραττομένοις.

At tu, mi vir, Patrum optime, bonus pastor es, qui animam tuam pro ovibus semper ponisti, pro unaquaque capite ovis, etsi bonorum minas non reformidans, veritatem in adversantium oculis non dissimulans, unici regis voluntati obsecundans. Ad hæc, arguens cum libertate, pœnam irrogans cum lenitate, pacificans et reconcilians dissidentes, profanum a sancto prudenter dirimens, et sanum a morbido, ne contagione sua vicinum inficiat; quod aberrat in viam reducens, quod infirmum est consolidans, quod confractum est alligans [38]. Quam multiplex revera tuum est opus! Præpositorum visitatio, cellitarum approbatio, presbyterorum et diaconorum ordinatio, et horum omnium vitæ censura: viduarum defensio, orphanorum subsidium, afflictorum ultio, oppressorum propugnatio; quin etiam dignitatis conservatio. Quia ubi nihil est quod pietatem lædat vel impediat, subjici nos quoque omni imperio et potestati oportet, benevolentiamque perpetuo, si fieri potest, omnium retinere, prompte ac benigne salutando, ac majorem etiam honorem rehibendo. Absit enim ut de beatitudine tua dicantur, quæ contrariæ malorum pastorum parti conveniunt! qui turpis scilicet lucri gratia gregem pascunt, qui ad vitæ commoda dignitatem hanc referunt, ad carnis laxamentum, ad cupiditatis fructum, ad fluxarum opum conquisitionem, ad plurimorum terræ jugerum possessionem, gregisque servorum ac pecudum numerosi: ideoque non divinis, sed humanis artibus ad præfecturæ culmen prosiliunt, ut in subditos supercilium attollant, et ante honoratiores arroganter sedeant. Mitto de illis dicere, qui causidicorum more pro caducis rebus decertant, et pro veritatis dogmatibus non resistunt. Quodque his longe gravius est, de iis qui subditorum bona rapiunt, et exsugunt, indeque potentiam, et redundantem opum copiam accumulant. Quibus enim ut egentibus manum porrigi par erat, hos qui sensim atterere non dubitant, cuinam similes dicentur? Petrone et Joanni, eorumque sectatoribus, quibus, ait, argentum et aurum non erat, sed divini Spiritus gratia? an Simoni Mago, et Judæ proditori, et Giezi cupido pecuniæ, ac reliquis hujus sæculi divitibus? De iis autem dico, qui quod præsens est solum, ut ipsis bene sit, spectant; qui carni serviunt, et in auro defixum cor habent: qui fortasse et ipsi fenerantur, et ad usuram dant pauperibus, qui bona ad proprias cupiditates retinent, atque indignis ex vitioso effectu; vel propinquis suis erogant. Quorum cura omnis in eo forsan est posita, ut multa serant metantque, ut plurima plantent et colligant, ut augeant et amplificent armenta atque greges: tanquam agricolæ quidam, tempora observantes, et lucrum ex vulgi penuria captantes,

Ἀλλ' οὖν, ὦ οὗτος, Πατέρων ἄριστε, ὅτι ὡς ἀγαθὸς ποιμὴν τὴν ψυχήν σου ἀεὶ τίθεσαι ὑπὲρ τῶν σῶν προβάτων, προσβολὰς ὑπὲρ ἑνὸς ἑκάστου μὴ πτοούμενος ἀπειλὰς ἀνθρωπίνας· μὴ ὑποστελλόμενος τὸν τῆς ἀληθείας λόγον ἐξ ἐναντίας τῶν ἀντιδιατιθεμένων· τὸ τοῦ μόνου βασιλέως θέλημα ἀποπληροῦν. Πρὸς τούτοις εὐτόνως μετὰ παῤῥησίας, ἐπιτιμῶν μετὰ πραότητος, εἰρηνεύων καὶ καταλλάσσων τοὺς διεστῶτας, ἀφορίζων μετὰ εὐκρισίας τὸ βέβηλον ἀπὸ τοῦ ὁσίου, τὸ ὑγιὲς ἀπὸ τοῦ νοσηροῦ, ὡς ἂν μὴ μεταδοὺς τῆς οἰκείας ἀῤῥωστίας τῷ πλησιάζοντι· τὸ πλανώμενον ἐπιστρέφων· τὸ ἠσθενηκὸς ἐνισχύων· τὸ συντετριμμένον καταδεσμεύων. Ὡς πολύ σου ὄντως τὸ ἔργον! ἡγουμένων ἐπίσκεψις, κελλιωτῶν ἐπίκρισις, πρεσβυτέρων καὶ διακόνων χειροτόνησις, καὶ βίου τούτων πάντων ἐπιτήρησις· χηρῶν προστασία, ὀρφανῶν ἐπικουρία, καταπονουμένων ἐνδίκησις, ἀδικουμένων ὑπερμάχησις, καὶ μέντοι καὶ ὑπεροχῆς διατήρησις. Ἐπειδὴ ὅταν μηδὲν ᾖ τὸ βλάπτον καὶ κωλύον εἰς θεοσέβειαν, ὑποτάσσεσθαι καὶ ἡμᾶς πάσῃ ἀρχῇ καὶ ἐξουσίᾳ προσήκει, καὶ φιλιάζειν διὰ παντὸς, εἰ δυνατὸν, πρὸς ἅπαντας διὰ τῆς εὐμεταδότου καὶ φιλοῤῥόνου δεξιώσεως καὶ προεπιδόσεως. Ἀπεὶ γὰρ περὶ τῆς μακαριότητός σου τὰ τῆς ἐναντίας μερίδος τῶν κακῶν ποιμένων διαγορεύειν! οἷον τῶν αἰσχροκερδῶς ποιμαινόντων τὸ ποίμνιον· τῶν εἰς ἀφορμὴν βίου λογιζομένων τὴν τοιαύτην ἀξίαν, καὶ εἰς σαρκὸς ἀνάπαυσιν, καὶ εἰς ἐπιθυμίας ἀπόλαυσιν, εἰς κατάσχεσίν τε πλούτου τοῦ ῥέοντος, καὶ εἰς κτῆσιν πλέθρων γῆς τόσων καὶ τόσων, ἀγέλης τε ἀνδραπόδων καὶ βοσκημάτων πλῆθος. Καὶ διὰ τοῦτο ἀνθρωπίνως καὶ οὐ θείκῶς ἐπιπηδώντων τῷ ὕψει τῆς προστασίας, εἰς τὸ αἴρειν τὴν ὀῤῥὼν κατὰ τῶν ὑποδεεστέρων, καὶ προκαθέζεσθαι σοβαρῶς κατὰ τῶν ὑπερτίμων. Καὶ ἐῶ λέγειν περὶ τῶν διαμαχομένων ἴσα καὶ τῶν δικανικῶν ὑπὲρ τῶν ἀπολλυμένων πραγμάτων, καὶ οὐκ ἀνθισταμένων ὑπὲρ τῶν τῆς εὐσεβείας δογμάτων· ἤ, τὸ πολὺ χεῖρον τούτων, περὶ τῶν ὑποσπώντων καὶ ὑπωπιαζόντων τὰ τῶν ὑποχειρίων, κἀκ τούτου συναθροιζόντων δύναμιν καὶ περιουσιασμόν. Οἷς γὰρ μᾶλλον ἐδει χεῖρα ὀρέγειν πενομένοις, τούτους κατὰ μικρὸν ἐκθλίβειν οὐ παραιτούμενοι, τίνι ὁμοιωθήσονται; Πέτρῳ καὶ Ἰωάννῃ, ἆρα καὶ τοῖς ὀπαδοῖς αὐτῶν· οἷς, φησὶν, ἀργύριον καὶ χρυσίον οὐχ ὑπῆρχεν, ἀλλ' ἡ τοῦ θείου Πνεύματος χάρις; ἢ Σίμωνι τῷ Μάγῳ καὶ Ἰούδᾳ τῷ προδότῃ, καὶ Γιεζῇ τῷ φιλαργύρῳ, καὶ τοῖς λοιποῖς πλουσίοις τοῦ αἰῶνος τούτου; Ἐκείνων δὲ λέγω, τῶν τὸ παρὸν μόνον ὅπως αὐτοῖς εὖ ἕξει σκοπούντων, καὶ σάρκα θεραπευόντων, καὶ τῷ χρυσῷ τῇ καρδίᾳ προστιθεμένων, καὶ τούτων ἴσως τοκιζόντων, ἢ ἐπὶ πλεονασμῷ διανειμάντων τοῖς ἐνδεέσι, καὶ πρὸς τὰ οἰκεῖα θελήματα κατακρατούντων, καὶ προσπαθῶς τοῖς οὐκ

[38] Ezech. xxxiv, 4.

ἀξίοις, ἢ τοῖς ἀγιστεύουσι χρωμένων. Οἵτινες ὅλην φροντίδα κέκτηνται τάχα ἐπὶ τοῦ σπεῖραι πολλὰ καὶ ἀμήσασθαι, καὶ ἐπὶ τοῦ φυτεῦσαι τοσαῦτα καὶ καρπώσασθαι, καὶ ἐπὶ τοῦ προσθεῖναι καὶ πληθῦναι βουκόλια ἢ ποίμνια · ὥσπερ τινὲς γεωργοὶ καιροσκοποῦντες καὶ καταπραματευόμενοι τὰς ἐνδείας πρὸς τὸ πωλεῖν καὶ ἀγοράζειν ταῦτα καὶ ἐκεῖνα, πραγματευτικῶς καὶ ἐμπορικῶς οἱονεὶ πολιτευόμενοι, ἀλλ' οὐκ ἐπισκοπικῶς καὶ ἱερατικῶς · πρὸς τὸ μόνον πτερῶσαι ψυχὴν καὶ ἁρπάσαι κόσμου καὶ δοῦναι Θεῷ, καὶ ὅλον τὸ ποίμνιον διασώσασθαι ἐκ θανάτου ἁμαρτίας, καὶ οὕτως κατὰ δεύτερον λόγον καὶ τὰ ἐπιτήδεια τῆς παρούσης ζωῆς δι' οἰκονόμων καὶ ἐπιτρόπων πορίζεσθαι. Ἀλλ' οὐαί μοι, ὅτι ἐμαυτῷ ταῦτα κατέλεξα, ἐκ τῶν οἰκείων παθῶν τὰ οὐκ ὄντα τοῖς ἄλλοις διαγραφόμενος. Σὺ δὲ, ὦ πανσεβάσμιε Πάτερ, καθαρὸς ὢν ἀπὸ τῶν τοιούτων, ταῖς ἱεραῖς εὐχαῖς τοὺς νοητοὺς λύκους ἀποσοβοῖης ἐκ τῆς Χριστοσφραγίστου ἐπαύλεώς σου. Εὖ οἶδ' ὅτι καὶ ταῦτ' ἄγοις, καὶ διεξάγοις εἰς τὰ χωρία τῶν ἀρετῶν, ἐκτρέφων καὶ λιπαίνων τῇ πόᾳ τῆς ἐμμελοῦς σου διδασκαλίας, καὶ τῷ ὕδατι τῆς καθαρᾶς πίστεώς σου · καὶ ἑκάστοτε προσάγοις θύματα δεκτὰ ταῖς λογικαῖς σου καὶ ἡγνισμέναις τῷ Θεῷ λατρείαις · ἀλλὰ ταῖς ἱκετηρίαις προφθάνων, ποιμαίνοις κἀμὲ τὸν τληπαθέστατον καὶ πολυαμάρτητον, δέομαι καὶ ἀντιβολῶ, καὶ σύγγνωθί εἴ τι ὤφλησα γέλωτά σοι ἀμαθίας μου. Πλὴν ὅτι οὐχ ἑκὼν, ἀλλ' ἐκβιασθεὶς ὑπὸ τῆς ἱερᾶς σου καὶ πνευματικῆς ἀγάπης, μᾶλλον δὲ κελεύσεως, καθῆκα ἐμαυτὸν εἰς τοῦτο. Οὐ πρὸς ὄνησίν σού τινα ῥθεγξάμενος · ἀλλὰ πρὸς ἔνδειξιν, ὡς εἴρηται, ὑπακοῆς ἀνυποκρίτου σου. Ἔρρωσο ἐν Κυρίῳ, ὑπερευχόμενος ἡμῶν τῶν μόνων ἁμαρτωλῶν, τὰ πάντα ὁσιώτατε Πάτερ.

A ut hæc et illa vendant vel emant, negotiatorum potius mercatorumque ritu viventes, quam ut, episcoporum et sacerdotum more, animas tantum excitent, mundoque creptas reddant Deo, et totum gregem a peccati morte vindicent : tum secundo deinde loco necessaria vitæ hujus subsidia per œconomos procuratoresque suppeditent. Sed heu me! qui mihi ipsi hæc narro, ex propriis vitiis ea quæ in aliis non sunt describens. Tu vero, colendissime Pater, cum omnibus his careas, sacris precibus spirituales lupos a septis tuis Christi annulo obsignatis expelle. Et quidem hoc agis, nec me latet, educisque in campos virtutum, pascens et impinguans herba sua vis doctrinæ tuæ, et aqua sinceræ fidei tuæ : assidueque offers acceptabiles hostias, per rationales et consecratos Deo cultus. Quin precationibus præ- B vertens, pasce me quoque vitiis peccatisque obsitum oro et obtestor ; et ignosce, si tibi risum eximperitia mea movi. Non enim mea sponte, sed coactus sacra et spirituali charitate tua, vel potius imperio, huc descendi, non ad utilitatem tuam quidquam effatus, sed ad specimen, ut dixi, sinceræ erga te obedientiæ. Valde in Domino pro nobis orans, qui soli peccatores sumus, Pater in omnibus sanctissime.

ΙΒ'. — Θωμᾷ δισυπάτῳ (15). [κζ'.]

Ποία πρόσρησις, ἢ τίς λόγος παρακλήσεως εὑρεθείη πρὸς ἡμῶν τῶν ταπεινῶν τῇ σῇ κυριότητι πρὸς τὰ ἐνόντα αὐτῇ λυπηρὰ, ὦ δέσποτα; Ἐξενώθης τῆς ἐνεγκαμένης σε καὶ θρεψάσης πόλεως · ἀπεστερήθης τῆς μεγίστης ἑστίας · ἀπεγυμνώθης τῆς λαμπρᾶς ἀξίας, προσθήσω δὲ, καὶ τῆς ὑπάρξεως · ἀποδιέστης τῶν φίλων, τῶν συνήθων, τῶν φιλάτων σου τέκνων · ὑπερωρίσθης ὧδε κἀκεῖσε · τὰ δὲ τῆς ὑπερορίας ὅσα εἰς κακοπάθειαν τῷ ἀήθει σου σώματι, ἐνδεια βρωμάτων, ποτῶν, λούτρων, ἑρθμία ὁμιλούντων, εὐπορία προσεπεμβαινόντων, προσπλησόντων. Οἱ γάρ ποτε εὐγνώμονες νῦν ἴσως ἀγνώμονες, καὶ οἱ φίλοι καὶ γνώριμοι τετράφθωσαν τὰ πρώσωπα, ἢ ἐγγύθεν ἢ μακρόθεν ὄντες ἀπὸ τοῦ γνωρίζειν καὶ φιλεῖν καὶ κήδεσθαι.

Φροντὶς ἐπὶ τούτοις τῶν ἔτι ἐπιλελειμμένων ὑπηρετῶν δούλων, καὶ πρό γε τούτων τῶν καλλίστων

XII. *Thomæ bis consuli* (15*).

Qualis compellatio, aut cujusmodi consolationis vox tibi, domine, ab humilibus nobis inveniri queat, ad tristia hæc mala quæ sustines? Exactus es a civitate quæ te genuit et educavit ; privatus es amplissima domo ; spoliatus es illustri dignitate, addam etiam, opulentia : segregatus es ab amicis, a familiaribus, o charissimis liberis tuis, exsul huc illuc delatus es : in exsilio autem nihil non ad vexationem comparatum corpori tuo minime assueto, penuria cibi, potus, balneorum, solitudo sodalium, frequentia irruentium, insultantium. Qui enim benevoli olim erant, nunc forte infesti ; et qui amici notique, averterunt facies suas, aut propius aut longius positi, ne agnoscant, vel ament, et curam C gerant.

Ad hæc sollicitudo eorum qui adhuc restant, famulorum, servorum, et, ante omnes, egregiorum D

NOTÆ.

(15) Θωμᾷ δισυπάτῳ. Theophanes ad annum 5 Leonis Porphyrogenn. Μέσῃ ἑβδομάδι τῶν νηστειῶν ἐκρατήθη Λέων τε καὶ Θωμᾶς κουβικουλάριοι · καὶ οὗτοι σὺν καὶ ἑτέροις εὐλαβέσιν ἀνδράσιν, ὡς προσκυνοῦντες τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας · *Media jejuniorum hebdomade Leo et Thomas cubicularii, quasi sanctas et venerandas imagines coluissent, cum aliis religiosis viris comprehensi sunt.* Item auctor incertus, qui Theophani subjunctus est : pag. 440 c. Καί τις Θωμᾶς πατρίκιος ἀπὸ δισυπάτων γενόμενος, ὃς τότε τὴν Ἐκκλησίαν παρέλαβεν ἀπὸ τοῦ βασιλέως ἀσφαλίσας τὰς πύλας τοῦ πατριαρχείου, ἀπεδίωξεν αὐτοὺς, ὡς δῆθεν τοῦ βασιλέως χωρὶς ταῦτα ποιοῦντας, etc. *Mox Thomas quidam patricius bis exconsul, qui tunc velut imperatoris jussu. Ecclesiam tutandam susceperat, portis patriarchii occlusis eos removit velut inscio, imperatore istiusmodi facinora molitos,* etc. De appellatione *disypati* videsis *Glossaria* Ducangii.

(15*) Consolatoria.

liberorum. Et facultas non suppetit. Et præterea ad urbem consides, sicut : *Ad flumina Babylonis* abductus quondam in Assyrios Israel, *ubi sedimus*, inquiunt, *et flevimus, dum recordaremur Sion* [39-40]. Gemitus ergo, et mœroris, et lacrymarum plenæ sunt res tuæ, At vero cum scientiæ gratia, et prudentiæ dono præditus sis, haudquaquam te in his arbitror penitus concidere : quippe qui non ignores vitam hominis militiam esse, juxta clarissimi Job sententiam [41], qui quanta perpessus sit, intelligentiam tuam non fallit ; uti nec alia omnis instabilitas hujus vitæ aliter atque aliter in dies ferme omnes horasque variantis. Fluxui enim et refluxui similis est, et floribus, et somniis, aliisque id genus, ut divinæ Patrum voces affirmarunt. Reputet enim rationemque secum ineat veneranda mens tua, quam multa ab ipso exsilii tui tempore peracta sint : dum alii cadunt, alii exsurgunt, alii moriuntur alii prospere, aliis secus agunt. Et nullus omnino status est stabilis in hoc versatili vitæ nostræ cursu. Illud etiam præterea verum est, in exsilio quodam omnes nos esse, quatenus per protoplastum de paradiso, ut proditum est, ejecti sumus, et in mortali hac ora versamur, quoad cantemus : *Educ de custodia animam meam, ad confitendum nomini tuo* [42], ex incolatu ad libertatem transeuntes. Quare ne in exsilium quidem agere homines possunt congeneres suos, si proprie loquendum est, cum ipsimet extorres sint. Omnes siquidem advenæ et peregrini descripti sumus, si consolationis incitamentum, petimus obsecramus, ut quæ acciderunt, magno feras animo, et cum gratiarum actione tristia : quod quidem tibi non defuisse confidimus : qui enim aliter ærumnam ingruentem perferemus ? Accedit quod magnum inde lucrum reportabimus ; per infelicitatem, felicitatem majorem ; per paupertatem, divitias non pereuntes per infamiam, gloriam immortalem. Quin et ipsi fortasse principes, pii imperatores nostri, adducentur tandem, ut te domum revocent, et tibi congrua restituant. Novimus enim illorum humanitatem, et quam facile, in istis præsertim rebus meliora consilia capiant. Interea autem dum peregras, consoletur te Dominus Deus consolatione patientiæ et actionis gratiarum, Sed et principibus ipsis persuadeat ut erga te faciant quod modo dictum est, et te optatissimum iis restituant qui te diligunt.

παίδων. Καὶ τὸ δύνασθαι οὐ πρόσεστι. Καὶ ἐπὶ τούτοις καθέζῃ πρὸ τοῦ ἄστεος, οἷον ἐπὶ τῶν ποταμῶν Βαβυλῶνός ποτε ἀπαγόμενος εἰς Ἀσσυρίους Ἰσραήλ· ἐν ᾧ, φησὶν, ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. Στεναγμοῦ τοίνυν καὶ κατηφείας καὶ δακρύων τὰ σά. Ἀλλ' ἐπεὶ πρόσεστί σοι γνώσεως χάρισμα, καὶ φρονήσεως δώρημα· οὐ πάντως καταπίπτειν οἰόμεθά σε ἐν τούτοις· εἰδότα ὅτι πειρατήριον ὁ βίος ἀνθρώπου, κατὰ τὸν ἀοίδιμον Ἰώβ, ὃς ὅσα πέπονθεν οὐκ ἀγνοεῖ σου ἡ πολυπειρία· οὐδὲ τὴν ἄλλην ἄστατον φορὰν τῆς παραυτίκα ζωῆς, ἄλλοτε ἄλλως ἐχούσης κατὰ πᾶσαν σχεδὸν ἡμέραν τε καὶ ὥραν. Ῥοῇ γὰρ καὶ, ἀπορρόῃ ἔοικεν, ἄνθεσί τε καὶ ὀνείρασι, καὶ οἵστισιν ἄλλοις, κατὰ τὰς θείας φωνὰς τῶν ἁγίων. Ἀναλογιζέσθω γάρ σου ἡ τιμία ψυχὴ, πόσα ἐν τῷ μεταξὺ χρόνῳ τῆς ἀπαγωγῆς πέπρακται, τῶν μὲν ἀπομεπτωκότων, τῶν δὲ ἀνυψωθέντων, ἄλλων τεθνηκότων, ἑτέρων εὐπραγησάντων, ἄλλων δυστυχησάντων. Καὶ οὐδεμία στάσις ἐν τῷ ἀστάτῳ καὶ εὐκινήτῳ δρόμῳ τοῦ βίου ἡμῶν. Ἐκεῖνό τε πάλιν ἀληθὲς ὄν, ὅτι πάντες ἄνθρωποι ἐν ἐξορίᾳ ἐσμὲν, κατὰ τὸ ἀποικισθῆναι ἡμᾶς διὰ τοῦ πρωτοπλάστου ἐκ τοῦ παραδείσου, ὡς ὁ λόγος, καὶ εἰς τόδε τὸ θανατηφόρον χωρίον ἐναυλίζεσθαι, ἕως ἂν τὸ, Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου, ᾄδωμεν, μεταβαίνοντες ἐκ παροικίας εἰς ἐλευθερίαν. Ὥστε οὐδὲ ἐξορίζειν δύναιντ' ἂν ἄνθρωποι τοὺς ὁμογενεῖς, κατὰ τὸ ἀκριβὲς τοῦ λόγου, ἐξόριστοι ὄντες καὶτοί. Ἐπεὶ πάντες πάροικοι καὶ παρεπίδημοι περιγεγράμμεθα. Εἴ τι τοιοῦτον φάρμακόν σοι παρηγορίας παραμύθιον παρακλήσεως· αἰτοῦμεν, ἀντιβολοῦμεν, εἰς τὸ ἐνεγκεῖν μοκροθύμως τὰ συμβάντα, εὐχαρίστως τὰ λυπηρά· ὅπερ πεπείσμεθα ἐσχηκέναι σε. Ἐπεὶ πόθεν ἄλλοθεν οἴσομεν τὴν ἐπιφοράν ; Εἶτα ὅτι κἀντεῦθεν τὰ μεγάλα κερδανοῦμεν, δι' ἀπραξίας εὐπραξίαν τὴν μείζονα, διὰ πενίας πλοῦτον τὸν ἀμετάπτωτον, δι' ἀδοξίας δόξαν τὴν ἀκήρατον. Καὶ τάχα παρακληθήσονται καὶ αὐτοὶ οἱ κρατοῦντες εὐσεβεῖς ἡμῶν βασιλεῖς ὀψέ ποτε ἐπαναγαγεῖν σε εἰς τὰ οἰκοι, καὶ ἀποδοῦναι τὰ δέοντα. Ἴσμεν γὰρ αὐτῶν τὸ φιλάνθρωπον καὶ εὐμετάμελον, ᾧπερ κιχρῶνται μεγάλως ἐπὶ τοῖς τοιούτοις. Ἕως δ' ἂν ἐπιμένοις, παρακαλέσαι σε Κύριος ὁ Θεὸς παρακλήσει ὑπομονητικῇ καὶ εὐχαριστηρίῳ· ἀλλὰ καὶ πείσειεν αὐτοὺς τοὺς κρατοῦντας τὸ προειρημένον ἡμῖν πρᾶξαι ἐπὶ σοὶ, καὶ ἀποδοῦναι σε τὸν περιπόθητον τοῖς φιλοῦσί σε.

XIII. — *De cura insepultorum.*

Quoniam homo ad imaginem Dei similitudinemque creatus est, necesse est humana natura, quoad fieri potest, archetypi lineamenta, tanquam imago, in seipsa gerat. Cum ergo Deus bonitatis suæ providentiam in omnia diffundat, æquum fuerit homines inenarrabilis sapientiæ providam administrationem pro viribus imitari. Unde et nos humiles ac minimi,

ΙΓ'. — Εἰς τὴν διακονίαν τῶν ἀπρονοήτων. [κθ'.]

Ὅτι κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν ὁ ἄνθρωπος ἔκτισται, ἀναγκαῖον τῇ ἀνθρωπίνῃ φύσει, καθόσον ἐφικτὸν, ὡς εἰκόνι τὰ τοῦ ἀρχετύπου μιμήματα ἐν ἑαυτῇ περιφέρειν. Ἐπεὶ οὖν τὸ Θεῖον ἐπὶ πάντα διήκει τὴν τῆς οἰκείας ἀγαθότητος πρόνοιαν, δίκαιον ἂν εἴη ἐκμιμεῖσθαι τὸ ἀνθρώπινον τὴν τῆς ἀῤῥήτου σοφίας προνοητικὴν, ὡς δυνατὸν, διοίκησιν. Ὅθεν

[39-40] Psal. CXXXVI, 1. [41] Job VII, 8. [42] Psal. CXLI, 8.

καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἐλάχιστοι, εὐλαβῶς εἰς τὸ Θεῖον ἀπιδόντες, καὶ πρὸς τὸ ὁμόφυλον τὴν ἀγαπητικὴν διάθεσιν ἀναλαβόντες, καθήκαμεν ἑαυτοὺς εἰς τόδε τὸ ἀσεβὲς σύστημα, καθὼς ὑποτέτακται, πρόνοιαν ποιούμενοι τῶν ἀπρονοήτων σκηνωμάτων, εἴτ' οὖν νενεκρωμένων, καὶ ἐκ πενίας ἢ ἐκ ξενιτείας μὴ ἐχόντων πῶς ἐκκομίζεσθαι καὶ ἐνθάπτεσθαι ἐν ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων. Τῷ τοίνυν τούτῳ θείῳ τύπῳ ἐπερειδόμενοι, ἑκάστῳ τε ἐνιαυτῷ ἐκ τῶν προσόντων παρὰ Θεοῦ δωρεῶν, ὁ καθεὶς ὡς ἔχει δυνάμεως, καταβολὴν ποιούμενοι πρὸς τε ἀγορασίαν ἐνταφίων, καὶ τὰ τῶν εἰς ταφὴν ἄλλων συντελοῦντα, διορίζομεν ἐν Κυρίῳ τάδε. Τούτων μηνυομένων ἢ θεωρουμένων κατὰ περίοδον πρὸς ἑκάστου τῶν συνειλεγμένων ἐν τῇ ἀδελφότητι νεκρὸν ἄνθρωπον, τοῦτον τοῖς προσήκουσιν ἐνταφίοις ἐκκομίζεσθαι, ἀποτίθεσθαι ἐν ταῖς ἀποτεταγμέναις ὑμῖν ὁσίαις θήκαις. Καὶ μὴν διὰ τοῦ ἐνιαυτοῦ, ἀρχῇ τε ἰνδίκτου, καὶ διὰ τῆς ἐν τῇ Πεντηκοστῇ πολυμερείας, ἐπιτελεῖν ἡμᾶς κοινῶς τὰ μνημόσυνα πάντων τῶν κηδευθέντων· ποιούντων ἡμῶν ἐν ταυτῷ ἐκ τῆς συνεισφορᾶς καὶ ἀγάπην παρακλήσεως σωματικῆς· μὴ μέντοι ἔξω τῶν νενομισμένων τῆς αὐταρκείας ὅρων· ὡς ἢ πολυοινίᾳ ἢ πολυφαγίᾳ ἐξορχεῖσθαι ἡμᾶς τὰ ἐπιτελούμενα μνημόσυνα· ἀλλὰ μετ' εὐλαβείας ἀναφερόντων ἡμῶν δοξολογίαν τῷ καταξιώσαντι ἡμᾶς Θεῷ τὴν ὁσίαν ταύτην τελετὴν ποιήσασθαι, οὕτως ἐπὶ τὴν τῆς τραπέζης ἰέναι χρείαν, προσαναγινωσκομένου ἤδη τοῦ τόμου, ὡς ἂν καὶ ἐπ' αὐτῆς τῆς τροφῆς ἡμῶν τὰ ἀρεστὰ Κυρίῳ μεταδιώκειν· τοῦ κατὰ περισσείαν διανεμομένου πτωχοῖς· μὴ ἐμπολιτευομένων ἀργῶν ῥημάτων ἐν τῇ ἑστιάσει, μηδὲ γελοιασμάτων, πολλοῦ γε εἰπεῖν παιγνίων· ὅπου γε οὐδὲ τῷ τυχόντι Χριστιανῷ ἐνεργεῖν δέχεται ὁ λόγος. Εἰ δὲ καὶ λαλεῖν δεήσειε, ταῦτα ὅσα πρέπει Χριστιανοῖς· τὸ, φυλάττεσθαι ἡμᾶς ὅρκον· τὸ, ἀγάπην ἔχειν ἐν ἀλλήλοις· ἀλήθειαν ἐκ τοῦ στόματος προφέρειν· δόλου καὶ φθόνου ἀποδιδράσκειν· εὐποιίας τὸ κατὰ δύναμιν ἀντέχεσθαι· ἐπισκέψεις ποιεῖσθαι τῶν ἐν φυλακαῖς, τῶν ἐν ἀῤῥωστίαις· προσέχειν ταῖς ἀναγνώσεσι, καὶ ταῖς ἐν ἐκκλησίαις προεδρίαις· ἀλλήλους τῇ τιμῇ προηγεῖσθαι, καὶ μάλιστα ἱερεῖς τε Θεοῦ καὶ μοναστάς· φιλοξενίαν μεταδιώκειν· πορνείας καὶ μέθης τὸ καθόλου ἀπέχεσθαι· τὴν ὀρθόδοξον πίστιν κατέχειν· αἱρετικῶν κοινωνίας ἀποφεύγειν. Καὶ γὰρ τῶν τοιούτων λαλιὰ καὶ μελέτη, πολλῶν ἀγαθῶν πρόξενος γένοιτ' ἂν ἡμῖν.

Ταύταις ταῖς θείαις συνθήκαις συγκατατιθέμενοι καὶ συνεπόμενοι, ἐπεδώκαμεν ἑαυτοὺς ὡς τῷ Κυρίῳ τῷδε τῷ συστήματι. Φησὶ γάρ· Ὁ ποιήσας ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ πεποίηκε· μηδὲν τῶν κειμένων ἀθετοῦντες, μηδὲ παραμελοῦντες. Ὡς ἐάν ποτε ὀφθείη τις τῶν ἀδελφῶν ἢ παρορῶν τὸν κείμενον νεκρὸν, καὶ μὴ ἀναφέροι τῷ τὰ πρῶτα φέροντι τῆς ἀδελφότητος· ἢ ἐν τοῖς ἀρίστοις φθεγγόμενος ἃ μὴ θέμις, καὶ πράττων τὰ οὐχ ὅσια, ὡς ἐντεῦθεν τὸν Θεὸν παροργίζεσθαι, ἐπιτιμίῳ ὑποβάλλεσθαι παρὰ τοῦ προκαθηγουμένου, τριῶν ἡμερῶν ἀποχῇ οἴνου, καὶ ἀργυρίου ἑνὸς καταβολῇ, εἶθ' οὕτως αἰτεῖν πρὸς τὸ ἐξῆς

A Deum reverenter intuentes, charitatisque erga cognatos nobis affectum suscipientes, nos ipsos pio huic cœtui adjunximus, ut constitutum est, procurantes neglecta tabernacula seu cadavera, quæ præ inopia vel peregrinitate non habent unde efferantur, et humentur in hac regia civitate. Huic igitur normæ divinæ innixi, et quotannis singuli ex acceptis a Deo muneribus ad funebrium emptionem, quæ ad aliorum sepulturam faciunt, pro facultate contribuentes, hæc in Domino constituimus. Ut quicunque indicatus, vel conspectus in transitu, ab aliquo e fratum congregatione, mortuus homo fuerit, is congruentibus exsequiis efferatur, deponaturque in destinatis vobis sacris conditoriis. Tum ut quotannis, et principio indictionis, et per dies Quinqua-
B genarii, memoriam omnium funeratorum in commune celebremus; facientes ibidem ex collectis et agapen corporeæ refectionis; non sane extra legitimæ frugalitatis terminos; ita ut præ ebrietate vel crapula, sacræ, quam celebramus, memoriæ illudamus: sed cum reverentia laudem Deo offerentes, qui nos sacræ hujus cæremoniæ celebratione dignatus est. Sic ad mensæ opus accedatur, adjuncta jam libri lectione, ut in ipso etiam pastu nostro, quæ Domino sunt grata consectemur: quæ supersunt pauperibus erogando; non gliscentibus inter epulas inanibus verbis, nec ridiculis, ne dicam ludicris: quandoquidem cuivis Christiano id ratio vetat. Quod si loqui oporteat, sermo sit de iis quæ Christianis conveniunt: cavendum jusjurandum; habendam mutuo charitatem; veritatem ore promendam; do-
C lum invidiamque fugiendam; beneficentiam omni studio retinendam; infirmos et qui in carcere sunt visitandos; lectionibus auscultandum et iis qui præsunt in Ecclesiis: honore invicem præveniendos, Dei præsertim sacerdotes et monachos; hospitalitati studendum; a fornicatione et ebrietate penitus abstinendum; orthodoxam fidem conservandam: ab hæreticorum communione procul refugiendum. Horum siquidem mentio et meditatio multorum nobis bonorum viam muniet.

D His divinis institutis annuentes et adhærentes, huic nos cœtui tanquam Domino addiximus; ait enim: *Qui fecerit uni de his fratribus meis minimis, mihi fecit* [43]: nihil eorum quæ sancita sunt improbantes, neque aspernantes, ut si quando deprehensus fuerit quisquam ex fratribus, qui vel jacentem mortuum despiciat, et ad primarium fraternitatis non referat, vel in iis prandiis loquatur quæ non licet, agatve non recta, ita ut Deus inde offendatur; hunc præpositus pœnæ subjiciat, vel triduanæ a vino abstinentiæ, multæ unius argentei: tum ab illo emendationem in posterum exigat. Ad hæc, observandum vobis ut cum alicui fratrum vestro-

[43] Matth. xxiii, 40.

rum communis mors obtigerit, conveniant una omnes, et justa illi persolvant : ut ex hoc etiam laudetur egregius cœtus vester, ad gloriam et laudem magnifici Dei nostri. Fide igitur ac metu huic libello nos aggregantes, etiam nomina nostra subnotavimus cum quantitate oblationis nostræ minimæ, illius mercedem in futuro sæculo expectantes a remuneratore, justo judice omnium, Jesu Christo Domino ac Deo nostro.

βελτίωσιν. Πρὸς τούτοις φυλάττεσθαι ὑμᾶς καὶ τὸ, ὅταν τῦχῃ ἐνὶ τῶν ἀδελφῶν ὑμῶν ὁ κοινὸς θάνατος, πάντας συναθροίζεσθαι ἐπὶ τὸ αὐτὸ, καὶ τὴν ἐκκομιδὴν καὶ ἐνταφίασιν αὐτοῦ ποιεῖσθαι· ὥστε καὶ ἐκ τούτου τὸ καλὸν ὑμῶν σύνταγμα ἐπαινεῖσθαι πρὸς δόξαν καὶ αἶνον τοῦ μεγαλοδώρου Θεοῦ ἡμῶν. Πίστει οὖν καὶ φόβῳ τῷδε τῷ γραμματείῳ συντάξαντες ἑαυτοὺς, καὶ τὰ ἑαυτῶν ὀνόματα ὑπεσημηνάμεθα σὺν τῷ ποσῷ, τὴν μισθαποδοσίαν ταύτης ἡμῶν τῆς ἐλαχίστης προθέσεως ἀπεκδεχόμενοι ἐν τῷ μέλλοντι αἰῶνι παρὰ τοῦ μισθαποδότου δικαίου κριτοῦ τῶν ὅλων Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν.

XIV. — *Ignatio præposito.*

Monachum fugitivum repetit.

Ante omnia salutationis debitum paternæ sanctitati tuæ persolvo : sic enim debui : tum deinde causam exponam litterarum mearum. Rationalis ovis nostra, frater ille, multiplici animarum interemptoris lupi fraude illectus, ab humili ovili nostro ejectus est, susceptusque, ut cognovimus, in monasterio sanctitatis tuæ. Quod si statim ac illum excepit, reditum illi suasisset, dolum ostendens, et exitium quo affectus est, ac deinde meliorem factum ad mediocritatem nostram reduxisset, nihil ab re factum esset, sed quod ipsam deceret, sicut a sanctis jussi sumus. Nunc vero, postquam tantum temporis effluxit, et nulla reditus mentio, interrogare libet, quo pacto discipulum meum pietas tua velut ignara retineat. Atqui oportebat, cum primum agnovit, quem non totonderat, dimittere : ut quæ satis intelligit, quantum id habeat detrimenti. Scit enim quid sanciat divinus magnusque Basilius, ut a nulla fraternitate recipiatur, qui a fratrum suorum contubernio resilivit, Quomodo enim consistere possint cœnobia, nisi hoc caput præ omnibus observetur ? Quod si inter sæculi hujus ludimagistros in disciplinam recipere puerum non licet, qui alteri scholæ traditus sit, aut si quis id faciat, eum omnes collecti multæ pœnæque subjiciunt, quanto magis inter nos sanctissime Pater, qui in Dei Ecclesia sumus, et animas instituimus ad exemplum primi magistri et pastoris nostri Jesu Christi ? Utique non sum nescius te sapientia scientiaque abundare. Sed, quæso te, facti hujus absurditatem considera, tu maxime, qui inter sacros fratres gradu et honore præemines. An nescis, sanctissime, quod tuo etiam gregi noxium sit alienam ovem copulare ? Cum ergo in confesso sit tantum malum, oramus, ut cum litteras simplices nostras acceperis, fratribus nostris in eam rem missis illum tradas, ut ad proprium ovile reducant, cum rebus Ecclesiæ quas abstulit. Quod si obsequi frater abnuat, confestim a sacro illum ovili tuo in malam rem ejectum velis. Sin autem, quod minime remur, post notitiam hanc retinere illum pergis, scito ligatum a nobis esse, non temere, sed magno prorsus judicio, vel potius a sancta Trinitate et universis sacerdotalibus decretis ut communione careat divinorum donorum, atque exteriorum quoque ciborum consortio, quoad reversus mandræ suæ restituatur. Quemadmodum

ΙΔ'. — Ἰγνατίῳ ἡγουμένῳ. [λ'.]

Πρὸ παντὸς ἄλλον τὸ τῆς προσηγορίας χρέος ἀποτινύω τῇ πατρικῇ σου ἁγιωσύνῃ· ὤφελον γάρ· εἰθ' οὕτως τὴν αἰτίαν τῶν γραμμάτων ἀπαγγελῶ. Πρόβατον ἡμῶν λογικὸν ὁ δεῖνα ὁ ἀδελφὸς, δελεασθεὶς ὑπὸ τῆς πολυμεθόδου πανουργίας τοῦ ψυχοφθόρου λύκου, ἀπεξεώθη τῆς ταπεινῆς ἡμῶν ποίμνης, καὶ, ὡς ἔγνωσται ἡμῖν, προσεδέχθη ἐν τῇ μονῇ τῆς ὁσιότητός σου. Καὶ εἰ μὲν παρευθὺ δεξαμένη νενουθέτηκε τὰ πρὸς ὑποστροφὴν, ὑποδεικνύουσα τὴν ἀπάτην καὶ τὸν ὄλεθρον ὃν πέπονθεν· εἶτα βελτιώσασα ἀνθυπήγαγε πρὸς τὴν εὐτέλειαν ἡμῶν· οὐδὲ τὸ ἀπεικὸς, ἀλλὰ τὸ ἔφαρμόζον αὐτῇ, ὡς ἐντετάλμεθα ὑπὸ τῶν ἁγίων. Ἐπεὶ δὲ τοσοῦνος χρόνος παρίππευσε, καὶ οὐδαμοῦ ἡ ἀνάλυσις, ἐρωτηθῆναι βούλομαι, ποίῳ τρόπῳ τὸν μαθητήν μου ἐπικρατεῖ ἡ θεοφίλειά σου, ὡς ἀγνοοῦσα. Ἀλλ' ἔδει μετ' ἐπιγνώσεως, ὃν οὐκ ἀπέκειρεν, ἀποπέμψασθαι· ὡς γινώσκουσα πολὺ τὸ ἐπιβλάβές. Ἐπίσταται γὰρ τί νομοθετεῖ ὁ θεῖος καὶ μέγας Βασίλειος, τοῦ ἀπρόσδεκτον εἶναι ἐν πάσαις ταῖς ἀδελφότησι, τὸν ἀποπηδῶντα τῆς τῶν οἰκείων ἀδελφῶν συναφοίας. Πῶς γὰρ ἂν καὶ συσταίησαν τὰ κοινόβια, εἰ μὴ τοῦτο παρατηρηθείη πρό γε πάντων τὸ κεφάλαιον; Εἰ γὰρ ἐπὶ τῶν παιδοδιδασκάλων τοῦ κύσμου τούτου, οὐχ οἷον [τε] ἐστι δέξασθαι ἐν τοῖς μαθήμασί εινα τὸν ἐν ἑτερᾳ σχολῇ παραδρθέντα παῖδα· ἢ τοῦτο ποιοῦντά ὑποβάλλουσι συνηθροισμένοι οἱ πάντες ἐπιτιμίοις ζημίᾳ· πόσῳ γε μᾶλλον ἐφ' ἡμῶν, ἁγιώτατε Πάτερ, τῶν Ἐκκλησίας Θεοῦ κατεχόντων, καὶ ψυχῶν καθηγουμένων, κατὰ μίμησιν τοῦ πρώτου διδασκάλου καὶ ποιμένος ἡμῶν Ἰησοῦ Χριστοῦ; Οἶδα τοίνυν ὅτι πεπληρωμένος εἶ σοφίας καὶ γνώσεως. Ἀλλὰ δέομαί σου ἐπιγνῶναι τὸ πραττόμενον ἔκτοπον, καὶ μάλιστα αὐτὸς ὁ προέχων τῶν ἄλλων, καὶ βρίθων ἐν ἱερᾷ ἀδελφότητι. Ἢ οὐκ οἶδας, ὁσιώτατε, ὅτι καὶ αὐτῷ τῷ ποιμνίῳ σου ἐπιβλαβές ἐστι συνάπτειν πρόβατον ἑτεροδέσποτον; Τοσούτου οὖν ὄντος, λοιπὸν, ὡμολογημένου τοῦ κακοῦ, ἀντιβολοῦμεν. ἡνίκα δέξῃ ἡμῶν τὰ εὐτελῆ γράμματα, παραδοῦναι αὐτὸ τοῖς πρὸς αὐτὸ τοῦτο πεμφθεῖσιν ἀδελφοῖς ἡμῶν, ἵνα ἀγάγωσιν αὐτὸν πρὸς τὴν ἰδίαν ποίμνην, μεθ' ὧν ἐσφετερίσατο πραγμάτων τῆς Ἐκκλησίας. Εἰ δὲ ἀπείθειᾳ χρῆται ὁ ἀδελφὸς, ἀποσκορακίσαι αὐτὸν θελήσει τῆς ἱερᾶς αὐτοῦ ποίμνης παραυτίκα. Εἰ δ', ὅπερ οὐκ οἰόμεθα, μετὰ τὴν γνῶσιν ταύτην ἐπικατέχειν αὐτὸν βούλεται, γινωσκέτω ὅτι δεδεμένος ἐστὶ

παρ' ἡμῶν, οὐκ ἀλόγως, ἀλλὰ καὶ λίαν ἐγκεκριμένως, μᾶλλον δὲ ὑπὸ τῆς ἁγίας Τριάδος, κἀὶ πάσης θεσμοθεσίας ἱερατικῆς, τοῦ ἀκοινώνητον αὐτὸν εἶναι τῶν θείων δώρων, ἐπεὶ καὶ ἀμέτοχον τῶν ἐξωτέρων βρωμάτων· ἕως ἂν ἀνθυποστρέψας εἰσοικισθῇ ἐν τῇ μάνδρᾳ αὐτοῦ. Ὥσπερ δὲ οὐ θέμις, ὃν δεσμεῖ οἰκεῖον μαθητὴν ἡ ἁγιωσύνη σου, λύειν τινὰ τὸ καθόλου (παρανομίας γὰρ τοῦτο ἔργον, καὶ ἐκ ψήφου κοινῆς [ms. Reg. κοινοῦ] τῆς ὅλης Ἐκκλησίας καταδίκη ὁμοιοπαθείας), οὕτω πάντως οὐδὲ πρὸς τὴν ἡμετέραν ἐξουσίαν, ἣν ἀναξίως δέδωκεν ἡμῖν ὁ Κύριος, οὐκ εἰς καθαίρεσιν, ἀλλ' οἰκοδομὴν ψυχῶν, ἐπιβάλῃ ἑαυτὴν ἡ ἁγιωσύνη σου. Φρικτὸν γὰρ τὸ κρῖμα. Διὰ τοῦτο παρακαλουμένη, πάντως γε τὸ πνευματικὸν ἡμῶν τέκνον παραδώσει τοῖς ἀδελφοῖς, εὐχομένη ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν ἀδιαλείπτως.

A autem nefas sit, quemcunque ex discipulis suis sanctitas tua ligarit, hunc ab alio quoquam solvi (iniquum enim est facinus, et ex communi Ecclesiæ calculo simili pœna damnatur) sic prorsus nec in jurisdictionem nostram, quam indignis nobis tribuit Dominus non ad perniciem, sed ad ædificationem animarum, sese ingerat sanctitas tua. Horrendum enim est judicium. Quapropter inflexa tandem, spiritualem filium nostrum fratribus reddet, pro nobis peccatoribus orans sine intermissione.

ΙΕ'. — Θεοδούλῳ [44] Κιονίτῃ. [λβ'.]

XV. — *Theodulo Cionitæ* [44a].

Reprehendit picturam angelorum crucifixorum.

Ἐκ χρόνου πολλοῦ ἐπιθυμίαν ἔχοντι ἕως τοῦ παρόντος, ἁγιώτατέ μου Πάτερ, ἐλθεῖν καὶ κομίσασθαί σου τὰς ἁγίας εὐχάς, οὐκ ἐξεγένετό μοι ὁδός, πάντως διὰ τὰς ἁμαρτίας μου· ὥσπερ καὶ νῦν. Διὸ ἠναγκάσθην ἀποστεῖλαι τὸν ἀδελφὸν ἡμῶν τὸν Καλόγηρον, ἀναπληροῦντα τῆς ταπεινώσεως ἡμῶν τὴν ἀπουσίαν· ἐπεὶ καὶ ἡμεῖς ἐλευσόμεθα προσκυνήσοντες τὰ τίμιά σου ἴχνη, Θεοῦ εὐοδοῦν ος. Σύγγνωθι δέ μοι, Πάτερ, ὃ μέλλω λέγειν, ὅτι ἐν ἁπλότητί ἐστι ἐξ ἀγάπης εἰλικρινοῦς, καὶ ἐκ τοῦ ἐφίεσθαί με τὸ ἀμώμητον τῆς πολιτείας σου. Τινὲς ὑπέκρουσαν (ὡς ἐπιστάμενοί γε γνήσιόν σου εἶναι καὶ ὁμόψυχον φίλον καὶ τέκνον, ὄντες καὶ αὐτοὶ φίλοι διαφερόντως), ὅτι παρὰ τὸ δέον πράττει ἡ ἁγιωσύνη σου· κἀμοῦ πρὸς τοῦτο δυσχεράναντος, καὶ ἐνισταμένου, καὶ ἐπιφθεγγομένου τὰ μέγιστα κατορθώματα τοῦ ὑψηλοῦ σου βίου, συνείροντό μοι ἐν τούτῳ. Πρὸς δὲ ῥήματά τινα καὶ πράγματα κατηγοροῦντο· καὶ, ἵνα ἕν εἴπω, ἔφασαν ὅτι ἀγγέλους ἀνιστόρησε, καὶ τούτους ἰσότυπον τοῦ Χριστοῦ, ἐν τοῖς φεγγίοις ἐσταυρωμένους· αὐὸν δὲ τὸν Χριστὸν καὶ τοὺς ἀγγέλους, γηραλέους. Καὶ πολλὰ πρὸς τοῦτο φιλοπευστῶν, οὐκ ἠδυνήθην αὐτοῖς ἀντιφθέγξασθαι. Ἤροντο γὰρ ξένον τι καὶ ἀλλότριον τῆς παραδόσεως τῆς Ἐκκλησίας εἰργάσθαι, καὶ πάντως οὐχ ὑπὸ Θεοῦ, ἀλλ' ὑπὸ τοῦ ἐναντίου εἶναι τὸ πρᾶγμα· ἐπὰν ἐν τοσούτοις ἔτεσι, καὶ τοσούτοις θεοφόροις καὶ ἁγίοις Πατράσιν, οὐχ ὑποδειγματίσθη τοῦτο τὸ ἰδίωμα. Τὸ γὰρ νῦν καινοτομούμενον, κἂν ἐξ ἀγγέλου ἐστὶν, ἀσφαλίζεται ἡμᾶς ὁ Ἀπόστολος μὴ δέχεσθαι, λέγων που· Κἂν ἡμεῖς αὐτοὶ, ἢ ἄγγελος εὐαγγελίζηται (προσθήσω, καὶ παραδιδωσι), παρ' ὃ εὐηγγελισάμεθα. ἀνάθεμα ἔστω. Τί οὖν, Πάτερ μου ἅγιε, πρὸς ταῦτα φῆσαι, οὐκ ἔχω. Καὶ τῇ ἀπορίᾳ συνεχόμενος, ἠναγκάσθην γράψαι σοι· ἵνα ἀπολύσωμεν ἑαυτοὺς πάσης βλάβης, πρὸς τοὺς ἐν λόγῳ ἐγκαλοῦντας, καὶ ὡς ἐκ πάσης τῆς Ἐκκλησίας. Καὶ διὰ τὸν Θεὸν δέξαι με ὡς σύμβουλον τέκνον σου, πονοῦντα ὑπὲρ σοῦ, καὶ ἡγούμενον τὴν δόξαν σου δόξαν μου· καὶ μὴ θέλοντα ἀκούειν μῶμόν σου ἕν

B Cupienti mihi jamdudum ad te venire, sanctissime Pater, et sacris precibus tuis perfrui, via mihi hactenus, ob peccata scilicet mea, non patuit, ac ne nunc quidem. Propterea coactus sum Calogérum fratrem nostrum ad te mittere, qui humilitatis nostræ absentiam suppleat : deinde veniemus et nos, ut ad venerandos pedes tuos, Deo duce, prosternamur. Ignosce autem mihi, Pater, quod dicturus sum, quia simpliciter dicam, et sincera ex charitate, ac desiderio quo teneor ut vita tua omni reprehensione careat. Suggesserunt quidam, ut qui scirent me germanum tibi atque unanimem amicum et filium esse, cum ipsi quoque amici essent eximii, præter fas et decorum agere sanctitatem tuam. Cumque ad hæc indignarer et resisterem, commemoraremque egregia sublimis vitæ tuæ facinora, in hoc mihi assensi sunt. De nonnullis autem dictis factisque accusabant, atque (ut unum proferam dixerunt te angelos depinxisse, eosque ad Christi formam, in fenestris crucifixos ; ipsum vero Christum et angelos senili ætate. Et cum multa in eam rem sciscitatus essem, non potui ipsis contradicere. Aiebant enim peregrinum quiddam et alienum ab Ecclesiæ traditione factum, prorsusque non a Deo, sed ab adversario rem esse, quandoquidem tot annis, et a tot deiferis sanctisque Patribus nusquam hujus novitatis proditum est exemplum. Quod enim nunc novatur, etsi ab angelo sit, recipi non debere confirmat Apostolus, dicens : *Licet nos ipsi vel angelus evangelizet*, addam, et tradat, *præterquam quod evangelizamus; anathema sit* [45]. Quid igitur, Pater mi sancte, ad hæc dicam, non habeo, et consilii inopia pressus ad te scribere cogor : ut ab omni noxa nos vindicemus apud eos qui merito reprehendunt, et tanquam Ecclesiæ universæ voce. Quare propter Deum suscipe me, ut consiliarium filium tuum, pro te laborantem, et gloriam tuam gloriam suam ducentem : nullamque in re ulla tui notam, qui reipsa sine nota vitam agis, audire sustinentem. Doce, rege, exaudi, attende, animadverte, omnique hæ-

[44] Ms. Reg. Θεοδώρῳ. [44a] Sive *Stylitæ*. [45] Galat. I, 8.

sitatione libera eos qui excelsam vitam tuam contemplantur.

τινι, τοῦ ὄντως ἀμωμήτως βιοτεύοντος. Φώτισον, ὁδήγησον, ἐπάκουσον, πρόσχες, ἐπίστησον, λῦσον πάσης διχονοίας τοὺς ὁρῶντάς σου τὸν ὑψηλὸν βίον.

XVI. — *Nicephoro Imperatori.*

ΙϚ'. — Νικηφόρῳ βασιλεῖ (16).

De patriarcha in Tarasii locum subrogando. (Baron. anno 806, num. 4.)

Omnino sic futurum erat, ut bonus Deus noster Ecclesiæ suæ curam gerens pietatem vestram hac ætate imperio præficeret Christianorum : ut non sæcularis solum dominatio male constituta rectius componeretur), sed ecclesiasticus etiam principatus, si quid deesset, instauraretur, et nova quædam conspersio fieret in utroque [46]. Quod quidem in altero membro præclare ipsius gratia jam præstitit Christi amans imperium vestrum, atque adeo præstare perget cœlesti numine corroboratum. Reliquum modo est, ut alterum pari cura fruatur, parique prudentia. It vero post Deum et cum Deo a vobis tribuetur per approbationem legitimæ electionis futuri archiepiscopi. De quo, quando ex nobis etiam peccatoribus et indignis sciscitari voluisti, coram Domino, qui nos judicaturus est, de eo quod dicturi sumus in die judicii, hic est sensus noster. Non novimus, nec scimus ullum ; non quod defecerint viri ita et sermone illustres (sunt enim et Deo perspecti et hominibus, impari licet ratione, atque in primis præclaræ menti tuæ), sed quia talem ratio deposcit, et desiderium imperii vestri, qui possit corde perfecto justificationes Dei exquirere; qui gradu atque ordine ab inferiore sensim ad superiorem ascenderit, qui tentatus fuerit per omnia, qui ex eis quæ passus est, tentatis possit opem ferre [47]. Et quid multis apud te verbis opus est qui omnia nosti, et ex tui ipsius statu ac dignitate tantum virum tibi repræsentas? Prælucere cæteris oportet non secus ac solem inter sidera. Cum igitur talem non videamus, nec suffragium ferre audemus. Hoc vero memoriæ causa non sine metu et reverentia suggerimus, quod ipsum plane non fugit peritissimam et divinam prudentiam tuam; ut ex episcopis etiam et ex præpositis, et ex stylitis, et ex inclusis, tum deinde ex clero delectum habens, ex illis ipsis perfectis desumas, prudentia, sensu, ac vita cæteris præstantiores. Descendant enim stylitæ, exeant inclusi; quandoquidem publicum est commodum quod quæritur. Discerne et confer, et cum ipsis deprehendas digniorem. Et beatus es, et vere ter beati, si hæc omnia exsequamini Christi imitatores, Domini nostri. Hinc magis magisque confirmabitur imperium vestrum, magnificabitur nomen vestrum in generationes : augebuntur denique anni principatus vestri. Duo siquidem hæc munera tribuit Christianis Deus, sa-

Ἔμελλεν ὁ ἀγαθὸς Θεὸς ἡμῶν τῆς ἑαυτοῦ Ἐκκλησίας φροντίζων, τὴν ὑμετέραν εὐσέβειαν ἐπὶ τῆς παρούσης γενεᾶς προστήσασθαι βασιλεύειν τῶν Χριστιανῶν· ἵνα μὴ μόνον ἡ κοσμικὴ ἀρχὴ εὖ διατεθῇ, κακῶς διακειμένη, ἀλλὰ καὶ ἡ κατὰ τὴν Ἐκκλησίαν ἡγεμονία, εἴ τι ἐνδεῶς ἔξει, ἀνορθωθῇ, καὶ νέον πως φύραμα γένηται ἐν ἀμφοτέροις. Ὅπερ τῇ αὐτοῦ χάριτι κατώρθωκεν ἐν τῷ ἑνὶ μέρει ἡ φιλόχριστος ὑμῶν βασιλεία· ἀλλὰ καὶ ἔτι κατορθώσειε τάῖς ἄνωθεν ῥοπαῖς δυναμουμένη. Λειπόμενον οὖν ἐστιν ἄρτι, καὶ τὸ ἕτερον τῆς ἴσης ἀπολαῦσαι προμηρείας καὶ θεραπείας. Τοῦτο δ' ἂν εἴη μετὰ Θεὸν καὶ σὺν Θεῷ πρὸς ὑμῶν δωρηθῆναι, διὰ τῆς κατ' εὐαρέστησιν νομίμου ἐκλογῆς τοῦ μέλλοντος ἀρχιερατεύειν. Ἐπεὶ δὲ καὶ παρ' ἡμῶν ἐπεζήτησας μαθεῖν, τῶν ἁμαρτωλῶν καὶ ἀναξίων, τὸ παριστάμενον ἡμῖν, ὡς ἐνώπιον Κυρίου τοῦ μέλλοντος εὐθῦναι ἡμᾶς, περὶ οὗ μέλλομεν λέγειν ἐν ἡμέρᾳ κρίσεως, οὕτως ἔχει· Οὐ γινώσκομεν, οὐδὲ ἐπιστάμεθά τινα. οὐχ ὅτι ἀπέλιπον οἱ διαλάμποντες ἐν βίῳ καὶ λόγῳ (εἰσὶ γὰρ καὶ Θεῷ φαινόμενοι καὶ ἀνθρώποις, εἰ καὶ οὐκ ἴσῳ λόγῳ, καὶ μάλιστα τῇ σῇ φωτεινῇ ψυχῇ), ἐπεὶ δὲ τοιοῦτον ζητεῖ ὁ λόγος καὶ ὁ πόθος τῆς ὑμῶν βασιλείας, τὸν ἐν τελείᾳ καρδίᾳ δυνάμενον ἐκζητῆσαι τὰ τοῦ Θεοῦ δικαιώματα, τὸν βαθμῷ καὶ τάξει ἐκ τοῦ κατὰ μικρὸν εἰς τὸ ὑψηλότερον προανηγμένον, τὸν πεπειραμένον κατὰ πάντα, ὅς γε ἐξ ὧν πέπονθε, τοῖς πειραζομένοις δύναιτ' ἂν βοηθῆσαι. Καὶ τί δεῖ πολλὰ λέγειν πρὸς σὲ τὸν εὖ εἰδότα, καὶ ἐκ τῆς οἰκείας καταστάσεως καὶ προκοπῆς τὸν τηλικοῦτον ἀνιστοροῦντα; Τῶν πολλῶν ὀφείλει προλάμπειν, ὡς ἐν ἄστρασιν ἥλιος. Ἡνίκα τοίνυν οὐχ ὁρῶμεν τοιοῦτου, οὐδὲ ἀποτολμῶμεν ψηφίσασθαι. Τοῦτο δὲ ὡς ἐν ὑπομνήσει μετὰ συστολῆς καὶ αἰδοῦς ὑποτιθέμεθα· ὅπερ ἀλάθητόν ἐστι πάντως τῇ πολυπείρῳ καὶ θείᾳ μεγαλονοίᾳ σου· ἵνα ἀπὸ τε τῶν ἐπισκόπων, ἀπό τε τῶν ἡγουμένων, ἀπό τε τῶν στυλιτῶν, ἀπό τε τῶν ἐγκλείστων, εἶτα τοῦ κλήρου ὑποδεχόμενος ἐκλογήν, ἐξ αὐτῶν τε τῶν ἐπιδεδωκότων λαβὼν τοὺς ἐν συνέσει, καὶ φρονήσει, καὶ βίῳ, τῶν ἄλλων πρτέχοντας (καταβάτωσαν γὰρ καὶ στυλῖται, ἐκβαινέτωσάν τε καὶ ἔγκλειστοι· ἐπείπερ κοινῇ συμφέρον τὸ ζητούμενον), ἐπικρίνῃ καί σὺν αὐτοῖς ἀποδείξῃ τὸν ἀξιώτερον. Καὶ μακάριος εἶ, μᾶλλον δὲ καὶ τρισμακάριοι, ἐὰν τοῦτο ὅλον ἀπεργάσησθε Χριστομίμητοι ἡμῶν δεσπόται. Καὶ ἐν τούτῳ ἔτι μᾶλλον κρατυνθήσεται ὑμῶν ἡ

[46] I Cor. v, 7. [47] Hebr. iv, 15.

NOTÆ.

(16) Νικηφόρῳ Βασιλεῖ. « Defuncto Tarasio (patriarcha) imperator cogitare cœpit de ejus successore deligendo : in quo ut speciem saltem ostenderet pietatis, consuluit Theodorum Studitam, virum quidem pietate insignem, ut proferret in medium, quem sciret tanto sacerdotio dignum. » (Baron. an. 806, n. 3.)

βασιλεία· μεγαλυνθήσεταί τε τὸ ὄνομα ὑμῶν εἰς γενεὰν καὶ γενεάν· αὐξηθήσεται δὲ καὶ τὰ τοῦ κράτους ὑμῶν ἔτη. Ἐπειδὴ δύο ταῦτα δέδωκεν ὁ Θεὸς τοῖς Χριστιανοῖς δωρήματα, ἱερωσύνην καὶ βασιλείαν. Δι' ὧν θεραπεύεται, δι' ὧν κοσμεῖται ὡς ἐν οὐρανῷ τὰ ἐπίγεια. Ὁπότερον οὖν ἀναξίως ἔχει, καὶ τὸ ὅλον ἀνάγκη συγκινδυνεύειν. Ὥστε εἰ βούλοισθε τῇ βασιλείᾳ ὑμῶν συγκροτεῖν τὰ μέγιστα, καὶ διὰ τῆς βασιλείας ὑμῶν πᾶσι τοῖς Χριστιανοῖς· ἰσόῤῥοπον, τὸ ὅσον εἰς δύναμιν, τῆς κατὰ τὴν βασιλείαν ἀρετῆς ὑμῶν δέξηται καὶ ἡ Ἐκκλησία τὸν ἑαυτῆς πρόεδρον· ἵνα ἀγαλλιάσηται τὰ οὐράνια, καὶ ἄσῃ τὰ ἐπίγεια. Εἴη ἡ χεὶρ τοῦ Θεοῦ, ἐν ᾗ καὶ ἡ καρδία ὑμῶν ἐστιν, εἰς ὁδηγίαν καὶ ἀποκάλυψιν τοῦ κρείττονος. Καὶ ἀπολήψεσθε παρ' αὐτῆς τοὺς ὑπὲρ τοῦ ἔργου τούτου καταβαλλομένους ὑμῖν πόνους καὶ μερίμνας καὶ φροντίδας, τὴν βασιλείαν τὴν ἀδιάδοχον.

A cerdotium et imperium, per quæ colitur, per quæ ornantur, et gubernantur cœlestium exemplo terrena. Utrumvis ergo præter dignitatem se habuerit, totum una periclitari necesse est. Quare, si optima imperio vestro decernere vultis, et per imperium vestrum omnibus Christianis; æqualem, quoad fieri potest, imperatoriæ virtuti vestræ sortietur Ecclesia præsulem suum, ut exultent cœlestia lætenturque terrena. Dux vobis sit Dei manus, in qua et cor vestrum est, ostendatque meliora; et ab ea recipietis ob susceptos pro opere hoc labores, curas et sollicitudines, regnum sempiternum.

ΙΖ'. — Ἰωάννῃ σπαθαρίῳ (17). [λδ'.]

XVII. — *Joanni Spathario.*

De imagine S. Demetrii, in baptismo adhibita pro susceptore.

Θεῖόν τι δρᾶμα ἀκηκοότες πεπραχέναι σου τὴν κυριότητα, τεθαυμάκαμεν ἐπὶ τῇ μεγάλῃ σου ὡς ἀληθῶς πίστει, ἄνθρωπε τοῦ Θεοῦ.

Φησὶ γὰρ ὁ διδάξας χρήσασθαί σε τῇ ἱερᾷ εἰκόνι τοῦ μεγαλομάρτυρος Δημητρίου, ἀντὶ ἀναδόχου τινὸς, καὶ οὕτως ἐπιτελέσαι τὸ φώτισμα τοῦ θεοφυλάκτου σου τέκνου. Καὶ, ὢ τῆς πεποιθήσεως! Οὐδὲ ἐν τῷ Ἰσραὴλ εὗρον τοσαύτην πίστιν, ὁ Χριστὸς οὐ μόνον τότε τῷ ἑκατοντάρχῃ δοκῶ ἐπιφθέγξασθαι, ἀλλὰ καὶ σοὶ ἄρτι τῷ ἐφαμίλλῳ τῇ πίστει. Εὗρετο τοίνυν ἐκεῖνος ὃ ἐπεζήτησεν· ἐπέτυχες καὶ αὐτὸς οὗ πέποιθας. Ἐκεῖ τὸ θεῖον πρόσταγμα ἀντὶ τῆς σωματικῆς παρουσίας· κἀνταῦθα ἡ σωματικὴ εἰκὼν ἀντὶ τοῦ πρωτοτύπου. Ἐκεῖ συμπαρῆν τῷ λόγῳ ὁ μέγας Λόγος, ἀοράτως τῇ θεότητι τὸ παράδοξον τῆς ἰάσεως ἐργασάμενος· κἀνταῦθα δὲ συνῆν ὁ μεγαλόμαρτυς πνεύματι τῇ οἰκείᾳ εἰκόνι τὸ βρέφος δεχόμενος. Ἀλλὰ βεβήλοις μὲν ἀκοαῖς καὶ ἀπίστοις ψυχαῖς ταῦτα ἀπαράδεκτα, ὡς ἄπιστα· καὶ μάλιστα τοῖς Εἰκονομάχοις· τῇ δὲ σῇ εὐσεβείᾳ ἐναργῆ τὰ γνωρίσματά τε καὶ ὑποδείγματα πεφανέρωται. Τί γὰρ τῷ Θεῷ ἀδυνατεῖ παρέχειν τοῖς πιστεύουσι; καὶ πῶς οὐχὶ ἐν τῇ εἰκόνι ὁ εἰκονιζόμενος ὁμωνύμως ὁρᾶταί τε καὶ εἶναι πιστεύεται; « Ἡ γὰρ τῆς εἰκόνος, φησὶν ὁ μέγας Βασίλειος, τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. » Ὥστε σαφῶς ὁ μάρτυς ἦν διὰ τῆς οἰκείας εἰκόνος τὸ βρέφος εἰσδεχόμενος· ἐφ' ὅσον οὕτω πεπίστευκας. Ἀλλὰ τίς ἡ εὐδοξία τῆς μεγαλωσύνης σου, ὅτι τηλικοῦτον, τὸ δὴ λεγόμενον, σύντεκνον προσεκτήσω; οὐ τὸν δεῖνα ἢ τὸν δεῖνα, ἄρχοντα τυχὸν ἢ δυνάστην· εἴποι δ' ἂν οὐδ' αὐτὸν τὸν τὸ διάδημα περικείμενον· μείζων γὰρ καὶ ὑπέρτερος ὁ ἐξευρημένος. Τῶν γὰρ μαρτύρων ὁ κράτιστος· τῶν θαυματουργῶν ὁ διαπρύσιος· τῶν φίλων Χριστοῦ ὁ γνήσιος· τῶν ἀγγέλων ὁ συμπολίτης· τοσαῦτα καὶ τηλικαῦτα καὶ δυνηθεὶς καὶ δυνάμενος ἐν τοῖς ὑπὸ τὸν οὐρανόν· ὥστε ἀπ' ἄκρου

B Divinum quoddam facinus a dominatione tua factum audientes, mirati sumus ob magnam revera fidem, homo Dei.

Affirmat enim qui retulit, te sacram magni martyris Demetrii imaginem susceptoris cujusdam loco adhibuisse, atque ita filii tui a Deo custoditi baptismum peregisse. Et, o fiduciam tuam! *Non inveni tantam fidem in Israel* [48], non solum centurioni tunc a Christo dictum arbitror, sed nunc etiam tibi qui fide certas cum illo. Invenit ergo ille quod quærebat; adeptus es et ipse quod sperasti. Ibi divinum mandatum pro corporali præsentia: hic corporea imago vice prototypi. Ibi enim verbis aderat magnum Verbum, divinitate sua mirabile sanitatis opus invisibiliter perficiens; et C hic pariter magnus martyr imagini suæ spiritu præsens erat, infantem suscipiens. Verum hæc profanis quidem auribus, et incredulis mentibus, minime recipienda, tanquam incredibilia, videntur, maxime Iconomachis; pietati vero tuæ manifesta argumenta et exempla patefacta sunt. Quid enim est quod Deus pretare credentibus non possit? aut quomodo in imagine non homonyme cernitur, et inesse creditur, qui repræsentatur? Imaginis siquidem honor, ut magnus ait Basilius, transit ad prototypum. Quare manifestum et martyrem fuisse, qui infantem per propriam imaginem suscipiebat, quatenus ita credidisti. Sed, o magnificentiam tuam, qui talem ac tantum syntecnum, ut vocant, sortitus es, non hunc vel illum, principem puta vel D dynastam; aut ipsum etiam qui diademate redimitus est. Major enim longeque superior est quem reperisti. Martyrum quippe fortissimus, mirificorum clarissimus, germanus Christi amicus, angelorum civis: qui tot tantaque in terris semper potuit, potestque; ut in omnibus oris miraculorum suorum

[48] Matth. VIII, 10.

NOTÆ.

(17) Ἰωάννῃ Σπαθαρίῳ. Joanni sprotospatharii, et Bajuli, ab Irene electi mentio est apud Theophanem ad annum 10 Irenes.

tuba celebretur. Beatus reipsa es, vir piissime, quod talem nactus sis susceptorem : ter beatus et filius tuus, qui a tanta gloria et potentia prædito susceptus sit. Nobis vero videre liceat hunc filium tuum sancti Demetrii cognominem, si annuis, ut, tanquam ipsius filium amplectentes, et congruis ipsi verbis, ut peccatores, compellemus, et rem gestam ad alios quoque transmittamus. Nec enim res pulchras sileri convenit, sed aliis ad piæ fidei clara documenta proponi.

A τῆς γῆς ἕως ἄκρου γῆς τῇ σάλπιγγι τῶν θαυμάτων αὐτοῦ διαθρυλλεῖσθαι. Μακάριος ὄντως εἶ, ἀνερ εὐσεβέστατε, ὅτι τοιούτου τετύχηκας ἀναδόχου· τρισμακάριός σου καὶ ὁ γόνος, ἔχων τὸν δεξάμενον τηλικοῦτον τῷ κλέει καὶ δυνάμει. Ἀλλ' ἴδοιμεν τὸν υἱόν σου καὶ ὁμώνυμον τοῦ ἁγίου Δημητρίου, εἴπερ συγκατέρχῃ, ἵνα, ὡς υἱὸν αὐτοῦ προσπτυξάμενοι, τὰ εἰκότα μὲν προσφθεγξώμεθα καὶ ἡμεῖς ὡς ἁμαρτωλοί, ἔχωμεν δὲ τὸ διήγημα καὶ εἰς ἑτέρους παραπέμπειν. Δεῖ γὰρ τὰ καλὰ μὴ σιωπᾶσθαι, ἀλλὰ προκεῖσθαι τοῖς ἄλλοις εἰς πίστεως εὐσεβοῦς ἐναργῆ ὑποδείγματα.

XVIII. — *Stauracio Spathario* [49].

ΙΗ'. — Σταυρακίῳ σπαθαρίῳ (18). [λε'.]

In obitu filii.

Causam quidem humilis absentiæ nostræ jam diximus, nec opus est amplius excusare. Unde autem ordiemur? aut quæ facultas inveniri queat præsenti venerandæ animæ vestræ dolori conveniens? Quemadmodum enim medicus ad insanabilem morbum accedens, animo hæret ancipiti quonam pacto curationem aggrediatur, sic et nos æstuamus incerti qua ratione gravissimo malo vestro consolationem afferamus. O calamitatem! o infortunium! Obiit vobis filius elegeans et formosus; ille qui materna viscera primus recluserat: per quem vobis parentum nomen inditum, principium propagationis generis, radix procreationis liberorum, surculus rationalis germinationis, prima velut rosa paternæ fecunditatis. Et quid dicam, ut filii pulchritudinem explicem? An quod crescebat puer, proficiebatque ætate et intellectu, et gratia Dei erat in illo [50], quantum et ipsi ex re parva experti sumus? Quomodo igitur talis ac tantus lethali ferro, ex ipsis, ut ita dicam, lumbis vestris exsectus, inconsolabilem cordi vestro dolorem non pariat? aut quis non collamentetur et condoleat, tanquam ob aliquod ipsius membrum in vobis gladio succisum? Ingemiscant merito patres, pulcherrimi hujus filii orbitatem spectantes. Lugeant et matres tam venustæ prolis sectionem cernentes. Resciseum enim revera est membrum vestrum: abscissa est caro vestra. Seges ingens doloris; medicinæ pharmacum invenire difficile. Mœror in familia, tristitia in domesticis, dolor in cognatis; sed præ omnibus in avo domino patricio, et in avia domina protospatharia. Undique gravia et tristia. Verum age, vir optime, qui et intelligentia abundas, et prudentia præstas, et plurimam ex multorum annorum usu adeptus es scientiam, tibi ipse medere, teipsum sana. Conjice, quæso, mentis oculos in universi contemplationem; respice ad antiquas ætates, a primo ipso parente nostro Adam, et vide ac recognesce, quis in lucem egressus in hoc sæculo permanserit, et non exorientis instar feni citius

B Τὴν μὲν αἰτίαν τῆς ταπεινῆς ἀπουσίας ἡμῶν ἤδη εἴπομεν· καὶ οὐ χρή τι πλέον ἀπολογεῖσθαι. Πῶς δὲ ἀρξόμεθα; ἤ τίς δύναμις ἐξευρεθείη εἰς τὸ συμβὰν πάθος ταῖς τιμίαις ὑμῶν ψυχαῖς; Καθάπερ γάρ τις ἰατρὸς ἐπὶ δυσιάτῳ νόσῳ ἐρχόμενος, ἀμηχανίᾳ περίσταται, ὅπως ἐπιβάλῃ τὴν ἐγχείρησιν· οὕτως ἰλιγγιῶμεν, πῶς τὸν παρακλητικὸν λόγον ἐπὶ τῷ βαρυτάτῳ ὑμῶν πάθει προσενέγκασθαι. Ὦ τῆς συμφορᾶς! ὦ τῆς συμβάσεως! ᾤχετο ὑμῖν παῖς καλὸς καὶ ὡραῖος· αὐτὸς ὁ τὰς πρώτας μητρικὰς ὠδῖνας διαλύσας· δι' οὗ ὑμῖν τὸ τῶν γονέων ὄνομα κεχρημάτικεν· ἡ ἀρχὴ τῆς διαδοχῆς τοῦ γένους· ἡ ῥίζα τῆς τεκνοποιίας· ὁ ὄρπηξ τῆς λογικῆς βλαστοφορίας· τὸ οἱονεὶ πρωτοφυὲς ῥόδον τῆς πατρικῆς καρποφορίας. Καὶ τί ἂν εἴποιμι παριστῶν τὸ γόνου κάλλος; ἢ ὅτι τὸ παιδίον ηὔξανε καὶ προέκοπτεν ἡλικίᾳ καὶ C συνέσει, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ, ὅσον ἐκ μικροῦ καὶ ἡμεῖς πεπειράμεθα; Πῶς τοίνυν τὸ τοιοῦτον καὶ τηλικοῦτον ἐκτμηθὲν τῇ θανατικῇ μαχαίρᾳ, ἐξ αὐτῆς εἰπεῖν τῆς ὀσφύος ὑμῶν, οὐ κατεργάσειεν ἂν ἀπαραμύθητον ἄλγος ἐν τῇ καρδίᾳ ὑμῶν; ἢ τίς οὐ συμποτνιάσεται καὶ συναλγυνθῆσεται ἐπὶ τῷ τεμνομένῳ διὰ ξίφους κατά τι τῶν ὑπαρχόντων αὐτῷ μελῶν ὡς ἐφ' ὑμῖν; Στενάξειαν δ' ἂν εἰκότως καὶ πατέρες, τοιούτου καλλίστου παιδὸς ἀποβολὴν θεώμενοι. Θρηνήσειαν δ' ἂν καὶ μητέρες, τηλικούτου ὡραίου σπλάγχνου ἐκνομὴν προσβλέπουσαι. Τέτμηται γὰρ ἀληθῶς μέλος ὑμῶν. Ἐκκέκοπται σὰρξ ὑμῶν, τὸ ὀδυνηρὸν πολὺ, τὸ θεραπευτικὸν φάρμακον δυσεξεύρητον. Κατήφεια ἐπὶ τῆς οἰκίας, ὀδύνη ἐπὶ τοὺς οἰκέτας, λύπη ἐπὶ τοὺς συγγενεῖς· μᾶλλον δὲ πρὸ τούτων ἐπὶ D τὸν προπάτορα κύριον πατρίκιον, καὶ τὴν προμήτορα κυρίαν πρωτοσπαθαρίαν. Πάντοθεν δεινὰ καὶ περίλυπα. Ἀλλὰ δεῦρό μοι, ἀνὴρ χρηστὲ, ὁ πολὺς ἐν συνέσει, ὁ σοφὸς ἐν φρονήσει, ὁ πλείστην συνειληχὼς ἐκ πολλῶν τῶν χρόνων τὴν γνῶσιν· σαυτὸν θεράπευσον· σαυτὸν ἴασαι. Ἐπίβαλέ σου, παρακαλῶ, τὸν ὀφθαλμὸν τῆς διανοίας εἰς τὴν τῆς κτίσεως θεωρίαν· ἔμβλεψον εἰς ἀρχαίας γενεὰς, ἀπ' αὐτοῦ τοῦ προπάτορος ἡμῶν Ἀδάμ· καὶ ἴδε καὶ γνῶθι τίς ἐν-

[49] Consolatoria. [50] Luc. II, 40.

NOTÆ.

(18) Σταυρακίῳ Σπαθαρίῳ. Forte is Stauracius patricius, publici cursus logotheta, de quo multa apud Theophanem ad annum 11 Irenes et deinceps.

ἐμεινε τῷ αἰῶνι τούτῳ εἰς φῶς ἐλθών, ἀλλ' οὐχὶ δίκην ἀνατέλλοντος χόρτου θᾶττον ἐξήνθησε καὶ ἀπεξηράνθη διὰ θανάτου, ἢ ὡς ἐν ῥεύματι ποταμιαίῳ, ὅτι τὸ μὲν ὑπεξῆλθε, τὸ δὲ ἀντεισῆλθε, τοῦ κατὰ διαδοχὴν γένους μὴ ἱσταμένου, ἀλλὰ παρατρέχοντος καθ' ἑκάστην ἡμέραν· οὕτως οἱ γεννήσαντες τοὺς ἡμᾶς γεννήσαντας, καὶ οἱ ἐκείνων ἀνώτεροι· καὶ ἀναποδίζων ὁ λόγος εἰς τὴν καταρχὴν ἐλεύσεται· καὶ κατιὼν πάλιν εἰς τὴν συντέλειαν τοῦδε τοῦ παντὸς καταντήσει. Καὶ οὐκ ἔστιν ὃς ζήσεται, κατὰ τὸ γεγραμμένον, καὶ οὐκ ὄψεται θάνατον. Τὸ δὲ παρὸν, λειτουργία τις διωρισμένη, καὶ πραγματεία ἡμερήσιος· καὶ αὐτίκα εἰς τὰ οἰκεῖα ἐπανέλευσις, τῆς τῶν ἐνθένδε, λέγω, πρὸς τὰ ἐκεῖσε μεταβάσεως. Πατριάρχαι, καὶ παρῆλθον· προφῆται, καὶ μετῆλθον· πατέρες καὶ μητέρες, καὶ ἀπεγένοντο· ἀδελφοὶ καὶ φίλοι καὶ συγγενεῖς, καὶ παρέδραμον. Τί δὲ βασιλεῖς; τί δὲ σατράπαι; τί δὲ ἄρχοντες; τί δὲ πᾶσα ἡλικία, καὶ πᾶν γένος ἀνθρώπου; Οὐχὶ πάντες ὑπὸ γῆν γεγόνασι, καὶ γεννήσονται μικρὸν ὕστερον ἐκ γῆς φύντες; Ἀλλ' ὧδε τὸ ζητούμενον· ἵνα καλῶς τὰ ἐνταῦθα ἀμείψαντες, καὶ πρὸς τὸ βούλημα τοῦ πεποιηκότος Θεοῦ ἐμπολιτευσάμενοι, τοῦ ἐκεῖσε φοβερωτάτου κριτηρίου τὴν παράστασιν ἀκατάκριτον εὑρήσωμεν· ὅπερ τὸ ὑμέτερον τέκνον ἀσφαλῶς καὶ βεβαίως εὗρατο καὶ ἐπιτετύχηκε. Μακάριος γὰρ, φησὶν, ὁ ἐν γεννητοῖς γυναικῶν ὀλιγόβιος, καὶ ὃν ὁ Κύριος ἐξελέξατο καὶ προσελάβετο ἐν πρώτῃ ἡλικίᾳ, μὴ πειράσθέντα τῶν πικρῶν ἁμαρτημάτων τοῦ τῇδε βίου.

A defloruerit, ac per mortem dessiccatus sit : aut sicut in fluminis lapsu, quia pars una recessit, altera in locum successit, genere per successionem non subsistente, sed per dies singulos prætervolante, ita qui genitores nostros genuerunt, et his superiores : sursumque relegens ratio ad initium usque perveniet, et contra descendens ad universi finem progredietur : *Et non est qui vivet*, ut scriptum est, *et non videbit mortem* [51]. Præsens vero status, munus quobdam est definitum, et diei unius negotiatio : tum deinde statim ad sua reditus ; ab his, inquam, ad illa commigratio. Patriarchæ olim, et transierunt : prophetæ, et abierunt : patres et matres, et esse desierunt : fratres et amici et propinqui, et prætervecti sunt. Quid porro reges? quid satrapæ? quid principes? quid ætas omnis et omne B genus hominum? Nonne omnes sub terram ierunt? et paulo mox ibunt, cum ex terra orti sint? Sed hoc nimirum est quod quæritur ; ut hanc vitam recte transigentes, et ex Dei conditoris nostri voluntate conversantes, apud formidolosissimum illud tribunal condemnationem declinemus : quod filius vester sine dubio ac certissime consecutus est. Beatus enim, ait, inter natos mulierum, cui vita brevis est, et quem Dominus elegit et assumpsit in prima ætate, non tentatum amaris hujus vitæ peccatis.

Ἐξῆλθε καὶ ἀπῆλθεν ὁ κύριος Σωτήριχος φερωνύμως ἐν σωτηρίᾳ· ἦχου ἑορταζόντων καταξιούμενος, ἀγαλλιάσεως ἀνεκλαλήτου, συναριθμήσεως τῶν ἐν C κόλποις Ἀβραὰμ ἀναπαυομένων βρεφῶν ἁγίων· μηκέτι δουλεύων φθορᾷ καὶ σαρκὶ, ἀϊδιότητι συνών. Ἐντεῦθεν βουλόμεθά σε λαμβάνειν τὰς ἀφορμὰς τῆς παρηγορίας, ἐντεῦθεν τὰς παρακλήσεις. Γενοῦ δημιουργὸς εὐφροσύνης, καὶ θεραπευτὴς οὐ μόνον σαυτοῦ, ἀλλὰ καὶ τῆς κυρίας τῆς σπαθαρίας, τῆς μάλιστα δεομένης ἰατρείας καὶ παρακλήσεως, διὰ τὸ μικρὸν περιπαθές· εἶτα καὶ τῶν λοιπῶν διαφερόντων σοι· ὡς ἂν δειχθῇς τὰ θεῖα πεπαιδευμένος, καὶ Θεοῦ νόμῳ κρατούμενος· καὶ εἰδὼς ποῦ ποτε ἀπῄει ὁ μεθιστάμενος· καὶ μάλιστα ἐπὶ τοῦ σοῦ γλυκυτάτου τέκνου· ὅτι οὐκ εἰς θάνατον, οὐδὲ εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς ζωὴν αἰώνιον, καὶ εἰς Θεὸν τὸν τὰ πάντα ποιήσαντα· καὶ ὡς ἂν παραδειχθείης πατράσι, καὶ πᾶσι τοῖς γνωρίμοις καὶ συνειλεγμένοις ἐν τῇ κηδείᾳ, ὑπόδειγμα καλὸν, μετ' εὐχαριστίας καὶ σωφροσύνης διαφέρειν τὰς τῶν τέκνων ἀποβολὰς, καὶ μὴ ἀντιτείνειν Θεοῦ τοῖς προστάγμασιν.

Excessit et abiit dominus Soterichus, nomini suo congruenter, in salute ; festum diem agentium sono dignus habitus, exsultatione inexplicabili, aggregatus ad quiescentes in Abrahæ sinu sanctos infantes, carni et corruptioni non amplius serviens, fruens æternitate. Hinc argumenta consolationis, hinc doloris levamenta capere te volumus. Auctor esto lætitiæ et curator, non tui modo, sed domine quoque spathariæ, quæ curatione et solatio ob exiguam tolerantiam plurimum eget ; ac reliquorum deinde tibi conjunctorum : ne ostendas te divinis imbutum. Deique legi obsequentem ; nec ignarum quo tandem abierit qui migravit ; ac tuus præsertim dulcissimus filius ; quod non ad mortem, neque ad nihilum, sed ad vitam sempiternam, et ad Deum qui omnia creavit : atque ut eximio patribus, notisque omnibus funeris causa convocatis sis exemplo, ut cum D gratiarum actione et moderate liberorum orbitates ferant, divinisque imperiis non repugnent.

ΙΘ'. — Πρὸς τὸ κοινὸν τοῦ λαοῦ Ἀντισάρχου. [λζ'.]

XIX. — *Communi populi Antisarchensis* [52].

De Marciano apostata qui ad eo diverterat.

Γράμματα ἐδεξάμεθα παρὰ τῆς τιμιότητος ὑμῶν περὶ τοῦ μαθητοῦ ἡμῶν, τοῦ πάλαι ἀποδράσοντος, καὶ ἐν τοῖς αὐτόθι, οὐκ οἶδ' ὅπως, ἀμαθίᾳ καὶ ἀνοσιότητι προσδεχθέντος, καὶ ἐν ἑνὶ ἄντρῳ οὑνὶ μονα-

Litteras venerationis vestræ accepemus de discipulo nostro, qui quondam aufugit, et in istis oris, nescis quo pacto, per imperitiam et nefas receptus, in antro quodam, non monasterium, sed vitio-

[51] Psal. LXXXVIII, 49. [52] F. *Antisarensis*.

rum speluncam exstruxit, ut hunc absolvere velimus. Et brevis est responsio. Marcianus discipulus noster, donec ad monasterium suum redeat, in quo renuntiationis suæ pacta Deo teste pepigit, ligatus damnatusque manebit, et communione, juxta divinos quos scripsit canones, indignus. Non enim a nobis intentata est comminatio, sed a Patribus Dei Spiritu afflatis. Hujus ergo salutem si amatis, hortamini ut ad sua redeat. Quem nos pœnitentia ductum, reversumque paternis visceribus excipere parati sumus, omniumque erratorum veniam illi dare. Quemadmodum enim fieri non potest, quin ovis a mandra sua avulsa et aberrans ferarum prædæ subjiciatur, sic a monasterio nefarie degressum sua sponte, et in loco quem Dominus non aspicit residentem, a dæmonibus capi necesse est. Illius ergo cella dæmonum est latebra, decipula animarum, schola mulierum, omnis nequitiæ officina : quibuslibet verbis modisve, aut ipse, aut vos, quæ dicta sunt, dissimulare conemini. Quare si obtemperet et obtemperetis, præclare cum utrisque agetur, ut divinam indignationem minasque evadatis : sin minus, pervicaciæ vestræ fructus ob oculos cernetis. Benedictus autem a Domino sanctissimus episcopus, qui leges observat, et impium procul arcet. Neque enim ordinatione ullo modo dignus est, quamvis huc revertatur. Perspecta enim mihi ejus sunt omnia, supra quam ipsi, ut qui ejus pater fuerim.

A στήριον, ἀλλὰ λῃστήριον παθῶν ἀναδειμαμένου· ἵνα τοῦτον λύσεως ἀξιώσωμεν. Καὶ σύντομος ἡ ἀπόκρισις. Μαρκιανὸς ὁ μαθητὴς ἡμῶν ἕως ἂν ὑποστρέψῃ ἐν τῷ οἰκείῳ μοναστηρίῳ, ἐν ᾧ τὰς συνθήκας ἔθετο ὑπὸ μάρτυρι Θεῷ τῆς ἀποταγῆς αὐτοῦ, ἔσται δεδεμένος καὶ κατακεκριμένος καὶ ἀνάξιος τῆς κοινωνίας, καθ' οὓς ἔγραψε θεοκελεύστους κανόνας. Οὐ γὰρ ἐξ ἡμῶν ἡ ἀπηρτημένη ἀπειλή, ἀλλ' ἐκ θεοπνεύστων Πατέρων. Τοῦτον τοίνυν εἴπερ ἀγαπᾶτε σώζεσθαι, νουθετήσατε ἀνθυπονοστῆσαι εἰς τὰ οἰκεῖα. Ὃν ἡμεῖς μεταμελόμενον, καὶ ὑποστρέφοντα, πατρικοῖς σπλάγχνοις ἕτοιμοί ἐσμεν ὑποδέξασθαι, καὶ συγχωρῆσαι πάντα τὰ ἡμαρτημένα αὐτῷ. Ὡς γὰρ οὐκ ἔστι πρόβατον ἐκ τῆς ἰδίας μάνδρας ἀποσπασθὲν, καὶ ἀποπλανηθὲν, μὴ θηριάλωτον γενέσθαι· οὕτως τὸν ἀπὸ μοναστηρίου ἐξερχόμενον ἀνόμως ἐν τῷ οἰκείῳ θελήματι καὶ ἐν τύπῳ οὗ οὐκ ἐπισκοπεῖ ὁ Κύριος καθεζόμενον, μὴ ὑπὸ δαιμόνων ἁλῶναι. Τὸ οὖν κελλίον αὐτοῦ, φωλεός ἐστι δαιμόνων, ἀγρευτήριον, ψυχῶν, παιδευτήριον γυναικῶν, πάσης ἀνομίας ἐργαστήριον· κἂν ὁποίοις ἂν λόγοις καὶ τρόποις, ἢ αὐτὸς ἢ ὑμεῖς μεθοδεύειν πειρᾶσθε τὰ λεγόμενα. Εἰ οὖν ὑπακούει καὶ ὑπακούετε, εὖ ἂν ἔχοι ἀμφοτέροις φυγοῦσι τὰς θείας ὀργὰς καὶ ἀπειλάς· εἰ δὲ μή γε, ὄψεσθε ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν τοὺς τῆς παρακοῆς ὑμῶν καρπούς. Ὁ δὲ ἁγιώτατος ἐπίσκοπος εὐλογημένος ἔστιν ὑπὸ Κυρίου, τηρῶν τοὺς νόμους, καὶ τὸν ἀνόσιον πόρρω που διώκων. Οὐ γὰρ χειροτονίας ἄξιος τὸ καθόλου, κἂν ἐνταῦθα ὑποστρέψῃ. Οἶδα γὰρ τὰ αὐτοῦ ὑπὲρ ἐκεῖνον αὐτὸν, πατὴρ αὐτοῦ γεγονώς.

XX. — *Pinuphio et Mari filiis.*

Κ'. — Πινουφίῳ καὶ Μάρῃ τέκνοις. [λη'.]

Ut redeant ad monasterium unde aufugerant.

Consilium erat ad vos non scribere, propterea quod secundæ litteræ vestræ cum prioribus non consentiebant. Priores quidem celerrimæ pœnitentiæ reditusque ab nos sponsionem continebant; posteriores vero abnuere vos et recusare ostendunt. Atque hoc et illud causando prætexitis, nec potius errorem vestrum veritatis studio fatemini, flentes ac dolentes ob ea quæ perperam commisistis. Si ergo vos pœnitet, residetque in vobis scintilla timoris Dei, excitans corda vestra ad promissiones et pacta, quæ Deo nobisque ad tremendum ejus tribunal, testibus angelis et fratribus universis, pacti estis, bene habet : neque huc aut illuc respexeritis; sed protinus abrupto quod dæmon injecit vinculo proprii sensus ac libertatis, quo vos decepit, ex cœnobio vox extrudens, et adducens ad loca, quæ Dominus non respicit. Quo enim pacto respiciat ad sanctorum ipsius mandatorum eversionem ? Venite ad nos, venite, corde contrito atque humili sermone, ut diversam a pristina vitæ rationem ineatis Prior enim læva fuit, quæ tacita sensim relaxatione ferociæ vestræ et contumaciæ, ad apostasiæ perniciem vos abripuit. Nos vero, peccatores licet, paternis visceribus vos excipiemus, humilem animam nostram ad mortem usque exponentes, ut vestras et animi et corporis infirmi-

C Οὐκ ἐβουλόμην ὑμῖν ἐπιστεῖλαι, διὰ τὸ τὰ δεύτερα γράμματα ὑμῶν μὴ συμφωνεῖν νοῖς προτέροις. Τὰ μὲν πρότερα ἐπαγγελίαν εἶχον ταχίστης μεταγνώσεως καὶ ἐλεύσεως πρὸς ἡμᾶς· τὰ δὲ δεύτερα, ἀνάνευσιν καὶ ἀνατροπήν. Καὶ ὅτι ἐπαφορμίζεσθε τοῦτο καὶ ἐκεῖνο· καὶ οὐχὶ μᾶλλον ἐν ἀληθείᾳ ὁμολογεῖτε τὸ πταῖσμα ὑμῶν, θρηνοῦντες καὶ μεταμελόμενοι, ἐφ' οἷς κακῶς πεπράχατε· Εἰ οὖν μετανοεῖτε, καὶ ἔστιν ἐν ὑμῖν σπινθὴρ φόβου Θεοῦ, ἀνακαίων τὰς καρδίας ὑμῶν εἰς ἃς ὠδώκατε ὁμολογίας καὶ συνθήκας Θεῷ τε καὶ ἡμῖν, ἐπὶ τοῦ φοβεροῦ βήματος αὐτοῦ, ὑπὸ μάρτυσιν ἀγγέλοις καὶ πάσῃ τῇ ἀδελφότητι, εὖ ἂν ἔχοι· καὶ μηδὲ ἐντεῦθεν μηδὲ ἐντεῦθεν ἐπιβλέψησθε· ἀλλὰ συντόμως διαῤῥήξαντες τὴν ἀπὸ τοῦ δαίμονος συμπλοκὴν τῆς προσπαθείας ὑμῶν καὶ ἰδιορυθμίας, ἣ πεπλάνηκεν ὑμᾶς ἐκβαλὼν τοῦ κοι- D νοβίου, καὶ περιάγων ὑμᾶς εἰς τόπους οὓς οὐκ ἐπισκοπεῖ Κύριος (πῶς γὰρ ἂν καὶ ἐπισκοπήσῃ ἐπ' ἀθετήσει τῶν ἁγίων αὐτοῦ ἐντολῶν;) ἥκατε πρὸς ἡμᾶς, ἥκατε ἐν συντετριμμένῃ καρδίᾳ καὶ λόγῳ τετοπεινωμένῳ, πρὸς τὸ ἄλλον ὑμᾶς βίον ἀναλαβέσθαι ὑπὲρ τὸν πρότερον. Ὁ γὰρ πρότερος σκαιὸς ἦν ἐκ τῆς κατὰ μικρὸν χαυνώσεως θρασύτητος ὑμῶν καὶ ἀντιλογίας, ὑπαγαγὼν ὑμᾶς αὐτῷ τῆς ἀποστασίας πτώμασι. Καὶ ἡμεῖς κἂν ἁμαρτωλοί ἐσμεν, ἀλλ' οὖν σπλάγχνοις πατρικοῖς προσδεξόμεθα ὑμᾶς, καὶ τὴν

ἑαυτῶν ταπεινὴν ψυχὴν μέχρι θανάτου ὑποτιθέντες, εἰς τὸ ἀναβαστάσαι ὑμῶν τὰ ἀσθενήματα κατὰ ψυχήν τε καὶ σῶμα. Οὐ γὰρ ἐξ ὅτου ἀπωλισθήσατε, ἐν ἀμεριμνίᾳ γεγόναμεν· ὥσπερ οὐδὲ ἐπὶ τῶν ἄλλων· ἀλλὰ τηκομένην ἔχομεν ἐν ἑαυτοῖς τὴν καρδίαν· καὶ πρὸς τὸν Θεὸν αἴροντες φωνὴν ἡμῶν οἰκτρὰν καὶ βέβηλον, ἵνα ἀνθυπονοστήσῃ ὑμᾶς πρὸς τὴν μάνδραν ὑμῶν, ἐμπνεύσει λογισμοῦ μετανοίας. Καὶ ἐάνπερ οὕτως πράξοιτε, θεραπεύοιτε πάλιν τὸν Θεὸν καὶ ἡμᾶς τοὺς ἁμαρτωλούς. Οὐ γὰρ ζητεῖ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.

A tates toleremus. Neque enim ex quo lapsi estis, sine cura fuimus et sollicitudine de vobis, sicut nec de aliis. Quin extabuit in nobis cor nostrum, miseramque ac profanam vocem nostram ad Deum tollimus, ut ad mandram vestram vos revocet, consilium inspirans pœnitentiæ. Quod ubi feceritis, Deum iterum et nos peccatores placabitis. Non enim quærit mortem peccatoris, sed ut convertatur, et vivat.

Ἐπιστρέψατε οὖν, ἐπιστρέψατε, πρὶν ἄφνω ἐπιστῇ ὑμῖν ὄλεθρος, καθὼς τῷ Πετρωνίῳ· καὶ εὑρεθῆτε κενὰ καὶ ἀνόνητα μεταμελόμενοι, ὅτε τῆς μεταμελείας κέρδος οὐδέν. Ποῦ τοίνυν εἰσὶν οἱ λόγοι σου, Πινούφιε, καὶ σοῦ, Μάρη; μαρτυρίου ἀγῶνας B ὑποδέχεσθαι διὰ τὴν ταπείνωσιν ἡμῶν προεθυμεῖσθε· μᾶλλον δὲ διὰ τὴν σωτηρίαν τὴν δι' ὑπακοῆς· καὶ τοῦτο πολλάκις· καὶ μικρά τις αὔρα ἐλθοῦσα, ἐρρίπισεν ὑμῶν [f. ὑμᾶς], ὡς ἄν τινα ἀνέμην. Ἀνανήψατε, ἐπιβλέψατε εἰς Θεόν, φοβήθητε ἀπὸ τῶν κριμάτων αὐτοῦ, καὶ ἐξ ὧν συνεπίστασθε πράξεων ὑμῶν· ὅτι ἐν ἐκείναις μόνον οὐκ ἀρκετὸς ὑμῖν πᾶς ὁ βίος εἰς μετάνοιαν. Τί λοιπὸν προσθήκας ἁμαρτημάτων προστίθεσθε ἐπὶ ἁμαρτήμασι χαλεποῖς; Πρὸς δὲ τὸ γρᾶψαι ἡμᾶς εἰς οὓς εἰρήκατε, ἀσμένως προσδεχθέντες καὶ ξενοδοχούμενοι ὑπ' αὐτῶν, τοῦτο μὲν οὐ ποιοῦμεν· οὐ γὰρ ἐξ ἡμῶν ἐξήλθετε διὰ λόγον ὑπακοῆς, ἵνα κρίνωμεν ἀξίους ὑποδοχῆς. Τοὐναντίον δὲ καταλογιζόμενοι, ὁριζόμεθα ὑμῖν οὕτως. Ἀφ' ἧς οὖν ἡμέρας δέξεσθε τὰ γράμματα, ἀποκινήσατε καταλαβόντες τὰ ἐνταῦθα. Εἰ δὲ ἀπειθοῦντες ἐπιμένητε, C ὅπερ μὴ δῴη ὁ Θεὸς, ὃ ἀπεύχομαι, ἐστὲ ἀκοινώνητοι, κατακεκριμένοι τε καὶ καταδενικασμένοι παρὰ ἀληθείᾳ δικαζούσῃ, νενεκρωμένοι τε τὴν ψυχὴν, καὶ ἐστερημένοι τοῦ πνεύματος, καθὼς ὁ μέγας καὶ θεῖος Βασίλειος ἀπεφήνατο· ἀλλ' οὔτε οἱ ὑποδεχόμενοι ὑμᾶς, ἔξω κατακρίσεώς εἰσιν, ὡς μὴ τοὺς θείους κανόνας φυλάττοντες.

Revertimini ergo, revertimini, priusquam repente superveniat vobis interitus, sicut Petronio; et incassum et sine fructu dolere vos sentiatis, quando pœnitentiæ lucrum nullum erit. Ubi vero sunt promissa tua, Pinuphi, et tua, Mares? martyrii certamina inire gestiebatis propter tenuitatem nostram, vel potius propter salutem quæ per obedientiam requiritur: idque frequenter: et parva quædam aura vos, velut stipulam, disturbavit. Expergiscimini, Deum respicite, judicia ejus pertimescite, vel ex vestris actionibus quarum conscii estis, quod ob eas solas tota vita non sufficiat ad pœnitentiam. Quid de cætero additamenta peccatorum gravibus peccatis adjecistis? Ut vero ad eos scribamus, quos significastis, quod benigne vos receperint, ut hospitio invitarint; id quidem minime fecimus: quia ex obedientiæ nutu a nobis non exiistis, ut hospitio dignos judicemus, sed contrarium prorsus sentientes, ita vobis edicimus: quo ex die litteras acceperitis, huc redire festinate. Quod si contumaces perstiteritis, quod non permittat Deus, quod exsecror, excommunicati estote, convicti et condemnati judicio veritatis, mortui anima, et spiritu orbati, quemadmodum magnus ac divinus Basilius pronuntiavit: sed neque qui vos exceperint extra condemnationem sunt, ut qui divinos canones non observent.

ΚΑ'. — Συμεὼν μονάζοντι (19). [λδ'.]

XXI. *Simeoni monacho.*

De Josepho. deposito (Baron. an. 808, n. 14.)

Ἔγνωμεν, ὦ Πάτερ, καὶ διὰ τῶν προλαβόντων, οἷος καὶ ἡλίκος γέγονας πρὸς τὴν ταπείνωσιν ἡμῶν· ἐν πᾶσι τοῖς συμβεβηκόσι θλιβεροῖς ὁμαλίζων καὶ διευθετῶν πάντα πρὸς τὸ λυσιτελές. Ἴσμεν δὲ καὶ νῦν περίλυπόν σε διὰ τῆς ἐπαγγελίας τοῦ ἀδελφοῦ γεγενῆσθαι ἐν τοῖς παρισταμένοις. Ἀλλὰ τί πάθω- D μεν; ὅτι ἐντολὴ Θεοῦ πρόκειται, καὶ κανόνες Πατρικοὶ ἀπείργοντες ἡμᾶς ἐκ τῆς τοιαύτης κοινωνίας. Ὅθεν δὲ φθάσοι ἡ ταχεῖα ῥοπή σου, καὶ ἡ εἰλικρινής σου πρὸς τὸν Θεὸν καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς σχέσις. Ἵν' ὥσπερ τινὰ τρικυμίαν μεταγάγοις τὸν πειρασμὸν, καὶ γαληνιάσης τὴν ταραχὴν τῶν εὐσεβῶν

Et antea perspeximus, Pater, quis qualisque fueris erga humilitatem nostram in omnibus adversis quæ nobis acciderunt, cum lenire ea studeres, et omnia dirigere in nostram utilitatem. Et nunc vehementer sollicitum te esse scimus ob fratris in re præsenti professionem. Verum quid faciamus, cum exstet Dei mandatum, et Patrum canones arcentes nos a tali communione? Huc adsit velox propensio tua; sincerusque erga Deum et nos peccatores affectus; ut tanquam decumanum quemdam fluctum removeas tentationem, tranquillesque agitationem piorum dominorum nostrorum. Non enim adversus

[52] Ezech. XXXIII, 11.

NOTÆ.

(19) Συμεών. De multiplici Simeone Studita videsis Leonem Allatium in Diatriba de Simeonum scriptis, pag. 23. De Simeone porro manacho, Nicepgori imperatoris consanguineo, sermo est non uno in loco apud Theophanem. Scripta autem est a Theodoro hæc epistola nomine Platonis.

illos nobis sermo est vitatæ communionis, nec causa controversiæ : quin potius honor, veneratio, amor et congressus, prout res exigit : sed adversus illum qui præter jus fasque omne manifestum ex Domini sententia adulterum coronavit: qui ausus est tanti sceleris adjutor et assertor fieri coram universo mundo : quem Christus ipse deposuit duorum canonum reum, ut alios omittam : unius quidem qui nec epulari presbyterum in bigami nuptiis permittit [53] (adulteri enim scribere non ausus est canon), quanto minus coronare ? alterius vero, quoniam qui in crimen aliquod lapsus sit, ac propterea excommunicatus, nisi intra annum pro reconciliatione sua pugnet, amplius admitti ejus vocem non licet [54]. Hic vero qui novem annos excesserat, insiliit in Ecclesiam. Si igitur hic innocens, multo magis adulter ipse ; si vero reus iste peccati, quis de eo ambigat, qui conjunxit, et in Spiritum sanctum blasphemavit, quin impurior sit et detestabilior ?

Hæc sunt, Pater sancte, quæ cor nostrum contrahunt, et timorem incutiunt. Hanc ob causam quod cum isto non communicarem, nec cum præcedente patriarcha, qui adultero communionem dabat : inclusi fuimus, ego quidem in eo ubi resides loco ; præpositus autem et reliqui Thessalonicam relegati. Sed denuo congregavit nos Deus precibus tuis : ac ne sic quidem temere nos adjunximus patriarchæ, nisi postquam fassus est nos recte fecisse. Si ergo, cum regnaret adulterium et canonum transgressio, metu minime dissimulavimus, Dei virtute freti, quomodo nunc, pio dominante imperio, unius presbyteri causa timidiores erimus, prodemusque cum aperto animæ periculo veritatem ? Nequaquam : sed ferenda nobis potius omnia usque ad mortem, quam ut cum eo communicemus, vel cum iis qui cum illo sacrificant : quoad privetur sacerdotio, quemadmodum sub priore patriarcha. Esto œconomus : cur etiam indigne sacris operatur ? Desiit esse Presbyter. Quod si hæc illis non placent, qui cum eo sacrificant, videbunt quomodo se gerent. Parcant tenuitati nostræ, qui acquiescimus, nihilque ad hunc usque diem locuti sumus : sed biennio nos toto continuimus, ex quo ingressi sunt ut pacatius hoc modo viveremus. Domini nostri sunt optimi sequestres et arbitri æquitatis, eorum fautores qui veritatem libere defendunt, sicut venerabili ore suo sæpe denuntiant. Ferant sacerdotes ut sacros homines decet, aut ipsi persuadebunt, aut illis persuadebitur. Sin horum nihil, sed ne mutire quidem nos ferendum putant; Deus intuetur, quo major est nemo, cujus solius terror est formidabilis, et tribunal illud, cui sistemur omnes de omnibus judicandi. Cæterum oramus bonitatem tuam, et tanquam sacris vestigiis tuis advoluti obsecramus

ἡμῶν δεσποτῶν. Οὐ γὰρ πρὸς αὐτοὺς ἡμῖν ὁ λόγος τῆς ἀκοινωνησίας· οὐδὲ ἡ αἰτία τῆς ἀμφισβητήσεως· μᾶλλον δὲ ἡ τιμὴ καὶ ἡ προσκύνησις, ἡ φιλία καὶ ἡ ἔντευξις κατὰ τὸ ὀφειλόμενον· πρὸς δὲ τὸν ἀνόμως στεφανώσαντά τὸν μοιχεύσαντα κατὰ τὸν λόγον τοῦ Κυρίου· πρὸς τὸν τολμήσαντα τηλικούτου κακοῦ ὑπουργὸν γενέσθαι καὶ βεβαιωτὴν ἐπὶ τοῦ κόσμου παντὸς, ὃν καθῆρεν αὐτὸς ὁ Χριστὸς, δυσὶ κανόσιν ὑποπεσόντα, ἐπεὶ καὶ ἄλλος· κατὰ μὲν τὸν πρῶτον, ὅτι οὐδὲ ἐστιαθῆναι εἰς διγαμοῦντος γάμον παραχωροῦντα τὸν πρεσβύτεδον· εἰς γὰρ μοιχοῦ οὐδὲ ἐτόλμησεν ὁ κανὼν γράψαι, πόσῳ γε μᾶλλον στεφανῶσαι; Κατὰ δὲ τὸν δεύτερον, ὅτι τὸν ὑποπεσόντα ἔν τινι σφάλματι, καὶ διὰ τοῦτο ἀφορισθέντα; εἰ μὴ ἐντὸς ἐνιαυτοῦ ἐπαγωνίζεσαι τῇ οἰκείᾳ συστάσει, οὐκ ἐξὸν ἔσι φωνὴν αὐτοῦ προσδεχθῆναι. Ὁ δὲ ἐννέα χρόνους ὑπερβὰς, εἰσεπήδησεν ἐν τῇ Ἐκκλησίᾳ. Εἰ οὖν οὗτος ἀναίτιος, πολλῷ μᾶλλον ὁ μοιχεύσας. Εἰ δὲ ἐκεῖνος ἔνοχος τῆς ἁμαρτίας, τίς ἀμφιβάλλει περὶ τοῦ συζεύξαντος καὶ δοσφημήσαντος κατὰ τοῦ ἁγίου Πνεύματος, ὡς οὐχὶ ἐναγέστερος καὶ βεβηλότερος ;

Ταῦτά ἐστι, Πάτερ ἅγιε, τὰ φοβοῦντα καὶ συστέλλοντα ἡμῶν τὴν καρδίαν. Καὶ διὰ ταῦτα πρὸς τὸ μὴ κοινωνεῖν αὐτῷ τε καὶ τῷ προηγησαμένῳ πατριάρχῃ, ἐπὰν μετεδίδου τῷ μοιχεύσαντι· ἀπεκλείσθημεν, ἐγὼ μὲν ἐν ᾧ καθέζῃ τόπῳ· ὁ ἡγούμενος δὲ καὶ οἱ λοιποὶ ἐν Θεσσαλονίκῃ ὑπερορισθέντες. Ἀλλ' ὁ Θεὸς πάλιν ἐπισυνήγαγεν ἡμᾶς εὐχαῖς σου· καὶ οὐδ' οὕτως, ὡς ἔτυχεν, ἠνώθημεν τῷ πατριάρχῃ, εἰ μὴ ὡμολόγησε καλῶς ἡμᾶς πεποιηκέναι. Ἐὰν οὖν ὅτε ἡ μοιχεία ἦν, καὶ ἡ τῶν κανόνων παράβασις, οὐχ ὑπεστάλημεν δυνάμει Θεου· πῶς οὖν ἄρτι, ὅτε εὐσεβοῦσά ἐστιν ἡ βασιλεία, ἕνεκεν ἑνὸς πρεσβυτέρου ὑποσταλησόμεθα, καὶ προδώσομεν τὴν ἀλήθειαν, κινδυνεύοντες κατὰ ψυχήν ; Οὐδαμῶς, ἀλλὰ πάντα ἡμῖν φορητὰ μέχρι θανάτου, ἢ μετασχεῖν τῆς ἐκείνου κοινωνίας, καὶ τῶν ἐκείνῳ συλλειτουργούντων· ἕως ἂν παύσῃ ἱερουργίας, ὥσπερ ἐπὶ τοῦ προτέρου. Ἔστω οἰκονόμος· τί καὶ ἀναξίως ἱερουργεῖ ; Ἐξέλιπε πρεσβύτερος. Εἰ δὲ οὐδὲν δοκεῖ τοῖς συλλειτουργοῦσιν αὐτῷ, ὄψονται ἐφ' οἷς πράττουσι. Φείσωνται τῆς ἡμῶν ταπεινώσεως, στεργόντων, καὶ μηδὲν ἕως τοῦ παρόντος λαλησάντων, ἀλλ' οἰκονομησάντων ἐν τοῖς δυσὶν ἔτεσι τούτοις, ἐξ ὅτου εἰσῆλθον [in ms. Reg. εἰσῆλθεν]· ἵνα οὕτως εἰρηνικώτερον διεξέλθωμεν. Οἱ δεσπόται ἡμῶν οἱ ἀγαθοὶ, μεσῖται καὶ κριταὶ τοῦ δικαίου· φιληταὶ τῶν παῤῥησιαζομένων ἐν ἀληθείᾳ· ὡς αὐτὸ τὸ τίμιον αὐτῶν στόμα πολλάκις διαγορεύει. Ἐνέγκωσιν οἱ ἱερεῖς ἱερῶς, ἢ πείσουσιν, ἢ πεισθήσονται. Εἰ δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ τὸ γρύξαι μόνον ἡμᾶς οὐκ ἀνεκτόν· Θεὸς ἐφορᾷ, οὗ μείζων οὐδείς· οὗ μόνος ὁ φόβος φοβερὸς, καὶ τὸ ἐκεῖ δικαστήριον, ᾧ πάννες παραστησόμεθα εὐθυνόμενοι κατὰ πάντα. Ἀλλα δεόμεθά σου τῆς ἀγαθότητος, καὶ ὡς προκυλινδόμενοι τοῖς τιμίοις σου ἴχνεσι, παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν ποιῆσαι ἔλεος μεθ' ἡμῶν,

[53] Conc. Neocæs. can. 7. [54] Cod. Eccl. Afric., can. 70.

καὶ κοινὸν ὄφελος αὐτοῖς τε τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσι, τῷ τε ἁγιωτάτῳ πατριάρχῃ, καὶ πάσῃ τῇ Ἐκκλησίᾳ, οὐ τῇ καθ' ἡμᾶς μόνον, ἀλλὰ καὶ τῇ ἀνὰ πᾶσαν τὴν οἰκουμένην· ἵνα παύσῃ ὁ εἷς εἰς δόξαν Θεοῦ, καὶ μὴ ταραχθῇ ἡ αὐτοῦ Ἐκκλησία. Εἰ δὲ μή γε, ἀλλὰ τό γε δεύτερον, τὸ ἐπιμεῖναι ἡμᾶς ἐν τῷ αὐτῷ καθάπερ ἐν τοῖς δέκα ἔτεσι τούτοις. Οἱ γὰρ λοιποὶ, κἂν μυρίοι ὦσιν, ἱεράρχαι καὶ ἱερεῖς καὶ ἡγούμενοι οἱ κοινωνοῦντες αὐτῷ, οὐ θαυμαστόν· ἐπεὶ καὶ αὐτοὶ συνῴλθον τῷ μοιχεύσαντι· καὶ οὐδείς τι λελάληκε. Ταῦτα Θεὸς δι' ἡμῶν, καὶ εἰ τολμηρὸν εἰπεῖν, καὶ παρακαλεῖ, καὶ προσφθέγγεται, καὶ ὡς κελεύεις.

A obtestamurque, ut misericordiam nobis impertias, et commune emolumentum tam piis imperatoribus nostris, quam patriarchæ sanctissimo, et Ecclesiæ universæ, non huic solum quæ apud nos est, sed quæ per totum orbem, ut unus se abdicet ad gloriam Dei, et non perturbetur ejus Ecclesia. Sin minus, at saltem hoc secundum ut maneamus nos in eodem statu, quo per decem hos annos. Nam de cæteris, quamvis innumerabiles sint episcopi, sacerdotes, et præpositi qui cum eo communicant, nihil mirandum, quando quidem iidem ipsi cum adultero consenserunt, et nemo quidquam locutus est. Hæc Deus per nos, licet audax sit dictum, et hortatur, et denuntiat, et sicut jubes.

ΚΒ'. — Τῷ αὐτῷ. [μ',]

Καὶ πάλιν παρακαλέσαι σου τὴν πατρικὴν ἁγιωσύνην, καλὸν ἡγησάμεθα, ἐπιβαλέσθαι ἑαυτὴν πρὸς τὸ κοινῇ συμφέρον καὶ λυσιτελοῦν κράτιστα. Οὐ γὰρ πρὸς τοὺς εὐσεβεῖς ἡμῶν δεσπότας ὁ λόγος τῆς ἀκοινωνησίας. οὐδὲ ἡ αἰτία τῆς ἀμφισβητήσεως, καθὰ προγεγράφαμεν· μᾶλλον δὲ ἡ τιμὴ καὶ ἡ προσκύνησις, ἡ ὑπόπτωσις καὶ ἡ ἔντευξις κατὰ τὸ ὀφειλόμενον· πρὸς δὲ τὸν ἀνόμως στεφανώσαντα τὸν μοιχεύσαντα, κατὰ τὸν λόγον τοῦ Κυρίου· πρὸς τὴν τολμήσαντα τηλικούτου κακοῦ ὑπουργὸν γενέσθαι καὶ βεβαιωτὴν ἐπὶ τοῦ κόσμου παντός· Καὶ ἵνα ἐκδηλότερον εἴῃ τὸ λεγόμενον οὐ πρὸς διδαχὴν, ἀλλὰ πρὸς ὑπόμνησιν αὐτὴν, εἰ κελεύεις, τὴν κατὰ τὴν στεφανικὴν συνάφειαν. ἱερὰν προσευχὴν παραθήσομεν· καὶ κατίδωμεν ἐντεῦθεν, ὅπως ἐξ ἐναντίας αὐνῷ τῷ Χριστῷ, εἰ καὶ τολμηρὸν εἰπεῖν. ἀντεφθέγξατο καὶ ἀντεμαχήσατο διὰ τοῦ ἐναγοῦς αὐτοῦ στόματος, ὁ ἀνένοχον ἑαυτὸν ἀποδεικνύς. Τοῦ Χριστοῦ γὰρ μοιχὸν ἀποκαλέσαντος τὸν ἀφιέντα τὴν νομίμως συναφθεῖσαν ἀνδρὶ γυναῖκα· μοιχεία δὲ, ὡς οἶσθα, τὸ χαλεπὸν ἁμάρτημα, καὶ ἰσοδύναμον φονέως, ἀρρενοφθόρου τε καὶ ἀλογευομένου, φαρμακοῦ τε καὶ εἰδωλολάτρου· κατὰ τὸν κανόνα τοῦ θείου Βασιλείου· αὐτὸς τοῦτον τῷ θυσιαστηρίῳ παραστήσας, ἐν ἐπηκόῳ παντὸς τοῦ λαοῦ, ἐτόλμησε ῥῆξαι τὰς βεβήλους φωνὰς ἐκείνας· καὶ σκοπήσωμεν, Πάτερ, παρακαλῶ, τὸ φοβερὸν καὶ ἔκτοπον· ἔχει γὰρ οὕτως. « Αὐτὸς, Δέσποτα, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἅρμοσον τῷ δούλῳ σου τὴν δούλην σου. Σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ. Ἕνωσον αὐτοὺς εἰς σάρκα μίαν, οὓς εὐδόκησας συναφθῆναι ἀλλήλοις. Τίμιον τὸν γάμον ἀνάδειξον, ἀμίαντον αὐτῶν τὴν κοίτην διατήρησον, ἀκηλίδωτον αὐτῶν τὴν συμβίωσιν διαμεῖναι εὐδόκησον. « Οὐκ ἄρα φρικαῶν καὶ ἀκουόμενον, καὶ ἐννοούμενον; πόσον ἐστὶν ἐνταῦθα ὑπολαβεῖν τὸν παροργισμὸν τοῦ ἁγίου Πνεύματος ἐν τῇ τοιαύτῃ βλασφημίᾳ, συνοργισθῆναί τε τοὺς ἁγίους ἀγγέλους ἐν ταῖς τηλικαύταις δυσφημίαις; ἢ πῶς οὐ παραυτίκα, ὡς τὸν Δαθὰν καὶ Ἀβειρῶν, ὑπέλαβεν ἡ γῆ χάνασα τὸν ὑφηγητὴν τοῦ ψεύδους, καὶ δεικνύντα τὸ σκότος φῶς, καὶ τὸν Χριστὸν εἰς ἐναν-

XXII. — *Eidem* (20).

B Et iterum hortari paternam sanctitatem tuam optimum factu visum est, ut se ipsam excitet ad id quod communi bono atque utilitati conducit quam maxime. Non enim adversus pios dominos nostros nobis sermo est vitatæ communionis, nec causa controversiæ, sicut jam scripsimus, potius autem honor, veneratio, et submissio, et congressus, prout res exigit: sed adversus illum qui præter jus fasque omne, manifestum ex Domini sententia adulterum coronavit: adversus cum qui ausus est tanti sceleris adjutor et assertor coram orbe universo fieri. Atque ut magis perspicuum fiat quod dicimus, ipsas, si placet, quæ in coronæ impositione usurpantur sacras preces, non docendi studio, sed memoriæ renovandæ causa, subjiciemus: ex quod vivere liceat, C quemadmodum ex diametro Christo ipsi, quamvis dictu temerarium sit, repugnaverit, impuroque ore suo contradixerit, qui insontem se esse professus est. Cum enim Christus adulterum vocet eum, qui conjugem legitime viro conjunctam dimisit, adulteriumque, ut nosti, grave sit peccatum, par homicidæ, masculorum, brutorumque concubitori, veneficio, atque idololatræ, juxta divini Basilii regulam[58]; hunc iste ad altare producens, omni populo exaudiente, profanas illas voces proferre ausus est, consideremus quæso, Pater, quam horrenda res et absurda sit, sic enim illæ se habent: « Tu, Domine, mitte manum tuam de sancto habitaculo tuo, et famulam tuam famulo tuo conjunge. Connecte illos in mutua concordia, socia eos in carnem unam, quos tibi visum est inter se copulari, honorabiles nuptias D redde: immaculatum eorum torum conserva: ipsorum contubernium intaminatum manere concede. » Annon igitur horribile est quod auditur, quodque cogitatur? Quantam æstimare est sancti Spiritus indignationem esse ob ejusmodi blasphemiam? quam vehementer succensere una omnes sanctos angelos ob tantam impietatem? et quomodo non protinus dehiscens terra absorpsit, velut Dathan et Abiron, promulgatorem mendacii, qui tenebras lumen dicat, qui Christum pugnantia loquentem facere conetur?

[58] Epist. ad Amphiloch., can. 7.

(20) Hæc quoque scripta est Platonis nomine. (Baron. ann. 808, n. 17.)

Prorsus enim quæcunque pronuntiat sacerdos, eadem Deus confirmare se, et rata habere denuntiat, ut magnus aiſirmat Dionysius. Verum ille longa patientia pertulit, ostium pœnitentiæ pandens tanti sceleris reo, istum deinde, pro eo quod flere ac lugere usque ad mortem debuit, et abominandus ac detestandus ad vindictæ divinæ exemplum apud posteros censeri, rursus in Ecclesiam introire, et rursus sacerdotem esse propalam. Ergo, quasi præclarum aliquid patrasset, ingressus est: devictusque Christus, ut qui absurda, istius quidem ore, protulisset. Ac reliquum erat, ut res per publicum ejus sacerdotium tota Ecclesia nostra divulgaretur factumque omnes communi suffragio comprobarent.

Quid enim aliud futurum censemus? sed absit, et fortasse talia deinceps per improbam æmulationem fieri oporteat: coronentur adulteri, et qui coronant, quasi magnum aliquod facinus ediderint, multisque prodesse, et uniformes ritus inducere possint. Honorifice ab omnibus excipiantur. Sed absit: nec enim ille sacerdos; nec illi qui illum imitantur. Neque vere eum fallat quod imperator fuit qui adulterium commisit. Dei enim leges omnibus imperant, ut scriptum est [56]. Nihilominus qui tam tetrum hoc facinus admisit, etiamnum iniquitatem, justitiam facere contendit; et, quod dici solet, se ipsum Præcursore ac Baptista sanctiorem ostendere. Cum enim ille Herodem adulterum coarguerit, et pro veritate mortem oppetierit, iste Herodem alterum, similis adulterii reipsa compertum, et coronavit, et ad mortem usque complexus est: non quidem verbis, sed factis ipsis inclamans, erravisse Joannem Præcursorem, qui intempestive atque injuste reprehenderit, et mortuus sit. Sed absit. Ille enim legis defensor ac flagitii profligator; iste vero divinorum mysteriorum conculcator, et illegitimæ conjunctionis copulator et obsignator. Et ille quidem clamat vel mortuus: *Non licet, tibi habere uxorem Philippi fratris tui* [57]: et in Herodis persona orbi universo denuntiat, ne quisquam in posterum tale quid audeat. Iste autem Herodi alteri ad hunc usque diem contra vociferatur ipsis rebus: Licet tibi conjugem habere Theodotam mœcham: et in ejus persona, hominibus, ut perpetuo mœchentur, aperte præcipit, atque ut sacerdotes sint qui tales coronant.

O temerarium cor! O contemptum judiciorum Dei! Quin universi potius redarguunt hoc facinus, seque ab isto homine, vel cibo tenus atque congressu separant, nisi peccatum post omnimodam sacerdotii privationem confiteatur? Propterea pietatem vestram, et attentum, pro sacri habitus ratione, disciplinæ studium obtestamur, ut verba hæc ad piorum dominorum aures perferatis. Confidimus enim, si hunc, sanctissimo patriarcha nostro approbante, represserint, fore ut applaudant angeli,

A τιολογίαν περιπεσεῖν πειρώμενον; Πάντως γὰρ ὅσα ὁ ἱερεὺς ὑποφαίνει, ταῦτα καὶ Θεὸς κυροῦν ἐπαγγέλλεται, κατὰ τὸν μέγαν Διονύσιον. Ἀλλὰ μακροθυμῶν ἤνεγκεν, ὑπανοίγων θύραν μετανοίας τῷ ἐνόχῳ τῆς ἁμαρτίας, εἶτα ἀντὶ τοῦ κλαίειν καὶ πενθεῖν τὸν τοιοῦτον μέχρι θανάτου, ἀπόπτυστόν τε εἶναι καὶ ἀποτρόπαιον εἰς ὑπόδειγμα ταῖς μετέπειτα γενεαῖς, θείας ζηλοτυπίας· πάλιν ἐν τῇ Ἐκκλησίᾳ εἰσελθεῖν, καὶ πάλιν ὑπάρχειν ἱερέα ἀναφανδόν. Οὐκοῦν ὡς καλόν τι πεπραχὼς εἰσεληλύθει· καὶ Χριστὸς ἥττηται, κατ' αὐτὸν παραλόγως διαγορεύων. Καὶ δέον διὰ τῆς ἐν τῷ κοινῷ ἱερουργίας αὐτοῦ, διαδοθῆναι εἰς πᾶσαν τὴν καθ' ἡμᾶς Ἐκκλησίαν, καὶ συγκατανεῦσαι πάντας ἐπὶ τῷ τοιούτῳ ἔργῳ.

Τί γὰρ ἄλλο καὶ οὐ τοῦτο γενήσεται; Ἀλλὰ μὴ γένοιτο. Δεῖ δὲ τάχα ἐκ παραζήλου ἀπὸ τοῦ δεῦρο τὸ τοιοῦτον γίνεσθαι· καὶ στεφαοούσθωσαν μοιχοί, καὶ οἱ στεφανοῦντες, ὡς μέγα τι κατωρθωκότες, καὶ τοὺς πολλοὺς ὠφελεῖν, καὶ ἐνάγειν εἰς ὁμοτροπίαν δυνάμενοι. Ἀσπαζέσθωσαν ὑπὸ τῶν πολλῶν. Ἀλλὰ μὴ γένοιτο· οὔτε γὰρ ἐκεῖνος ἱερεὺς, οὔτε οἱ ἐκεῖνον μιμούμενοι. Μὴ γὰρ ἐν ἐκείνῳ ἀπατάσθω, ὅτι βασιλεὺς ἦν ὁ μοιχεύσας. Ἄρχουσι γὰρ οἱ τοῦ Θεοῦ νόμοι πάντων, κατὰ τὸ γεγραμμένον. Ἀλλ' ὅμως τοῦτο ὁράσας τὸ παγχάλεπον, ἔτι φιλονεικεῖ τὴν ἀνομίαν δικαιοσύνην γνωρίσαι· καὶ τὸ δὴ λεγόμενον, ἀποδεῖξαι ἑαυτὸν τοῦ Προδρόμου καὶ Βαπτιστοῦ ὁσιώτερον. Ἐκείνου γὰρ ἐλέγχοντος τὴν Ἡρῴδου μοιχείαν, καὶ ὑπὲρ ἀληθείας θνήσκοντος· οὗτος τὸν δεύτερον. Ἡρῴδην ὡς ἀληθῶς τῇ ὁμοτρόπῳ μοιχείᾳ δεδειγμένον. καὶ ἐστεφάνωσε, καὶ κατησπάσατο μέχρι θανάτου· λόγοις μὲν οὗ, αὐτοῖς δὲ ἔργοις φθεγγόμενος, ὡς πεπλάνηται Ἰωάννης ὁ Πρόδρομος ἀκαίρως, καὶ ἀνόμως διελέγξας καὶ ἀποθανών. Ἀλλὰ μὴ γένοιτο· ὁ μὲν γὰρ τοῦ νόμου ὑπερασπιστὴς, καὶ τοῦ μύσους ἐλεγκτής· ὁ δὲ τῶν θείων μυστηρίων καταπατητὴς, καὶ τῆς ἀθέσμου συμπλοκῆς συνάπτης καὶ κατασφραγιστής. Καὶ ὁ μὲν καὶ θανὼν βοᾷ· **Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. Κἂν τῷ Ἡρῴδου προσώπῳ ἐμβοᾷ πάσῃ τῇ οἰκουμένῃ, μηκέτι τοιοῦτον τολμηθῆναι.** Ὁ δὲ ἕως τοῦ νῦν αὐτοῖς ἔργοις ἄντικρυς κράζει τῷ δευτέρῳ Ἡρῴδῃ· Ἔξεστί σοι ἔχειν γυναῖκα Θεοδότην τὴν μαχλῶσαν· κἂν τῷ αὐτοῦ προσώπῳ διαῤῥήδην προστάσσει ἕως τοῦ αἰῶνος μοιχεύειν τοὺς ἀνθρώπους, καὶ τοὺς τοιούτους στεφανοῦντας εἶναι ἱερέας.

D Ὦ τολμηρᾶς ἀαρδίας! Ὦ καταφρονήσεως Θεοῦ κριμάτων! Διὰ τί μὴ μᾶλλον ἕκαστος καταγορεύει τῆς ὑποθέσεως, καὶ διαστέλλεται τοῦ τοιούτου, καὶ μέχρι βρώσεως, εἴτ' οὖν συντυχίας, εἰ μὴ ἐξαγορεύει τὴν ἁμαρτίαν μετὰ τὸ παντάπασιν εἴργεσθαι αὐτὸν ἐκ πάσης ἱερουργίας; Ἀλλὰ διὰ τοῦτο δεόμεθά σου τῆς θεοσεβείας, καὶ τῆς κατὰ τὸ ἱερὸν σχῆμα ἀκριβείας, ἐνηχῆσαι εἰς τὰ ὦτα τῶν εὐσεβῶν ἡμῶν δεσποτῶν τοὺς τοιούτους λόγους. Πιστεύομεν γὰρ ὅτι εἰ τοῦτον παραστείλωσι σὺν εὐδοκίᾳ τοῦ ἁγιωτάτου

[56] Rom. XIII. 2 seqq. [57] Marc. VI, 16.

ἡμῶν πατριάρχου, ἐπικροτῆσαι ἔχουσιν ἄγγελοι· ἀνευφημήσουσι πάντες οἱ ἅγιοι· εὐφρανθήσεται δὲ καὶ πᾶσα ἡ Ἐκκλησία· γενήσεται δὲ καὶ τῷ κράτει αὐτῶν θεία ἄνωθεν ἐπικουρίας προσθήκη πολλή, ἔν τε προσλήψει ἐχθρῶν τε καὶ πολεμίων, καὶ ἐν εἰρηναίᾳ καὶ μακροημέρῳ αὐτῶν ζωῇ. Ποῦ δὲ καὶ θήσομεν. Πάτερ ἅγιε, τοὺς ἱεροὺς κανόνας εἴργοντας αὐτὸν τοῦ ἱερατεύειν; τὸν μὲν πρῶτον μὴ παραχωροῦντα μηδὲ εἰς διγαμοῦντος γάμον ἑστιαθῆναι πρεσβύτερον, καίπερ ὄντος ἐκ Θεοῦ παρακεχωρημένου Ὅτι δὲ εἰς τὸν ἀποκήρυκτον καὶ μοιχικὸν ὅλαις τριάκοντα ἡμέραις εὐώχησατο· καὶ οὐ μόνον τοῦτο, ἀλλ' ὅτι καὶ τοὺς νιαητικοὺς ἐπὶ τῇ παρθενίᾳ στεφάνους ἐπιτέθεικε τοῖς μοιχοῖς καὶ ἀκαθάρτοις· τίνος εἶη ἄξιος; μικρὸν τάχα ἡ καθαίρεσις [al. ἡ καθαιρέσεως]; Εἰ δὲ τοῦτο ἀνεκδίκητον, παίγνια τὰ θεῖα, καὶ ἕωλοι οἱ κανόνες. Κατὰ δὲ τὸν δεύτερον πάλιν κανόνα, ὅτι ὁ ὑποπεσὼν ἔν τινι σφάλματι, καὶ διὰ τοῦτο ἀφορισθείς, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ ἐπαγωνίσεται τῇ οἰκείᾳ συστάσει, οὐκ ἐξὸν ἔτι φωνὴν αὐτοῦ προσδεχθῆναι. Ὁ δὲ ἐννέα χρόνους ὑπερβὰς, εἰσεπήδησεν ἐν τῇ Ἐκκλησίᾳ.

Εἰ δὲ λέγοι, παρὰ τοῦ προηγουμένου λαβεῖν τὴν ἐπιτροπὴν, καὶ ἀνέγκλητον εἶναι τὴν ὑπόθεσιν· τί δήποτε οὐχ ὁ ἐπιτρέψας αὐτούργησε στεφανώσας; Ἔστι γὰρ πάντως πατριάρχαις βασιλεῖς στεφανοῦν, οὐχ ἱερέα τινά. Οὐ γὰρ πώποτε γεγένηται. Ἀλλὰ δῆλον ὅτι κινδύνου αὐτῷ κειμένου εἰς αὐτὴν τὴν ἀρχιερωσύνην καθαιρέσεως εὑρὼν τοσοῦτον προθυμούμενον (ἦν γὰρ συναυλιζόμενος εἰς τὰ βασίλεια), παρέπεμψεν εἰς τὸ ἐκείνου πρόσωπον τὸν κίνδυνον· εἴπερ καὶ ἀληθὲς ὅτι καὶ ἐπέτρεψεν· οὐ γὰρ πιστεύομεν, ὑμῖν τε καὶ ἄλλοις πολλοῖς πεπληροφορηκώς [f. πεπληροφορηκόσιν]. Εἰ δὲ πάλιν λέγοι μὴ εἶναι ἀφωρισμένος ὑπὸ τοῦ προηγησαμένου, τί δήποτε οὐκ ἐλειτούργει ἐν τοῖς ἐννέα ἔτεσι; τί δήποτε ὑπὸ συνόδου, ὡς λέγει, νῦν λέλυται; Δῆλον ὅτι ὁ δεδεμένος λέλυται, οὐχ ὁ ἄδετος. Ὥστε ἑαυτῷ περιπίπτει κἀνταῦθα εἰργμένος εἶναι, ἐφ' ὅσον οὐκ ἐντὸς τοῦ ἐνιαυτοῦ, κατὰ τὸν κανόνα, ὑπέδειξεν ἑαυτὸν ἀθῷον, καὶ ἔλαβε τὴν λύσιν ἐμφανῶς. Εἴπερ ἦν λύσις τῷ ὁλοδεσμίῳ, κἂν μυρίους παριστᾷ ψευδομάρτυρας.

Ταῦτά ἐστι, Πάτερ ἅγιε, τὰ φοβοῦντα καὶ συστέλλοντα ἡμῶν τὴν καρδίαν. Καὶ διὰ ταῦτα πρὸς τὸ μὴ κοινωνῆσαι αὐνῷ τε καὶ τῷ προηγησαμένῳ πατριάρχῃ, ἐπὰν μετεδίδου τῷ μοιχεύσαντι· ἀπεκλείσθημεν, ἐγὼ ἐν ᾧ καθέζῃ τόπῳ, ὁ ἡγούμενος τε καὶ οἱ λοιποὶ σὺν τῷ ἀρχιεπισκόπῳ ἐν τῇ Θεσσαλονίκῃ ὑπεροριστθέντες. Ἀλλ' ὁ Θεὸς πάλιν ἐπισυνήγαγεν ἡμᾶς εὐχαῖς σου· Καὶ οὕτως ὡς ἔτυχεν ἠνώθημεν τῷ πατριάρχῃ, εἰ μὴ ὡμολόγησε καλῶς ἡμᾶς πεποιηκέναι. Ἐὰν οὖν οὐδ' ὅτε ἡ μοιχεία ἦν, καὶ ἡ τῶν κανόνων παράβασις, οὐχ ὑπεστάλημεν δυνάμει Θεοῦ· πῶς οὖν ἄρτι ὅτε εὐσεβοῦσά ἐστιν ἡ βασιλεία, ἕνεκεν ἑνὸς πρεσβυτέρου καθηρημένου ὑποσταλησόμεθα, καὶ προδώσομεν τὴν ἀλήθειαν, κινδυνεύοντες κατὰ ψυ-

A collaudent omnes sancti, exsultet Ecclesia universa: ipsorum autem imperio magnum auxilii cœlestis incrementum accedat: tum adversariorum et hostium comprehensio, et tranquillæ diuturnæque vitæ eorum felicitas. Quonam autem loco censebimus, Pater sancte, sacros canones, qui sacerdotio illum arcent? ac priorem quidem illum qui nec epulari presbyterum permittit in bigami nuptiis quamvis licitæ illæ sint et a Deo permissæ [58]. Quod vero iste non in licitis nuptiis, sed in vetitis et adulterinis totos triginta dies epulatus sit; neque hoc tantum, sed adulteris atque impuris victrices coronas virginitatis imposuerit, qua pœna dignus est? an minori fortasse quam depositione? Quod si inultum id maneat, ludicra jam sunt divina, et inanes ac frivoli canones. Alterum deinde, quod rursus B sancitum sit, ejus, qui in crimen aliquod lapsus, ac propterea excommunicatus sit, nisi intra annum reconciliari contendat, vocem admitti postea nefas esse [59]. Iste vero, qui novem excessit annos, in Ecclesiam insiliit.

Quod si dicat se a præsule suo mandatum accepisse, ideoque culpa in hoc negotio vacare, quidni ergo qui jusserat, ipsemet coronavit? Mos enim plane est ut imperatores coronent patriarchæ, non sacerdos quilibet: neque enim istud unquam factum fuit. Sed perspicuum est, cum periculum ipsi impenderet ne archiepiscopatu ipso dejectus privaretur: et hunc promptum animo paratumque nactus estet (in aula enim versabatur) discrimen in ejus caput C transtulisse; si quidem verum est illum demandasse: nec enim credimus: vobis aliisque plurimis contraruim persuadentibus. Quod si rursum dicat se ab illo tum præsule excommunicatum non fuisse, cur ergo novem annorum spatio non sacrificavit; cur a synodo, ut ait, nunc est absolutus? Sane, qui vinctus is solutus est, non qui vinctus non esset. Quocirca secum ipse pugnat, et constrictum teneri se hinc ostendit, quod non intra anni spatium, ut canon jubet, insontem se exhibuerit, absolutionemque palam susceperit. Si modo absolutus fuit omni ex parte irretitus, quamvis falsostestes mille producat.

Hæc sunt, Pater sancte, quæ terrorem incutiunt, et cor nostrum dolore contrahunt. Ac, propterea quod cum isto non communicaremus, neque cum D præcedente patriarcha, qui adultero communionem impertiebat; ego quidem inclusus fui in quo resides loco, præpositus autem et reliqui cum archiepiscopo Thessalonicam relegati. Sed Deus nos iterum precibus tuis congregavit. Ac ne sic quidem temere nos adjunximus patriarchæ, nisi postquam fassus est recte nos fecisse. Si ergo, cum regnaret adulterium et canonum transgressio, metu minime dissimulavimus Dei virtute freti, quomodo nunc, pio dominante imperio, propter presbyterum unum, cumque depositum, timidiores erimus, veritatem-

[58] Jac. I, 17. [59] Cod. Eccl. Afric., can. 70.

que cum aperto animæ periculo prædemus? Nequaquam. Quin ferenda nobis omnia usque ad mortem, potius quam cum eo communicemus, vel cum iis, qui cum ipso sacrificant; quoad sacerdotio, sicut sub priore patriarcha, privetur. Quanquam posterioris causa deterior est. Nam prior ne semel quidem cum illo sacra fecit: et tum quidem in consortium venire absurdum erat: minus tamen malum. Istic vero proposita noti is est sacerdotii abrogatio, si una sacrificemus. Esto œconomus: cur etiam indigne sacris operatur? desiit esse presbyter.

Quod si hæc illis non placent, qui cum eo sacrificant, videbunt quidnam acturi sint. Parcant tenuitati nostræ, qui non provocamus, et ad hunc usque diem nihil locuti sumus, sed biennio nos toto continuimus, ex quo ingressi sunt, pacatius hoc modo viveremus. Domini nostri optimi sequestres sunt atque arbitri æquitatis, fautores eorum qui veritatem libere defendunt, sicut ex venerabili ipsorum ore sæpius auditum est. Ferant sacerdotes ut sacros homines decet: aut persuadebunt ipsi, aut ipsis persuadebitur. Sin horum nihil, sed ne mutire quidem nos ferendum putant; Deus intuetur, quo nemo est major, cujus solius est formidabilis terror et tribunal illud, cui sistemur omnes de omnibus judicandi. Cæterum bonitatem tuam oramus et tanquam venerandis vestigiis tuis advoluti obsecramus atque obtestamur, ut misericordiam nobis impertias, et commune emolumentum tam piis imperatoribus nostris, quam patriarchæ sanctissimo, et Ecclesiæ universæ, non huic solum quæ apud nos est, sed quæ per totum orbem; ut abdicet se unus ad gloriam Dei, et non turbetur ejus Ecclesia: sin minus, at saltem hoc secundum, ut maneamus nos in eodem statu, quo per decem hos annos. Nam de cæteris, quamvis innumerabiles sint episcopi, et sacerdotes, et præpositi, qui cum eo communicant; nihil mirandum, quandoquidem iidem ipsi cum adultero versabantur, et nemo quidquam locutus est. Hæc Deus per nos, licet audax sit dictum, et admonet et denuntiat, et quasi jubet.

A χήν; οὐδαμῶς. Ἀλλὰ πάντα ἡμῖν φορητὰ μέχρι θανάτου, ἢ μεταστῆναι τῆς ἐκείνου κοινωνίας, καὶ τῶν ἐκείνῳ συλλειτουργούντων, ἵνα ἂν τούτῳ τῆς ἱερωσύνης ὥσπερ ἐπὶ τοῦ προτέρου· καίπερ ὄντος χαλεπωτέρου τοῦ δευτέρου. Οὐδὲ γὰρ συνελειτούργησεν αὐτῷ καθάπαξ ὁ προηγησάμενος. Καὶ ἐκεῖ μὲν συνελθεῖν ἄτοπον ἦν. Πλὴν οὐ τοσοῦτον κακόν. Ὧδε δὲ καθαίρεσις ἡμῶν τῆς ἱερωσύνης, ἐὰν συλλειτουργήσωμεν. Ἔστω οἰκονόμος· τί καὶ ἀναξίως συλλειτουργεῖ; ἐξέλιπε πρεσβύτερος.

B Εἰ δὲ οὐδὲν δοκεῖ τοῖς συλλειτουργοῦσιν αὐτῷ, ὄψονται ἐφ' οἷς πράττουσι· φείσωνται ἡμῶν τῆς ταπεινώσεως, στεργόντων, ἀλλ' οἰκονομησάντων ἐν τοῖς δοθεῖσιν ἔτεσι τούτοις, ἐξ ὅτου εἰσῆλθον [ms. Reg. εἰσῆλθεν]· ἵν' οὕτως εἰρηνικώτερον διεξέλθωμεν. Οἱ δεσπόται ἡμῶν οἱ ἀγαθοὶ μεσῖται καὶ κριταὶ τοῦ δικαίου, σκιαὶ τῶν παῤῥησιαζομένων ἐν ἀληθείᾳ, ὡς αὐτό τὸ τίμιον αὐτῶν στόμα πολλάκις διαγορεύει. Ἐνίκησαν οἱ ἱερεῖς ἱερῶς, ἢ πείσουσιν, ἢ πεισθήσονται· Εἰ δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ τὸ γρύξαι ἡμᾶς μόνον οὐκ ἀνεκτόν· Θεὸς ἐφορᾷ οὗ μείζων οὐδείς, οὗ μόνος ὁ φόβος φοβερός, καὶ τὸ ἐκεῖθεν δικαστήριον, ᾧ πάντες παραστησόμεθα εὐθυνόμενοι κατὰ πάντα. Ἀλλὰ δεόμεθά σου τῆς ἀγαθότητος, καὶ ὡς προκινδυνεύοντες τοῖς τιμίοις σου ἴχνεσι παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν, ποιῆσαι ἔλεος μεθ' ἡμῶν, καὶ κοινὸν ὄφελος αὐτοῖς τε νοῖς εὐσεβέστιν ἡμῶν βασιλεῦσι, τῷ τε ἁγιωτάτῳ πατριάρχῃ, καὶ πάσῃ τῇ Ἐκκλησίᾳ· οὐ τῇ καθ' ἡμᾶς μόνον, ἀλλὰ καὶ τῇ ἀνὰ πᾶσαν τὴν οἰκουμένην· ἵνα παύσῃ ὁ εἷς εἰς δόξαν Θεοῦ, καὶ μὴ ταραχθῇ ἡ αὐτοῦ Ἐκκλησία· εἰ δὲ μή γε, ἀλλὰ τό γε δεύτερον τὸ ἐπιμεῖναι ἡμᾶς ἐν τῷ αὐτῷ, καθάπερ ἐν τοῖς δέκα ἔτεσι νούτοις. Οἱ γὰρ λοιποὶ κἂν μυρίοι ὦσιν ἱεράρχαι, καὶ ἱερεῖς, καὶ ἡγούμενοι, κοινωνοῦντες αὐτῷ, οὐ θαυμαστόν· ἐπεὶ αὐτοὶ καὶ συνῆλθον τῷ μοιχεύσαντι· καὶ οὐδείς τι λελάληκε. Ταῦτα Θεὸς δι' ἡμῶν, εἰ καὶ τολμηρὸν εἰπεῖν, καὶ παρακαλεῖ, καὶ προσῆθέγγεται, καὶ ὡς κελεύει (19*).

XXII. — *Eidem.*

ΚΓ'. — Τῷ αὐτῷ. [μα'.]

Scripta nomine Josephi archiepisc. Thessalonicensis. Ostendit falso accusari se, quasi episcopatum invaserit. (Baron an. 808, n. 18.)

In his quæ nobis, Pater sancte, significasti nihil molestius fuit: quam quod nolint pii Domini nostri nos de more accedere, dignarique veneranda ipsorum adorationne, et propempticas ac votivas, ut cæteri faciunt, in eorum discessu voces reddere. Sed non semper hoc ad humiliationem nostram faciet placabile et injuriarum immemor, Christique æmulum cor eorum: quippe quod hostibus ipsis reconciliari novit: nedum ut nos rejiciat, qui sincero corde illos colimus et amamus. Belle autem

D Οὐδὲν ὧν δεδήλωκας ἡμῖν τὸ παρὸν, ἅγιε Πάτερ, λυπηρὸν, ὅσον τὸ μὴ θέλειν τοὺς εὐσεβεῖς ἡμῶν δεσπότας ἐλθεῖν ἡμᾶς κατὰ τὸ σύνηθες, καὶ ἀξιωθῆναι τῆς τιμίας αὐτῶν προσκυνήσεως, καὶ τοὺς προπεμπτικοὺς καὶ εὐκτηρίους, ὡς πᾶς τῶν ἀνθρώπων, κατὰ τὴν ἔξοδον αὐτῶν ἀποδοῦναι λόγους. Ἀλλ' οὐ πάντως ἡ εὐμείλικτος καὶ ἀμνησίκακος καὶ Χριστομίμητος αὐτῶν καρδία τοῦτο ὅλον ποιήσειεν εἰς τὴν ἡμετέραν ταπείνωσιν· ἐπεὶ καὶ τοῖς ἐχθροῖς οἶδε διαλλάττεσθαι, οὐχὶ δὲ ἡμᾶς τοὺς ἀληθινῇ καρδίᾳ

NOTÆ.

(19*) Sic legendum videtur et in fine epist. 21 supra.

φιλοῦντας καὶ σέβοντας αὐτούς. Ἄριστα δὲ ὑπέβαλεν ἡ ἁγιωσύνη σου τὰς τῆς εὐτελείας ἡμῶν ἀποκρίσεις ἐν ταῖς ἱεραῖς αὐτῶν ἀκοαῖς· καὶ ὅτι κατένευσαν, τῆς αὐτῶν εἴη μεγαλόφρονος θεοσυνασίας· καὶ γὰρ ἴσασι τὰ θεῖα κρίνειν εὐθυβόλως, ὡς σοφίας μεμεστωμένοι, καὶ γνώσεως Θεοῦ ἀνάπλεοι. Κελεύει δὲ ἐρωτᾷν, τίνος χάριν ἐπιδεδώκαμεν ἑαυτοὺς εἰς τὴν ἀρχιερωσύνην, ἐγνωσμένου ὄντος τοῦ σφάλματος. Καὶ πρὸς τοῦτο μετ' αἰδοῦς ἀποκρινόμεθα, ὅτι ὅσον τὸ καθ' ἡμᾶς, οὐκ ἐβουλόμεθα, τὸ μὲν διὰ τὸ ἐπικίνδυνον τοῦ ἀξιώματος, τὸ δὲ δι' αὐτὸ ἤδη τὸ λεγόμενον τοῦ οἰκονόμου. Ἐπεὶ δὲ ἐλήλυθαν οἱ Θεσσαλονικεῖς, ἱκετεύοντες ὡς ἐκ πάσης τῆς πόλεως, οἵ τε δεσπόται ἡμῶν οἱ ἀγαθοὶ συνεπιτιθέμενοι τῷ ψηφίσματι· δέος ἡμῖν ἐγένετο μὴ ὑπακοῦσαι, καὶ ἀντιφέρεσθαι θεῷ τε καὶ τοῖς εὐσεβέσιν ἡμῶν δεσπόταις· λογισάμενοι ὅτι δυνατός [f. δυνατόν] ἐστιν, ἥνικα ὑπὸ τῶν οἰκείων ἐπισκόπων ἡ χειροτονία γίνεται, φυγεῖν τὸν προειρημένον κίνδυνον. Πρὸς γὰρ τὸ μετὰ ταῦτα· τὸ μὲν ὅτι πόῤῥω τῶν ἐνταῦθα ἀποικίζεται· τὸ δὲ ὅτι ἐγχωρεῖ καὶ ἐπιδημοῦντα φυλάττεσθαι κατὰ πολλοὺς τρόπους. Εἶτα ὅτι καὶ θάνατοι συμβαίνουσιν, καὶ ἐκ μέσου γίνεται τὸ σκάνδαλον· ὥσπερ καὶ ἐφ' ἡμῶν αὐτῶν τῶν ταπεινῶν ὧδε καθημένων συνέβη, διαφυλαχθῆναι ἕως τοῦ παρόντος, οἰκονομίᾳ χρωμένων. Δεῖ γὰρ, ἐφ' ὅσον οἷόν τε, ὑποχωρεῖν τοὺς πειρασμούς, ἄλλως τε καὶ μὴ ἐπισκοπῆς ἐχόντων ἀξίωμα. Διὰ ταῦτα ὡς ἐπὶ μάρτυρι θεῷ ἐπιδεδώκαμεν ἑαυτοὺς, δοκοῦντες, ἵνα καὶ τοῦτο εἴπωμεν, μηδὲ ἠγνοημένην εἶναι πάντως τοῖς εὐσεβέσιν ἡμῶν δεσπόταις, εἰδόσι τὰ πόῤῥω καὶ μακρὰν δι' ἄκρων ἀγχίνοιαν· ἀλλὰ μὴν οὐδὲ αὐτῷ τῷ ἁγιωτάτῳ πατριάρχῃ, ἐπεὶ κἀκείνῳ τηνικαῦτα γεγράφαμεν τὴν ὑπόθεσιν· ὡς ἡμεῖς γε τούτου χάριν ὑπὲρ τοῦ μὴ κοινωνῆσαι τῷ στεφανώσαντι τὸν μοιχὸν, καὶ τῷ προηγησαμένῳ πατριάρχῃ, ἡνίκα μόνον μετεδίδου αὐτῷ, διαφόρως τὴν ἐξορίαν ὑπέστημεν· πλὴν ὅτι πολλαχῶς καὶ αὐτὸ τὸ τίμιον αὐτῶν στόμα ἐπανέκρινε, καὶ διέγνω ταῦτα οὕτως ἔχειν. Αὕτη ἐστὶν ἡ ἀπολογία· καὶ ταύτην, ὡς **κελεύεις, ἀνάγαγε** τῷ εὐηκόῳ αὐτῶν κράτει.

A tua sanctitas responsa nostra sacris illorum auribus subjecit: quibus quod annuerunt, tribuendum est magnanimæ et divinæ eorum prudentiæ: optime enim de divinis judicant, ut sapientia pleni et Dei scientia referti. Jubet autem interrogare, quamobrem ingressimus nos in episcopatum, cum manifestum sit vitium. Ad hoc quoque nos cum reverentia respondemus, quod, quantum in nobis erat, nolabemus, partim quidem propter anceps periculum dignitatis, partim etiam propter id quod de œconomo jam dicebatur. Postquam vero advenerunt Thessalonicenses, supplicantes tanquam nomine totius civitatis, et optimi Domini nostri decreto assensi sunt; veriti sumus non obedire et reluctari Deo piisque dominis nostris, cogitantes, quod possit, cum a propriis episcopis fit ordinatio, prædictum periculum declinari. Quod vero ad alterum caput, occurrebat quod procul hinc semotus sit: fierique possit ut peregre agens, devitetur multis modis. Deinde quod mortes contingant, et de medio tollatur scandalum: quemadmodum et nobis humilibus contigit, qui hic residentes, hucusque conservati sumus, dispensatione utendo. Oportet enim, quoad licet, tentationes subterfugere: illos præsertim, qui episcoporum dignitatem non gerunt. His de causis, Deo teste, nos ingessimus, existimantes, ut hoc etiam dicamus, haudquaquam prorsus ignotam rem fuisse piis Dominis nostris, qui longe proculque posita prospiciunt summa cum solertia; sed neque ipsi patriarchæ sanctissimo: quoniam ad ipsum etiam tunc scripsimus de ea re, quod nos, propterea quod communicare nollemus cum eo qui adulterum coronaverat, neque cum antecedente patriarcha, cum ei tantummodo impertiret; diversis modis exsilium pertulerimus: præterquam quod venerandum ipsum os eorum sæpe discussit, et comperit hæc ita se habere. Hoc est responsum nostrum: idque, ut innuis, perfer ad ipsorum audientiam.

ΚΔ'. — Θεοκτίστῳ (20) Μαγίστρῳ (21). [μβ'.]

XXIV. — *Theoctisto Magistro.*

Cur a patriarcha se abjunxerit. (Baron. an. 808, n. 10.)

Ὅτι περιπονουμένη ἐστὶ τὰ καθ' ἡμᾶς ἡ μεγίστη σου ὑπεροχὴ ἐξ ὑπερβαλλούσης φιλοθεΐας, ἔδειξε μὲν καὶ τὰ διὰ τοῦ εὐλαβεστάτου ἡγουμένου ῥήματα. Ἐφανέρωσε δὲ καὶ νῦν τὰ διὰ τοῦ ἀδελφοῦ ἡμῶν πρὸς τὰ σταλέντα δηλώματά τε καὶ ἀνταποκρίματα. Καὶ τῆς ὑπὲρ τηλικαύτης σου ἀγαθῆς διαθέσεως πρὸς τὸ κοινῇ συμφέρον, τοὺς μισθοὺς

D Quod de nobis pro eximia sua pietate sollicita sit excellentia tua, declarant sane quæ per reverendissimum præpositum significasti; at non minus illa quæ nunc per fratrem nostrum, circa missas relationes et responsa. Et pro hac quidem tanta erga utilitatem communem propensione tua mercedem illi omnino, etiam tacentibus nobis retribuet, qui

NOTÆ.

(20) Θεοκτίστῳ. Is Nicephoro ad occupandum imperium adjutor fuit, eoque in expeditione adversus Bulgaros mortuo, Stauracium ejus filium proclamavit imperatorem. Mox converso ad Michaelem Curopalaten studio, illum ad imperium provexit: ac sub ipso publicam rem tanquam suprema potestate administravit. (Theophanes.) Demum Michaelis jussu a Barda et Theophane Phalgano occisus. Leo Grammaticus ad calcem Theophanis, pag. 461.

(21) Μαγίστρῳ. Sic dictus est κατ' ἐξοχὴν magister officiorum in palatio imperatorum.

omnia in pondere et mensura dividit Deus. [60]. Quamnam vero dispensationem, domine, fieri pro parte nostra convenit, majorem ea qua usi sumus? qui subdoximus nos hactenus, silentium servantes, ego et archiepiscopus; quoniam tempus est loquendi, et tempus tacendi [61]; omnem operam adhibentes ne in apertum res veniret. Sed judicans judicavit, nec mentitus est qui dixit: *Nihil est occultum quod non revelabitur* [62]; ut nobis etiam nolentibus, cum eo statu res essent, non diu aliud quam erant, esse videretur. Nunc autem dispensatione quoque utentes, duo hæc dicimus. Aut abstineat depositus a munere sacerdotii, et confestim communicemus cum sancto illo patriarcha, quod quidem expedit in commune: aut si ferendum id non est, manemus et nos in eadem, qua prius, subtractione, hujus rei vindictam Domino relinquentes. Amplius his si quid est, jam non est, ignosce, dispensationis modus, sed iniquitatis, et divinorum canonum transgressionis crimen. Dispensationis enim terminus est, ut nosti, neque eorum, quæ constituta sunt, violare quidquam; neque, cum parum aliquid remittere liceat pro tempore ac ratione, ut inde quod re ipsa quæritur, consequare, ad duriora provebi, et jacturam facere potiorum. Atque hoc ipsum didicimus, inter apostolos quidem, ex Paulo sanctificante se et circumcidente Timotheum [63]; inter Patres, ex magno Basilio Valentis munus acceptante, Deique nudam vocem ad tempus reticente in mentione Spiritus sancti. Cæterum nec Paulus sanctificare perstitit, nec Basilius Valentis dona capere, Deumque Spiritum sanctum non prædicare. Quin ambo contra pro utriusque mortem præoptasse videntur.

τὸ τοῦ Οὐάλεντος δῶρον, καὶ μὴ κηρύττων Θεὸν τὸ Πνεῦμα· τοὐναντίον μὲν οὖν ἀμφότεροι ὑπὲρ ἑκατέρων θανάτους αἱρησάμενοι φαίνονται.

Ad hunc modum quicunque unquam usus est dispensatione, a recto non aberravit: quin, citius assecutus est quod parumper intermisit: sicut accidere solet gubernatori, clavum nonnihil remittenti propter adversam venti tempestatem. Qui vero aliter progressus est, aberravit a scopo, prævaricationem inducens pro dispensatione. Et exempla omnino multa sunt, quæ scribere supervacaneum est, propter niniam prolixitatem. Quod vero a Dominatione tua dictum est, in canone apostolorum [64] de his qui pecunias ordinant, et qui ordinantur, remissione quadam usum videri Chrysostomum erga sex episcopos quos deposuit; nihil id discrepat, et si videatur: cum privans illos omni prorsus sacerdotio, solam illis ad altare participationem permiserit [65]. Demus autem discrepare, et remissionem inesse. Imitentur sane qui volent, nullus prohibebit: os enim est ipse Dei, et apostolorum contubernalis: cujus multa memorantur in hanc diem, et nemo de hac re dissensit. At longe dispar hic ratio. Qui enim mœchum coronavit, quasi absurdi nihil egerit, sacris iterum operatur, neque in abdito quopiam

λογιζῆται κἀκεῖ πάντως καὶ ἡμῶν μὴ λεγόντων ὁ πάντα μέτρῳ καὶ σταθμῷ διοτίζων Θεός. Τίνα δὲ δεῖ οἰκονομίαν γενέσθαι, ὦ δέσποτα, ὅσην τὸ καθ' ἡμᾶς πλεῖον ἧς παρεσχήμεθα; ὅτι ἡμεῖς τοῦ παρόντος ὑπεστείλαμεν ἕκαστος ἑαυτὸν ἐπιστήσαντες ἐγὼ τε καὶ ὁ ἀρχιεπίσκοπος, ἐμοί τε καιρὸς τοῦ λαλεῖν καὶ τοῦ σιγᾷν, πάντα τρόπον μηδενὸς εἰς τὸ μὴ εἰς κοινὸν ἐκβῆναι τὴν ὑπόθεσιν. Ἀλλ' ὁ ἀνακρίνων ἀκέραιος, καὶ ὁ εἰπὼν οὐ διέψευστο, ὅτι Οὐκ ἔστι κρυπτὸν ὃ οὐ φανερωθήσεται· ὡς καὶ ἡμῶν μὴ ἀξιούντων, οὕτω φύσεως ἐχόντων τῶν πραγμάτων, μὴ ἐπὶ πολὺ παρ' ὃ ἦσαν, ἕτερόν τι φαίνεσθαι. Καὶ νῦν δὲ οἰκονομίᾳ χρώμενοι, δύο ταῦτα λέγομεν· ὅτι ἢ παύσει ὁ καθηγημένος τῆς ἱερουργίας, καὶ παυσάτω συγκοινωνοῦμεν τῷ ἁγίῳ τούτῳ πατριάρχῃ· ὃ καὶ λυσιτελὲς κατὰ κοινοῦ· ἢ εἰ μὴ ἀνεκτόν, καὶ ἡμεῖς ὑπὸ τῆς αὐτῆς συστολῆς κατὰ τὸ πρότερον, τῷ Κυρίῳ τὴν ὑπὲρ τοῦ τοιούτου παραλείψει ἐκδίκησιν παραχωροῦντες. Τὸ δὲ μεῖζον τούτου, οὐκέτι, σύγγνωθι, οἰκονομίας τρόπος, ἀλλὰ παρανομίας καὶ παραβάσεως τῶν θείων κανόνων ὅρισμα. Οἰκονομίας γὰρ ὅρος, ὡς οἶσθα, μήτε τι τῶν κειμένων ἀθετεῖν καθόλου, μήτε ἐξ ὧν οἷόν τε μικρὸν ὑφεῖναι κατὰ καιρὸν καὶ λόγον· ὡς ἐντεῦθεν εὑρεῖν τὸ ζητούμενον ἀτεχνῶς· πρὸς τὸ προβούτερον ὑπάγεσθαι τῷ πράγματι, καὶ ζημιοῦσθαι τὰ τελεώτερα. Καὶ τοῦτο δεδιδάγμεθα, ἐν μὲν τοῖς ἀποστόλοις, παρὰ τοῦ Παύλου, ἁγιασμένου καὶ περιτεμόντος τὸν Τιμόθεον· ἐν δὲ τοῖς Πατράσι, παρὰ τοῦ μεγάλου Βασιλείου, προσηκαμένου τὸ λῆμμα τοῦ Οὐάλεντος, καὶ ὑποσιωπήσαντος πρὸς καιρὸν τὴν Θεὸς φωνὴν γυμνὴν ἐπὶ τοῦ Πνεύματος. Ἀλλ' οὔτε ὁ Παῦλος ἔμεινεν ἁγνιζόμενος, οὔτε Βασίλειος προσηκάμενος ἔτι

Οὕτως τις ἐκ τοῦ αἰῶνος οἰκονομῶν, οὐ διέστραλται τοῦ καλοῦ· θᾶττον γὰρ ἐπεδράξατο ὃ μικρὸν ἐνέλιπεν. Ὡς ἐπὶ τοῦ οἰακοστρόφου, ὑπανέντος μικρὸν τὸ πηδάλιον, διὰ τὴν ἀντιπνεύσασαν καταιγίδα. Ἑτέρως δὲ διενεχθεὶς διήμαρτε τοῦ σκοποῦ· ἀντὶ οἰκονομίας παράβασιν τελέσας. Καὶ τὰ παραδείγματα πολλά, ἃ παρέλκον ἐστὶ γράφειν διὰ τὸ μακρηγορές. Τὸ δὲ τὴν κυριότητά σου φῆσαι ἐπὶ τοῦ κανόνος τῶν ἀποστόλων, περὶ τῶν ἐν χρήμασι χειροτονούντων καὶ χειροτονουμένων, ὑφεσίν τινα ποιητέναι τὸν Χρυσόστομον ἐφ' οἷς καθεῖρεν ἓξ ἐπισκόπων· οὐδὲν τὸ παραλλάττον, εἰ καὶ δοκεῖ, ἡνίκα κἀκείνους πάσης ἱερωσύνης ἀλλοτριώσας, μόνην τὴν εἰς τὸ θυσιαστήριον μετάληψιν αὐτοῖς παρεχώρησε. Δῶμεν δὲ καὶ παραλλάττειν, καὶ ὕφεσιν ἔχειν. Μιμείσθωσαν οἱ βουλόμενοι, καὶ οὐδεὶς ὁ κωλύσων· στόμα γὰρ Θεοῦ καὶ οὗτος, καὶ τῶν ἀποστόλων ὁμόσκηνος· οὗ καὶ πολλὰ μέμνηνται ἕως τοῦ παρόντος, καὶ οὐδεὶς περὶ τούτου διήνεκται· Ἀλλ' οὐχὶ ὧδε οὕτως ἔχει. Ὁ γὰρ τὸν μοιχὸν στεφανώσας, ὡς μηδὲν πεπραχὼς ἄτοπον, ἱερουργῶν πάλιν ἐστί· καὶ οὐδὲ ἐν ἀποβύστῳ που εἰσερχόμενος,

[60] Sap. xi, 21. [61] Eccle. iii. 7. [62] Matth. x, 26. [63] Act. xvi, 3. [64] Can. 28. [65] Pallad. in *Vita Chrys.* c. 15.

ἀλλ' ἐπ' αὐτῆς τῆς καθολικῆς Ἐκκλησίας · ὡς εἰς ὑπόδειγμα καλὸν τοῖς ἱερεῦσι προκείμενος.

Τίς δὲ ἡμῖν ἡ τοῦ Οὐαλεντινιανοῦ δυογαμία ἐθνικής ; καὶ τίς αὐτὸν στεφανώσας ἐπὶ τούτῳ ἀνακηρύττεται ἅγιος, καὶ οὐχὶ παράνομος, εἴπερ καὶ ἐστεφάνωται ; Καὶ τίς τηνικαῦτα τῶν θεσπεσίων Πατέρων γραφῇ παρέδωκεν, ὡς ὁσίως Οὐαλεντινιανὸς πεποίηκε, δύο γυναῖκας ἀγόμενος, καὶ χρεὼν ἐκ τοῦ δεῦρο τοῦτο πράττεσθαι ; Πολλοὶ τοίνυν καὶ ἄλλοι, ἐπειδὴ τὸ βούλεσθαι αὐτοῖς νόμος ἐστὶν οὐ θεῖος, ἀλλ' ἀνθρώπινος καὶ κατηγορούμενος, δεδράκασι καὶ δράξουσι τυχὸν ἕως τοῦ αἰῶνος. Ἀλλ' ἡ τοῦ Θεοῦ Ἐκκλησία μεμένηκεν ἀπήμαντος, κἂν πολλοῖς ἐβλήθη τοξεύμασι · καὶ πύλαι ᾅδου κατισχῦσαι αὐτῆς οὐ δεδύνηνται · οὐδὲ παρὰ τοὺς κειμένους ὅρους καὶ νόμους πράττειν τι καὶ λέγειν ἀνέχεται · κἂν πολλοὶ πολλαχῶς ποιμένες ἠφρονεύσαντο · ἐπεὶ καὶ συνόδους συνεκρότησαν μεγάλας (22) καὶ παμπληθεῖς, καὶ Ἐκκλησίαν Θεοῦ ἑαυτοὺς ὠνομάκασι · καὶ ὑπὲρ κανόνων ἐφρόντισαν τῷ δοκεῖν, κατὰ κανόνων τὸ ἀληθὲς κινούμενοι. Τί δὴ θαυμαστὸν εἰ καὶ νῦν πέντε καὶ δέκα τυχὸν ἐπίσκοποι συναγθέντες τὸν ὑπὸ τῶν κανόνων καθῃρημένον κατὰ δύο αἰτίας, ἠθώωσαν, λύσαντες τοῦ ἱερουργεῖν ; Σύνοδος τοίνυν, δέσποτα, οὐ τὸ ἁπλῶς συνάγεσθαι ἱεράρχας τε καὶ ἱερεῖς, κἂν πολλοὶ ὦσι. Κρείσσων γὰρ, φησὶ, εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου, ἢ μυρίοι παραβαίνοντες · ἀλλὰ τὸ ἐν ὀνόματι Κυρίου, ἐν τῇ εἰρήνῃ καὶ φυλακῇ τῶν κανόνων · καὶ τὸ δεσμεῖν καὶ λύειν οὐχ ὡς ἔτυχεν, ἀλλ' ὡς δοκεῖ τῇ ἀληθείᾳ, καὶ τῷ κανόνι, καὶ τῷ γνώμονι τῆς ἀκριβείας. Ἢ δείξωσιν οἱ συνελθόντες τοῦτο πεποιηκότες · καὶ ἡμεῖς σὺν αὐτοῖς · ἢ οὐ δεικνύουσιν, ἐκβαλέτωσαν τὸν ἀνάξιον, ἵνα μὴ εἰς κατηγόρημα αὐτοῖς καὶ ταῖς μετέπειτα γενεαῖς παραδοθήσεται · Ὁ λόγος γὰρ ὁ τοῦ Θεοῦ δεδέσθαι φύσιν οὐκ ἔχει · καὶ ἐξουσία τοῖς ἱεράρχαις ἐν οὐδενὶ δέδοται ἐπὶ πάσῃ παραβάσει κανόνος · ἢ μόνον στοιχεῖν τὰ δεδογμένα, καὶ ἕπεσθαι τοῖς προλαβοῦσιν.

Οὐκ οἶδα εἰ μή τι ἀκανόνιστόν ἐστι καὶ παρεωραμένον. Καὶ πρὸς τοῦτο κανὼν τοῦ ἁγίου Βασιλείου, εἰς ἱερέα ὁμωμοκότα ἐπ' ἀληθείᾳ τοῦ ἀρκεῖσθαι μόνον ᾗ οἰκείᾳ Ἐκκλησίᾳ, καὶ μηδαμοῦ ἄλλῃ προσφέρειν δῶρον. Καὶ πάλιν, τῆς ἐν Καρθαγένῃ, ἐπὶ τῶν χειροτονούντων τοὺς ἐκ τῶν μοναστηρίων ἀποστατοῦντας · τὸ, τοὺς τοιούτους μὴ δεῖν εἰς ἑτέραν Ἐκκλησίαν παρ' ἣν κατέχει ἕκαστος ἐπισκοπὴν, ἱερουργεῖν · τοὺς δὲ χειροτονηθέντας εἶναι καθῃρη · μένους, Εἰ τοίνυν ἐπὶ τούτων τῶν ψιλῶν, καὶ τοῖς πολλοῖς οὐδὲ δοκούντων τι εἶναι ἐφάμαρτον, οὐκ ἀνεκδίκητα τὰ κρίματα καὶ τὰ τοῦ Θεοῦ δικαιώματα · πόσῳ γε μᾶλλον ἐπὶ τοῦ παρόντος ; Οὐκ ἔστιν οὖν, οὐκ ἔστιν, ὦ δέσποτα, οὔτε τὴν καθ' ἡμᾶς Ἐκκλησίαν, οὔτε ἑτέραν, παρὰ τοὺς κειμένους νόμους καὶ

A loco, sed in ipsa Ecclesia catholica, tanquam egregium exemplum sacerdotibus propositus.

Quænam vero nobis Valentiniani ethnica bigamia? et quis propterea quod illum coronarit, sanctus prædicatur, et non injustus? si tamen coronatus ille fuit. Et quis e sanctis, qui tunc vivebant Patribus, sancte fecisse Valentinianum prodidit, cum duas uxores duxit; atque ita fieri deinceps oportere? Multi ergo et alii, quandoquidem velle ipsis lex est, non divina, sed humana et reprehendenda id fecerunt, facientque fortasse, quandiu res stabunt. Sed Dei Ecclesia illæsa permansit, tametsi multis impetita telis : et portæ inferi prævalere adversus eam non potuerunt : nec præter statutos canones ac leges agere aut dicere quidquam sustinet, quamvis multi persæpe pastores insanierint : B quippe qui etiam synodos magnas ac frequentissimas coegerunt, et Ecclesiam Dei seipsos nuncuparunt, et pro canonibus in specie solliciti fuerunt, cum adversus canones revera concitati fuerunt. Quid ergo mirum si nunc quoque quindecim forsitan episcopi, congregati, hominem per canones duplici ex causa depositum, innocentem declararunt, absolveruntque, ut sacerdotio fungatur? Synodum ergo facit, Domine, non simpliciter congregari episcopos et sacerdotes, quamvis multi sint. Melior enim unus, ait, faciens voluntatem Domini, quam mille prævaricatores [66] : sed in nomine Domini, in pacem et observationem canonum, et ad ligandum solvendumque non quomodolibet, sed ut veritati congruit et canoni regulæque exactæ discussionis. Aut pro- C babunt se hoc fecisse, qui convenerunt, et nos cum eis adhæremus, aut si non probabunt, ejiciant indignum, ne vitio ipsis vertatur, imputeturque etiam apud posteros. *Verbum Dei*, inquit, *tale non est ut alligari queat* [67] : et potestas episcopis nullatenus data est, ut canonem ullum transgrediantur : sed tantum ut decreta sequantur, hæreantque in prioribus.

Nescio an aliquid sit, de quo canon nullus editus sit, quodque neglectum fuerit. Exstat sancti Basilii canon [68] de presbytero, qui jurarat se propria Ecclesia contentum fore, neque in alia munus oblaturum. Et rursus synodi Carthaginensis [69], de iis qui ordinant eos qui deserunt monasteria : non debere tales sacrificare in alia Ecclesia, præterquam D in ea, in qua habent singuli præfecturam : deponi autem eos qui ordinati sunt. Si ergo in his parvis, et quæ vulgo nihil æstimantur, qui peccarunt, non inulti abibant divino judicio : quanto minus in re præsenti! Non licet igitur, domine, non licet nec Ecclesiæ nostræ, nec alteri ulli, quidquam præter statutas leges et canones committere : quoniam, si hoc detur, inane est Evangelium, incassum canones,

[66] Eccli. xvi, 3. [67] II Tim. ii, 9. [68] Can. 10. [69] Cod. Eccles. African. can. 75.

NOTÆ.

(22) Συνόδους μεγάλας. Trullanam hic notari synodum censet Baronius. Hanc tamen Theodorus in epist. 27 laudat et sanctam appellat. Fortasse synodum Tyriam aliasque adversus Athanasium coactas intelligit.

Unusquisque episcopatus sui tempore, quando ipsi integrum est cum suis quodlibet facere, novus erit evangelista, alius apostolus, alius legislator: sed absit! Mandatum enim habemus ab ipso Apostolo [70], præter id quod accepimus, præter id quod canones sanciunt synodorum universalium et localium, quæ diversis temporibus fuerint, si quis dogmatizet, aut facere aliquid nos jubeat, recipiendum non esse, nec censendum illum in sorte sanctorum: ut omittam male ominosum illud, quod Apostolus imprecatur. A nobis igitur qui extra mundum sumus, aliud nihil debetur, quam ea investigare et facere, ex quibus nos etiam simul extollamur, et ad æmulationem provocemur. Et si quidem in his vita duretur, recte habebit; sin minus, expedire exsules et extorres totum orbem circumire cum omni afflictione et angustia. Adjuvet ergo nos, quoad potest, Deo chara anima tua, et divinorum æmulatrix.

κανόνας ποιεῖν τι. Ἐπεὶ εἰ τοῦτο δοθείη, κενὸν τὸ Εὐαγγέλιον, εἰκῇ οἱ κανόνες· καὶ ἕκαστος κατὰ τὸν καιρὸν τῆς οἰκείας ἀρχιερωσύνης, ἐπειδὴ ἔξεστιν αὐτῷ ὡς δοκεῖ μετὰ τῶν σὺν αὐτῷ πράσσειν, ἔστω νέος εὐαγγελιστὴς, ἄλλος ἀπόστολος, ἕτερος νομοθέτης. Ἀλλ' οὐδομῶς. Παραγγελίαν γὰρ ἔχομεν ἐξ αὐτοῦ τοῦ ἀποστόλου, παρ' ὃ παρελάβομεν, παρ' ὃ οἱ κανόνες τῶν κατὰ καιροὺς σσνόδων καθολικῶν τε καὶ τοπικῶν, ἐάν τις δογματίζῃ, ἢ προστάσσῃ ποιεῖν ἡμᾶς, ἀπαράδεκτον αὐτὸν ἔχειν, μηδὲ λογίζεσθαι αὐτὸν ἐν κλήρῳ ἁγίων· καὶ τὸ δύσφημον παρῆμεν λέγειν ὃ ταὐτὸς εἴρηκεν. Ἡμῖν οὖν τοῖς ἔξω κόσμου, οὐδὲν ἄλλο ὀφείλεται, ἢ τὸ τὰ τοιαῦτα ζητεῖν καὶ πράσσειν, ἐξ ὧν καὶ ἡμῖν τὸ συνεπαίρεσθαι καὶ ζηλοῦν. Καὶ εἰ μὲν ἐν τούτοις ἡ ζωὴ, εὖ ἂν ἔχοι. Εἰ δὲ μὴ, συμφέρον εἶναι καὶ ἀοίκους καὶ ἀνεστίους, καὶ τὴν ὑπ' οὐρανὸν περιέρχεσθαι μετὰ πάσης θλίψεως καὶ στενοχωρίας. Βοηθησάτω τοίνυν τὰ κατὰ δύναμιν ἡ θεοφιλής σου ψυχὴ, καὶ ζηλοτυποῦσα τὰ θεῖα.

XXV. — *Nicephoro patriarchæ.*

ΚΕ'. — Νικηφόρῳ πατριάρχῃ. [μθ'.]

Probat se schismaticum non esse. (Baron, an. 808, n. 22.)

Tanquam velo quodam utentes tenui epistola nostra, angeli beatitudinis tuæ reverentia, humiles sistimus nos ipsos sacratissimo ejus culmini, necessitate cogente. Jam enim renuntiatum nobis est a Joanne conservo et discipulo nostro, quemadmodum ad venerandam tui adorationem admissus, aliena quædam, nobisque abominanda, ex ea audierit. Aposchistæ [schismatici], inquit, vos estis ab Ecclesia. Qui ergo poterat, o beatissime, merito anima nostra ob hanc causam non contristari? quomodo non respondere sanctitati tuæ, nec silentio accusationem confirmare? Ego vero ante responsionem cum reverentia hoc repræsento; non oportere cuilibet aures temere dare, qui aliquid velit contra quempiam loqui. Neque sane sine judicio oportet animadvertere in eum qui accusatur. Non enim *lex* vestra, inquit, *judicat hominem, nisi prius audierit ab ipso, et cognoverit quid faciet* [71]? Sic et beatitudo tua cum triste istud et acerbum de parvitate nostra audiisset. Quodnam enim malum gravius esse queat, quam ut ab Ecclesia separeris, et archipastorem ovis amittat, sive compastorem? Est enim etiam nobis peccatoribus, quamvis immerito et unctio a Deo et nomen pastoris, dicere audeo, ad ferendum, discutiendum, arguendum, qua privatim, qua publice, juxta traditam a Domino, inter te et ipsum solum, aut inter duos, disciplinam: atque ita si persisteret, sicut ipse ait, sit tibi tanquam ethnicus et publicanus [72]. Nos vero hactenus, neque per internuntium, neque coram, tale quidquam a sancta anima tua, vel audivimus, vel moniti fuimus, ut sic inferretur condemnatio. Consideret perfectio tua, non jure molestum id filiis tuis acciderit?

Παραπετάσματί τινι χρώμενοι τῷ εὐτελεῖ ἡμῶν γραμματίῳ, αἰδοῖ τοῦ ἀγγέλου τῆς μακαριότητός σου, ἐμφανίζομεν ἑαυτοὺς οἱ ταπεινοὶ τῇ ἱερωτάτῃ αὐτῆς καρυφῇ κατὰ τὸ ἀναγκαῖον. Ἤδη γὰρ τὸ παρὸν ἀπήγγειλεν ἡμῖν Ἰωάννης ὁ σύνδουλος καὶ μαθητὴς ἡμῶν, ὡς ἀξιωθεὶς τῆς σεπτῆς σου προσκυνήσεως, ἀκήκοε παρ' αὐτῆς ξένα τινὰ καὶ ἀπευκταῖα. Ἀποσχισταὶ γὰρ, φησὶν, ἐστὲ τῆς Ἐκκλησίας. Πόσον οὖν ἐπὶ τούτοις, ὦ μακαριώτατε, οὐκ εἰκότως ἦν ἡμῶν διατεθῆναι τὴν ψυχὴν λυπηρῶς; πῶς δὲ οὐκ ἐκλαλῆσαι ἀπολογητικῶς τῇ ἁγιωσύνῃ σου, καὶ μὴ τῇ σιωπῇ κυρῶσαι τὴν κατηγορίαν; Ἐγὼ δὲ πρὸ τῆς ἀπολογίας, ἐκεῖνο μετ' αἰδοῦς προσαναφέρω, ὅτι οὐχ ὡς ἔτυχε δεῖ τα ὦτα ἀνοίγειν παντὶ τῷ βουλομένῳ κατά τινός τι λέγειν, οὐδ' οὐ μὴν ἀποφαίνειν ἀκρίτως εἰς νὸ διαβληθὲν πρόσωπον. Μὴ γὰρ ὁ νόμος ὑμῶν, φησὶ, κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ; Ὥστε ἀκουσάσης τῆς μακαριότητός σου τοῦτο τὸ δύσφορον καὶ ἐλεεινὸν περὶ τῆς εὐτελείας ἡμῶν. Τί γὰρ μεῖζον κακὸν τοῦ τῆς Ἐκκλησίας χωρισμοῦ, καὶ τοῦ τὸν ἀρχιποίμενα τὸ πρόβατον ἀπολέσαι, εἶδ' οὖν τὸν συμποίμενα; ἔστι γὰρ εἰ καὶ ἀναξίως καὶ ἡμῖν εοῖς ἁμαρτωλοῖς χρίσμα καὶ ὄνομα παρὰ Θεοῦ ποιμένος, τολμῶ λέγειν, ἐνεγκεῖν, ἀνακρῖναι, νουθετῆσαι, πῇ μὲν ἰδίᾳ, πῇ δὲ δημοσίᾳ, κατὰ τὴν ὑπὸ τοῦ Κυρίου ὑπαγορευομένην μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, ἢ μετὰ δύο, διδασκαλίαν· καὶ εἶθ' οὕτως τῇ ἐπιμονῇ, ὡς αὐτός φησιν, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ἡμεῖς δὲ μέχρι τοῦ δεῦρο οὔτε δι' ἀποστόλου, οὔτε αὐτοψεί τι τοιοῦτον πρὸς τῆς ἁγίας σου ψυχῆς, ἀλλ' οὔτε ἀκηκόαμεν, οὔτε νενουθετήμθα· καὶ οὕτως τὸ ἐνεγκεῖν ἀπόφασιν. Σκοπησάτω ἡ τελειότης σου, εἰ οὐκ ἀξίως λυπηρὸν γεγένηται τοῖς τέκνοις σου.

[70] Galat. II, 8. [71] Joan. VII, 51. [72] Matth. XVIII, 15.

Ἤμεν δὲ ἐπ' αὐτῆς τῆς ἀπολογίας [*al.* Ἴωμεν δὲ ἐπ' αὐτὴν τὴν ἀπολ.], Θεῷ τε τῷ παντεφόρῳ, καὶ τῇ ἀρχιερωσύνῃ σου ποιούμενοι τὸν λόγον. Οὐκ ἐσμὲν ἀποσχισταὶ, ὦ ἁγία κεφαλὴ, τῆς τοῦ Θεοῦ Ἐκκλησίας· μήποτε τοῦτο παθοιμεν. Ἀλλ' εἰ καὶ ἄλλως ἐκ πολλοῖς ἁμαρτήμασιν ὑπάρχομεν, πλὴν ὀρθόδοξοι καὶ τῆς καθολικῆς Ἐκκλησίας τρόφιμοι, πᾶσαν αἵρεσιν ἀποβαλλόμενοι, καὶ πᾶσαν καθολικὴν καὶ τοπικὴν σύνοδον ἐγκεκριμένην ἀπόδεχόμενοι· οὐ μὴν ἀλλὰ καὶ τὰς παρ' αὐτῶν ἐκφωνηθείσας κανονικὰς διατυπώσεις. Μηδὲ γὰρ τέλειον εἶναι ὀρθόδοξον, ἀλλ' ἐξ ἡμισείας, τὸν τὴν πίστιν ὀρθὴν οἰόμενον ἔχειν, τοῖς δὲ θείοις κανόσι μὴ ἀπευθυνόμενον. Καὶ τὴν μακαριότητά σου, ἡνίκα προσεβλήθη, ἀπεδεξάμεθα, κατὰ εἰς ἐπήκοον αὐτῆς ἀπελογησάμεθα. Καὶ ἐκ τότε καὶ μέχρι τοῦ δεῦρο ἐν τῇ μυσταγωγίᾳ ὡς καθήκει ἀναφέρομεν· καὶ ὡς μάρτυς Θεός, εἰ κατ' αὐτὴν τὴν ἡμέραν ἐζήτησε κοινωνῆσαι ἡμᾶς συνεκοινωνοῦμεν ἂν αὐτῇ μηδὲν διακρινόμενοι· ἐπεὶ καὶ ποθητὴ ἡμῖν ἐξ ἀρχῆς. Οὗ χάριν δὲ τὸ θρυλλούμενον, διὰ τὸν οἰκονόμον, ὃν καθῆρεν αὐτὴ ἡ ἀλήθεια, πολλοῖς κανόσιν ὑποπεσόντα· ἐπειδὴ καὶ πρὸ τῆς ἐμφανοῦς μοιχείας, μοιχεύοντι τῷ προβεβασιλευκότι ἐν διαφόροις προσώποις, οὐ μόνον ἦν λειτουργῶν, καὶ μεταδιδοὺς, καὶ συνεστιώμενος, ἀλλὰ καὶ τὴν μερίδα μετ' αὐτοῦ τιθέμενος, ἐξ οὗ καὶ πρὸς τὴν ἀναφανδὸν ἀσέλγειαν πρόθυμος γέγονε· καταφρονήσας Θεοῦ καὶ τῶν θείων κριμάτων. Καὶ ἵνα ἐκδηλότερον εἴῃ τὸ λεγόμενον· οὐ πρὸς διδαχὴν, ἄπαγε· ἀλλ' ἢ μόνον πρὸς ὑπόμνησιν, αὐτὴν, εἰ κελεύει, τὴν κατὰ τὴν στεφανικὴν συνάφειαν, ἱερὰν μυσταγωγίαν ἀναλήψεται, καὶ κατίδοι πόσον ἐστὶν ἐνταῦθα ὑπολαβεῖν τὸν παροξυσμὸν τοῦ ἁγίου Πνεύματος ἐν ταῖς τοιαύταις ἐναντιολογίαις. Πάντως γὰρ ὅσα ὁ ἱερεὺς ὑποφαίνει, ταῦτα καὶ Θεὸς κυροῦν ἐπαγγέλλεται, κατὰ τὸν μέγαν Διονύσιον. Ἀλλὰ διὰ τοῦτο δεόμεθά σου τῆς τελειότητος, τὸν ὑπὸ τῶν κανόνων καθῃρημένον, καὶ ὑπὸ τοῦ προηγησαμένου τὴν ἁγιωσύνην σου εἰρχθέντα ὅλοις ἐννέα ἔτεσι, παῦσαι τῆς ἱερουργίας, παραλόγως εἰσελθόντα.

Ἄρτι γὰρ τὸ ταπεινὸν στόμα ἡμῶν ἠνοίξαμεν, ἡνίκα ἐνεκλήθημεν. Ὁπηνίκα γὰρ ἐγεγόνει ἡ συνέλευσις ἐκείνη ἡ μικρὰ, καὶ οὐκ οἶδ' ὁποία εἰπεῖν· ἐκ τῆς φυλακῆς ἦμην κατ' αὐτὸ ἐξεληλυθώς. Καὶ ἐπεὶ ἐώρων τούτους συνηθροισμένους τοὺς καὶ πρότερον τὴν μοιχείαν καταδεξαμένους, καὶ τὸν μοιχοζεύκτην ἀσπαζομένους· ἐμνήσθην τοῦ προφητικοῦ ἐκείνου, ὅτι Ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστιν. Ἀλλ' ἐπεὶ ὁ αὐτὸς λέγει. Ἐσιώπησα· μὴ καὶ ἀεὶ σιωπήσομαι; διὰ τοῦτο ἐν καιρῷ εὐθέτῳ συκοφαντηθεὶς ἀνήνεγκα τὰ παριστάμενα· ἐπεὶ τὸ ὅσον ἐν ἐμοὶ, παντὶ τρόπῳ ἐφυλαξάμην ἐν τοῖς δυσὶν ἔτεσι τούτοις, μὴ εἰς προύπτον ἐκβῆναι τὴν ὑπόθεσιν· ἐκεῖνο ἐν ἐμαυτῷ λέγων, ὅτι, ἐπεὶ οὐκ εἰμὶ ἐπισκόπου ἔχων ἀξίωμα δυνάμενος ἐλέγχειν· ἀρκετὸν μοι ἡ οἰκεία φυλακὴ, καὶ τὸ μὴ μετασχεῖν με τῆς τε ἐκείνου κοινωνίας, καὶ τῶν ἐκείνῳ ἐν γνώσει συλλειτουργούντων, ἕως ἂν ἐκ μέσου γένηται τὸ

A Nunc autem pergimus ad purgationem coram Deo qui omnia cernit, et coram archipræsulatu tuo verba facturi. Non sumus aposchistæ, o sanctum caput, ab Ecclesia Dei : absit ut id unquam nobis eveniat ! Sed quamlibet aliis plurimis peccatis obnoxii teneamur, sumus attamen orthodixi, et Ecclesiæ catholicæ alumni, hæresim omnem repudiantes, omnemque universalem et localem synodum approbatam recipientes ; nec non editas ab illis canonicas constitutiones : neque enim perfectum esse orthodoxum, sed dimidiatum, qui fidem quidem rectam habere videatur, divinis vero canonibus non regatur. Beatitudinem tuam, quando promota fuit, suscepimus, quemadmodum palam ei testati sumus. Et ex eo tempore in hunc usque B diem, in mystagogia commemoramus, ut par est, et, sicut testis est Deus, si illo die communicare nos voluisset, communicassemus plane cum ipsa, nihil discernentes ; cum desideranda nobis fuerit ab initio. De œconomo autem, cujus causa hæc jactantur, quem veritas ipsa deposuit, multis canonibus obnoxium, cum vel ante apertum adulterium, cum mœcharetur in variis personis præcedens imperator, non solum sacrificarit ipse, et communionem impertiverit, et una epulatus sit, sed partem etiam cum eo posuerit : unde et promptus exstitit ad publicam incontinentiam, Deum contemnens et divina judicia. Atque ut manifestius fiat, quod dicitur, non dicendi studio, absit ! sed renovandæ memoriæ gratia, ipsam si placet, quæ, dum coronantur sponsi, usurpatur, mystagogiam C sacram resumat, et perspiciet quantam hinc conjicere liceat Spiritus sancti indignationem in tantis contradictionibus. Omnino enim quæcunque sacerdos pronuntiat, ea impleturum se promittit Deus juxta magnum Dionysium. Propterea ergo rogamus perfectionem tuam, ut depositum a canonibus, et a prædecessore sanctitatis tuæ prohibitum totis novem annis, præter rationem ingressum, cessare jubeas a sacerdotio.

Nunc siquidem humile os nostrum aperuimus, quando vocati fuimus. Cum enim factus est conventus ille parvus, et nescio quo nomine appellem ; ex carcere per idem tempus redieram : cumque viderem eos esse congregatos, qui adulterium antea susceperant, et adulteri copulatorem fuerant D complexi ; venit mihi in mentem illius dicti prophetici : *Sapiens in illo tempore silebit, quoniam tempus malum est* [73]. Sed cum dicat idem : Tacui nunquid semper tacebo [74] ? propterea tempore congruenti, calumnia pressus, hæc tamdem protuli ; quia, quantum in me fuit, omni ratione cavi his duobus annis, ne res in apertum prodiret, illud mecum volvens : quandoquidem episcopi dignitate præditus non essem, ut arguendi habeam potestatem, sufficere si me ipse custodiam, et non participem illius communioni, eorumque qui scientes cum eo sacra faciunt, quoad scandalum de medio

[73] Amos v, 13. [74] Isa. xlii, 14.

tollatur. Hoc igitur oramus et obtestamur, ut persuaderi sibi sinat sancta anima tua, istum hominem coerceri, ne vituperetur inculpabilis sanctitas tua, ne polluatur divinum altare depositi hominis ministerio, ne denique oriantur justæ schismatum occasiones. Vere enim et sincere hoc sciat beatitudo tua, quod nisi hæc ita fiant Deum amantis animæ tuæ nutu, et piissimorum ac triumphatorum imperatorum nostrorum ; zelo siquidem pleni sunt ; de nobis quidem pro mandato pugnantibus quid futurum sit, Deus novit : schisma autem, Deo teste electisque angelis ejus, magnum fiet in Ecclesia nostra. Sed miserere, pastor bone, sed adjuva, perite medice gregem tuum, oves tuas, Ecclesias tuas, sapientiæ tuæ modis, prudentiæ tuæ verbis, remediis artis tuæ : ovem unam exclude a solo sacrificio, et universas lucrare. Et ne unius scabie Ecclesiam infice, quam acquisivit Dominus et Deus noster sanguine suo.

A σκάνδαλον. Τοῦτο τοίνυν παρακαλοῦμεν καὶ δεόμεθα, δυσωπηθῆναί σου τὴν ἁγίαν ψυχὴν παρασταλῆναι τὸν ἄνδρα. Πρὸς τὸ μὴ μωμεῖσθαί σου τὴν ἄληπτον ὁσιότητα· μηδὲ χραίνεσθαι τὸ θεῖον θυσιαστήριον καθ. ηρημένου λειτουργίᾳ· μηδὲ εἶναι αἰτίας εὐλόγους σχισμάτων. Γινωσκέτω γὰρ ἀψευδῶς καὶ ἀκραιφνῶς ἡ μακαριότης σου, ὅτι, εἰ μὴ τοῦτο γένηται νεύσει καὶ τῆς φιλοθέου ψυχῆς καὶ τῶν εὐσεβεστάτων καὶ καλλινίκων ἡμῶν βασιλέων (ζηλωταὶ γάρ εἰσι), τὸ μὲν ἡμέτερον ὅπως ἄν ἔξει ὑπὲρ τῆς ἐντολῆς ἐνισταμένων, Θεῷ ἐγνωσμένον· σχίσμα δὲ μέγα, ὑπὸ μάρτυρι Θεῷ καὶ ἐκλεκτῶν αὐτοῦ ἀγγέλων, γενήσεται ἐν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ. Ἀλλ' ἐλέησον, ὁ ποιμὴν ὁ καλὸς, ἀλλὰ βοήθησον, ὁ ἰατρὸς ὁ ἐπιστήμων, τῇ ποίμνῃ σου, τὰ πρόβατά σου, τὰς Ἐκκλησίας σου, τρόB ποις σοφίας σου, λόγοις συνέσεώς σου, φαρμάκοις ἰατρείας σου· τὸ ἓν πρόβατον ἀπεῖρξαι μόνης τῆς ἱερουργίας, καὶ τὰ ὅλα κερδῆσαι· καὶ μὴ τῇ τοῦ ἑνὸς ψώρᾳ λυμανθῆναι τὴν Ἐκκλησίαν, ἣν περιεποιήσατο ὁ Κύριος καὶ Θεὸς ἡμῶν τῷ οἰκείῳ αἵματι.

XXVI. — *Symeoni præposito.*

ΚϚ'. — Συμεὼν ἡγουμένῳ. [με'.]

De patriarcha Nicephoro et Simone monacho querela. (Baron. an. 808, n. 20.)

Dignam sancta Deoque plena anima tua epistolam nobis exaravit honoranda paternitas tua, simul benevolum erga nos peccatores affectum suum declarans, simulque parem ostendens idemque sentientem circa divina mandata concordiam, quinetiam potiora edocens, et adnitens pariter adversus proC posita certamina intrepide obsistere, et ad inanes heterodoxorum vaniloquorumque voces nulla tenus concuti. Ac reipsa factæ nobis sunt venerandæ litteræ tuæ incitamenta fortitudinis, et vallum virtutis ; ita ut gloriam bono Domino nostro reddiderimus, qui humilem ætatem nostram non penitus dereliquit, sed vitales scintillas præbuit iis qui ad bona pietatis opera cupiunt reviviscere. Ad hunc modum hæc se habent. Impense precamur nos peccatores, ut sanctitatis tuæ vita perseveret, ad exemplum salutis, tum nobis, tum aliis quibuscunque volentibus. Omnino enim qui canones pervertunt, et regulas depravant, rectitudinem in iis, qui recte explicant doctrinam veritatis, minime vident : sed et risum edunt, et probra ingerunt. Quid autem aliud, D quam quod hinc magis confirmamur, futilitatem istorum et instabilitatem non ignorantes ? A quibus quod excelsa mens tua non capitur, laude dignum est et nobis multum optabile. Scire autem cupit quid novi acciderit in præsenti negotio. Nos vero dicere nihil possumus, eo quod imperatores in castris nunc versantur. De patriarcha enim quid attinet loqui ? qui neque dat responsa, neque vult alios audire, in omnibus Cæsari inserviens. At Dominus Simeon bilinguis est, nunc quidem sic, nunc aliter varians : nisi quod iterum sermonem contulimus, veritatemque minime dissimulavimus. Ac flectitur quidem aliquantulum : nihilominus idem manet, ea quæ principibus grata sunt quærens et sentiens. Cum

Ἀξίαν τῆς ἡγιασμένης καὶ θεοφόρου σου ψυχῆς ἐχάραξεν ἡμῖν τὴν ἐπιστολὴν ἡ τίμια σου πατρότης. ὁμοῦ μὲν σημαίνουσαν τὴν ἀγαπητικὴν πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς διάθεσιν· ὁμοῦ δὲ δηλοῦσαν τὴν ἰσόῤῥοπον καὶ ταυτόγνωμον τὴν περὶ τῶν θείων ἐντολῶν συμφωνίαν, καὶ μὴν ἐκδιδάσκουσαν τὰ κρείττονα, καὶ συμπροθυμοῦσαν εἰς τοὺς προκειμένους ἀγῶνας ἀκλονητὶ ἐνίστασθαι, καὶ μηδαμόθεν τῇ τῶν ἑτεροδόξων καὶ εἰκαιολόγων ἀνατρέπεσθαι κενοφωνίᾳ. Καὶ γέγονεν ἡμῖν τὸ τίμιόν σου γράμμα ὡς ἀληθῶς ἐμψύχωμα ἀνδρείας, καὶ χαράκωμα δυνάμεως· ὡς δοξάσαι ἡμᾶς τὸν ἀγαθὸν ἡμῶν Κύριον, τὸν μὴ τελείως τὴν ταπεινὴν ἡμῶν γενεὰν ἐγκαταλιπόντα, ἀλλὰ δόντα σπινθῆρας ζωτικοὺς τοῖς ἐθέλουσιν ἀναζωπυρεῖσθαι πρὸς τὴν τῆς εὐσεβείας ἀγαθοεργίαν. Ἔχτι μὲν οὕτω ταῦτα. Καὶ εὐχὴν εὐχόμεθα ὡς ἁμαρτωλοὶ, ἐπιμένειν σου τὴν τῆς ἁγιωσύνης ζωὴν εἰς σωτηρίας ὑπόδειγμα, ἡμῖν τε καὶ οἱστισιν ἄλλοις βουλομένοις. Οὐ γὰρ πάντως οἱ τοὺς κανόνας στρεβλοῦντες, καὶ τοὺς γνώμονας σκελίζοντες, εὐθύτητα βλέπουσιν ἐν τοῖς ὀρθοτομοῦσι τὸν λόγον τῆς ἀληθείας· ἀλλὰ καὶ γέλωτα ἀνάπτουσι, καὶ ὀνειδισμοὺς προσάπτουσι. Καὶ τί ἄλλο, ἢ τὸ ἐντεῦθεν μᾶλλον στερεοῦσθαι ἡμᾶς, μανθάνοντας τὸ σαθρὸν καὶ ἐπισφαλὲς τῶν τοιούτων ; Ὑφ' ὧν ὅτι ἡ σὴ ὑψηλὴ διάνοια οὐχ ἁλίσκεται, ἀξιάγαστον καὶ ἡμῖν πολύευκτον. Ζητεῖ δὲ μαθεῖν ὅ τι γέγονε καινότερον πρὸς τὴν ἐνισταμένην ὑπόθεσιν· καὶ οὐκ ἔχομεν λέγειν διὰ τὸ τοὺς κρατοῦντας τὸ νῦν φοσσατεύειν· Πρὸς γὰρ τὸν ἀρχιερέα τί δεῖ καὶ λέγειν, μήτε λόγον διαπέμψαντα, μήτε ἐθέλοντα ἀκοὴν παραδέξασθαι, ταμιευόμενον πάντα Καίσαρις ; Ὁ γὰρ κύριος Συμεὼν ἀμφοτερόγλωσσος· πῇ μὲν οὕτως, πῇ δὲ ἄλλως μεταβαλλόμενος· πλὴν ὅτι ἀεὶ πάλιν συνήραμεν λόγον, καὶ οὐχ ὑφήκαμεν τῆς ἀληθείας. Καὶ μικρὸν μὲν μαλάσσε-

ται · μένει δὲ ὁ αὐτὸς, ἐκεῖνα φρονῶν καὶ ζητῶν, ἃ ἐφετὰ πάντως τοῖς κρατοῦσιν. Ἐν δὲ τῷ ἐξέρχεσθαι τὸν εὐσεβῆ ἡμῶν δεσπότην πάλιν γεγράφαμεν, ἐκζητήσαντος αὐτοῦ τοῦτο · καὶ ὅμως οὐκ ἠθέλησεν ἡμᾶς εἰς ὄψιν αὐτοῦ ἐλθεῖν. Μένομεν δὲ ἡμεῖς οἱ ἁμαρτωλοὶ, εἴπερ γρηγορεῖ ἡ εὐχὴ ἡμῶν, ὡσαύτως, μὴ βουλόμενοι πριδοῦναι τὴν ἀλήθειαν, μηδὲ μετασχεῖν τῆς κοινωνίας αὐτῶν · κἂν ἐξορία πρόκειται, κἂν ξίφος στιλβοῦται, κἂν πῦρ ἀνάπτηται. Ἀλλ' οὐκ ἂν τοῦτο δυνηθείημεν, ἀνάξιοι τυγχάνοντες τοῦ καὶ ὀνομάζεσθαι μόνον μοναχοί · εἰ μὴ προσχὼν Κύριος ταῖς ὑμετέραις ἱεραῖς προσευχαῖς δυναμώσειε τὸ ἡμῶν ἀσθενὲς καὶ σαρθόν. Διὸ γρηγορεῖσε, Πατέρες ἅγιοι, εἰς αὐτὸ τοῦτο, ὑμέτερον ἡγούμενοι, ὅπερ καὶ ἔστι, τὸ κοινωφελὲς πρόβλημα. Θεοῦ δὲ κελεύσει ἐξερχόμενος ὁ αἰδεσιμώτατος ἀδελφὸς ἡμῶν, καὶ οἰκονόμος τῆς ἁγίας ὑμῶν μονῆς ἀγάπῃ τῇ ἁγιωσύνῃ σου ἀντίγραφα τῶν διαπεμφθεισῶν ἐπιστολῶν πρὸς ἑκάτερα πρόσωπα · ἵνα κἀντεῦθεν ἐναργέστερον μανθάνουσα τὰ καθ' ἡμᾶς, τὸ μὲν βοηθῇ γράμμασι, τὸ δὲ ἐπικουρῇ ἱκετηρίαις. Καὶ ἄλλον δέ τινα παρεθέμεθα τῷ ἀδελφῷ λόγον · καὶτὸν πάντως ἀναγγελεῖ καὶ ἀποδώσει, ὁπηνίκα φθάσει ἰδεῖν τὸν τίμιόν σου χαρακτῆρα. Προσαγορεύει σὺν ἡμῖν καὶ ὁ ἀρχιεπίσκοπος, ὁ Καλόγηρος, καὶ ὁ ἀββᾶς Λεόντιος, καὶ ἡ λοιπὴ ἡμῶν ἀδελφότης. Τὴν ἁγίαν σου συνοδίαν προσειπεῖν ἐξ ἡμῶν καταξίωσον.

A autem proficisceretur pius Dominus noster, iterum scripsimus, ipso sic volente : nos vero in conspectum suum venire noluit Cæterum nos peccatores, eodem in statu, siquidem vigilant preces vestræ, persistimus, nolentes prodere veritatem, nec participes illorum communionis esse ; etiamsi impendeat exsilium, licet fulgeat, gladius, licet ignis accendatur. Sed hoc prætare haud quaquam possimus ; cum vel solo monachi nomine simus indigni ; nisi sacras preces vestras attendens Dominus, imbecillitatem nostram fragilitatemque corroboret. Quocirca in hoc ipsum vigitate, Patres sancti, vestrarum partium esse ducentes, sicut reipsa est, communem utilitatem propugnare. Deo autem annuente proficiscens reverendissimus frater noster, et œconomus sancti monasterii vestri, missarum ad utramque B personam epistolarum exemplaria deferet sanctitati tuæ ; ut ex his res nostras dilucidius cognoscens, partim litteris adjuvet, partim procibus succurrat. Alia quædam præterea fratri commisimus quæ laud dubie nuntiabit et exponet, cum ei venerandam faciem tuam videre contigerit. Salutat nobiscum etiam archiepiscopus, Calogerus, et abbas Leontius, et cæteri fratres nostri. Sanctæ congregationi tuæ salutem a nobis dicere digneris.

ΚΖ'. — Νικήτᾳ πατρικίῳ. [μς'.]

XXVII. — *Nicetæ patricio.*

Cur comam suis præciderit : id juxta canones fieri.

Τοὺς μὲν ἄλλους τυχὸν χάρις ἀνθρωπίνη ἀναβιβάζειν πέφυκεν ἐπὶ τὸ ὕψος τῶν ἀξιωμάτων. Σὲ δὲ τῶν εὐσεβέστατον καὶ παμπόθητον ἡμῶν δεσπότην, ἀρετὴ ὡς ἀληθῶς, καὶ οὐ χάρις τις, ἀνήγαγεν ἐν τῷ μεγέθει τοῦ ἀξιώματος, οὐ μὲν οὖν κατά τινα χρόνον, καὶ ἐν μιᾷ ἐξουσίᾳ · ἀλλὰ διὰ παντὸς καὶ ἐν πολλαῖς · ὥσπερ τινὰ χρυσὸν μεταχειριζομένη, καὶ εἰς πάντα ὁντινοῦν κόσμον τῇ εὐσεβεῖ ἡμῶν βασιλείᾳ προβαλλομένη. Καὶ τὰ πράγματα δῆλα, κἂν ἡμεῖς μὴ λέγωμεν. Ὥστε καὶ τὸ νῦν ἀξιολόγως οἱ Χριστομίμητοι ἡμῶν βασιλεῖς, ἀντιπρόσωπον τῆς ἑαυτῶν καλοκαγαθίας ἔθεσάν σε ἐν ταύταις ταῖς ἡμέραις τῇδε τῇ βασιλευούσῃ πόλει. Αὕτη ἐστὶν ὑπὲρ τῆς πεμφθείσης προσηγορίας παρὰ τῆς εὐσεβείας σου τὸ νῦν διὰ τοῦ γραμματηφόρου ἀντιπροσφώνησις. Καί γε Κύριος ὁ Θεὸς ἡμῶν διαφυλάξειέ σε ἀπήμονα ψυχῇ τε καὶ σώματι πρὸς τὸ ἐξῆς, ἐν τῷ ἄρχειν τε καὶ ἐξουσιάζειν · ὡς ἂν ὑπῦ Θεοῦ σοι δι' αὐτῶν τῶν πραγμάτων μεμαρτύρηται ἡ ἐξουσία δεδόσθαι. Ἐπειδὴ δὲ φειδοῖ τῆς ταπεινώσεως ἡμῶν (οὕτω γὰρ πιστεύομεν, καὶ οὐκ ἄλλως), διελέχθη σου ἡ εὐσέβεια τῷ ἀδελφῷ, περὶ τῆς ὑποθέσεως τῶν τριχῶν τοῦτο καὶ ἐκεῖνο ποιησάντων ἡμῶν · καὶ ὡς δέον καὶ καιρὸν σκοπεῖσθαι, καὶ κανονικῶς πράττειν, καὶ ἐν τοῖς οἰκείοις ὅροις μένειν · ἐπειδὴ καὶ πατριάρχης προκαθεζόμενος ὧδε · τάληθῆ ἀπολογούμεθα. Πρότερον ἀπευχαριστοῦντες αὐτῇ · ὅτι πονοῦσά ἐστι καὶ κηδομένη τῶν καθ' ἡμᾶς. Καὶ δέον. Ἰδίωμα γὰρ αὐτὸ τοῦτο,

C Alios quidem fortasse gratia hominum promovere solet ad culmen dignitatem ; te vero pilsimum ac desideratissimum Dominum nostrum non gratia ulla, sed revera virtus ad amplissimos honores evexit, non utique ad tempus aliquod, neque in una potestate ; sed perpetuo, et in multis, sumens te in manus quasi aurum quoddam, et ad omnem cujusquemodi ornatum pio imperio nostro proponens. Manifestæ sunt res ipsæ, etiam tacentibus nobis. Quapropter præclare nunc etiam Christum imitati imperatores nostri, eximiæ suæ probitatis æmulam statuerunt te his diebus regiæ hujc civitati. Hæc pro transmissa nunc a pietate tua per tabellarium salutatione resalutatio. Et quidem custodiat te in posterum Dominus Deus noster anima et corpore D incolumem in administratione imperii et potestatis : ut res ipsæ testimonio sint, potestatem a Deo datam fuisse. Quoniam autem in humilitatis nostræ gratiam, sic enim credimus, et non aliter, pietas tua cum fratre nostro collocuta est, nos, in eo quod ad capillos attinet, hoc et illud egisse ; et quod oporteat tempus considerare, et secundum canones agere, atque intra proprios limites consistere, cum istic patriarcha præsideat ; vera respondemus : gratias prius agentes tuæ pietati, quod rebus nostris studium et curam impendat. Et decet. Hoc enim ipsum summæ illius quam prædicamus bonitatis tuæ proprium est ejusque argumentum. Ac fortasse propter

propinquitatem peculiaris quidam præ cæteris affectus esse debet.

Leges ergo divinæ sunt, domine, et canones quibus ducitur quisquis pietatem colit, quibus nec addi quidquam fas est, nec detrahi. Hi nos etiam, millies licet erremus, et aliis in rebus, et in hac capillatorum causa, inhibent. Et quemadmodum potentia tua piorum Dominorum nostrorum statuta observare studet, nunc incidentia referens, nunc imperata exsequens, includensque et eliminans, et quæcunque alia contingunt nullius reverita personam neque parvam neque magnam : quod enim semel audivit, et imperatum est, implere festinat ; cum periculum sit non leve, paululum differre; sic ergo, ac multo magis, nobis qui sacerdotio fungimur, majus et damnosius est periculum, non omnia explere, quæ a rege universorum Deo per sacros canones et divinos Patres sancita sunt. Quod vero præceptum sit divinum, primo quidem declarat Apostolus [75] ; deinde Constitutiones [76] : tum Chrysostomus [77], astruens peccatum in confesso esse, si vir comam alat : demum sanctæ Synodi sextæ canon [78] excommunicationem iis qui non obtemperant indicens: quem una misimus ut hoc audito cognoscat nos peccatores extra canones nihil agere. Neque nos canonis hujus compotes nunc primum facti sumus, sed, dudum : idque perspectum fuit præcedenti etiam patriarchæ. Nam et congruenter nobis locutus est, non increpans; qui enim poterat exstante canone ? sed approbans, et canonis etiam mentionem a me factam esse dicens : quanquam auditi non sumus. Verum de dispensatione quidem haud satis exacte apud ipsum disserebamus. Nos vero hactenus in hunc modum transegimus, non publice verba facientes ; quia episcopi non sumus : sed in propria Ecclesia excubantes, quia sacerdotio fungimur, ac nefas est corpus et sanguinem Domini nostri Jesu Christi prodere iis qui manifeste obstricti sunt peccato : et quisquis ille sit, non novi, nisi emendationem promittat. Enimvero multis et indulsimus et indulgemus ad unam usque et alteram commonitionem vel etiam tertiam : quod autem amplius, negligentia, et canonum contemptio est, vel Dei potius a quo conditi sunt. Hæc est defensio nostra, Domine, apud illustrem excellentiam tuam; quam precamur, ut quocunque fama pervascrit, tanquam precamur, ut quocunque fama pervaserit, receptura est, convenientia suggerat. Quod enim manu nostra quidquam hic alicui fecerimus, rediculum est vel credi ab ullo qui sapiat. Nullo modo. Sed quodcunque egimus, id cum omni obtestatione omnique recipientium approbatione gestum est, tum et crinium amputatio in ils qui propemodum cingulo tenus comati erant, tanquam socordiæ dediti; ne videamur vel tantillum a canone recedere utque hinc fortasse aliqua fiat ad meliora instaura-

A καὶ μαρτυρία τῆς ἥσπερ ἀναγγέλλομέν σου καλοκαγαθίας · τάχα δὲ καὶ διὰ τὴν ἀγχιστείαν ὀφείλει τις εἶναι ἰδικωτέρα παρὰ τοὺς ἄλλους διάθεσις.

Νόμοι τοιγαροῦν, ὦ δέσποτα, θεῖοι, καὶ κανόνες εἰσὶν οἱ ἄγοντες πάντα τὸν εὐσεβοῦντα · παρ' οἷς οὐκ ἔστιν οὔτε πρόσθεσιν, οὔτε ὕφεσιν ποιεῖσθαι. Αὐτοὶ καὶ ἡμᾶς τοὺς ταπεινοὺς, εἰ καὶ μυριάκις σφαλλόμεθα, πρὸς ταῖς ἄλλαις ὑποθέσεσι, καὶ εἰς τὴν τῶν κομώντων, ἴσχουσι. Καὶ ὥσπερ ἡ ἐξουσία σου τὰ διατεταγμένα πρὸς τῶν εὐσεβῶν ἡμῶν δεσποτῶν φυλάττειν διαγωνίζεται · πῇ μὲν ἀναγγέλλουσα τὰ συμβαίνοντα, πῇ δὲ ἐκπληροῦσα τὰ προστασσόμενα · εἴργουσά τε καὶ ἀφορίζουσα, καὶ ὅσα ἄλλα ἐπισυμβαίνει · οὐ δυσωπουμένη πρόσωπά τινα [ms. Reg. προσώπῳ τινὶ.], οὔτε μικρὰ, οὔτε μεγάλα · ἅπαξ γὰρ ὃ ἤκουσε καὶ ἐνετάλθη, ἐκπληροῦν κατασπεύδεται · κίνδυνος γὰρ οὐχ ὁ τυχὼν κἂν πρὸς μικρὸν ἀναβάλλεσθαι · οὕτω τοίνυν καὶ πολλῷ μᾶλλον ἐφ' ἡμῖν τοῖς λαχοῦσι τὸ ἱερατεύειν, μείζων καὶ ὀλεθριώτερος ὁ κίνδυνος, μὴ ἀποπεραιώσειν πάντα τὰ διὰ τῶν θείων κανόνων, καὶ θεσπεσίων Πατέρων, παρὰ τοῦ βασιλέως τῶν ὅλων Θεοῦ προστασσόμενα. Ὅτι δὲ πρόσταγμα θεῖον, πρῶτον μὲν φανεροῖ ὁ Ἀπόστολος · ἔπειτα αἱ διατάξεις · εἶτα ὁ Χρυσόστομος · κατασκευάζων ἁμάρτημα ὁμολογούμενον εἶναι τὸ κομᾷν τοὺς ἄνδρας · τελευταῖον ὁ παρὰ τῇ ἕκτῃ ἁγίᾳ συνόδῳ κανὼν, προστάσσων καὶ ἀφορισμὸν τοῖς μὴ πειθομένοις · ὃν καὶ ἀπέστειλα · ἵνα αὐτήκοος γενομένη, γνοίη μηδὲν ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἀκανονίστως ποιεῖν. Ἡμεῖς δὲ τούτου τοῦ κανόνος οὐκ ἐπικρατεῖς νῦν γεγόναμεν, ἀλλὰ πάλαι · καὶ γνωστὸν γέγονε καὶ τῷ προηγησαμένῳ πατριάρχῃ · ἐπεὶ καὶ διελέχθη ἡμῖν τὰ εἰκότα · οὐκ ἐγκαλῶν, ἀλλ' ἀποδεχόμενος · πῶς γὰρ ἂν καὶ ἠδύνατο, κανόνος κειμένου ; λέγων τε ὅτι γέγονε κἀμοὶ ὑπόμνησις περὶ τούτου · κἂν οὐκ ἠκούσμεθα. Ἀλλ' ἐκείνῳ μὲν τὴν οἰκονομίαν οὐκ ἠκριβολογούμεθα · ἡμεῖς δὲ ἕως τοῦ νῦν οὕτω διῃλθομεν, οὐ δημοσίως διαγορεύοντες · ἐπεὶ μηδὲ ἐπισκοποῦμεν · ἐν δὲ τῇ οἰκείᾳ Ἐκκλησίᾳ φυλαττόμενοι, διότι ἱερατεύομεν · καὶ προέσθαι τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τοῖς ὁμολογουμένως κρατουμένοις ὑφ' ἁμαρτήματος, οὐχ οἷόν τέ ἐστι. Κἂν ὁστιστοῦν τυγχάνῃ, οὐκ οἶδα · εἰ μὴ ἐπαγγέλλεται τὴν διόρθωσιν. Καὶ γὰρ πολλοῖς καὶ συνεχωρήσαμεν καὶ παραχωροῦμεν μέχρι μιᾶς καὶ δευτέρας ὑπομνήσεως, ἢ καὶ τρίτης · τὸ δὲ πλέον, ἀδιαφορία, καὶ τῶν κανόνων καταφρόνησις, μᾶλλον δὲ Θεοῦ, παρ' οὗ ἐδόθησαν. Αὕτη ἡμῶν ἡ ἀπολογία, δέσποτα, πρὸς τὴν ὑπερφυῆ σου ὑπεροχήν. Καὶ δεόμεθα αὐτῆς ὅπουπερ ἂν ἐπιῤῥυῇ λόγος, τὰ δέοντα ὡς ὑπὸ Θεοῦ ἀνακρινομένη καὶ μισθαποδοτουμένη ὑποβαλεῖν. Περὶ γὰρ τοῦ ὅτι χειρὶ ἐποιήσαμεν ἡμεῖς ἐνταῦθά τινι, γελοῖόν ἐστι τὸ πιστεύεσθαι πρὸς τινος τῶν εὐφρονούντων. Οὐδαμῶς. Ἀλλὰ τὸ παρ' ἡμῶν μετὰ πάσης παρακλήσεως, καὶ τῶν καταδεχομένων μετὰ πάσης συγκαταθέσεως γέγονε · καὶ τότε ἀκρωτηριασμὸς τῶν ὑπερκομώντων σχεδὸν

[75] Cor. xi, 14. [78] Const. apost. lib. i, cap. 3. [77] S. Chrysost. *in I Cor.* [76] Syn. Trull. can. 96.

μέχρι ζώσεως, καὶ καταβλακευομένων· ἵνα δόξωμεν μικρόν τι τοῦ κανόνος μὴ ἀποπίπτειν· καὶ ἴσως ἐκ τούτου γένηταί τις πρὸς τὸ βέλτιον ἐπαναδρομή. Εὔχου τοίνυν, ὦ δέσποτα, ἐννόμως καὶ εἰρηνικῶς ἡμᾶς ζῆν· συμβάλλων καὶ τὰ παρ' ἑαυτοῦ ἐν τοῖς συμμεθέξῃ ἡ τιμία σου ψυχὴ τοῦ καλοῦ.

tio. Ora ergo, domine, ut juste et pacate nos vivamus, etiam quæ tua sunt conferens in nostris rebus quoad potes: ut si quid erit recti, particeps sit et anima tua reverenda.

ΚΗ'. — Βασιλείῳ μονάζοντι [μζ'.]

καθ' ἡμᾶς κατὰ τὸ δυνατόν· ἵνα ἐάν τι ἀγαθὸν,

XXVIII. — *Basilio monacho.*

Purgat se de schismate. (Baron. an. 808, n. 26.)

Ἐδεξάμεθά σου τὰ γράμματα τῆς ἀδελφικῆς ἀγάπης, καὶ ἐθαυμάσαμεν ἐπὶ τῇ ἀθρόᾳ μεταβολῇ αὐτῆς. Τὰ μὲν πρότερα (ἵνα τὰ ἄλλα ἐάσω λέγειν), οὐκ ἀναγκαῖα ὄντα κατὰ τὸ παριστάμενον· Ἰωσὴφ τοῦ οἰκονόμου κατηγορίαν εἶχον, ὡς κακῶς εἰσελθόντος αὐτοῦ εἰς τὴν Ἐκκλησίαν. Τὰ δὲ δεύτερα τοὐναντίον ἀθώωσιν ἐμφαίνοντα παντάπασι. Καὶ ὁ τὸν αὐτὸν κατὰ τὸ αὐτὸ πρᾶγμα, ποτὲ μὲν ἐπαινῶν, ποτὲ δὲ ψέγων· ὅ τι λέγει τις τῶν ἁγίων, γινώσκειν ὀφείλει ἡ θεοσέβειά σου. Ἀλλ' ἔστω τοῦτο εἰς οὐδέν, καίπερ ἐναντιολογίας ὂν ὄφλημα. Τί δὲ ὅτι οὕτως ἀκρίτως προήχθης, πρὶν ἐξεταστικῆς καὶ μαθηματικῆς πείρας ἀποφήνασθαι κατὰ τῆς ταπεινώσεως ἡμῶν ἀποσχοινισμὸν τῆς καθ' ἡμᾶς Ἐκκλησίας, καὶ διὰ τοῦτο ἀναθεματισμόν; Πρόσεχε σεαυτῷ, φησὶν ὁ λόγος· καὶ, Πρὶν ἐξετάσεις, μὴ μέμψῃ· καὶ, Πρῶτον νόησον, καὶ τότε ἐπιτίμα. Αὐτὴ δὲ μηδὲν τούτων παρατηρήσασα, μηδὲ ὑπολογισαμένη ὅτι πρόσεστι καὶ ἡμῖν πάντως τὸ κατὰ λόγον λέγειν καὶ πράττειν· οὕτως ὡς ἀπαιδεύτοις καὶ ἀλόγοις καὶ ἀρτιγεύστοις τῆς μοναδικῆς πολιτείας, καὶ ἐν μαθητευομένοις τελοῦσιν ἐπετίμησας· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐπέπληξας. Καὶ εἴθε τοῦτο· ἀλλὰ καὶ ἀναθεματισμῷ παρέπεμψας. Καὶ φεῦ τὰ τῶν ἀνθρώπων! Πῶς οὐκ ἐπὶ πολὺ διασώζεις τοὺς τῆς φιλίας ὅρους ἀμετακινήτους. εἰ γὰρ τοῦτο ὑπῆρχε τῇ τιμιότητί σου ἀκραιφνὲς, οὐκ ἂν οὕτως ἀπροόπτως τὴν εὐτέλειαν ἡμῶν κατεκερτόμει. Πλὴν ἄξιοι τῶν τοιούτων· καὶ οὐ θαυμαστὸν εἰ καὶ ὑπὸ τῆς φιλίας σου προπηλακιζόμεθα. Ἡμεῖς δὲ ὅ ἐσμεν, Θεῷ μὲν περαινερώμεθα· δίκαιον δὲ καὶ τῇ συνέσει σου, ἐπὰν προσκόπτῃ καὶ σκανδαλίζηται, ἐπιδηλῶσαι. Οὐκ ἐσμὲν ἀποσχισταὶ, ὦ θαυμάσιε, τῆς τοῦ Θεοῦ Ἐκκλησίας· μήποτε τοῦτο πάθοιμεν· ἀλλ' εἰ καὶ ἄλλως ἐν πολλοῖς ἁμαρτήμασι τυγχάνομεν. Ὅμως ὁμόσωμοι αὐτῆς καὶ τρόφιμοι μετὰ τῶν θείων δογμάτων· καὶ τοὺς κανόνας αὐτῆς καὶ διατυπώσεις γλιχόμεθα φυλάττεσθαι.

Τὸ δὲ ταράττειν καὶ ἀποσχίζειν ἀπ' αὐτῆς, τὴν μηδεμίαν ἐχούσης ἀληθῶς κηλῖδα ἢ ῥυτίδα κατά τε τὸν τῆς πίστεως λόγον, καὶ τὸν τῶν κανόνων ὅρον, ἀπ' ἀρχῆς αἰῶνος καὶ μέχρι τοῦ δεῦρο, ἐκείνων ἐστὶν, ὧν ἡ πίστις τὸ ἐνδιάστροφον ἔχει, καὶ ὁ βίος τὸ ἀκανόνιστον καὶ ἄθεσμον· ὧν εἷς ἐστι καὶ ὁ Ἰωσὴφ ὁ τὸν μοιχὸν στεφανώσας· οἵ τε τούτῳ ὡς ἀμέμπτῳ ἀνεχόμενοι συλλειτουργεῖν, καὶ μὴν καὶ οἱ συνιστῶντες αὐτὸν ὡς ἀθώως ἱερουργοῦντα. Πῶς γὰρ κανονικῶς ἡμῖν γράφουσα ἡ εὐλάβειά σου, οὐ τοὺς θείους κανόνας ἐπίσταται, ὅτι κακ' αὐτοὺς καθηρημένος ἐσὶν ὁτ ἀνήρ; εἰ γὰρ εἰς δυγαμοῦντος

Accepimus litteras fraternæ tuæ charitatis, miratique sumus repentinam ejus mutationem. Prioribus siquidem verbis, ut cætera sileam quæ ad rem minus necessaria, Josephum œconomum accusabas, ut qui perperam sit ingressus in Ecclesiam. Posteriori- B bus plane innocentem ostendebas. Et qui eumdem in eadem re nunc laudas, nunc vituperas; quod a quodam sanctorum dictum est, scire debet pietas tua. Sed pro nihilo id habeatur, quamvis aperta sit contradictio. Quale vero illud est, quod adeo inconsiderate provectus es, ut, priusquam examinares et exacte cognosceres, adversus humilitatem nostram pronuntiaveris discessionem ab Ecclesia nostra, ac proinde anathematismum? *Attende tibi ipsi*[79], ait Scriptura; et: *Priusquam interroges, ne vituperes:* et *Primum cognosce, tum corripe*[80]. Tu vero nihil horum observans, nec cogitans posse et nos ex ratione agere ac loqui, sic tanquam imperitos, ac rationis expertes, tanquam vitæ monasticæ tirones ac novitios, increpasti: nec hoc solum, C sed durius objurgasti. Atque utinam hoc solum egisses! Quinetiam anathemati devovisti. O res humanas! et quomodo major tibi cura non fuit amicitiæ jura conservandi? Hæc enim si sancte coleret reverentia tua, nunquam sic ex abrupto tenuitatem nostram proscidisset. Verum his nos digni sumus: nec mirandum si ab amicitia etiam tua lacessimur. Cæterum qui simus, Deo quidem innotuimus: æquum autem et prudentiæ tuæ, quandoquidem offenditur et scandalizatur, aperire. Non sumus aposchistæ, vir eximie, ab Ecclesia Dei; absit ut nobis hoc eveniat! Sed quamvis aliis peccatis plurimis obstricti simus, attamen unius cum illia corporis sumus, ejusque alumni et divinorum documentorum; et canones ejus et constitutiones servare cupimus. D

Turbare autem et ab illa sejungi, quæ maculam revera nullam habet, neque rugam, tum in fidei ratione, tum in canonum sanctione, ab omni ævo usque ad nostram memoriam, eorum est quorum fides transversum agitur, et vita exlex et sine regula: quorum ex numero Joseph ille qui adulterum coronavit: et qui cum eo tanquam innoxio offerre non dubitant, quique adeo illum defendunt ut sine culpa sacrificantem. Quomodo enim, si canonice ad nos scribit pietas tua, divinos canones ignorat, et quod juxta illos depositus vir fuerit? Nam si in digami nuptiis epulari presbyterum vetant: quid in eum

[79] I Tim. IV, 16. [80] Eccli. XI, 7.

qui digamum coronavit? Quid, in adulterinis nuptiis triginta totos dies convivari? quid, quod perniciosius est, etiam coronare eum qui ex Domini sententia sit adulter? sacras in conjugio preces recitare adulterii copulatorem, et divinam gratiam impie pro impiis invocare? Exsecrandus, profecto, juxta magnum Dionysium, Deo est profanusque qui hæc facit. Supervacaneum fuerit alios in eum canones proferre. Quod vero ex quo depositus a præcedente patriarcha fuit, novem annorum spatium exegerit : et canon, nisi intra annum absolvatur, absolvi postea quemquam vetet, quo loco reponemus? At objicitur prosus absolutum fuisse. Verum, si solutus fuerat, cur non sacrificabat? Et, si solutus erat, cur absolvi a synodo petiit? Planum enim est solutionem ab eo peti qui vinctus sit, non qui solutus. Quare, etiam in seipsum impegit, contra veritatem erigi volens. Sacrorum igitur profanatio est, frater, istum sacris operari : canonumque magna perturbatio talia negligere. Quid enim est quod ait Chrysostomus? periculo non vocare, si in sacerdotem non inquiratur: non de fide hoc dicens, ut male censes, sed de vitæ integritate. Interrogare quidem et excutere unumquemque, quomodo se habeat, nihil est opus : gratia enim etiam super indignum propter eos, qui accedunt, descendit. In iis autem qui manifesto rei sunt, qualis est Joseph, et quidem magni sceleris, quod in oculis omnium commisit, vetitas a Domino nuptias copulans, ipsoque adultero manifestior, dum eum conjunxit, quandoquidem hæc non discrepant, juxta Theologum ; dissimulare, perspicua est proditio veritatis, et canonum corruptela.

An nescit benevolentia tua, Deum ipsum vindicem fuisse, quando non insurrexit qui Ecclesiam tum gubernabat ; ut Samueli quondam accidit adversus insanum Saulem : et hujus novi, quod, ad modum adulterii spectat, Herodis regnum evertisse? Idem enim Herodis illius flagitium fuit, qui a populo suo pulsus fuit et occisus ; quippe qui Aretæ regis filiam, legitimam conjugem dimisit, injuste sibi copulans Philippi fratris Herodiadem. Quod si hæc vindicare non convenit : erravit charitatis tuæ judicio præcursor Joannes, quod temerarium est affirmare, cum Herodem reprehendit, mortemque oppetiit ob reprehensionem. Erravit similiter et Chrysostomus [81], cum pro viduæ agro validum certamen instituit. *Pro bono enim*, inquit, *audet quispiam mori* [82]. Ut non commemorem similes alias sanctorum pro similibus contentiones. An rursus ignorat reverentia tua, cum duabus ex rebus constet Christianismus, fide et operibus; si alterum desit, alterum non prodesse? Æmuletur itaque, rogamus, divina, primum quidem ut communis patris filius, excitetur pariter ad honesta: perinde ut a beato Saba eruditus, accuratam non solum fidei, sed etiam canonum rationem amplectatur: denique germanus cum

[81] In ejus Vita, n. 52. [82] Rom. v, 7.

A γάμον οὐκ ἐῶσι τὸν πρεσβύτερον ἑστιαθῆναι · τί πρὸς τὸ τὸν δίγαμον στεφανῶσαι ; τί δὲ τὸ εἰς μοιχικὸν γάμον ἑστιαθῆναι ὅλαις τριάκοντα ἡμέραις; τί δὲ, τὸ ὀλεθριώτερον, τὸ καὶ στεφανῶσαι μοιχὸν κατὰ τὸν λόγον τοῦ Κυρίου, τὴν ἐπὶ τῇ συναφείᾳ ἱερὰν προσευχὴν λέγοντα τὸν μοιχοζεύκτην, καὶ προσκαλούμενον τὴν θείαν χάριν ἀθέως ἐπὶ τοὺς βεβήλους ; Ἀπόπτυστός ἐστί παρὰ Θεῷ, κατὰ τὸν θεῖον Διονύσιον, καὶ ἀνίερος ὁ τοιοῦτος. Παρέλκον γάρ ἐστι τοὺς ἐπ' αὐτῷ ἄλλους κειμένους κανόνας ὧδε γράφειν. Ὅτι δὲ καὶ ὑπὸ τοῦ προηγησαμένου πατριάρχου ἀφωρισμένος ἐνναετῆ χρόνον ἔτυχε · καὶ ὁ κανὼν εἰ μὴ ἐντὸς ἐνιαυτοῦ λυθῇ, οὐκ ἀνέχεται ἔτι τὴν λύσιν, ποῦ θήσομεν ; Πάντως δὲ ἡ ἀπάντησις, ὅτι ἐλέλυτο. Καὶ εἰ ἐλέλυτο, πῶς οὐχ ἱερουργεῖ; B καὶ εἰ ἐλέλυτο, πῶς ἄρτι ἐξήτησε λύσιν ὑπὸ συνόδου ; Δηλονότι ὁ δεδεμένος ζητεῖ λυθῆναι, οὐχ ὁ ἄδετος · ὥστε κἀνταῦθα περιπίπτει ἑαυτῷ ὁ θέλων κατὰ τῆς ἀληθείας κινεῖσθαι. Βεβήλωσις οὖν τῶν ἁγίων ἐστὶν, ὦ ἀδελφὲ, τοῦτον ἱερουργεῖν · καὶ σύγχυσις παντελὴς τῶν κανόνων τὸ μὴ τὰ τοιαῦτα φυλάττεσθαι. Τί γὰρ λέγει καὶ ὁ Χρυσόστομος ; ὅτι οὐκ ἀκίνδυνόν ἐστι τὸ ἀνεξέταστον ἐπὶ τοῦ ἱερέως. Οὐ περὶ πίστεως, ὡς οἴει, τοῦτο λέγων, ἀλλὰ περὶ τῆς κατα τὸν βίον ἀκριβείας. Ἐκζητεῖν τοίνυν καὶ ἀνερευνᾷν ἕκαστον ὅπως ἔχει οὐ δέον · ἡ χάρις γὰρ καὶ ἐπὶ τοὺς ἀναξίους διὰ τοὺς προσιόντας κάτεισιν. Εἰς δὲ τοὺς προδήλως κατεγνωσμένους, ὧν ἐστιν εἷς καὶ ὁ Ἰωσὴφ, μάλα ἀνομίαν μεγάλην συνάψας, ἀναφανδὸν τῆς οἰκουμένης, ἣν ὁ Κύριος ἀπέφηνε, καὶ ἐναργέστερος τοῦ μοιχεύσαντος χρηματισας ὁ C τοῦτον συξεύξας · τῷ μὴ διαστέλλεσθαι κατὰ τὸν Θεολόγον, προδοσία τῆς ἀληθείας σαφὴς, καὶ τῶν κανόνων παράλυσις.

Ἡ οὐχ οἶδέ σου ἡ φιλία, ὅτι αὐτὸ τὸ θεῖον αὐτεκδίκητον γέγονεν, ἡνίκα οὐ διανέστη ὁ ἰθύνων τὴν Ἐκκλησίαν τὸ τηνικάδε · ὡς Σαμουὴλ πάλαι ἐπὶ τῷ ἄφρονι Σαούλ · διαῤῥῆξαι τὴν τοῦ νέου Ἡρώδου κατὰ τὸν τῆς μοιχείας τρόπον βασιλείαν. Ταῦτα γὰρ πέπονθε καὶ Ἡρώδης ἐκεῖνος, ὑπὸ τοῦ οἰκείου λαοῦ ἀνασοβευθεὶς καὶ ἀποκτανθεὶς · ἐπὰν εἴασε τὴν τοῦ Ἀρέτα βασιλέως θυγατέρα νόμιμον αὐτοῦ οὖσαν γυναῖκα · ἀγαγόμενος παρανόμως τὴν τοῦ ἀδελφοῦ Φιλίππου Ἡρωδιάδα. Εἰ δὲ ταῦτα οὐ δέον ἐκδικεῖσθαι, ἡμαρτηκὼς ἐνώπιον τῆς ἀγάπης σου γέγονεν, εἰ καὶ τολμηρὸν εἰπεῖν, ὁ Πρόδρομος Ἰωάννης, ἐλέγD ξας τὸν Ἡρώδην, καὶ θανὼν ὑπὲρ τοῦ ἐλεγμοῦ. Ὡσαύτως καὶ ὁ Χρυσόστομος, ὑπὲρ τοῦ ἀγροῦ τῆς χήρας ἔνστασιν ἀθλητικὴν ἐπιδειξάμενος. Ὑπὲρ τοῦ ἀγαθοῦ τάχα γὰρ, φησὶ, καὶ τολμᾷ τις ἀποθανεῖν. Ἵνα μὴ λέγω τὰς τῶν ἄλλων ἁγίων ὁμοτρόπους ὑπὲρ τῶν τοιούτων ἐνστάσεις. Ἡ πάλιν ἀγνοεῖ ἡ τιμιότης σου, ὅτι ἐκ δύο συνισταμένου τοῦ Χριστιανισμοῦ, λέγω δὴ πίστεως καὶ ἔργων, εἰ θάτερον λείπει, οὐδὲ τὸ ἕτερον ὀνίνησι τὸν ἔχοντας ; Ζηλούτω τοίνυν, παρακαλοῦμεν, τὰ θεῖα, καὶ πρῶτον μὲν ὡς τοῦ κοινοῦ πατρὸς τέκνον χρηματίζουσα, συνεπαιρέσθω πρὸς τὰ δέοντα · δεύτερον δὲ ὡς τῷ μακα-

ρίτῃ Σάβᾳ μαθητευσαμένη· ἀκρίβειαν οὐ μόνον κατὰ τὴν πίστιν, ἀλλὰ καὶ κατὰ τοὺς κανόνας ἀσπαζέσθω· τρίτον, τὰ ἀδελφὰ ἡμῶν φρονείτω, ὡς ὁμάδελφος οὖσα· καὶ, ὑπομιμνήσκομεν, τὸ οἰκεῖον κάθισμα ἐπιτηρείτω· μήπως ἐντεῦθεν σκάζωμεν περὶ τὰ κάλλιστα.

Σύγγνωθι ἀδελφικῶς ὑπομιμνήσκουσιν, ὥσπερ καὶ αὐτῷ ἡμεῖς· καὶ οὐ χρεὼν ἡμᾶς ἀγανακτεῖν ὑπομνησθέντας. Μηδὲ ἡ σὴ τιμιότης ὀριμυσσέσθω· ἀλλ' ἀναπτέσθαι μᾶλλον εἰς ἀγάπην. Καὶ ἐπιστελλέτω, ὁσάκις ἂν καὶ βούληται, τὰ τοιαῦτα. Οὐδὲν γὰρ παρὰ τούτου βλαβησόμεθα, ἢ τὸ βιοῦν ἀσφαλέστερον. Περὶ δὲ τοῦ πάπα, τίς ἡμῖν λόγος οὕτως πράσσοντος ἢ ἐκείνως; ὃς τοῖς οἰκείοις, συγχώρησον, ἐάλω πτεροῖς, κατὰ τὸ λόγιον. Μηδὲν γὰρ περὶ τῶν ἐκδήλων ἁμαρτημάτων τοῦ ἱερέως φροντίζειν φάμενος, οὐ τόν τινα ἱερέα, ἀλλὰ τὴν κεφαλὴν τῆς Ἐκκλησίας κατεκωμῴδησε τοσαῦτα καὶ ἀπεμυσάξατο· ὡς ἡμᾶς αἰδεσθῆναι καὶ ἀκοῦσαι. Εἰ δὲ ἀληθῶς οὕτως ἐστὶ, φεῦ τῆς ἱεραρχίας! Πλὴν νουνεχῶς κινῶμεν τὴν γλῶτταν, παρακαλοῦμεν, ἐπὶ τὰς κεφαλάς· καὶ μὴ οὕτω σφοδρῶς ἀποφαινώμεθα. Εἰ δὲ ὅτι οἱ ἄνθρωποι μέλλουσιν ἀνοίγειν τὰ στόματα, ὡς γέγραφας, ἐπὶ τὸ λέγειν, ὅτι ἐκπεσόντες τῆς ἐνταῦθα πατριαρχίας, εἰς ἑτέραν ὑπόθεσιν μετεπέσαμεν· μὴ φροντιζέτω σου ἡ τιμιότης· οἶδεν ὁ Θεὸς καὶ τὴν πρώτην κίνησιν καὶ τὴν δευτέραν· ἀλλὰ μὴν καὶ τὴν τρίτην αὐτὸς δοκιμάσει· αὐτὸς διελέγξει· αὐτὸς παραστήσει ἐπὶ τοῦ φοβεροῦ βήματος· αὐτὸς ἀποδιδοὺς καθὼς διεθέμεθα καὶ πεπράχαμεν. Τὸ γάρ, Εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἦμην· οὐ πρὸς ἡμῶν τῶν ἁμαρτωλῶν φθέγγεσθαι. Ἡμεῖς τοίνυν καὶ τοῦ ἁγιωτάτου πατριάρχου μνημονεύομεν, ὡς καθήκει, ἐν τῇ μυσταγωγίᾳ· ὥσπερ καὶ τῶν εὐσεβῶν ἡμῶν βασιλέων· καὶ ἐκ παντὸς ἀδιαβλήτου κοινωνεῖν οὐ παραιτούμεθα. Γεγράφαμέν τε αὐτῷ τῷ ἀρχιερεῖ· ἐπεὶ καὶ τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσι γνωστὸν γέγονεν, ὅτι ἐν οὐδενὶ διαφερόμεθα, ἢ μόνον διὰ τὸν Ἰωσήφ· καὶ ἡνίκα οὗτος ὁποσταλῇ τῆς ἱερουργίας, εὐθὺς κοινωνοῦμεν αὐτῷ. Καὶ ποθητὸς ἡμῖν ὁ ἀνὴρ, οὐ μόνον ὅτι κορυφὴ τῆς καθ' ἡμᾶς Ἐκκλησίας γέγονεν, ἀλλ' ὅτι καὶ σεβαστὸς ἡμῖν ἔκπαλαι. Καὶ ὅσα τοῦ βίου αὐτοῦ καλὰ, ἀποσιμνύειν οὐ παυόμεθα.

Εἰ δὲ φθάσει ὅτι καὶ αὐτὸς ἀποδέχεται τὸν ζῆλον (ἐῶ γὰρ λέγειν ἐπισκόπους ἁγίους, ἡγουμένους τε καὶ μονάζοντας, καὶ πλῆθος λαϊκῶν), τί φαίη ἡ σὴ φιλότης; Διὸ ἴσθι μὴ εἶναι σχίσμα τῆς Ἐκκλησίας· ἀλλ' ἀληθείας ἐπικράτησιν, καὶ τῶν θείων νόμων ἐκδίκησιν· ἕτερον δὲ, ὡς ἔφθη εἰποῦσα ἡ τιμιότης σου, τῆς ἀληθείας ῥῆξις, καὶ τῶν κανόνων ἡ παράλυσις· καὶ ἐκεῖνο ἔχει σοι καλῶς λέγεσθαι· Οἱ ἱερεῖς ἠθέτουν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἅγιά μου· βεβήλοις καὶ ὁσίοις οὐ διέστελλον, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Τὸ γὰρ μὴ ἔχειν σπῖλον ἢ ῥυτίδα, ἵνα καὶ πάλιν εἴπωμεν. οὕτω νοείτω· τὸ μὴ προσιεμένην τά τε ἀσεβῆ δόγματα καὶ τὰ ἀκανόνιστα ἐγχειρήματα. Οὐ μὴν ἀλλὰ καὶ τὰ ἐν τοῖς αὐτουργοῦσι τὰ ἀπηγορευμένα συμφρονήματα, ὡς πού φησιν ὁ θεῖος Βασίλειος· πρὸς ἃ Παῦλος ὁ μέγας, οὐδὲ συνεστιᾶσθαι τοῖς τοιούτοις παραχωρεῖ. Ἐπεὶ ἀπὸ τῶν

sit, fraternam, eamdemque nobiscum sententiam teneat: hortamurque propriam sedem servet; ne quo pacto inde claudicemus circa præcipua.

Ignosce fraterne monentibus, sicut et nos tibi; neque oportet nos monitos indignari. Ne igitur succenseat reverentia tua, sed ad charitatem potius accendatur, et talia scribat quotiescunque volet. Nullum enim damnum aliud capiemus, quam ut securius vivamus. De papa autem, quod ad nos, hoc agat, an illud? qui propriis, ignosce, captus est alis, ut dicitur. Cum enim de manifestis sacerdotis delictis nihil curare dixit, non qualemcunque sacerdotem, sed caput Ecclesiæ ita derisit et aspernatus est: ut vel audire non pudeat. Quod si id verum est, heu hierarchiam! Cæterum prudenter, quæso, moveamus linguam adversus capita, et ne adeo acriter pronuntiemus. Si vero dicturi sunt homines, ut scribis, nos cum ab hoc patriarchatu excidissemus, ad aliud argumentum versos fuisse; ne curet reverentia tua: novit Deus motionem primam et secundam; sed et tertiam ipse probabit, ipse redarguet, ipse repræsentabit formidando tribunali: reddens ipse, prout tractaverimus et egerimus. Illud enim: *Si hominibus placerem, Christi servus non essem*[83]; non a nobis peccatoribus dictum est. Nos ergo et sanctissimi patriarchæ mentionem facimus, ut convenit, in mystagogia, sicut et plorum imperatorum nostrorum: et cum omni sacerdote inculpato communicare non detrectamus. Scripsimus et ad ipsum patriarcham, nos, quod et pii imperatores nostri sciunt, in nulla re discrepare, præterquam de Josepho: et simul ac depulsus fuerit sacerdotio, cum ipso statim communicaturos. Etenim desiderabilem nobis virum esse, non solum quod caput sit Ecclesiæ nostræ; sed quia jam olim reverendus nobis erat: et singula ipsius vitæ bona laudare non cessamus.

Si vero contingat, et ipse quoque zelum accipiat, (mitto enim de sanctis episcopis dicere, de præpositis et monachis, deque laicorum multitudine), quid tum dicet charitas tua? Quare scito Ecclesiæ schisma nullum esse, sed veritatis defensionem, divinorumque canonum vindicationem: alterum vero illud, quod asseruit reverentia tua, veritatis infractionem et canonum eversionem esse; ac tibi illud dici recte posse: *Sacerdotes legem meam spernebant, et profanabant sanctuaria mea: profana et sancta non distinguebant, sed erant illis communia omnia*[84]. Nullam enim maculam habere aut rugam, ut iterum dicam, sic intelligendum, quod non recipiat impia dogmata, nec ausus illicitos et canonibus contrarios: neque adeo consentiat iis qui vetita ipsi committunt, ut quodam loco ait divinus Basilius; de quibus et magnus Paulus[85], nec edere cum talibus permittens

[83] Galat. I, 10. [84] Ezech. XXII, 26. [85] I Cor. V, 11.

Etenim ab Apostolis et deinceps multæ persæpe in eam hæreses irruerunt : et flagitia illicita, canonibus adversa fuerunt, sicut nunc sunt : illa tamen, quemadmodum dictum est, sine schismate et macula mansit, et permanet in æternum, subtractis et ejectis ab ea male sentientibus maleque agentibus tanquam fluctibus ab inconcusso et maritimo saxo repulsis.

Ad nos igitur redeamus, frater, et veritatis lucem sacrorumque canonum aspiciamus, quemadmodum dogmata tenere videmur : nos potissimus qui monachi sumus, et aliquid esse existimamur. *Si enim lumen quod in nobis est tenebræ sunt : tenebræ quantæ erunt*[86] *? et si sal evanuerit, in quo salientur*[87] laici ? Arbitramur te, idque precamur, eorum quæ ibi sunt, servatorem fore, et lumen et lucernam perfectionis ac pietatis : non omnia te omnibus exhibendo, sed virtutis excellentia, et vita ex canonum lege acta, sanctaque conversatione : et æquo animo fer fratris tui admonitionem ex charitate profectam, studioque veritatis, et divino judicio. Plura dicere animus desiderabat, sed epistolæ prolixitas finem facere coegit. Grata nobis fuit eulogia tua prædives, et cura quam geris de humili monasterio tuo : argumentum quod parcas et pro eo labores. Magnus labor tuus : sed Dominus tibi retribunt quæ desideras : virtutum incrementum, et perennium ipsius bonorum fruitionem.

A ἀποστόλων καὶ κατόπιν, πολλαχῶς πολλαὶ αἱρέσεις προσερράγησαν αὐτῇ· καὶ ῥυπάσματα ἄθεσμα καὶ ἀκανόνιστα ἐπεπόλασαν, ὥσπερ καὶ τὸ νῦν· ἀλλὰ μὴν αὐτὴ τῷ προειρημένῳ τρόπῳ ἄσχιστος καὶ ἀμώμητος διαμεμένηκε, καὶ διαμενεῖ ἕως τοῦ αἰῶνος, ὑπεξαιρουμένων καὶ ἀποπεμπομένων ἀπ' αὐτῆς τῶν κακῶς φρονησάντων ἢ πραξάντων· ὥσπερ ἐξ ἀσείστου καὶ παραλίου πέτρας τὰ προσρήσσοντα κύματα.

Εἰς ἑαυτοὺς οὖν γενώμεθα, ὦ ἀδελφὲ, καὶ ἀπίδωμεν πρὸς τὸ φῶς τῆς ἀληθείας, καὶ τῶν ἱερῶν κανόνων, ὥσπερ καὶ τῶν δογμάτων ἐγκρατεῖς φαινοίμεθα· μάλιστα ἡμεῖς οἱ μονάζοντες· μάλιστα ἡμεῖς οἱ δοκοῦντες εἶναί τι. Εἰ γὰρ τὸ ἐν ἡμῖν φῶς σκότος· τὸ σκότος πόσον; καὶ, Εἰ τὸ ἅλας μωρανθήσεται, ἐν τίνι ἁλισθήσονται οἱ λαϊκοί; Ἡμεῖς οἰόμεθά σε. καὶ εὐχόμεθα, τῶν αὐτόθι σωτῆρα εἶναι καὶ φωστῆρα, καὶ λύχνον ἀκριβείας καὶ εὐσεβείας· οὐκ ἐκ τοῦ πᾶσι τὰ πάντα γίνεσθαι, ἀλλ' ἐκ τοῦ τῆς ἀρετῆς ὕψους, καὶ ἐκ τοῦ κεκανονισμένου βίου, καὶ ἐκ τοῦ ἱεροπρεποῦς πολιτεύματος. Καὶ φέρε ἀδελφοῦ σου ὑπόμνησιν ἀγαπητικὴν οὖσαν, καὶ φιλαλήθη, καὶ θεόκριτον. Καὶ τὰ πλείω λέγειν ἡ ἐπιθυμία με ἔλκει· ἡ ἀμετρία δὲ τοῦ γράμματος συνέλκουσα ἐνταῦθα ἡμᾶς καταπαύει. Ἀπεδεξάμεθά σου τοίνυν τὴν εὐλογίαν τὴν πλουσίαν. Καὶ ὅτι ἐφρόντισας περὶ τῆς ταπεινώσεως τοῦ μοναστηρίου σου· δεῖγμα μὲν τοῦ φείδεσθαι καὶ πονεῖν ὑπὲρ αὐτοῦ, κόπος δέ σου ἱκανός. Ἀλλ' ὁ Κύριος ἀνταμείψεταί σε οἷς χρῄζεις, τὴν τῶν ἀρετῶν ἐπανάληψιν, καὶ τὴν τῶν αἰωνίων αὐτοῦ ἀγαθῶν ἀπόλαυσιν.

B

XXIX. — *Leoni orphanotropho.*

C

ΚΘ'. — Λέοντι ὀρφανοτρόφῳ. [μη'.]

In mortem filii.

Capiebamus ipsimet venire communemque nobis facere ærumnam vestram circa beatum filium vestrum, domine mi desideratissime, non per litteras tantummodo casum lugere, tristitiæque vestræ participes vobiscum fieri. Qui enim possit non miserabile, qui possit non stupendum videri, filii post filium privationem pati, et vivum quodammodo thesaurum amittere, divitias genitivæ successionis exoptatum fructum papillæ maternæ, oculum familiæ pulcherrimum, aviæ lætitiam, totius cognationis decus et ornamentum ? Primus ortus est fructus : et immaturus genitorum et manibus raptus est. Natus est secundus, et hunc quoque mors acerba corrupit. Tertia stirps prodiit, præcedentium consolatio florulenta, perpulchra, vitam ad tertium annum ducens, in qua suspensæ parentum animæ tenebantur : et, o calamitatem ! nam vocem quoque proscindit dolor : excessit hic etiam ex oculis vestris, quodque miserrimum est, patre non præsente. Et quid opus est calamitatem exaggerare ? Conscissum est cor vestrum, patris, matris, dominæ patriciæ; et per utramque gladius pertransivit; dolorique medebitur, non sermo, non consolatio vel ab ho-

'Εβουλόμεθα ἡμεῖς αὐτοὶ παρεῖναι, καὶ κοινωνῆσαι τῆς ἐνούσης ὑμῖν συμφορᾶς, περὶ τὸ μακάριον ὑμῶν τέκνον, κύριέ μου ποθεινότατε, οὐχ ὅτι διὰ γράμματος θρηνῳδῆσαι τὸ πάθος καὶ συμμετασχεῖν ὑμῖν τοῦ λυπηροῦ. Πῶς γὰρ οὐκ ἐλεεινὸν, πῶς δὲ οὐκ ἐκστατικὸν, παιδὸς ἐπὶ παιδὶ στέρησιν παθεῖν, καὶ οἷον ἀπολέσαι τὸν ἔμψυχον θησαυρὸν, τὸν πλοῦτον τῆς γονικῆς διαδοχῆς, τὸν πολύευκτον καρπὸν τῆς μητρῴας θηλῆς, τὸν περικαλλῆ ὀφθαλμὸν τῆς οἰκίας, τῆς προμήτορος τὸ ἀγαλλίαμα, τῆς ὅλης συγγενείας οὐ σεμνολόγημα; Ἦκεν ὁ πρῶτές καρπός· καὶ ἔωρος ἐκ τῶν γονικῶν χειρῶν ἀνηρπάσθη. Ἔφυ ὁ δεύτερος· καὶ τοῦτον ἐλυμήνατο ὁ πικρὸς θάνατος. Τίθηλε τὸ κρίτον βλάστημα, παραμυθία τῶν προτέρων, εὐαυθὲς, περικαλλὲς, ἄγον τὸ βιώσιμον εἰς τριετῆ χρόνον· ἐν ᾧ αἱ ψυχαὶ ἀπεκρέμαντο τῶν τεκόντων· καὶ φεῦ τῆς συμφορᾶς! ἐγκόπτει γὰρ τὸ πάθος καὶ τὸ φθέγγεσθαι· ᾤχετο καὶ τοῦτο ἐξ ὀφθαλμῶν ὑμῶν· καὶ τόγε ἐλεεινότερον, μηδὲ ἐπ' ὄψεως τῆς πατρικῆς παρουσίας. Καὶ τί δεῖ ἐκτραγῳδεῖν τὴν συμφοράν; Τέτμηται ὑμῶν ἡ καρδία, τοῦ πατρὸς, τῆς μητρὸς, τῆς κυρίας, τῆς πατρικίας· καὶ ῥομφαία διὰ μέσου ἀμφοτέρων ἐλήλυθε· καὶ τὸ ἄλογον θεραπεύσει, οὐ

[86] Matth. vi, 23. [87] Matth. v, 13.

λόγος, οὐ παραμύθιον, οὐκ ἐξ ἀνθρώπου, οὐκ ἀγγέλου, ἀλλ' ἐκ μόνου τοῦ Θεοῦ, τοῦ οὕτως διαθεμένοι τοὺς τῆς ζωῆς ἡμῶν ὅρους. Αὐτὸς γάρ ἐστι, δέσποτά μου, ὁ τὸ τριπόθητον ὑμῶν τέκνον προσλαβόμενος· ὥσπερ καὶ τὰ προλαβόντα προσληψάμενος.

A mine vel ab angelo, sed a solo Deo, qui vitæ nostræ terminos ita diposant. Ipse enim est, Domine mi, qui dilectissimum filium vestrum assumpsit, sicut et præcedentes assumpserat.

Λυπηρὸν μὲν, καὶ λίαν, τὸ καθ' ὑμᾶς· οὐ πάντως δὲ καὶ τοῖς προσληφθεῖσιν· ἐπειδὴ ἄχραντοι καὶ ἀκηλίδωτοι ἐξ ἁμαρτιῶν διὰ τῆς ἀρτιγενείας, ἐγχωρήσαντες τῶν ἐνθένδε πρὸς τὸν μακάριον καὶ ἀπαθῆ βίον, ἐν κόλποις Ἀβραὰμ χορεύουσι, μετὰ ἁγίων νηπίων συναυλίζονται, μετὰ παίδων χριστοφόρων ἀναμέλπουσιν. Ὥστε οὐκ ἀπόλωλε τὰ κάλλιστα τέκνα, ἀλλὰ σέσωσται ὑμῖν καὶ διαμένει. Καὶ ἐπόψεσθε αὐτὰ μικρὸν ὕστερον, ἡνίκα ἂν τέλος δέξηται ἡ χρονικὴ ζωὴ αὕτη, χαίροντα καὶ ἀγαλλόμενα, οὐκ ἐν βραχείᾳ ἡλικίᾳ, ἀλλ' ἐν τελειότητι τοῦ πληρώματος τοῦ Χριστοῦ, καθὼς γέγραπται. Διὸ παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν, τοῖς λογισμοῖς τούτοις κατεπᾴδειν ἑαυτοῖς κατὰ τὸ ὕληθὲς, καὶ ἐντεῦθεν ἐξαίρειν τὸ ἄμετρον λυπηρὸν τῆς ψυχῆς. Μέτρα γὰρ ἔδωκεν ἡμῖν ὁ Κύριος· ἵνα καὶ τὰ φυσικὰ σπλάγχνα ἐνδεικνύμεθα, καὶ τοὺς τῆς αὐταρκείας ὅρους μὴ ὑπερβαίνωμεν. Τὸ μὲν γὰρ εἰς ἔλεον κινεῖ τὸ Θεῖον· τὸ δὲ ἀντιφέρεσθαι, ποιεῖ τοῖς τῆς Προνοίας διατάγμασι. Καὶ τὸ μὲν εὐφραίνει τοὺς ἀπελθόντας· τὸ δὲ λυπεῖν εἴωθεν αὐτοὺς τοὺς ἀναπαύσεως τυχόντας. Πᾶς γάρ τις βούλεται χαίρειν ἐπὶ τῇ οἰκείᾳ χαρᾷ, ἀλλ' οὐχὶ λυπεῖσθαι τοὺς φιλεῖν ὁμολογοῦντας. Ἡμεῖς δὲ πιστεύομεν, καὶ πάλιν ἐν γαστρὶ ἕξειν τὴν κυρίαν τὴν Χαρτουλαρίαν, καὶ τέξεσθαι υἱὸν οὐκέτι ταχύμορον, ἀλλὰ προμακροημερεύοντα εἰς διαδοχὴν γένους· μόνον ἐὰν μετριάσωμεν τὸ πάθος, καὶ τὰς ὑπὲρ τοῦ παιδὸς ἀποδῶμεν ἔργῳ καὶ λόγῳ προσφορὰς εὐχαρίστους τῷ Δεσπότῃ Χριστῷ.

Triste quidem admodum quod ad vos spectat; sed non iis prorsus qui assumpti sunt; quippe qui labis expertes ob recentem ortum, et immaculati a peccatis, ad beatam vitam hinc profecti, in sinu Abrahæ choros ducunt, cum sanctis infantibus stationem habent, et cum pueris Christum sequentibus hymnos canunt. Itaque non interiegrunt egregii filii, sed incolumes vobis manent, eosque postmodum conspicietis, cum ad exitum temporalis hæc vita pervenerit, gaudentes et exsultantes non in brevi hac ætate, sed in perfectione plenitudinis Christi, ut scriptum est [88]. Quamobrem hortamur et obsecramus, ut his vos ipsi cogitationibus revera mulceatis, et immodicum hinc animæ dolorem depellatis. Mensuras enim statuit nobis Dominus: ut et naturalia viscera ostendamus, et legitimos limites non transgrediamur. Alterum enim ad misericordiam Deum movet: alterum providentiæ decretis repugnantes facit. Et alterum rursus eos exhilarat qui excesserunt alterum contristare illos solet, qui requiem adepti sunt. Vult enim unusquisque in propria lætitia lætari, ac non dolere, eos qui amare se dicunt. Nos vero et Dominam Chartulariam, uterum denuo gestaturam credimus, et filium enixuram, non tam cito moriturum, sed diuturnæ vitæ futurum ad generis propagationem: dummodo dolorem moderemur, et pro filio gratiarum oblationes Domino Christo factis verbisque reddamus.

B

C

Λ'. — Νικηφόρῳ πατριάρχῃ. [να'.]

XXX. — *Nicephoro patriarchæ.*

Exponit cur cum ipso non communicet. (Baron. an. 806. n. 15.)

Οὐκ ἀναγκαῖον διὰ γράμματος σημᾶναι τῷ ἀγγέλῳ τῆς μακαριότητός σου, ἃ διὰ στόματος παρηγγέλθη· εἰ καὶ μὴ δι' ἀμφοτέρων ἡμῶν τῶν ταπεινῶν. Ἀλλ' ἵνα μὴ, ἡ χθὲς κατὰ τὴν κέλευσίν σου συνέλευσις τῶν ἐπισκόπων, ἕτερόν τι διδάξασα παρὰ τὰ ἐν αὐτῇ ὑφ' ἡμῶν ῥηθέντα, ἐπιθολώσῃ τὰς ἱερὰς σου ἀκοὰς· ἁρμόζον ἡγησάμεθα ἀνενεγκεῖν ἐν κεφαλαίῳ τὴν ὅλην τῆς ἀπολογίας ἡμῶν σύστασιν. Ἡμεῖς τοίνυν, ὦ μακαριώτατε, ὀρθόδοξοί ἐσμεν κατὰ πάντα· πᾶσαν αἵρεσιν ἀποβαλλόμενοι, καὶ πᾶσαν σύνοδον οἰκουμενικήν τε καὶ τοπικὴν ἐγκεκριμένην ἀποδεχόμενοι· οὐ μὴν ἀλλὰ καὶ τὰς παρ' αὐτῶν ἐκφωνηθείσας ἱερὰς καὶ κανονικὰς διατυπώσεις ἀσφαλῶς κατέχομεν. Μηδὲ γὰρ ὀρθοτομεῖν ἔστι τελείως τὸν λόγον τῆς ἀληθείας, τὸν τὴν πίστιν ὀρθὴν οἰόμενον ἔχειν, τοῖς δὲ θείοις κανόσι μὴ ἀπευθυνόμενον. Καὶ μὴν καὶ τὰς ἐνθέσμους ὑπὸ τῶν ἁγίων κατὰ καιρὸν οἰκονομίας προσιέμεθα· ἐπεὶ καὶ ἡμῶν τῶν ταπεινῶν νῦν τὸ τὴν ἁγιωσύνην σου διὰ τὴν ἐκβολὴν τοῦ οἰκονόμου ἀσπάζεσθαι, οὐ τῶν ἀκριβευομένων ἐστὶ, τῶν δὲ λίαν

Necesse non erat litteris indicare angelo beatitudinis tuæ quæ ore ipso jam significata sunt: quamvis per humiles non ambos non fuissent. Attamen ne, qui hesterno die jussu tuo conventus habitus est episcoporum, diversum aliquid docens ab iis quæ in illo dicta a nobis sunt, sacras aures tuas conturbet, consentaneum duximus summatim totam referre apologiæ nostræ rationem. Nos igitur, o beatissime, orthodoxi sumus in omnibus, omnem hæresim rejicientes, omnemque œcumenicam et localem synodum approbatam recipientes; nec non editas ab eis sacras et canonicas constitutiones arcte complectimur. Neque enim veritatem prorsus tenet is, qui rectam fidem habere se existimans divinis canonibus non regatur. Ad hæc legitimas a sanctis pro tempore usurpatas dispensatione admittimus: quando et nos humiles sanctitatem tuam nunc per œconomi ejectionem amplecti, non exactum jus sectantium est, sed admodum dispensantium, et conspirantium: et prædecessorem sancti-

D

[88] Ephes. IV 13.

tatis tuæ sanctissimum patriarcham eadem ratione suscepimus, in hoc ipso negotio: quando reversi ab exsilio sumus, disrupto adulterino conjugio, et œconomo sacerdotii munere dejecto. Non sit, aiebamus, nobis pars tecum, neque hic, neque in futuro sæculo, propterea quod adulter promiscue a sanctitate tua participarit. Contra autem illo dicente: Dispensatione usus sum, ut etiam imperitrem ad tempus: deinde hæc subjiciente. Utinam manus mihi abscissæ fuissent, ne adulteros coronarem! Nunquid ego prorsus coronavi? propterea cum eo communicavimus usque ad obitum ipsius: et sanctitatem tuam rursum suscepimus ad dignitatem archiepiscopatus: quemadmodum mentionem ejus quotidie facimus in sacrificio; nec alia re discrepamus, quam propter œconomum per sacros canones depositum multis modis; ac præcipue quod post novem annorum excommunicationem iterum sacris operetur; neque id in abdito; ferendum enim esset nobis ejus rei minime conscüs; sed in ipso fonte sacerdotii nostri, hoc est cum sincera conversatione tua, assidue pergens ad sacrificandum.

Igitur justum et sanctum ac sine scandalo populo Dei fuerat, imprimisque ordini nostro, ejici et privari sacerdotio, qui indigne prosiliit, nobis sanctitatis tuæ memoriam servantibus, et ab omni episcopo et sacerdote, qui manifesto reprobus non sit, communicantibus, juxta Theologum. Quod si propter peccata nostra id factum non est: utinam nihil a sanctitate tua (non ex metu, sed ex rei publicæ commiseratione istud non quantumcunque humiles dicimus) præter fas et contra rationem fiat! Verumenimvero nos perferemus quidem Dei virtute: atque utinam id nobis contingat ejus concessu! Verum testamur sanctitati tuæ coram Christo, et sanctis angelis audientibus, magnum a te schisma conflari in Ecclesia nostra. Quod si potestati subjicimur ut homines: atqui sub sacrorum et divinorum canonum potestate, velimus, nolimus et regimur, et obsequemur. Cæterum oramus sanctitatem tuam, flecte aurem tuam, et audi vocem nostram: ut peritus medicus, ut pastor bonus ovem prohibe a sacrificio, et omnes a scandalo redime; ne unius scabie tota Ecclesia nostra inficiatur, quam acquisivit Dominus et Deus noster sanguine suo. De nugis enim nugentur qui voluerint, et calumnientur sycophantæ. Parati sumus ad omnem defensionem, omnemque refutationem accusatoriæ objectionis. Amici et laudatores tui sumus: in primisque piissimorum et triumphatorum dominorum nostrorum. Cumque tales simus, quamobrem turbatio? qua de causa evenient quæ eventura sunt, si quidem contraria Dei præceptis? Tribue nobis sacras preces tuas.

A οἰκονομούντων καὶ συνερχομένων. Καὶ τὸν προηγησάμενον τὴν ἁγιωσύνην [Reg. τῆς ἁγιωσύνης] σου ἁγιώτατον πατριάρχην τῷ λόγῳ τούτῳ ἐδεξάμεθα εἰς τὴν προκειμένην ὑπόθεσιν· ἡνίκα ἐπανήλθομεν τῆς ἐξορίας· διαῤῥαγείσης μὲν τῆς μοιχικῆς συναφείας, εἰρχθέντος δὲ τοῦ οἰκονόμου τῆς ἱερουργίας. Ὅτι μὴ ἔστω ἡμῖν μέρος· ἕνεκεν τοῦ ἀδιαφόρως ὑπὸ τῆς ἁγιότητός σου μεταλαμβάνειν τὸν μοιχεύσαντα· μήτε ἐν τῷ νῦν αἰῶνι, μήτε ἐν τῷ μέλλοντι. Ἤδη εἰπόντος αὐτοῦ, ὅτι οἰκονομίᾳ ἐχρώμην, καὶ αὐτῷ τῷ μεταδιδόναι ἕως καιροῦ· εἶτα καὶ οὕτω δηλώσαντος, ὅτι αἱ χεῖρές μου κεκομμέναι ἂν ὑπῆρχον εἰς τὸ μοιχικὸν στεφάνωμα· ἢ ἐγὼ ὅλως ἐστεφάνουν; ἐπὶ τούτοις τοίνυν κεκοινωνήκαμεν αὐτῷ μέχρι κοιμήσεως αὐτοῦ, καὶ τὴν ἁγιωσύνην σου πάλιν ἀπεδεξάμεθα
B εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα· καθὼς καὶ μνημονεύομεν αὐτῆς ἐν τῇ ἱερουργίᾳ καθεκάστην· καὶ ἐν οὐδενὶ τὸ ἀμσιβάλλον ἢ διὰ τὸν οἰκονόμον καθῃρημένον ὄντα ὑπὸ τῶν ἱερῶν κανόνων πολυτρόπως· καὶ μάλιστα μετὰ τὸν ἀφορισμὸν τῆς ἐνναετίας πάλιν ἱερουρλεῖν, καὶ οὐκ ἐν ἀποβύστῳ που· ἦν γὰρ ἂν φορητὸν, μὴ κοινωνούντων ἡμῶν τῷ πράγματι· ἀλλ' ὅτι ἐν αὐτῇ τῇ πηγῇ τῆς καθ' ἡμᾶς ἱερωσύνης, τὸ δὴ λεγόμενον, μετὰ τῆς εἰλικρινοῦς σου πολιτείας, συνεισιέναι καὶ συλλειτουργεῖν εἰς τὸ ἀεί.

Τὸ μὲν οὖν δίκαιον καὶ ὅσιον καὶ ἀσκανδάλιστον τοῖς λαοῖς τοῦ Θεοῦ, καὶ μάλιστα τῷ καθ' ἡμᾶς τάγματι, ἐκβληθῆναι τῆς ἱερουργίας τὸν ἀναξίως εἰσελθόντα, ἡμῶν μνημονευόντων τῆς ἁγιωσύνης, σου, καὶ ἐκ παντὸς ἱεράρχου καὶ ἱερέων κοινωνοῦντων,
C μὴ προδήλως ὄντων ἀπεγνωσμένων, κατὰ τὸν Θεολόγον. Εἰ δὲ τοῦτο οὐδαμῶς διὰ τὰς ἁμαρτίας ἡμῶν· μὴ ἵνα τι γένηται· οὐκ ἐκ φόβου ὁ λόγος, ἀλλ' ἐξ οἴκτου τοῦ κατὰ τοῦ κοινοῦ· ἐν τῇ ταπεινώσει ἡμῶν παρὰ τῆς ὁσιότητός σου ἀκανόνιστον καὶ ἄθεσμον· ἐπεὶ ἡμεῖς μὲν ὑποστησόμεθα δυνάμει Θεοῦ· ὅπερ ἂν καὶ συμβαίη παραχωρήσει αὐτοῦ. Μαρτυρόμεθα δὲ τῇ ἁγιωσύνῃ σου κατενώπιον Χριστοῦ ἐν ἀκροάσει τῶν ἁγίων ἀγγέλων, ὅτι μέγα σχίσμα ἐργάζῃ ἐν τῇ
D καθ' ἡμᾶς Ἐκκλησίᾳ. Καὶ εἰ ἐξουσίᾳ χρώμεθα ἄνθρωποι ὄντες· ἀλλ' ὑπὸ τῆς ἐξουσίας τῶν ἱερῶν καὶ θείων κανόνων, νοητῶς καὶ μὴ βουλόμενοι, κἂ ἀρχόμεθα καὶ πεισόμεθα. Ἀλλὰ δεόμεθά σου τῆς ὁσιότητός· κλῖνον τὸ οὖς σου, καὶ ἐπάκουσον τῆς φωνῆς ἡμῶν. Ὡς ἰατρὸς ἐπιστήμων, ὡς ποιμὴν ἀγαθὸς, τὸ ἓν πρόβατον εἶρξαι τῆς ἱερουργίας, καὶ τὰ ὅλα ἀσκανδάλιστα κερδῆσαι· καὶ μὴ τῇ τοῦ ἑνὸς ψώρᾳ λυμανθῆναι τὴν καθ' ἡμᾶς Ἐκκλησίαν, ἣν περιεποιήσατο ὁ Κύριος καὶ Θεὸς ἡμῶν τῷ οἰκείῳ αἵματι. Περὶ γὰρ φλυαριῶν φλυαρείτωσαν οἱ βουλόμενοι· καὶ συκοφαντείτωσαν οἱ συκοφάνται. Ἕτοιμοί ἐσμεν πρὸς πᾶσαν ἀπολογίαν, πρὸς πᾶσαν διάλυσιν προτάσεως κατηγορητικῆς. Φίλοι καὶ ὑμνηταί σου ὑπάρχομεν· καὶ μάλα γε τῶν εὐσεβεστάτων καὶ καλλινίκων ἡμῶν δεσποτῶν. Καὶ ὄντων ἡμῶν οὕτως, τινος ἕνεκεν ἡ ταραχή; οὗτινος χάριν συμβήσεται ἃ συμβήσεται, εἴπερ ἐναντία τῶν τοῦ Θεοῦ προσταγμάτων; Χάρισαι ἡμῖν τὴν ἱεράν σου προσευχήν.

ΛΑ'. — Τοῖς ἐν τῷ Σακκουδίωνι ἀδελφοῖς. [νη'.]

XXXI. — *Fratribus qui sunt in Saccudione.*

Hortatur ad constantiam adversus sacrarum legem prævaricatores. (Baron. an. 808, n. 2.)

Ἕως μὲν ἦν καιρὸς τοῦ οἰκονομεῖν καὶ κρύπτειν τὴν ὑπόθεσιν τῆς ἀκοινωνησίας Ἰωσὴφ τοῦ οἰκονόμου, ἐποιοῦμεν τοῦτο, τέκνα καὶ ἀδελφοί, οὐκ ἐκ φόβου κρατούμενοι, κἂν ἁμαρτωλοὶ τυγχάνωμεν, ἀλλ' ἐξ οἰκονομικῆς συγκαταβάσεως · ἐκμιμούμενοί πως τοὺς ἁγίους Πατέρας ἡμῶν · καθὰ κἀκεῖνοι ἐν καιρῷ τῷ δέοντι χρώμενοι, ταύτῃ ὑπεξήγαγον ἑαυτοὺς τῶν πειρασμῶν · ὁτὲ μὲν φειδόμενοι τῶν ἀσθενεστέρων καὶ κακούντων · τὸ δὲ μικρὸν ὑπενδιδόντες κυβερνητικῶς · ἵνα τὸ ζητούμενον μικρὸν ὕστερον ἀντιλάβωσι κατόρθωμα. Ἐπὰν δὲ νῦν εὐδόκησεν ἀγαθὸς ἡμῶν Θεὸς εἰς προῦπτον ἐκβῆναι τὴν ὑπόθεσιν φανερῶς, ἄρτι καὶ γράφομεν. Πῶς δέ ; διὰ τῆς τοῦ λογοθέτου τοῦ Δρόμου (23) ἐπερωτήσεως, καὶ τῆς πρὸς αὐτὸν τοῦ ἀρχιεπισκόπου ἀποκρίσεως. A

Quandiu tempus fuit dissimulandi, et occultandi consilium non communicandi cum Josepho œconomo, fecimus id, filii ac fratres, non metu correpti quamvis peccatores simus : sed dispensatorie condescendentes, imitantesque quodamm odo sanctos Patres nostros, quatenus et illi opportuno tempore idem observantes, subduxerunt seipsos tentationibus ; partim quidem, ut infirmioribus et vexantibus parcerent, partim ut aliquantulum remittentes, gubernatorum more, scopum postmodum attingerent. Nunc vero postquam optimo nostro Deo sic visum est, ut in apertum res prodiret, scribimus et ipsi. Quomodo autem ? Per logothetæ Dromi interrogationem et archiepiscopi responsionem.

Φησὶ γὰρ, Διὰ τί ἕως τοῦ παρόντος οὐ συνεκοινώνησας ἡμῖν, καὶ τῷ πατριάρχῃ, τοσούτων ἑορτῶν διελθουσῶν ; καὶ ὅτι εἶπὲ παῤῥησίᾳ τὸ αἴτιον. Καὶ ὡμολόγησεν ὁ ἀρχιεπίσκοπος, καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν · ὅτι οὔτε πρὸς τοὺς εὐσεβεῖς ἡμῶν βασιλεῖς ἔχω τι, οὐδ' αὖ πρὸς τὸν πατριάρχην . ἀλλὰ πρὸς τὸν οἰκονόμον, τὸν στεφανώσαντα τὸν μοιχὸν, καὶ διὰ τοῦτο καθῃρημένον παρὰ τῶν ἱερῶν κανόνων. Πρὸς οἷς ἀπόκρισις τοῦ λογοθέτου · ὅτι οἱ εὐσεβεῖς ἡμῶν βασιλεῖς χρείαν σου οὐκ ἔχουσιν · οὔτε ἐν Θεσσαλονικῇ, οὔτε ἄλλῃ. B

Sic enim ille : Cur hactenus, inquit, nobiscum non communicas, nec cum patriarcha : cum tot dies festi præterierint ? Dic causam confidenter, et confessus est archiepiscopus, et non negavit, et confessus est : Neque adversus pios imperatores nostros quidquam habeo, neque rursus adversus patriarcham : sed adversus œconomum, qui adulterum coronavit, ideoque depositus est sacris canonibus. Ad quæ logotheta : Pii imperatores nostri te opus non habent, nec Thessalonicæ, nec alibi.

Ἕως τούτου μήτε εὐθὺς ἀνταποκρίσεως δοφείσης, μήτε ἑτέρας ἐρωτήσεως προταθείσης ἕως τοῦ παρόντος διελθουσῶν ἡμερῶν δεκατριῶν · ἢ μόνον, ὅτι πεπόμφαμεν γράμματα πρὸς τὸν κῦριν Συμεών · ἃ ἔνδον τῶν γραμμάτων ἐστείλαμεν · πρὸς τὸ διαγνῶναι ὑμᾶς τὴν ὅλην δύναμιν τοῦ πράγματος. Ἐξηχήθη δὲ ἡ ὑπόθεσις ἐπί τε τοῦ πατριάρχου, καὶ πάσης τῆς πόλεως σχεδόν · καὶ εἰσὶ μὲν πολλοὶ συνθλιβόμενοι καὶ συμφθεγγόμενοι ἡμῖν · ἀλλὰ νυκτερινοὶ θεοσεβεῖς, καὶ μὴ δυνάμενοι ἐν φωτὶ παῤῥησιασθῆναι. Ἡμεῖς δὲ, τέκνα καὶ ἀδελφοὶ, τῇ εἰς Θεὸν πεποιθήσει, καὶ τῇ τῆς ἀληθείας ἐδραιώσει, αὐτῇ τε τῇ προσγεγενημένῃ καὶ ἀποφανθείσῃ ἐκβάσει τοῦ δικαίου κατὰ τὰ ὑποδειχθέντα ἐν τῷ κόσμῳ, εἴς τε τὸν μοιχεύσαντα, καὶ τοὺς συνεργήσαντας · ἀκλινεῖς ἐσμεν τῆς ἐντολῆς καὶ τῶν πατρικῶν κανόνων · καὶ οὐκ ἐνδώσομεν, οὐδὲ προδώσομεν τὴν εὐσέβειαν · οὐδ' οὐ μὴν καταλύσομεν ἃ καλῶς προῳκοδομήσαμεν, διὰ τῆς κατὰ τὴν ἐξορίαν ἐνσάσεως · ἵνα μὴ ἀποδειχθῶμεν παραβάται νόμου · νόμῳ δὲ θείῳ κρατούμενοι κρατουμεν, ὡς προκεκρατήκαμεν, πάντα στέργοντες, πάντα ὑπομένοντες, εἴπερ καὶ παραχωρήσει Θεός · ἢ τῆς ἐκείνου καὶ τῶν αὐτῷ συλλειτουργούντων μετέχοντες κοινωνίας, ἕως ἂν παύσηται ὁ καθηρημένος τῆς ἱερουργίας. Πολλὰ οὖν βαττολογήσουσιν οἱ ἄνθρωποι · ἐμπαίζουσί τε καὶ ἐπιγελάσονται · καί γε τὸ ἐλεεινότερον, τῶν ὁμοσχήC

Post hæc neque responsum amplius datum est, nec interrogatio alia proposita : cum usque ad hunc diem elapsi sint dies tredecim : nisi quod litteras misimus ad dominum Simeonem, quas istis inseruimus, ut totius rei naturam cognoscatis. Pervenit autem res ad patriarchæ aures, et totius ferme civitatis. Et sunt sane multi qui nobiscum affligantur et consentiant, sed nocturni Dei cultores, qui in sole libertatem ostendere non possint, Nos vero, filii et fratres, fiducia in Deum nixi, et veritatis fundamento, ipsoque præterito, et palam agnito justitiæ eventu, in iis quæ mundus vidit circa adulterum ejusque adjutores : immobiles in mandato paternisque canonibus insistamus : nec dedamus nos, nec prodamus pietatum : neque adeo destruamus quæ per exsilii constantiam recte ædificavimus ; ne legis prævaricatores videamur : divina autem lege innixi vincamus, ut ante vicimus, omnia optantes, omnia sustinentes, si permiserit Deus, potiusquam ut illius eorumque qui cum eo D sacrificant, communionem attingamus, quoad privetur depositus ministerio. Multa igitur blaterabant homines, illudentque et irridebunt : quodque gravius est, ex iis qui ejusdem sunt habitus, et qui amici esse videntur, non pauci. Sed novum nihil : scriptum est : *Et inimici hominus domestici ejus* [89]. Et hi lenocinati sunt subservieruntque adulterinis nuptiis,

[89] Matth. x, 36.

NOTÆ.

(23) Λογοθέτου τοῦ Δρόμου. De cursus publici logotheta seu præfecto, Theophanes, Cedrenus, et alii.

una ederunt, una biberunt, et calamum tinxerunt in exsilium nostrum. Sed Dominus qui tum exsurrexit ad ultionem legis suæ, adulteri quidem regnum cæcitate perfregit, socios autem ignominia perfudit, sicut sacerdotes Baal; nos denique humiles præter spem ad monasterium nostrum reduxit : ipse idem nunc adest : ipse, quamvis ad breve spatium permiserit iterum nefariam conjunctionem ; attamen rursus improbare dignatus est lætitiam copulantium adulteros, eosdemque amantium Nazaræorum, per æquissimum judicium piorum imperatorum nostrorum : qui reddiderunt post mortem adulterum legitimæ conjugi suæ, adulteram apellantes eam quæ mœchata fuerat, et prolem ejus adulterinam exhæredem relinquentes, tanquam illegitimam et injustam ; ut ipsimet, me audiente, affirmarunt, juxta leges Romanas. Et tamen qui scelus petrarunt non se abdunt : nec latebras quærit, qui in sacris precibus, in conjugum coronatione usitatis, adversus sanctum Spiritum blasphemavit : sed insiliit, felis instar, in Ecclesiam Dei : rursus exsultat, rursus incipit sacra polluere suo sacrificio, et iniquitatem justitiam esse probare nititur, et, quod dicit solet, se ipsum ostendere Præcursore ac Baptista sanctiorem. Cum enim reprehenderit ille Herodis adulterium, et pro veritate mortem oppetierit, hic secundum Herodem adulterio patefactum et coronavit, et complexus est usque ad mortem, non quidem verbis, sed factis ipsis prædicans errasse Joannem Præcursorem : qui injuste et inepte arguerit, mortuusque sit. Quid autem Joannem dico maximum omnium sanctorum ? Christo ipsi (quod temerarium est dictu) contradixit repugnavitque impio ore suo. Nam cum adulterum vocet Christus eum qui legitimam uxorem dimittit : adulteriumque sit grave peccatum, homicidæ par, masculorumque et brutorum concubitori, veneficio et idololatræ, ut docet canon sancti Basilii [90] ; hic illum ad altare ducens, in totius populis corona impias illas contra Spiritum sanctum voces edere ausus est ; considerate quam horrendas, quam absurdas : « Tu, Domine, mitte manum tuam ex sancto habitaculo tuo, et conjunge famulo tuo famulam tuam, connecte illos in mutuam concordiam : uni eos in carnem unam, quos tibi placuit inter se copulari : honorabiles nuptias redde, immaculatum eorum torum custodi : ipsorum contubernium intaminatum in corde puro permanere concede. »

Non exhorruistis hæc audientes ? Quantam censetis Spiritus sancti indignationem fuisse ob ejusmodi blasphemiam ? Quam graviter una succensuisse angelos sanctos ? Aut quomodo non statim velut Dathan et Abiron, absumpsit dehiscens terra

μων, καὶ ὁμοταγῶν, καὶ δοκούντων εἶναι φίλων, οὐκ ὀλίγοι. Ἀλλ' οὐδὲν ξένον. Γέγραπται· « Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ αὐτοῦ. » Καὶ ὅτι αὐτοὶ ἐμαστρόπησαν, καὶ συνήργησαν, καὶ συνέφαγον, καὶ συνέπιον τῷ μοιχικῷ γάμῳ, καὶ τὸν πάλαμον ἔβαψαν ἐπὶ τῇ ἐξορίᾳ ἡμῶν. Ἀλλ' ὁ ἐξεγερθεὶς Κύριος τότε εἰς ἐκδίκησιν τοῦ νόμου αὐτοῦ · καὶ ῥήξας μὲν τὴν τοῦ μοιχεύσαντος μασιλείαν τῇ ἐκτυφλώσει, καταισχύνας δὲ τοὺς συλλήπτορας, ὡς τοὺς τοῦ Βάαλ ἱερεῖς · ἐπισυνάγων δὲ τὴν ἡμετέραν ταπεινωσιν εἰς τὸ ἴδιον μοναστήριον παρ' ἐλπίδας · αὐτὸς καὶ νῦν πάρεστιν, αὐτὸς, εἰ καὶ πρὸς μικρὸν παρεχώρησε πάλιν τὴν ἀθέμιτον συμπλοκήν · ἀλλ' αὖθις εὐδόκησεν ἀποδοκιμασθῆναι τὴν ἐπιχαρμονὴν τῶν μοιχοζευκτῶν καὶ μοιχοφίλων Ναζιραίων, διὰ τῆς τῶν εὐσελῶν ἡμῶν βασιλέων δικαιοκρισίας · ἀποδωσάντων, μετὰ τὸν θάνατον, τὸν μοιχὸν τῇ νομίμῳ αὐτοῦ γαμετῇ · ἀποκαλεσάντων δὲ τὴν μαχλῶσαν, μοιχαλίδα · καὶ τὸ μοιχογέννητον τέκνον ἐασάντων ἀκλῆρον, ὡς ἀθέμιτον καὶ ἀνομώτατον · ὡς ἐν ἐπηκόῳ μοι τὸ τίμιον αὐτῶν στόμα λελάληκε, κατὰ τοὺς Ῥωμαϊκοὺς νόμους. Ἀλλ' ὅμως οἱ ἀνομήσαντες οὐκ ἐγκαλύπτονται · οὐδὲ ὁ κατὰ τοῦ ἁγίου Πνεύματος δυσφημήσας ἐν τῇ κατὰ τὴν στεφανικὴν συνάφειαν ἱερᾷ προσευχῇ, καταδύεται · ἀλλ' εἰσπηδήσας ὡς ἔλουρος [αἴλουρος] ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ πάλιν ἅλλεται, καὶ παλιν ἄρχεται μιαίνειν τὰ ἅγια διὰ τῆς ἱερουργίας · καὶ φιλονεικεῖ νὴν ἀνομίαν δικαιοσύνην γνωρίσαι · καὶ τὸ δὴ λεγόμενον, ἀποδεῖξαι ἑαυτὸν τοῦ Προδρόμου καὶ Βαπτιστοῦ ὁσιώτερον. Ἐνείνου γὰρ ἐλέγχοντος τὴν τοῦ Ἡρώδου μοιεχίαν, καὶ ὑπὲρ ἀληθείας θνήσκοντος · οὗτος τὸν δεύτερον Ἡρώδην τῇ μοιχείᾳ δεδειγμένον, καὶ ἐστεφάνωσε, καὶ κατησπάσατο μέχρι σανάτου . λόγοις μὲν οὔ, ἔργοις δὲ αὐτοῖς φθεγγόμενος, ὡς πεπλάνηται Ἰωάνης ὁ Πρόδρομος, ἀνόμως καὶ ἀκαίρως διελέγξας καὶ ἀποθανών. Καὶ τί δὴ λέγω Ἰωάννην τὸν μείζω πάντων ἁγίων ; αὐτῷ τῷ Χριστῷ, εἰ καὶ τολμηρὸν εἰπεῖν, ἀντεφθέγξατο καὶ ἀπεμαχήσατο διὰ τοὸ ἐναγοῦς αὐτοῦ στόματος. Τοῦ γὰρ Χριστοῦ μοιχὸν ἀποκαλέσαντος τὸν ἀφιέντα τὴν νόμιμον γυναῖκα (μοιχεία δὲ τὸ χαλεπὸν ἁμάρτημα, καὶ ἰσοδύναμον φονέως, καὶ ἀῤῥενοφθόρου, καὶ ἀλογευομένου, καὶ φαρμακοῦ, καὶ εἰδωλολάτρου, ὡς ὁ κανὼν τοῦ ἁγίου Βασιλείου), αὐτὸς τοῦτον τῷ θυσιαστηρίῳ παραστήσας, μέσον παντὸς τοῦ λαοῦ, ἐτόλμησε ῥῆξαι τὰς ἐναγεῖς ἐκείνας φωνὰς κατὰ τοῦ ἁγίου Πνεύματος, λέγων οὕτως · καὶ σκοπεῖτε τὸ φοβερὸν καὶ ἔκτοπον · Αὐτὸς, Δέσποτα, « ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἅρμοσον τῷ δούλῳ σου τὴν δούλην σου · σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ · ἕνωσον αὐτοὺς εἰς σάρκα μίαν, οἷς εὐδόκησας συναφθῆναι ἀλλήκοις. Τίμιον τὸν γάμον ἀνάδειξον · ἀμίαντον τὴν κοίτην αὐτῶν διατήρησον · ἀκηλίδωτον αὐτῶν τὴν συμβίωσιν διαμεῖναι εὐδόκησον ἐν καθαρᾷ τῇ καρδίᾳ. »

Οὐκ ἄρα ἐφρίξάτε συνιέντες ; Πόσον δοκεῖτε παροξυνθῆναι τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῇ βλασφημίᾳ ταυτῃ; καὶ συνοργισθῆναι τοὺς ἁγίους ἀγγέλους ; ἢ πῶς οὐ παραυτίκα ὡς τὸν Δαθὰν καὶ Ἀβειρὼν ὑπέλαβεν ἡ γῆ γανοῦσα τὸν ὑφηγητὴν τοῦ ψεύδους, καὶ δεικνύντα

[90] *Epsit. ad Amphiloch.* can. 7.

τὸ σκότος φῶς, καὶ τὸν Χριστὸν εἰς ἐναντιολογίαν ἑαυτῷ περιπίπτειν πειρώμενον; Πάντως γὰρ ὅσα ὁ ἱερεὺς ὑποφαίνει, ταῦτα καὶ ὁ Θεὸς κυροῦν ἐπαγγέλλεται, κατὰ τὸν μέγαν Διονύσιον. Ἀλλ' ὅμως τοιοῦτον δράσας πονηρὸν, καὶ δοὺς ὑπόδειγμα κακίας τοῖς ὑποχειρίοις εἰς ὁμοτροπίαν· ὃ καὶ γέγονε· μᾶλλον δὲ καὶ τοῖς πόρρω κρατοῦσι καὶ ἄρχουσιν· ὃ καθ' ὁμοίωσιν ἐτελέσθη ἐν τῇ Λογγοβαρδίᾳ, καὶ Γοτθίᾳ, καὶ τοῖς κλίμασιν αὐτῆς· οὐδὲ γὰρ ἐν τοῖς ἔθνεσι νοιοῦτόν τι τετόλμηται· καὶ οὐ καταισχύνεται ὁ δείλαιος· ἀλλ', ὡς εἴρηται, λειτουργεῖ ὁ ἀνίερος· καὶ τοὺς καλῶς αὐτὸν ἀποστρεφομένους ἐξορίψειν κατεπείγεται. Κύριος δὲ βοηθὸς τῶν ὑπὲρ τῆς ἐντολῆς αὐτοῦ ἐνισταμένων, ὃς παρακαλέσει τὰς καρδίας τῶν εὐσεβῶν ἡμῶν βασιλέων, ποιῆσαι τὴν ἐκδίκησιν τῆς Ἐκκλησίας αὐτοῦ, καθάπερ ἐπὶ τοῦ μοιχοῦ, ἵνα καὶ τοῦτον εὐδοκήσῃ ἐκβληθῆναι τῆς ἱερουργίας· ἐπί τε λυσιτελείᾳ τοῦ ἁγιωτάτου πατριάρχου, καὶ πάσης τῆς καθολικῆς Ἐκκλησίας.

Διὸ θαρσεῖτε, τέκνα καὶ ἀδελφοί· καὶ μὴ δείσητε, μηδὲ καταπέσητε. Καιρὸς ὁμολογίας, καιρὸς ἐνστάσεως, καιρὸς ἀθλήσεως, τυχὸν καὶ ἄλλων παθημάτων· ἀλλὰ καὶ στεφάνων καὶ δόξης ἐπουρανίου. Φησὶ γάρ· Ἀλλ' ἤ τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται. Καί, Μακάριοι οἱ μὴ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν αὐτοῦ. Διο, Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῖν τοῖς ὑπομένουσι πολὺς ἐν τοῖς οὐρανοῖς· τῶν ἔργων ὑμῶν ἔχεσθε. Τῶν βασιλέων ἡμῶν ὑπερεύχεσθε, τοῦ ἀρχιερέως, τοῦ ἐκβληθῆναι τὸν Ἰωσὴφ ἐκ τοῦ θυσιαστηρίου, τῆς εἰρήνης τῆς Ἐκκλησίας· πορευόμενοι ἐν ὁδῷ ἀμώμῳ, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσαντες σφόδρα· ἐν πάσῃ καλῇ καταστάσει, καὶ κανονικῇ διαβιώσει· ἕως ἂν ἀκούσητέ τι πλέον, ἢ καὶ ἡμεῖς σημανοῦμεν. Ὁ Χριστὸς μεθ' ὑμῶν· ἡ Θεοτόκος σκέπουσα ὑμᾶς· ὁ Πρόδρομος καὶ ὁ Θεολόγος φρουροῦντες ὑμᾶς· οἱ ἅγιοι πάντες τῇ εὐχῇ τοῦ Πατρός μου καὶ Πατρὸς ὑμῶν. Πάντας προσαγορεύω κατ' ὄνομα· ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔστω μετὰ πάντων ὑμῶν, τέκνα ἠγαπημένα. Ἀμήν.

A mendacii promulgatorem; qui tenebras lucem dicit, et Christum in contrarias sententias pertrahere conatur? Prorsus enim quæcunque enuntiat sacerdos, eadem Deus confirmare ac rata habere se profitetur, juxta magnum Dionysium. Attamen qui flagitium hoc commisit, quique improbitatis exemplum subditis ad imitationem præbuit, ut res ipsa docet; quin etiam procul positis principibus et ducibus: sicut jam imitando factum est in Longobardia et Gotthia ejusque confinibus [91]: non enim apud gentiles tale quid perpetratur: neque erubescit miser, sed sacrificat, sicut dictum est, profanus: et eos ipsum merito aversantur, relegare conatur. Dominus autem adjutor eorum qui pro ejus mandato decertant: qui inflectet corda B piorum imperatorum, ut vindices ac præbeant Ecclesiæ suæ quemadmodum in adultero: ejicique hunc placeat sacro ministerio, prout expedit sanctissimo patriarchæ totique Ecclesiæ catholicæ.

Quamobrem confidite, filii ac fratres: et ne terreamini, nec succumbite. Tempus confessionis, tempus resistentiæ, tempus certaminum, aliorumque fortasse afflictionum, sed et coronarum, et gloriæ cœlestis. Ait enim: *Sed glorificantes me glorificabo, et qui contemnit me erit ignobilis* [92]. Et: *Beati qui non declinant a mandatis ejus* [93]. Ideo *Gaudete et exsultate, quoniam merces vobis*, cum sustinueritis, *multa est in cœlis* [94]. Operibus vestris intenti estote. Pro imperatoribus nostris orate: pro patriarcha, ut ejiciatur Joseph ab altari; pro pace Ecclesiæ: C ambulantes in via immaculata [95], in mandatis ejus volentes nimis [96]: in omni honesta constitutione et canonica conversatione: quoad aliquid amplius audiatis, aut a nobis significetur Christus sit vobiscum; Deipara protegens] vos: Præcursor et Theologus custodientes vos; sancti omnes, precibus Patris mei, ac Patris vestri. Omnes salute nominatim. Gratia Domini nostri Jesu Christi sit cum omnibus vobis, filii dilecti. Amen.

ΛΒ'. — Νικολάῳ Χαρτουλαρίῳ.

XXXII. — *Nicolao Chartulario.*

Quantopere pacem optet Ecclesiæ: et quam bene in patriarcham sit affectus. (Baron. an. 809, n. 2.)

Ὑπελάβομεν πῶς ἀπεχθῶς ἔχειν τὴν μεγάλην D σου εὐσέβειαν, πανπόθητε ἡμῶν δέσποτα, πρὸς τὴν ταπείνωσιν ἡμῶν, διά τινα παρεμπίπτουσαν ὑπόθεσιν. Ἀλλ' ὄντως ἔδειξας ἐν τῷ παρόντι καιρῷ καθαράν σου τὴν τιμίαν ψυχὴν πάσης δυσμενείας· οὐ μὴν ἀλλὰ καὶ πάσης θεοσεβείας πεπληρωμένην· ἐν τῷ γοργὸν καὶ θερμόν σε γενέσθαι εἰς τὸ, χάριν εἰρήνης τῆς Ἐκκλησίας τοῦ Θεοῦ, εὐθὺς ἀπὸ πρώτης ἡμῶν παρακλήσεως κινηθῆναι πρὸς συνάφειαν τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου. Τοῦτο γνώρισμα εἰλικρινοῦς φιλίας· τοῦτο ἴδιωμα ἀνθρώπου θεοφόβου· τοῦτο ἀπόδειξις ἐναργοῦς ζήλου ἀληθείας. Καὶ γοῦν ἀποδώσειέ σοι Κύριος· εἰ καὶ μηδέν τι γένηται,

Suspicabar quodammodo magnam pietatem tuam, domine mi desideratissime, alieniore animo esse ab humilitate nostra ob causæ alicujus interventum. Sed revera hoc tempore ostendisti, vacuam omni odio esse venerandam animam tuam, plenamque adeo omni pietate: quando te promptum ac paratum docuisti, ut pacis Ecclesiæ Dei studio, statim ac primum hortati sumus, applicares te ad conjunctionem sanctissimi patriarchæ nostri. Hoc indicium sinceræ amicitiæ, hoc proprium hominis Deum timentis: hæc aperta demonstratio zeli veritatis. Itaque retribuet tibi Dominus, tametsi nihil fiat, integram justitiæ mercedem. Non enim ex

[91] Supra in Theodori Vita, pag. 16, n. 19. [92] I Reg. II, 30. [93] Psal. CXVIII, 21. [94] Matth. v. 1. [95] Psal. C, 6. [96] Psal. CXI, 1.

rerum exitu, sed ab earum intentione, seu laudabili, seu secus, solet Deus præmia decernere facientibus. Lucratus ergo eo temporis puncto non aurum et argentum, sed juges thesauros cœlestis retributionis. Oramus autem, et hortamur amplius, ut pergas in incœpto; ut tu quidem thesaurum prædivitem acquiras, nos vero humiles conspectu patriarchæ fruamur, aut potius ut Ecclesia Dei tua opera pacem adepta multas tibi laudum coronas nectat: nec pluribus verbis est opus. Quoniam autem jussisti significare nos, qui sentiat humilitas nostra. jam sine fuco, excellentiæ tuæ coram Domino, qui occulta novit, significamus. Nulla nobis est cum patriarcha de communione dubitatio, præterquam œconomi causa, eo quod depositus sit per divinos canones. Et quando prohibebitur a sacro ministerio sicut antea Dei beneplacito, et sanctissimi patriarchæ, piorumque dominorum nostrorum; nimirum quia œconomus est, et honorem gerit; tum protinus simul sacrificabimus et communicabimus, et manum porrigemus, nihil inquirentes de triennio hoc, quo cum eo sacris operatus est, pacis studio: neque id metu aliquo, sed communis utilitatis et salutis gratia.

καὶ συλλειτουργοῦμεν, καὶ συγκοινωνοῦμεν, καὶ χειροτονούμεθα, μηδὲν ἐπιζητοῦντες, περὶ τῆς ἐν τοῖς τρισὶ χρόνοις τούτοις συλλειτουργίας αὐτοῦ, οἰκονομίας χάριν, οὐ διὰ φόβον, ἀλλὰ διὰ τὸ κοινωφελὲς καὶ σωτήριον.

Silent enim linguæ mendaces, adversus Dei pacem incitatæ et dicant, nos, postquam, dejectus sacerdotio fuerit œconomus, accusationem aggressuros antistitis nostri, ut qui cum deposito jam sacrificavit; deinde etiam decessoris sanctissimi patriarchæ: labia dolosa, quæ hæc loquuntur: calumuniatorum: invidorumque hominum inventum, et qui sanari nolint inflictum vulnus Ecclesiæ. Nullo modo: absit! et patriarcham qui præcessit suscepimus, et suscipimus, ideoque ad mortem usque cum eo communicabimus; et sanctissimum qui nunc est patriarcham et suscepimus, et suscipimus: pro eo etiam offerimus quotidie. Arceatur a sacris œconomus, qui adulterum coronavit, et nos, ut antea diximus, cum eo sacrificamus, si jubet in Ecclesia catholica, juxta gradum nostrum unusquisque. Quod quidem si fiat, gaudium in cœlo fuerit, pax in Ecclesia Dei, quæ apud nos est. Tolletur schisma, concordia palam enitescet, archiepiscopus noster laudibus ornabitur: adeo ut ad posteros transeat ejus encomium Potentissimi imperatores nostri una cum pretiosis infulis suis angelica etiam laude coronabuntur. *Sacerdotes induent justitiam* multoque magis *sancti* (monasticum ordinem loquor) *cum exsultatione exsultabunt* [97]. Dominus noster quod et quale bravium accipiet? quid dicere oportet? et quid non majus fiet? quid jucundi non accedet? Dicamus et hoc: œconomus ipse celebrabitur, et laudibus efferetur: magnamque hoc pacto misericordiam consequetur tum in hoc,

Σιγάτωσαν γὰρ αἱ ψευδοκατήγοροι γλῶτται, κατὰ τῆς εἰρήνης τοῦ Θεοῦ κινούμεναι· ὅτι, ἐπὰν εἰρχθῇ τῆς ἱερουργίας ὁ οἰκονόμος, ἐπιδραξόμεθα αἰτίας κατενεγκεῖν τὸν ἀρχιερέα ἡμῶν, ὡς ἤδη τῷ καθῃρημένῳ συλλειτουργήσαντα· ἔπειτα τὸν προηγησάμενον ἀγιώτατον πατριάρχην· χείλη δόλια, τὰ λαλοῦντα τὰ τοιαῦτα· ἀνθρώπων συκνφαντῶν καὶ φθονερῶν τὸ δρᾶμα· καὶ μὴ θελόντων εἰς ἴασιν ἐλθεῖν τὸ προσπεσὸν ὄφλημα τῇ Ἐκκλησίᾳ. Μηδαμῶς· μὴ γένοιτο! καὶ τὸν πατριάρχην τὸν προηγησάμενον καὶ ἐδεξάμεθα καὶ δεχόμεθα, διὸ καὶ ἕως θανάτου συνκοινωνοῦμεν αὐτῷ· καὶ τὸν νῦν ἁγιώτατον ἀρχιερέα καὶ ἐδεξάμεθα καὶ δεχόμεθα· ἐπὶ τούτῳ γὰρ καὶ ἀναφέρομεν καθ' ἑκάστην. Ὁ οἰκονόμος εἰρχθήτω τῆς ἱερουργίας ὁ τὸν μοιχὸν στεφανώσας· καὶ, ὡς προδεδηλώκαμεν, συλλειτουργοῦμεν αὐτῷ, εἰ κελεύει, ἐπὶ τῆς καθολικῆς Ἐκκλησίας, ἕκαστος κατὰ τὴν οἰκείαν ἡμῶν τάξιν. Καὶ εἰ τοῦτο γένηται, χαρὰ ἐν οὐρανοῖς· εἰρήνη ἐν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ τοῦ Θεοῦ· τὸ σχίσμα ὑποχωρεῖ· ἡ ὁμόνοια ἀναλάμψει τρανῶς, ὁ ἀρχιερεὺς ἡμῶν στεφανωθήσεται τοῖς ἐπαίνοις, καὶ τοσοῦτον ὡς διαδοθῆναι αὐτοῦ τὸ ἐγκώμιον ἕως γενεᾶς. Οἱ κράτιστοι ἡμῶν βασιλεῖς σὺν τοῖς πολυτιμήτοις αὐτῶν διαδήμασι καταστεφανωθήσονται τῇ ἀγγελικῇ εὐφημίᾳ· οἱ ἱερεῖς ἐνδύσονται δικαιοσύνην· ἔτι μᾶλλον, οἱ ὅσιοι, τὸ μοναδικὸν, λέγω, τάγμα, ἀγαλλιάσει ἀγαλλιάσονται. Ὁ δεσπότης ἡμῶν οἷον καὶ ἡλίκον λήψῃ τὸ βράβεῖον, τι δεῖ λέγειν; καὶ τί μᾶλλον οὐ γενήσεται; τί τερπνὸν οὐκ εἰσαχθήσεται; Εἴπωμεν καὶ τοῦτο, ὅτι καὶ αὐτὸς

[97] Psal. CXXXI. 16.

ὁ οἰκονόμος εὑφημηθήσεται καὶ δοξασθήσεται, καὶ κληρονομήσει διὰ τοῦτο μέγα ἔλεος, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. Ἡμεῖς τε οἱ ἁμαρτωλοὶ ἐσόμεθα ὑποπίπτοντες, καὶ προσκυνοῦντες, καὶ ὑπερευχαριστοῦντες, ἔργῳ καὶ λόγῳ τὰ δέοντα ὡς ἀρχιερεῖ ὑπὲρ πάντα ἄνθρωπον, κατὰ τὸ ὀφειλόμενον, συνεισέροντες. Πρὸς δὲ πίστωσιν τῶν εἰρημένων, ποιούμεθα τὸν λόγον ἔγγραφον διὰ πλάτους· ὅτι μετὰ τὴν παῦσιν τῆς ἱερουργίας, κατὰ τὸ πρότερον, ἐὰν μὴ εὐθὺς εἰσέλθωμεν καὶ κοινωνήσωμεν, ὡς προγέγράπται· ἔστω ἡ ψῆφος καθ' ὑμᾶς, εἴ τι βούλεσθε· καὶ μὴ ἐξὸν ἔτι λαλεῖν ἡμᾶς περὶ τῆς ὑποθέσεως. Καὶ ἰδοὺ, οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ὁ δι' ἡμῶν ἔλκων, καὶ συνωθῶν καὶ παρακαλῶν σε.

A tum in futuro sæculo. Et nos peccatores substrati, et adorantes, et gratias agentes, quæ debentur archiepiscopo re et verbo præ omnibus hominibus, ut debemus, deferemus. Ad horum autem faciendam fidem, declarationem prolixam scripto offerimus; ut nisi, postquam a sacrificio cessarit, sicut antea, confestim accedamus et communicemus, ut scriptum est; sit in vestra manu sententia, si quid vultis; et nobis loqui amplius non liceat de hoc negotio. Et ecce non angelus, non homo, sed Dominus ipse, qui te per nos trahit et impellit, et hortatur.

ΛΓ'. — Λέοντι πάπᾳ Ῥώμης. [οβ'.]

XXXIII. — *Leoni papæ Romæ.*

Leonis III papæ opem implorat. (Baron. an. 809, n. 14.)

Τῷ ἁγιωτάτῳ καὶ κορυφαιοτάτῳ Πατρὶ Πατέρων Λέοντι τῷ δεσπότῃ μου ἀποστολικῷ πάπᾳ, Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

B *Sanctissimo et summo Patri Patrum Leoni domino meo papæ apostolico, Theodorus minimus presbyter et præpositus Studiensis.*

Ἐπειδήπερ Πέτρῳ τῷ μεγάλῳ δέδωκε Χριστὸς ὁ Θεὸς μετὰ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τὸ τῆς ποιμενιαρχίας ἀξίωμα· πρὸς Πέτρον ἤτοι τὸν αὐτοῦ διάδοχον, ὅτιοῦν καινοτομούμενον ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ παρὰ τῶν ἀποσφαλλομένων τῆς ἀληθείας, ἀναγκαῖον ἀναφέρεσθαι. Τοῦτο τοιγαροῦν δεδιδαγμένοι καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἐλάχιστοι, ἐκ τῶν ἀνέκαθεν ἁγίων Πατέρων ἡμῶν· ἐπεὶ ὑπήρχθη τις καὶ νῦν καινοτομία ἐν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ· καὶ πρότερον μὲν διὰ μέσου τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου, ἤγουν τοῦ ἀδελφοῦ καὶ συνδούλου ἡμῶν Ἐπιφανίου· καὶ νῦν διὰ τοῦ εὐτελοῦς ἡμῶν γραμματίου ὀφειλόμενον ἡγησάμεθα τῷ ἀγγέλῳ τῆς κορυφαίας σου μακαριότητος ταύτην ἀνενεγκεῖν. Γέγονε τοίνυν, ὦ θειοτάτη τῶν ὅλων κεφαλῶν κεφαλὴ, κατὰ τὸν προφήτην Ἱερεμίαν, σύνοδος ὡς ἀληθῶς ἀθετούντων, καὶ συνέδριον μοιχωμένων. Ὅπερ γὰρ ἐκεῖσε διὰ τῆς εἰδωλικῆς ἐκπορνεύσεως λέλεκται, τοῦτο ἐνταῦθά διὰ τῆς μοιχοζευκτικῆς ἐπικυρώσεως δέδεικται. Ἀμφότεροι γὰρ τὸν αὐτὸν Κύριον ἠθετήκασιν, οἱ μὲν διὰ τῆς νομικῆς, οἱ δὲ διὰ τῆς εὐαγγελικῆς παραβάσεως. Καὶ γε οὐ μέχρι τούτου ἔστησαν, παρασυναγωγὴ διὰ προτέρας συνελεύσεως, ἐν τῇ τοῦ μοιχοζεύκτου παραδοχῇ καὶ συνιερουργίᾳ, κατὰ τὸν θεῖον Βασίλειον, χρηματίσαντες· ἀλλ' ὡς ἂν ἑαυτοῖς αἱρέσεως τελείας ὄνομα περιποιήσωνται, δι' ἑτέρας συνόδου δημοσίας, τοὺς μὴ τῷ παρανόμῳ αὐτῶν κακοδοξίᾳ συγκαταθεμένους, μᾶλλον δὲ ὅλην τὴν καθολικὴν Ἐκκλησίαν, ἀναθεματισμῷ ὑποβεβλήκασι· τοὺς ἤδη φθάσαντας ἐπὶ προσώπου αὐτῶν, οὓς μὲν ἐξοστρακίσαντες πόρρω που· οὓς δὲ φυλακαῖς κατέχοντες. Διωγμὸν κατὰ τὸ σύνηθες τῶν ἐνταῦθα πάλιν καινουργήσαντες. Καὶ τὸ δικαίωμα αὐτοῖς, λόγου πονηροῦ κραταίωμα. Οἰκονομίαν οὖν τὴν ζευξιμοιχείαν δογματίζουσιν· ἐπὶ τῶν βασιλέων τοὺς θείους νόμους μὴ κρατεῖν διορίζονται· τοὺς ὑπὲρ ἀληθείας καὶ δικαίου μέχρις αἵματος ἐνστάντας,

Quandoquidem Petro magno Christus Deus post claves regni cœlorum, pastoralis etiam principatus contulit dignitatem, ad Petrum utique, vel ejus successorem, quidquid in Ecclesia catholica per eos innovatur qui aberrant a veritate, necesse est referri. Quod nos quoque humiles et minimi a sanctis olim Patribus nostris edocti, postquam in Ecclesia nostra novitas quædam nuper exorta est, et prius quidem per religiosissimum archimandritam, fratrem et conservum nostrum Epiphanium et nunc per simplices litteras nostras ad supremæ beatitudinis tuæ angelum de ea referre nos debere, arbitrati sumus. Factus est, o divinissimum omnium capitum caput juxta Jeremiam prophetam [98], cœtus revera prævaricatorum, et concilium adulterantium. Quod enim ibi propter idolorum fornicationem dictum est, hic per adulterinæ copulæ confirmationem patefactum est. Utrique enim eumdem Dominum spreverunt, illi per legis, hi per Evangelii transgressionem. Nec vero satis illis fuit, quod per priorem conventum, in ejus qui mœchos copularat receptione, sacrorumque cum eo communione. Parasynagogi, ut divinus loquitur Basilius [99], facti sunt: sed ut hæresis absolutæ nomen adipiscerentur, in altera publica synodo eos qui parvo ipsorum errori non adhæserant, aut universam potius Ecclesiam catholicam, anathemati subjecerunt: et quotquot hactenus in conspectum venerunt, partim loginquis exiliis multantes, partim carceribus includentes, pristinam usitato hic more persecutionem renovarunt. Ac nefarii sermonis præsidio se ipsos defendunt. Adulterini siquidem conjugii conjunctionem, dispensationem esse decernunt: in regibus divinas leges nihil posse definiunt: eos qui pro veritate ac justitia usque ad sanguinem restiterunt, ut Præcursorem et Chrysostomum, imitari volunt: episcopum unumquemque

[98] Jerem. IX, 2. [99] *Epist. ad Amphiloch.* can. I.

in sacros canones, præter ea quæ in illis statuta sint potestatem habere pronuntiant.

Quare si quem forte sacris initiatum contingat clam palamve canonum, per quos depositio irrogatur, reum teneri ; hunc sola volentis auctoritate, depositionis exsortem manere. Quorum omnium testis est is, qui variis canonibus cum aliis obstrictus tenetur, adulteri copulator, una cum ipsis publice ministrans. Testes ii qui, dum iniquitates tanquam dispensationes faciunt; in eo ipso tum, alios, tum se ipsos sanctos vocant, et eos qui illas non admittunt, velut a Deo alienos anathemate feriunt. Testis etiam quæ hic exsistit persecutio. Quid igitur ad hæc, o beate, dicendum est? nisi apostolicum illud : *Nunc Antichristi multi facti sunt* [1]; si divinus legibus et canonibus omnes homines subditi non sumus. His ergo a simplicitate nostra sine fuco expositis, vocem nunc illam qua coryphæus cum reliquis apostolis Christum compellavit cum maris fluctus excitarentur ; apud Christi imitatricem beatitudinem tuam adhibemus : *Salva nos*, archipastor Ecclesiæ quæ sub cœlo est, *perimus* [2]. Imitare magistrum tuum Christum, manumque Ecclesiæ nostræ porrige, sicut ille Petro : nisi quod ille incipienti in mare mergi, tu autem rursus jam mersæ in hæresis profundo. Æmulare, precamur, cognominem tibi Papam, atque ut ille, pullutante tum hæresi Eutychiana, leoninum in morem spiritu experrectus est, ut omnes norunt, dogmaticis sui epistolis ; sic et tu, dicere audeo, juxta nomen quod geris, irrugi divinitus, vel potius intona contra præsentem hanc hæresim, ut decet. Si enim isti, arrogata sibi auctoritate, hæreticam synodum cogere veriti non sunt, qui ne orthodoxam quidem absque cognitione vestra, ut antiquus mos obtinet, cogere potuerunt : quando magis æquum atque adeo necessarium fuerit (cum timore suggerimus) ab divino tuo principatu legitimam synodum convocari ut orthodoxum Ecclesiæ dogma hæreticum extrudat : et neque suprema dignitas tua cum orthodoxis omnibus anathemate notetur a novis nugatoribus; neque iniquitatis porro classicum adulterinam hanc synodum nacti, quibus id placet, in peccatum facile prolabantur. Hæc, sicut parvitati nostræ conveniebat, ut minima Ecclesiæ membra repræsentantes, et divino pastorali vestro principatui parentes ; obsecramus de cætero sanctam animam vestram, ut nos ceu proprias oves reputet, et sacris precibus suis eminus illustret, atque confirmet. Quod si etiam documentis; tuæ id fuerit divinæ benignitatis : quandoquidem et Christus ad Abgarum scripsit, et multi etiam e subditis digni habiti sunt, qui ab apostolis sanctisque acciperent litteras. A me autem solo peccatore, et in carcere detento, mittitur hæc epistola, propterea quod Pa-

[1] I Joan. II, 19. [2] Matth. VIII, 25.

ὥσπερ τὸν Πρόδρομον καὶ Χρυσόστομον, μιμεῖσθαι ἀπαγορεύουσιν · ἕκαστον τῶν ἱεραρχῶν ἐξουσιάζειν ἐν τοῖς θείοις κανόσι, παρὰ τὰ ἐν αὐτοῖς κεκανονισμένα, ἀποφαίνονται.

Καὶ διὰ τοῦτο ὁπόταν τύχῃ καὶ κρυπτῶς καὶ ἐμφανῶς ἁλῶναί τινα τῶν ἱερωμένων καθαιρετικοῖς κανόσι, τῇ τοῦ βουλομένου ἐξουσίᾳ μένειν ἀκαθαίρετον. Καὶ μάρτυς τοῦ λόγου, ὁ διαφόροις κανόσι σὺν ἄλλοις κεκρατημένος μοιχοζεύκτης, καὶ συλλειτουργῶν αὐτοῖς δημοσίᾳ. Τοὺς παρανομίας ὡς οἰκονομίας ποιοῦντας, ἄλλους τε καὶ ἑαυτοὺς ἁγίους ἐν νούτῳ ἀνομάζουσι · καὶ τοὺς μὴ ταύτας προσιεμένους, ὡς ἠλλοτριωμένους Θεοῦ ἀναθεματίζουσι · μάρτυς δὲ κάνταῦθα τοῦ λόγου ὧν καὶ ὁ διωγμός. Τί οὖν ἔστιν ἐν τούτοις, ὦ μάκαρ, εἰπεῖν ; ἢ τὸ ἀποστολικὸν ἐκεῖνο. ὅτι Νῦν πολλοὶ Ἀντίχριστοι γεγόνασιν · εἴπερ μὴ ὑπὸ τῶν θείων νόμων καὶ κανόνων πάντες ἄνθρωποι ἐξουσιαζόμεθα. Τούτων ἤδη ἀψευδῶς ὑπὸ τῆς εὐτελείας ἡμῶν ἀνενεχθέντων, ἐκείνην τὴν φωνὴν, ἣ ὁ κορυφαῖος σὺν τοῖς λοιποῖς ἀποστόλοις προσήγαγε Χριστῷ, ἡνίκα ὁ τῆς θαλάσσης κλύδων ἐπεγείρετο, προσφέρομεν τῇ Χριστομιμήτῳ σου μακαριότητι · Σῶρον ἡμᾶς, ἀρχιποίμην τῆς ὑπ' οὐρανὸν Ἐκκλησίας, ἀπολλύμεθα. Μίμησαί σου τὸν διδάσκαλον Χριστὸν, καὶ ὄρεξον χεῖρα τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ, ὡς ἐκεῖνος Πέτρῳ ὅσον ὁ μὲν ἀρχομένῳ καταποντίζεσθαι ἐν τῇ θαλάσσῃ · αὐτὸς δ' αὖ καταποντισθείσῃ ἤδη ἐν τῷ τῆς αἱρέσεως βάθει. Ζήλωσόν σου, δεόμεθα, τὸν ὁμώνυμον πάπαν, καὶ ὡς ἐκεῖνος τηνικαῦτα τῆς Εὐτυχιανικῆς αἱρέσεως ἀναφυείσης λεόντειόν πως διηγέρθη τῷ πνεύματι, ὡς ἴσασι πάντες, ταῖς δογματικαῖς αὐτοῦ ἐπιστολαῖς · οὕτω καὶ αὐτὸς, τολμῶ λέγειν, φερωνύμως, βρύξον θείως · μᾶλλον δὲ βρόντησον κατὰ τῆς παρούσης κακοδοξίας τὰ εἰκότα. Εἰ γὰρ οὗτοι ἑαυτοῖς ἐξαυθεντήσαντες αἱρετικὴν σύνοδον ἐκπληρῶσαι οὐκ ἔδεισαν, καίπερ εἰ καὶ ὀρθόδοξον οὐκ ἀνευ τῆς ὑμῶν εἰδήσεως ἐξουσιάζοντες, ὡς τὸ ἄνωθεν κεκρατηκὸς ἔθος · πόσῳ γε μᾶλλον εὔλογον καὶ ἀναγκαῖον ἂν εἴη, ὑπομιμνήσκομεν φόβῳ, ὑπὸ τῆς θείας πρωταρχίας σου, ἔννομον κροτηθῆναι σύνοδον, ὡς ἂν τὸ ὀρθόδοξον τῆς Ἐκκλησίας δόγμα, το αἱρετικὸν ἀποκρούσηται · καὶ μήτε ἡ κορυφαιότης σου σὺν ἅπασι τοῖς ὀρθοδόξοις ἀναθεματίζοιτο παρὰ τῶν νέων κενοφώνων · μήτ' αὖ ὁρμητήριον ἀνομίας τὴν μοιχοσύνοδον εὑρίσκοντες οἱ βουλόμενοι κατολισθαίνωσιν εὐπετῶς πρὸς τὴν ἁμαρτίαν. Ταῦτα, ὡς τὸ ἀνῆκον τῇ οὐθενότητι ἡμῶν, ἀνηγγελκότες, ὡς ἐλάχιστα μέλη τῆς Ἐκκλησίας, καὶ τῇ ὑθ' ὑμῶν ὑπείκοντες θείᾳ ποιμεναρχίᾳ · τὸ λοιπὸν ἐξαιτοῦμεν τὴν ἁγίαν αὐτῆς ψυχὴν, λογίζεσθαι ἡμᾶς ὡς οἰκεῖα αὐτῆς πρόβατα, καὶ ταῖς ἱεραῖς προσευχαῖς πόῤῥωθεν φωτίζειν καὶ στηρίζειν. Εἰ δὲ καὶ διδαχαῖς, τῆς σῆς ἂν εἴη θείας συγκαταβάσεως. Ἐπεὶ καὶ ὁ Χριστὸς Αὐγάρῳ ἐπέστειλε · καὶ πολλοὶ τῶν ὑφειμένων παρὰ ἀποστόλων, καὶ ἁγίων γράμματα δέξασθαι κατηξιώθησαν. Παρ' ἐμοῦ δὲ μόνου τοῦ ἁμαρτωλοῦ καὶ τηρουμένου ἐν φυλακῇ ἡ ἐπιστο-

λή· διὰ τὸ, τὸν Πατέρα καὶ σύνδουλόν μου τὸν ἔγκλειστον, τόν τε ἀρχιεπίσκοπον τῆς Θεσσαλονίκης, καὶ ἀδελφὸν ἡμῶν, εἰς ἑτέρας νήσους ὡσαύτως τηρεῖσθαι. Πλὴν καὶ αὐτοὶ δι' ἐμοῦ, καὶ σὺν ἐμοὶ τὰ αὐτὰ καὶ φθέγγονται καὶ προσπτύσσονται τοῖς ἱεροῖς τῆς μακαριότητός σου ἴχνεσιν. A ter conservusque meus inclusus, et Thessalonicæ archiepiscopus germanus noster, in aliis insulis pariter custodiuntur. Ipsi nihilominus per me et mecum eadem dicunt, et sacris beatitudinis tuæ vestigiis advolvuntur.

ΛΔ'. — Τῷ αὐτῷ. [ϛε'.]

XXXIV. — *Eidem Leoni papæ.*

Pro acceptis papæ litteris gratias agit, tum quæ ab adversariis gesta erant exponit. (Baron. an. 809, n. 18.)

Τῷ ἰσαγγέλῳ μακαριωτάτῳ καὶ Ἀποστολικῷ Πατρὶ Λέοντι πάπᾳ Ῥώμης. Πλάτων ἔγκλειστος, καὶ Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Æquali angelis beatissimo et apostolico Patri Leoni papæ Romæ, Plato inclusus, et Theodorus presbyter ac præpositus Studiensis.

Μέγα ἡμῖν τοῖς ταπεινοῖς ὡς ἀληθῶς, καὶ εὐχῆς B ἔργον τῆς ἀνωτάτω, ἀξιωθεῖσε δέξασθαι παρὰ τῆς ἀποστολικῆς ὑμῶν μακαριότητος πρόσρησιν προσαγορευτικὴν, καὶ μὴν ἀποσημείωσιν τῶν πνευματοκινήτων αὐτῆς ἱερῶν λογίων, δι' Ἐπιφανίου τοῦ συνδούλου, καὶ ἀγαπητοῦ ἡμῶν τέκνου· καὶ ταῦτα κεκλεισμένοις οὖσιν ὑπὸ τῶν κακοδόξων, καὶ ὄψει θεασαμένοις τὸν γραμματηφόρον. Ἐφ' οἷς ἐσκιρτήσαμεν· ἠγαλλιασάμεθα· ἀνθωμολογησάμεθα τῷ Κυρίῳ, τῷ ταῖς θείαις αὐτῆς προσευχαῖς, τὰ παρ' ἐλπίδα παραδόξως ἡμῖν τοῖς ἀναξίοις χαρισαμένῳ· μονονουχὶ καὶ ὁρᾷν αὐτῆς τὸν ἱερὸν χαρακτῆρα διά μέσου τῶν φωνῶν φανταζομένοις. Ἀλλ' αὐτὴ μὲν Χριστομιμήτως καὶ προσηγόρευκε τοὺς εὐτελεῖς, καὶ ἀνεζωπύρησεν ἡμῶν τὸ πνεῦμα, ἐπέρρωσέ τε τὸ ἀσθενὲς, καὶ ἐστιβάρωσε τὸ ἀδρανές· οἱονεὶ ἔπαλείψασα C τοῖς ὑπὲρ ἡμᾶς παρακλητικοῖς καὶ νουθετικοῖς φθέγμασι· στήκειν τε ἐν τῇ ὀρθοδόξῳ πίστει ἀκλινῶς μέχρι τέλους παρεγγυῶσα. Καὶ γένοιτο ἡμῖν ἱλέοις αὐτῆς ἱκετηρίαις. Ἡμεῖς δὲ οἱ οὐθενεῖς καὶ πάλιν εὖ ἔχειν νενομίκαμεν, ὥσπερ τὸ πρότερον δι' αὐτοῦ τοῦδε τοῦ πιστοτάτου ἡμῶν γραμματηφόρου, καὶ αὖθις δι' Εὐσταθίου τοῦ ἑτέρου καὶ αὐτοῦ ἡμῶν τέκνου, οὕτω καὶ νῦν ἀνενεγκεῖν αὖ τῇ τὰ εἰκότα. Σύνοδος γέγονεν ἐν τοῖς καθ' ἡμᾶς, ὦ μακαριώτατε, πάνδημος συγκαθεσθέντων καὶ ἀρχόντων τῶν ἐν τέλει· καὶ ἡ σύνοδος ἐπ' ἀθετήσει τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, οὗ σὺ τὰς κλεῖς ἐδέξω πρὸς αὐτοῦ, διὰ μέσου τοῦ τῶν ἀποστόλων πρωτοστάτου, καὶ τῶν ἀμοιβαδὸν, μέχρι τοῦ προηγησαμένου τὴν ἱερωτάτην σου κεφαλήν. Καὶ ὅπως ἀνάσχοιτο ἐπακηκοέναι ἡ θεομίμητος D ἐπιείκειά σου; Ἀρξώμεθα δὲ ἀπὸ τοῦ νόμου καὶ τῶν προφητῶν. Καὶ γοῦν, φησὶν, Οὐ μοιχεύσεις· οὐ ψευδομαρτυρήσεις. — Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ. Καὶ Ἱερεμίας μέν· Ἄφρων καὶ ἀσεβὴς ὁ κατέχων μοιχαλίδα. Μαλαχίας δέ. Χείλη ἱερέως φυλάξεται γνῶσιν· καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ· διότι ἄγγελος Κυρίου παντοκράτορός ἐστι. Μετέλθωμεν ἐπὶ τὸ Εὐαγγέλιον· Ὁ ἀπολύων, φησὶ, τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοιχεύει. Καὶ πάλιν, Οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Ὅσον δὲ τὸ διάφορον νόμου καὶ χάριτος, ἐξ αὐτῶν τῶν λόγων τοῦ Κυρίου εἰσόμεθα,

Magnum revera nobis humilibus et summi voti opus fuit, quod digni habiti sumus, qui ab apostolica beatitudine vestra salutationis allocutionem, et sacrorum ejus qui a spiritu moventur sermonum significationem acciperemus, per conservum ac dilectum filium nostrum Epiphanium; et hæc, inclusi licet teneamur ab hæreticis; atque ita ut tabellarium ipsum oculis conspexerimus. Quamobrem lætitia exsultavimus, gavisi sumus, Domino gratias egimus, qui divinis illius precibus ea quæ spem notram superabant nobis indignis miro modo largitus est: ita ut ipsam propemodum sacram ejus formam per interjecta voces videre nobis videremur. Verum illa quidem ad Christi exemplum nos humiles affata est, et mentes nostras recreavit, imbecillitatem corroboravit, languentesque confirmavit, suis nos quasi perungens captum nostrum excedentibus consolatoriis, monitoriisque sermonibus, in fide orthodoxa constanter ad finem usque manere persuadens, quod utinam propitiis ejus precibus ita nobis contingat. Nos vero nihil homunciones convenire existimavimus, sicuti antea per hunc fidissimum tabellarium nostrum, et postea per Eustathium alterum filium nostrum, ita nunc etiam ad eamdem referre ea quæ par est. Synodus, o beatissime, apud nos publica celebrata est, iis etiam, qui magistatus gerunt, una considentibus, et synodus ad condemnationem Evangelii Christi, cujus tu claves ab ipsomet accepisti per intermedium principem apostolorum et successores usque ad eum qui sanctissimum tuum caput antecessit. Et quomodo audire hæc sustineat Dei imitatrix æquitas tua? Incipiamus enim a lege et prophetis. Et quidem inquit: *Non mœchaberis: Non loqueris falsum testimonium* [3]: *Non assumes nomen Domini tui in vanum* [4]. Et Jeremias: *Stultus*, ait, *et impius qui tenet adulteram* [5]. Malachias vero: *Labia sacerdotis custodient scientiam, et legem requirent ex ore ejus: quia angelus Domini exercituum est* [6]. Transeamus ad Evangelium: *Quicunque*, inquit, *dimiserit uxorem suam, et aliam duxerit, mœchatur* [7]. Et rursus: *Quos Deus conjunxit, homo non separet* [8]. Quanta vero sit differentia legis et gratiæ, ex ipsis Domini verbis discimus, qui ait: *Et ecce plus quam templum*

[3] Exod. xx, 15. [4] Ibid. 7. [5] Imo, Prov. xviii, 22. [6] Malach. ii; 7. [7] Matth. xix, 9. [8] Ibid. 6.

hic [9]. Deinde ex verbis Apostoli dicentis : *Irritam quis faciens legem Moysi, sine ulla miseratione, duobus vel tribus testibus moritur : quanto magis putatis deteriora mereri supplicia, qui Filium Dei conculcarit, et sanguinem testamenti pollutum duxerit, et spiritus gratiæ contumeliam fecerit* [10] ?

Hæc igitur cum ita se habeant ; isti nefaria lingua Domino reluctantes, legis atque Evangelii solutionem, id est, hujus nuper imperatoris adulterium, qui, legitima ejecta, mœcham induxit : et hac ipsa majorem et graviorem iniquitatem, adulterorum scilicet conjunctionem : propter falsum testimonium quod adversus Deum locuti sunt, ejus nomen in illicita actione inter sacra mysteria usurpantes, victricesque de Christo coronas adulteris imponentes in ipsa divinorum munerum participatione, quibus quidem veluti communibus et pollutis contumeliam fecit adulteri copulator, angelum se non Dei omnipotentis, sed principis mundi Satanæ, reipsa declarans ; omnesque una, qui huic transgressioni cooperando, eamque approbando, partem suam cum adultero, et adulteri copulatore, posuerunt ; salutarem Dei Ecclesiæ dispensationem apellarunt : adeo firmam illam et apud Deum ratam, ut eos quis ipsis non cesserunt, neque concenserunt, synodice anathematizarint, additis carceribus aliisque suppliciis, propterea quod fateri nolint sanctum opus fuisse, istiusmodi dispensationem : *Audi, cælum*, ait Isaias, *et auribus percipe, terra, quoniam Dominus locutus est* [11]. Nos vero humiles nunc ad te : Audi, magnum Dei caput, et auribus percipe quæ Satanas molitus est. Si enim ex Dei voluntate et nutu cœtus ille, et anathematis pronuntiatio : Dei profecto lex non est, nec prophetæ, cum quibus et Præcursor, qui adulterum reprehendit ; nec Evangelium, contra quod isti suam illam tantopere adamatam dispensationem fecerunt. Nam si ejusdem esse aiunt ; alterum duorum necesse est : aut mendacem Christum statuent, qui olim quidem in prophetis locutus est, et legem dedit, nunc autem per seipsum in Evangelio, aut veracem, uti certe est ipsa veritas : ipsos vero mentiri, et Dei criminatores consequenter, ostendi : atque ideo anathematis quod contra Christum sanctosque ejus protulerunt, reos esse, ut qui adulterium, adulterorumque copulationem, et adulterorum communionem esse confirment.

Nec aliter se res habet : *Non enim est acceptio personarum apud Deum* [12], sicut indicant Mœchiani, qui ejus leges omnibus ex æquo positas negant, sed in regibus cessare eas comminiscuntur. Et ubinam est regum Evangelium ? Sed impie illi prorsus egerunt, non intelligentes quod *Deus hominis personam non accipit* [13], quemadmodum testatur sanctus Apostolus neque quod idem per unum e prophetis

A λέγοντος. Καὶ ἰδοὺ πλέον τοῦ ἱεροῦ ὧδε· εἶτα, καὶ ἐκ τῶν τοῦ Ἀποστόλου φωνῶν, φάσκοντος. Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶ ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης καινὸν ἡγησάμενος, καὶ τὴν χάριν τοῦ Πνεύματος ἐνυβρίσας ;

Τούτων τοίνυν οὕτως ἐχόντων· οἱ μετὰ γλώσσης ἀθέσμου τὰ πρὸς Κύριον ἀπειθοῦντες, τὴν λύσιν τοῦ τε νόμου καὶ τοῦ Εὐαγγελίου, ἤγουν τὴν μοιχείαν τοῦ πρὶν κρατήσαντος, ἐπὶ τῇ ἐκβολῇ τῆς νομίμου, καὶ εἰσοικίσει τῆς μοιχαλίδος· καὶ τὴν ταύτης μείζονα καὶ χαλεπωτέραν παρανομίαν, ἥτοι τὴν μοιχοζευξίαν· διὰ τὸ ψευδομαρτυρῆσαι κατὰ Θεοῦ, καὶ τὸ τούτου ὄνομα λαβεῖν ἐπὶ τῇ ἀθεμίτῳ πράξει κατὰ B τὴν μυσταγωγίαν. Καὶ μὴν καὶ δοῦναι τοῖς μοιχευομένοις νικητικοὺς κατὰ Χριστοῦ τοὺς στεφάνους, ἐπὶ μεθέξει τῶν θείων δώρων, τῶν ὡς κοινῶν ἐνυβρισθέντων παρὰ τοῦ μοιχοζευκτου, καὶ ἀγγέλου, οὐ τοῦ παντοκράτορος Θεοῦ, ἀλλὰ τοῦ κοσμοκράτορος Σατανᾶ, ἀποφαινέντος κατὰ τὸ ἀληθές· ἔτι μὴν καὶ πάντων τῶν διὰ συνδρομῆς καὶ εὐδοκίας, ἐν τῇδε τῇ παραβάσει τὴν μερίδα θεμένων μετὰ μοιχοῦ καὶ μοιχοζεύκτου· οἰκονομίαν σωτήριον τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ προσηγορεύκασι. τοσοῦτον ὀχυρὰν καὶ θεοκύρωτον ὑπάρχουσαν, ὡς τοὺς μὴ εἴξαντας καὶ συνθεμένους αὐτοῖς, ἀναθέματι συνόδικῶς ὑποβαλεῖν, μετὰ φυλακῶν, καὶ ἑτέρων παθημάτων, ὡς μὴ δεξαμένους ταύτην τὴν οἰκονομίαν ἀγιόπρακτὸν εἶναι. C Ἄκουε, οὐρανέ, φησὶν Ἡσαΐας, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησεν. Ἡμεῖς δὲ οἱ εὐτελεῖς πρὸς σὲ τανῦν. Ἄκουε, ἡ μεγάλη τοῦ Θεοῦ κεφαλή, καὶ ἐνωτίζου ἃ ὁ Σατανᾶς ἀπειργάσατο. Εἰ τοίνυν κατὰ Θεοῦ βούλησιν καὶ ἀποδοχὴν ἡ συνάθροισις αὕτη, ἥ τε ἀναθεματιστικὴ ἀπόφασις· οὐ Θεοῦ ὁ νόμος δηλονότι· οὗ τε προφῆται, μεθ' ὧν ὁ Πρόδρομος ὡς μοιχοελέγκτης. εἶτα καὶ τὸ Εὐαγγέλιον, παρ' ὃ ἐκεῖνοι φίλην τὴν οἰκονομίαν αὐτῶν πεποίηνται. Εἰ γὰρ φαῖεν τοῦ αὐτοῦ· δυοῖν θάτερον· ἢ ψευδηγόρον τὸν Χριστὸν, πάλαι μὲν ἐν τοῖς προφήταις λαλήσαντα, καὶ νομοθετήσαντα, νῦν δὲ δι' ἑαυτοῦ ἐν τῷ Εὐαγγελίῳ, ἀποφανοῦνται· ἢ ἀληθεύοντα, ὥσπερ ἐστὶν αὐτὸς ἡ ἀλήθεια· αὐτοὺς ψεύδεσθαι, καὶ θεοκατηγόρους ἐναποδειχθῆναι ἀραρότως· καὶ διὰ τοῦτο τῷ ἀναθέματος, οὗ κατὰ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ D ἀπεφήνατο, εἶναι ὑπευθύνους, βεβαιωσαμένους τὴν μοιχείαν, καὶ μοιχοζευξίαν, καὶ μοιχοσυνδρομίαν, οἰκονομίαν Θεοῦ καὶ ἁγίων.

Καὶ ἀλλοίως οὐκ ἔστιν. Οὐ γὰρ προσωπολημψία παρὰ τῷ Θεῷ· ὡς ὑποδεικνύουσιν οἱ Μοιχειανοὶ, μὴ ἐπίσης τοὺς νόμους αὐτοῦ κεῖσθαι ἐπὶ πᾶσιν, ἀλλ' ἐπὶ τῶν βασιλέων, ὥς φησιν, ὑποχωρεῖν καὶ καινοτομεῖσθαι. Καὶ ποῦ τὸ τῶν βασιλέων Εὐαγγέλιον ; Ἀλλ' ὄντως ἠσεβήκασι λίαν, μὴ συνιέντες, ὅτι Θεὸς πρόσωπον ἀνθρώπου οὐ λαμβάνει, καθὰ ἔφη ὁ ἱερὸς Ἀπόστολος· μηδ' ὅτι ὁ αὐτὸς δι' ἑνὸς τῶν

[9] Matth. XII, 6. [10] Hebr. X, 28 Isa. I, 2. [11] Rom. II, 11. [12] Galat. II, 6.

προφητῶν, ταλανίζων αὐτοὺς, λέγει· Ὑμεῖς οὐκ A ipsos increpans ait : *Vos non servastis vias meas, sed accepticis faciem in lege. Nunquid non Deus unus creavit* vos ? *nunquid non pater unus omnium* vestrum [14]? Salomon autem his verbis : *Audite reges, et intelligite* [15]. Et post alia : *Quoniam cum essetis ministri regni altissimi, non recte judicastis, nec custodistis legem, neque secundum voluntatem Dei ambulastis. Horrende et cito apparebit vobis : quoniam judicium durissimum in his qui præsunt fiet. Non enim subtrahet personam cujusquam Dominus omnium* [16]. Jam vero quod et totum Evangelium nefariis ausis violarunt, o sacrum et divinum caput, manifestum est, siquidem peccatum sufficit ad evertendam totam legem. Omnia enim mandata mutuo connexa sunt, et sibi cohærent, ait magnus Basilius, ita ut, uno soluto, reliqua B etiam solvi necesse sit : non ex se ipso, sed a Christo dicit in ipso loquente : *Quicunque solverit unum de mandatis istis, minimis, hic minimus vocabitur in regno cœlorum* [17] : damnatus scilicet. Et beatus Jacobus : *Quicunque*, ait, *totam legem servaverit, offendat autem in uno, factus est omnium reus* [18].

ἐφυλάξατε τὰς ὁδούς μου, ἀλλ' ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ. Οὐχὶ Θεὸς εἷς ἔκτισεν ὑμᾶς; Οὐχὶ Πατὴρ εἷς πάντων ὑμῶν; Γράφει δὲ καὶ Σολομὼν τάδε· Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε. Καὶ μεθ' ἕτερα· Ὅτι ὑπηρέται ὄντες τῆς τοῦ Ὑψίστου βασιλείας, οὐκ ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον, οὐδὲ κατὰ τὴν βουλὴν τοῦ Θεοῦ ἐπορεύθητε. Φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν, ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται. Οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων Δεσπότης. Πάλιν δὲ ὅτι καὶ ὅλον τὸ Εὐαγγέλιον διὰ τῶν φθασάντων παρανομιῶν ἠθετήκασιν, ὦ ἱερὰ καὶ θεία κορυφή· ἐπεὶ καὶ ἐν ἀνόμημα ἀρκεῖ τὸν καθόλου νόμον ἀνατρέψαι. Πᾶσαι γὰρ ἀλλήλων ἔχονται, φησὶν ὁ μέγας Βασίλειος, αἱ ἐντολαί· ὡς ἐν τῇ λύσει τῆς μιᾶς, καὶ τὰς λοιπὰς ἐξ ἀνάγκης συγκαταλύεσθαι· οὐκ ἐξ ἑαυτοῦ τοῦτο, ἀλλ' ἐκ τοῦ φθεγγομένου ἐν αὐτῷ Χριστοῦ λέγων· ὃς φησι, Πᾶς ὁ λύων μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, οὗτος ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· δηλονότι ἀπολλύμενος. Καὶ ὁ θεσπέσιος Ἰάκωβος· Ὅστις, φησὶ, τελέγει ὅλον τὸν νόμον, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος.

Solverunt itaque Vetus et Novum Testamentum, o beate, solutis non minimis, sed et maximis Domini mandatis, legem adversus evangelicam legem promulgantes miseri, regum voluntatem Deo anteferre cum voluerint. Volunt autem alii aliud, et alias aliter : ac proinde eversio fit omnium usque Ad Antichristum. Unde merito quæ apud illos a Satana dispensatio dicitur. Antichristi præcursio vocabitur. De canonum enim prævaricatione quid attinet loqui ? Cum enim ab Evangelio ipsi aversi discesserint ; otiosum est de illis curare. Ac Deus quidem per prophetum sic ait : *Dabo clavem domus David super humerum ejus : et aperiet, et non erit qui claudat : et claudet, et non erit qui aperiat* [19]. Inimici autem Dei quæ ille aperuit clauserunt, dum innoxios deposuerunt, ut ipsis quidem placuit sed non Deo ; quæ vero clausit, aperuerunt, eos qui depositionis pœnam divino judicio meruerant, honoribus restituentes : atque, ut semel dicam, sacris canonibus ad omnia quæ arrident et placent, tanquam ministris et famulis pro arbitrio semper abusi sunt. Hi sunt Mœchianæ hæreseos impii et injusti conatus, hæc opera : quæ nos, ut minimi filii Ecclesiæ catholicæ, tibi primo omnium apostolico capiti nostro, nuntiare, necessario optavimus. Ejus est de cætero, quæ Deo sunt placita ex cogitare et facere Spiritus sancti ductu, a quo, ut in aliis sic et in hoc quoque, regitur et gubernatur : quinetiam sanctorum, quibus idem zelus fuit, exemplo, adduci, ut a se dictatas et divinitus exaratas litteras ad nos mittere dignetur, sicut nunc opulenta, et meritis nostris majora ejus munera, eulogiasque accepimus.

Λελύκασιν οὖν Παλαιὰν καὶ Νέαν Διαθήκην, ὦ μάκαρ, διὰ τῆς λύσεως, οὐ τῶν ἐλαχίστων, ἀλλὰ καὶ τῶν μεγίστων ἐντολῶν Κυρίου· νόμον κατὰ νόμου εὐαγγελικοῦ ἐκτεθεικότες οἱ τάλανες, τὸ βούλημα τῶν βασιλέων προκρίνειν Θεοῦ ὁτόταν βούλοιντο. Βούλονται δὲ ἄλλοι ἄλλο, καὶ ἄλλοτε ἄλλως. Καὶ διὰ τοῦτο ἀνατροπὴ τοῦ παντὸς, μέχρι τοῦ Ἀντιχρίστου· καὶ ἐντεῦθεν εἰκότως, ἡ λεγομένη παρ' αὐτοῖς ὑπὸ τοῦ Σατανᾶ C οἰκονομία, προσαγορευθήσεται Ἀντιχριστικὴ πρόδρομια. Περὶ γὰρ παραβάσεως κανόνων, τί δεῖ καὶ λέγειν; Ὁπότε γὰρ τοῦ Εὐαγγελίου ἀποτροπάδην ἦλθον, σχολὴ περὶ αὐτῶν φροντίζειν. Καὶ ὁ μὲν Θεὸς διὰ τοῦ προφήτου τάδε φησί· Δώσω τὴν κλεῖδα οἴκου Δαυὶδ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ ἀνοίξει, καὶ οὐκ ἔσται ὁ ἀποκλείων· καὶ κλείσει, καὶ οὐκ ἔσται ὁ ἀνοίγων. Οἱ δὲ ἀντιθέως, ἐφ' οἷς μὲν ἤνοιξεν, ἀπέκλεισαν, καθῃρηκότες τοὺς ἀνευθύνους, ὡς δοκεῖ αὐτοῖς, ἀλλ' οὐ Θεῷ· ἐφ' οἷς δὲ ἔκλεισεν, ἤνοιξαν προχειρισάμενοι τοὺς ὑποπίπτοντας καθαιρέσει θεοκρίτως, ἅπαξ πρὸς τὸ αὐτοῖς δοκοῦν καὶ ἀρέσκον ἀποχρώμενοι ἀεὶ δεσποτικῶς τοῖς ἱεροῖς κανόσιν ὡς ὑπηρέταις καὶ ὑποδουλίοις. Ταῦτα τῆς Μοιχειανικῆς αἱρέσεως τὰ ἄνομα καὶ ἀσεβῆ ἐγχειρήματά τε καὶ D ἀποτελέσματα. Καὶ ταῦτα ὡς ἐλάχιστα τέκνα τῆς καθολικῆς Ἐκκλησίας, σοὶ τῇ πρωτίστῃ ἡμῶν ἀποστολικῇ κεφαλῇ ἀναγγεῖλαι, κατὰ τὸ ἀναγκαῖον προεθυμήθημεν. Λοιπὸν αὐτῆς ἐστι σὰ ἀρεστὰ Θεῷ, καὶ διανοηθῆναι καὶ πρᾶξαι, ὑπὸ Πνεύματος ἁγίου, ὡς ἐπ' ἄλλοις, καὶ ἐν τῷδε κινουμένης· οὐ μὴν ἀλλὰ καὶ δυσωπουμένης ἀξιῶσαι ἡμᾶς αὐτόλεκτα καὶ θεοχάρακτα αὐτῆς γράμματα δέξασθαι, κατὰ μίμησιν τῶν ὁμοζήλων αὐτῆς ἁγίων, ὥσπερ νῦν τὰς πλουσίας, καὶ ὑπὲρ ἡμᾶς, δωρεὰς αὐτῆς καὶ εὐλογίας.

[14] Malach. II, 9. [15] Sap. VI, 2. [16] Ibid. 5-8. [17] Matth. V, 19. [18] Jac. II, 10. [19] Isa. XXII, 22.

Retulit porro nobis idem frater noster Epiphanius, o divinissime vertex, se expostulationem ejus excepisse propter Barsanuphium, Isaiamque, et Dorotheum hæreticos : quod eos scilicet pro catholicis recipiamus. Et valde mirati sumus, si nos humiles, qui pro recta fide patimur, hæreticis adhæreamus. Obturetur os omne contra nos loquens, et calumnias submittens. Orthodoxi sumus, quamvis alioqui peccatores, o beatissime : neque in hoc ab apostolica fide ullatenus discrepamus. Omnem synodum œcumenicam et localem, approbatam, veritatique congruentem, cum sanctis earum canonibus amplectimur, omnem hæresim et hæreticum detestantes, atque anathematizantes Anathema Barsanuphio, Isaiæ, Dorotheo et Dositheo, quos sanctus Sophronius anathomatizavit [36]. Sed et si quis alius horum cognominis pariter hæreticus, eorum hæresim vel aliam quamlibet sequens, sive episcopus, sive monachus, vel quicunque demum sit; anathema esto. Si quis item opportune, ut convenit, omnem hæreticum non anathematizat, ejusdem sortis esto. Nos enim puri sumus ab omni hæretica opinione sanctissimus precibus tui, religiosissime. Denique hoc etiam significamus, tametsi in epistola, quam per Eustathium fratrem misimus, significatum non sit, nos per Epiphanium sacro vertici tuo scripsisse: nequaquam mentitum fuisse Epiphanium : res enim in hunc modum gesta est. Dederamus illi revera epistolam : postea vero imperantium metu eam expunximus : ipse nihilominus, cum ejus notas teneret, attulit ad sacra illius vestigia, benevole id agens, postquam in exsilium acti fueramus. Est enim os humilitatis nostræ, et sermo proficiscens ex corde nostro. Quare sancta anima tua ne scandalum suspicetur in conservo noster per omnia fidelissimo. Frater noster archiepiscopus Thessalonicæ supplicibus cordis manibus beatitudinis tuæ salutationem et suscepit, et per nos sanctissimum verticem tuum adorabundus salutat.

Ἀπήγγειλε δὲ ἡμῖν ὁ αὐτὸς ἀδελφὸς ἡμῶν Ἐπιφάνιος, θειοτάτη κορυφή, ὡς ἔγκλησιν ἐδέξατο παρ' αὐτῆς, ἕνεκα Βαρσανουφίου, Ἡσαΐου τε καὶ Δωροθέου, τῶν αἱρετικῶν, ὡς δεχομένων ἡμῶν αὐτοὺς ὀρθοδόξους· καὶ πάνυ ἠγάσθημεν, εἰ ἡμεῖς οἱ ταπεινοὶ ὑπὲρ ὀρθοδοξίας πάσχοντες, αἱρετικοῖς προσπάσχομεν. Ἐμφραττίσθω πᾶν τὸ καθ' ἡμῶν ὑποβάλλον καὶ συκοφαντοῦν στόμα. Ὀρθόδοξοί ἐσμεν, κἂν ἄλλως ἁμαρτωλοί, ὦ μακαριώτατε· μηδ' ὁτιοῦν ὕφεσιν ἔχοντες ἐν τούτῳ τῆς ἀποστολικῆς πίστεως· πᾶσαν σύνοδον οἰκουμενικήν τε καὶ τοπικὴν, ἐγκεκριμένην τῇ ἀληθείᾳ, μετὰ τῶν ἐκτεθέντων αὐταῖς ἁγίων κανόνων ἀσπαζόμενοι, καὶ πᾶσαν αἵρεσιν, καὶ αἱρετικὸν μυσαττόμενοι, καὶ ἀναθεματίζοντες. Καὶ ἀνάθεμα Βαρσανουφίῳ, Ἡσαΐᾳ, Δωροθέῳ τε καὶ Δοσιθέῳ, ὑπὸ τοῖς τοῦ ἁγίου Σωφρονίου ἀναθεματισθεῖσιν. Ἀλλὰ καὶ ἄλλος εἴ τις εἴη τούτοις ὁμώνυμος ὅμως αἱρετικὸς, κατὰ τὴν ἐκείνων αἵρεσιν, ἢ ἑτέραν, κἂν ἐπίσκοπος, κἂν ἀσκητὴς, κἂν ὁστισοῦν, ἀνάθεμα ἔστω. Ἀλλὰ καὶ εἴ τις μὴ ἀναθεματίζοι εὐκαίρως κατὰ τὸ ἀναγκαῖον πάντα αἱρετικὸν, εἴη τῆς αὐτῶν μερίδος. Ἡμεῖς γὰρ καθαροί ἐσμεν παντὸς αἱρετικοῦ φρονήματος, εὐχαῖς σου ἱερωτάταις, παναγέστατε. Ἔτι μὴν καὶ τοῦτο ἀναφέρομεν, ὅτι εἰ καὶ ἐν τῇ ἐπιστολῇ ἡμῶν τῇ διὰ τοῦ ἀδελφοῦ Εὐσταθίου οὐ δεδήλωται· ἐπιστεῖλαι ἡμᾶς τῇ ἁγίᾳ σου κορυφῇ δι' Ἐπιφανίου. Οὐ διέψευσται Ἐπιφάνιος· καὶ ὁ τρόπος ἐν τούτῳ. Ἦμεν ὡς ἀληθῶς ἐκδώσαντες αὐτῷ τὴν ἐπιστολὴν, καὶ πάλιν φόβῳ τῶν κρατούντων ἀπαλείψαντες· ὁ δὲ ἔχων τῶν σημείων τὴν γνῶσιν, ἤγαγε πρὸς τὰ ἅγια αὐτοῦ ἴχνη εὐφρονῶν μετὰ τὸ ἐξορισθῆναι ἡμᾶς. Καὶ γάρ ἐστι στόμα τῆς ταπεινώσεως ἡμῶν, καὶ λόγος ἐξερευγόμενος τῆς καρδίας ἡμῶν. Καὶ μήτοι γε ὑπολάβοι ἡ ἁγία σου ψυχὴ σκάνδαλον ἐν τῷ συνδούλῳ ἡμῶν ὄντι πιστοτάτῳ κατὰ πάντα. Ὁ ἀδελφὸς ἡμῶν καὶ ἀρχιεπίσκοπος Θεσσαλονίκης, ὑπτίαις καρδίας χερσὶ καὶ ἐδέξατο τὴν τῆς μακαριότητός σου προσηγορίαν, καὶ δι' ἡμῶν προσκυνητῶς κατασπαζόμενός ἐστι τὴν ἱερωτάτην σου κορυφήν.

XXXV. — *Basilio præposito.*

ΛΕ'. — Βασιλείῳ ἡγουμένῳ. [ος'.]

Theodorus suo et Platonis hortatur hunc Basilium ut conjuncto cum ipsis studio hæreticis se opponat. (Baron. an. 809, n. 25.)

Basilio religiosissimo præposito et archimandritæ Romæ, Plato humilis inclusus, et Theodorus minimus presbyter et præpositus Studiensis.

Βασιλείῳ τῷ εὐλαβεστάτῳ ἡγουμένῳ καὶ ἀρχιμανδρίτῃ Ῥώμης, Πλάτων ταπεινὸς ἔγκλειστος, καὶ Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Litteras paternæ sanctitatis tuæ non aliter humiles exspectabamus, quam, terra sitiens imbrem suum. Et postquam spe nostra frustrati sumus, doluimus, ut par erat, vehementer. Attamen cum ex Epiphanio dilectissimo et fidissimo filio nostro causam cognovissemus, quod nimirum coactus id fecisses, non contemptu aliquo nostrum qui quantumvis tenuium, pietatem tuam nihilominus observamus: animi dolorem abstersimus, summamque lætitiam percepimus. Renuntiavit enim nobis, te eumdem esse, qui erga nos semper fuisses, affectu et charitate; quin potius non parum bonitatis ad-

Οὕτως ἀπεκαραδοκοῦμεν οἱ ταπεινοὶ δέξασθαι γράμματα τῆς πατρικῆς σου ὁσιότητος, ὡς γῆ διψῶσα τὸν ἑαυτῆς ὑετόν. Καὶ ἐπειδὴ ἀπετύχομεν τῆς ἐλπίδος, ἠλγήσαμεν, ὡς τὸ εἰκός· ὅμως μαθόντες τὴν αἰτίαν παρὰ Ἐπιφανίου τοῦ ποθεινοτάτου καὶ πιστοτάτου ἡμῶν υἱοῦ, ὅτι ἐξ ἀναγκαίου, καὶ οὐκ ἐκ καταφρονήσεως ἡμῶν τῶν εὐτελῶν καὶ λίαν ἐραστῶν τῆς θεοφιλείας σου· μετεβάλομεν τὸ ἄλγος τῆς καρδίας, χαρὰν προσκτησάμενοι ἱκανουμένην. Ἀνήγγειλε γὰρ ἡμῖν τὸν αὐτὸν διαμένειν ἐν τῇ πρὸς ἡμᾶς διαθέσει τε καὶ ἀγάπῃ· οὐ μὴν ἀλλὰ καὶ προστιθέμενον μᾶλλον ἀγαθότητος ποικίλοις τρόποις. Τὴν δὲ τοῦ ζήλου

[36] Vid. infra in Theodori *Testam.* num. 4.

τῆς εὐσεβείας διανάστασιν, ὅση ἐστὶ τῇ ἁγίᾳ σου ψυχῇ, ἐξηγησάμενος, ἤχησεν ἡμῶν ἀμφότερα τὰ ὦτα. Καὶ εὐλογητὸς Κύριος τῶν δυνάμεων, ὁ θέμενός σε ἐν τῇ πρωτίστῃ τῶν πόλεων, φωστῆρα θεολαμπῆ, λόγον ζωῆς ἐπέχοντα ἀμφιλαφείᾳ τῶν ἀγαθῶν πράξεων ὁ δοὺς σοι γλῶσσαν ἐλευθεροστομοῦσαν τὰ θεῖα τῆς ὀρθοδοξίας διδάγματα μετὰ ὑψηλοῦ κηρύγματος. Ἐν ᾧ καὶ παρακαλοῦμεν βοηθεῖν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ, τῇ τε οἰκείᾳ κραταιότητι, καὶ τῇ πρὸς τὸν ἀγιώτατον ἀποστολικὸν μεσιτείᾳ. Ἡ γὰρ ὑμῶν ἀνδρικὴ ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας ἐκδίκησις τῆς ὑπ' οὐρανὸν τῆς Ἐκκλησίας ὑπάρχει στερέωσις· καὶ ὁ ἀφ' ὑμῶν ζῆλος, ἀνάπτειν πέφυκεν ἀεὶ ἅπασαν τὴν οἰκουμένη εἰς τὴν διάπυρον ἐν Πνεύματι ἁγίῳ τῆς πίστεως ἡμῶν ὁμολογίαν. Ὥστε εἰκαζέτω σου ἡ θεοσέβεια, ὅσος ὁ λόγος ὑμῖν τοῦ τῆς εὐσεβείας κράτους· καὶ ὁπόσος ὁ ἔπαινος ἀπὸ Θεοῦ μετὰ τῶν ἀξίων ἀμοιβῶν ἐν τῇ ταύτης φυλακῇ καὶ ἀναβρήσει· ἣν καὶ φυλάττοιτε καὶ κηρύσσειν οὐ λήγοιτε, οἱ θειότατοι καὶ ἀξιάγαστοι ἡμῶν Πατέρες.

Οὗ δὲ χάριν ἀπεστείλαμεν πάλιν τὸν ἀδελφὸν καὶ προσκυνητὴν τῶν ἰχνῶν σου Ἐπιφάνιον, ἵν' ἀντιαναγγείλῃ ὁ αὐτὸς τὰ καθ' ἡμᾶς· ὡς εὐχαῖς ὑμῶν ἁγίαις εὖ ἔχει· χαιρυμένων ἡμῶν τῶν ἁμαρτωλῶν καὶ θυμηδιώντων ἐν τῷ διωγμῷ, καὶ ταῖς φυλακαῖς· ὡς τολμᾷν λέγειν· Ἡμῖν ἐχαρίσθη οὐ μόνον εἰς Χριστὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· ἵνα εἰς ἐκτενεστέραν ὑμᾶς προσευχὴν παρακινήσῃ· ὑπέρ τε ἡμῶν τῶν ἀσθενῶν εὐανδρίας, καὶ τοῦ κοινῇ συμφέροντος, ὑπὲρ οὗ ὁ λόγος ἡμῖν, καὶ πρὸς ὑμᾶς τοὺς ἁγιωτάτους δέησις τρὶς ἄρτι γινομένη· οὐχ ἵνα ἀφεθῶμεν τῆς φυλακῆς· ὅτι μηδὲ λογιζόμεθα αὐτὴν ἀδοξίαν· ἀλλὰ μέγιστον καὶ ὑπὲρ τὴν ἡμετέραν ἀναξιότητα κλέος· ἀλλ' ὅπως ἔξει τὸ ἐπωφελὲς ἐν τῷ κοινῷ, κἂν τῶν ἐσχάτων ἐσμέν. Πανταχοῦ γὰρ, φησὶν ὁ Θεολόγος, τὸ καθ' ἑαυτοὺς παρορατέον πρὸς τὸ τῶν πολλῶν συμφέρον. Συμφέρον δ' ἂν εἴη, ὡς ὁ ἡμέτερος σκοπὸς καὶ πόσος, ἐπιτιμηθῆναι συνοδικῶς διὰ τοῦ κορυφαιοτάτου ἀποστολικοῦ, ὥσπερ ἐπὶ τῶν ἄνωθεν καὶ ἐξ ἀρχῆς, τοὺς συνεδρεύσαντας κατὰ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, καὶ ἀναθεματίσαντας τοὺς ἀντεχομένους αὐτοῦ· καὶ μὴ τὴν μοιχείαν, καὶ μοιχοζευξίαν, καὶ μοιχοσυνδρομίαν, δεξαμένους ὡς οἰκονομίαν τῶν ἁγίων, καθὰ οἱ Μοιχειανοὶ ἐδογμάτισαν, ἀμοκαλέσαντες ἐν τούτῳ τοὺς ἁγίους παρανόμους· ὅτι μηδεὶς ἅγιος τὴν μερίδα μετὰ μοιχοῦ ἔθετο· οὐχ ὅτι καὶ μοιχωμένους ἐστεφάνωσε, καὶ δώρων τῶν θείων μεταδέδωκεν· ὁπότε οὐδὲ στέγης καὶ πυρὸς μεταδιδόναι αὐτοῖς, κἂν βασιλεῖς εἶεν, διηγορεύκασι. Καὶ ὅτι καὶ αὐτὸ τὸ Θεῖον ἐξύβρισαν ταῖς στεφανικαῖς μυσταγωγίαις, ἀνενεγκόντες τὸ ἀναθεμα ἐπ' αὐτὸ, διὰ τῆς τῶν ἀντεχομένων τοῦ νόμου αὐτοῦ ἀναθεματίσεως. Εἰ δὲ τοῦτο οὔ, ἡμεῖς τὸ λοιπὸν εὐχόμεθα ὑμῶν τῶν προσευχῶν τὸ σθένος, τῶν τῆς ἀγάπης θεσμῶν τὸ κῦρος, τῶν ἀντιγράφων τὸ κράτος· ὃ πάντως παρακληθείητε ποιῆσαι, παραμυθούμενοι τοὺς ὀλιγοψύχους καὶ ἐπιῤῥωννύντες

A jecisse variis modis. Zeli vero quem pro pietate geris, quanta vis et constantia sanctæ animæ tuæ sit, commemorans, ambas nobis aures implevit. Et benedictus sit, Dominus virtutum, qui te in prima ominium civitate collocavit lumen divinitus accensum, verbum vitæ proferentem bonorum operum abundantia: qui linguam tibi debit divina fidei orthodoxæ documenta libere celsoque animo eloquentem. In quo et te obtestamur, opem ferre Ecclesiæ nostræ tum tuopte robore, tum apud sanctissimum apostolicum intercedendo. Etenim virilis vestra pro veritate concertatio, universæ quæ sub cœlo est Ecclesiæ firmamentem est: et qui a vobis oritur zelus, semper totum orbem solet ad ferventem in Spiritu sancto fidei nostræ confessionem accendere. Quare conjiciat religio tua, quanta
B vobis causa fidei tuendæ, et quanta laus a Deo cum debitis præmiis vos maneat illam conservando et profitendo, quam semper conservetis, et annuntiare non cessetis, divinissimi et admirandi Patres nostri.

Propterea autem misimus iterum fratrem et vestigiorum tuorum veneratorem Epiphanium, ut renuntiet ispe de rebus nostris, quemadmodum sanctis precibus vestris recte habeant omnia: gaudentibus nobis peccatoribus, et exsultantibus in persecutione et in carceribus, ita ut dicere audeamus: Nobis datum est non solum credere in Christum, verum etiam pro ipso pati [21]: ut excitet vos ad enixius orandum, et pro imbecillitatis nostræ fortitudine, et pro communi utilitate, pro qua nobis sermo est; et ad vos sanctissimos ter-
C tia jam repetita deprecatio: non ut e custodia liberemur; quia hanc non ducimus infamiam, sed maximam ut supra merita nostra gloriam; verum ut redundet utilitas in commune, tametsi ex infimis simus. Semper enim, ait Theologus, privatum commodum spernendum præ utilitate multorum. Utile autem fuerit, quod unum est consilium nostrum et desiderium, synodice per supremum apostolicum, sicut ab initio semper factum est, damnari eos qui contra Evangelium Christi cœtum inierunt et anathemate defensores illius appetierunt; quod adulterium, et adulteri conjugium, et adulterii patrocinium non receperint tanquam dispensationem sanctorum: sicut Mœchiani statuerunt; sanctorum in illo nomen dantes injustis;
D quoniam sanctorum nullus partem posuit cum adultero; nedum et adulteros coronavit, et divina eis dona tradidit; quando nec tecto aut igni, quamvis reges essent, impertiendos docuerunt. Quid autem quod Deum ipsum contumelia affecerunt coronariis illis mysteriis, et anathema in eum dixerunt, eos qui legem ejus propugnabant, anathematizantes? Quod si hæc non fiant, petimus de cætero precum vestrarum robur, charitatis vinculi confirmationem, rescriptorum auctoritatem: quod omnino præstare dignemini, consolando pusillani-

[21] Philip. I, 59.

mes, imbecilles corroborando, sanctissimi et desiderabiles et semper venerandi Patres nostri.

XXXVI. — *Euprepiano et iis qui cum eo sunt.*

Confirmat adversus hæreticos : quorum facinus impium describit. (Baron. an. 809, n. 28.

Plurimum confido, dilecti filii, vos vitam agere tranquillam et secundum Deum compositam. Quare ad id quod urget sermonem convertam. Quidnam istud autem? Ubi prava illorum dogmata patefecerimus, et causas ostenderimus, propter quas nos cum aliis anathemate confixerunt, tum plane constabit eos non simplices tantum hæreticos esse, sed a Dei Evangelio apostatas, et excommunicatores sanctorum, et canonum eversores. Primum quidem quod et Veteri et Novo adversentur. *Non mœchaberis* [22], ait lex: *Non assumes nomen Dei in vanum* [23]. *Una lex esto Judæo et proselyto* [24]. Evangelium deinde sive Christus : *Audistis*, inquit, *quia dictum est antiquis : Non mœchaberis. Ego autem dico vobis nec aspicere mulierem ad concupiscendum eam* [25], Et : *Qui solverit unum de mandatis istis minimis, hic minimus vocabitur in regno cœlorum* [26]; hoc est, in ignem, ut interpretantur Patres, conjicietur. Hi vero, o rem auditu horribilem ! adulterium a lege et gratia vetitum vel ipso oculorum desiderio tenus, transgressionemque mandati non minimi dico, sed maximi, et quod primum servari debet: ad hæc, nominis Dei, non in vano, sed in re adeo illicita et nefaria, in adulterorum scilicet conjunctione, usurpationem, Christique mysteriorum immutationem, et inimicam Deo coronationem ac adulterii auctore diabolo ejusque ministro factam. Dei dispensationem appellarunt, eamque laudabilem et Ecclesiæ salutarem.

Obturemus aures, ne blasphemia tabescamus, fratres. Atque hac defensione utuntur, evangelicarum legum rationem, cum de regibus agitur, haberi, ut aiunt, non debere. En alia Antichristi persecutio, et ubinam illud : *Eadem lex erit* [27] ? Et ubi *Judicium durissimum his qui præsunt* [28] ? et ubi *Deus personam hominis non accipit* [29] ? Et quis imperatoris legislator? Et quoniam ut princeps, sic et subditus ; subditorum, quoque non erunt Evangelicæ leges. Nam si illius, et istorum quoque: ut tanquam sub una lege ac legislatore positi, obtemperantes et sine tumultu maneant. Quod si ille sub lege non sit quando vult, velit autem fortasse nullam servare ; isti vero nihilominus sint sub lege : alterum e duobus sequi necesse est, aut imperatorem Deum ; esse solus siquidem Deus sub lege non est ; aut rebellionem existere et seditionem. Ubi enim eadem lex non est, qui pax esse queat ? Imperatore aliud volente, mœchari scilicet, aut hæresi adhærere : subditos autem astringente lege, ut cum adultero non communicent : nec hæresi cum illo adhærcant : nec aliud quidquam vio-

[22] Exod. xx, xiii. [23] Ibid. vii. [24] Exod. xii, 49. [25] Sap. vi, [29] 6. Galat. ii, 6. [26] Matth. v, 27, 28. [26] Ibid. 19. [27] Exod. xii, 49.

τοὺς ἀνάλκιδας, ἁγιώτατοι ἡμῶν καὶ ποθητοὶ καὶ ἀεισέβαστοι Πατέρες.

ΑϚ'. — Εὐπρεπιανῷ καὶ τοῖς σὺν αὐτῷ. [πη'.]

Εὔελπίς εἰμι, τέκνα ἠγαπημένα, περὶ τῆς εἰρηναίας καὶ θεοτάκτου διαγωγῆς ὑμῶν. Διὸ μετελεύσομαι τὸν λόγον ἐπὶ τὸ κατεπείγον. Τί δὲ τοῦτο; Ὅταν ἀνακαλύψωμεν τὰ πονηρὰ αὐτῶν δόγματα, καὶ ὑποδείξωμεν τὰς αἰτίας δι' ἃς ἡμᾶς ἀνεθεμάτισαν μετὰ τῶν ἄλλων, παντάπασιν ἀποδείκνυνται οὐχ αἱρετικοί ψιλοί πως, ἀλλ' ἀποστάται τοῦ Εὐαγγελίου τοῦ Θεοῦ, τῶν τε ἁγίων ἀναθεματισταί, καὶ τῶν κανόνων καταλυταί. Τὸ πρῶτον, ἀντικαθιστάμενοι Παλαιᾶς καὶ Νέας. Μὴ μοιχεύσεις, ὁ νόμος· Μὴ λήψῃ τὸ ὄνομα τοῦ Θεοῦ ἐπὶ ματαίῳ. Εἷς νόμος ἔστω τῷ Ἰουδαίῳ καὶ τῷ προσηλύτῳ. Αὕθις τὸ Εὐαγγέλιον, ἤτοι ὁ Χριστός, Ἠκούσατε, φησὶν, ὅτι ἐρρήθη τοῖς ἀρχαίοις· Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν· μηδὲ ἐμβλέψαι γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν. Καὶ, Ὁ λύων μίαν ἐντολῶν τούτων τῶν ἐλαχίστων, οὗτος ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἤγουν τὸ πῦρ, ὡς οἱ Πατέρες ἑρμηνεύουσιν, ἐμβληθήσεται. Οἱ δὲ, ὦ τοῦ φοβεροῦ ἀκούσματος! τὴν μοιχείαν τὴν ἐκκήρυκτον νόμου καὶ χάριτος, μέχρι καὶ ἐπιθυμίας ἐμβλεμματικῆς, τήν τε λύσιν τῆς οὐκ ἐλαχίστης, ἀλλὰ πρώτης εἰπεῖν ἐν τῷ πρακτικῷ καὶ μεγίστης ἐντολῆς· καὶ πρὸς τούτοις, τὴν οὐκ ἐπὶ ματαίῳ λῆψιν τοῦ ὀνόματος τοῦ Θεοῦ, ἀλλ' ἐπὶ ἀθεμίτῳ τηλικαύτῃ πράξει πονηρᾷ, λέγω δὴ μοιχοζευξίᾳ, λῆψιν τοῦ ὀνόματος τοῦ Θεοῦ, καὶ μετάληψιν τῶν μυστηρίων Χριστοῦ, καὶ στεφανικὴν τοῦ μοιχουργοῦ διαβόλου καὶ ὑπηρέτου αὐτοῦ θεομαχίαν, οἰκονομίαν Θεοῦ προσηγόρευσαν, ἀγαθήν τε καὶ σωτήριον τῇ Ἐκκλησίᾳ.

Βύσωμεν τὰ ὦτα, μή ποτε τακῶμεν τῇ βλασφημίᾳ, ὦ ἀδελφοί. Καὶ τὸ δικαίωμα αὐτοῖς, ἐπὶ τῶν βασιλέων, φησὶ, χρῆναι παραβλέπειν τοὺς εὐαγγελικοὺς νόμους. Ἴδε ἄλλη ἀντιχριστικὴ προδρομία· Καὶ ποῦ τὸ, Εἷς νόμος ἔσται, Καὶ ποῦτὸ, Κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι; Καὶ ποῦ τὸ, Πρόσωπον ἀνθρώπου Θεὸς οὐ λαμβάνει; Καὶ τίς ὁ νομοθέτης βασιλέως; Καὶ ἐπειδὴ κατὰ τὸ ἄρχον καὶ τὸ ἀρχόμενον, οὐδὲ τῶν ἀρχομένων οἱ νόμοι οἱ εὐαγγελικοί. Εἰ γὰρ ἐκείνου, κἀκείνων· ἵνα μένωσιν ὡς ὑφ' ἑνὶ τεττόμενοι νόμῳ καὶ νομοθέτῃ, εὐπειθεῖς καὶ ἀστάσιαστοι. Εἰ δὲ ἐκείνου οὗ, ὅτε βούλεται· οὐ βούλοιτο δὲ τυχὸν οὐδένα φυλάττειν· αὐτῶν δὲ ναί· δύο ταῦτα, ἢ Θεός ἐστιν ὁ βασιλεύς· μόνον γὰρ τὸ Θεῖον οὐχ ὑπὸ νόμον· ἢ ἀναρχία, καὶ στάσις. Οὗ γὰρ νόμος χὴ ταυτὸς, πῶς εἰρήνη; τοῦ βασιλέως ἄλλο θέλοντος, ἤγουν μοιχεύειν, ἢ αἱρετίζειν· καὶ τῶν ὑπὸ χεῖρα μὴ συντίθεσθαι τὴν μερίδα μετὰ μοιχοῦ νομοθετουμένων, μηδὲ συναιρετίζειν· μηδ' ὅτι οὖν παραβαίνειν τὸ ὑπὸ Χριστοῦ καὶ τῶν ἀποστόλων παραδεδομένον; Καὶ πῶς ἐντεῦθεν οὐ συναναφαίνεται ὁ Ἀντίχριστος ἐπὶ θύραις εἶναι; Οὐ γὰρ τολμήσουσι

φάναι οἱ Μοιχειανοί· Μὴ οὐχὶ ὁ ἀνομεῖ ὁ Βασιλεὺς, ποιεῖ τε καὶ κελεύει ὑπείκειν τὸ λαόν; Καὶ Ἴδε εἰσῆλθεν ἐν τῷ λόγῳ αὐτῶν πάντως ὁ Ἀντίχριστος. Βασιλεὺς γὰρ ὢν κἀκεῖνος, τοῦτο μόνον ἐπιζητήσοι, ὅ θέλει καὶ λέγει γίνεσθαι· καὶ οὐδὲν τὸ διάφορον πρὸς τοὺς πρὸ αὐτοῦ, ἢ τὸ, μὴ τοσοῦτον θέλειν καὶ βούλεσθαι, ὡσεὶ καὶ θελήσοιεν καὶ ἄρτι. Ἡ αὐτὴ ἐξουσία παρὰ τῶν ἱεραρχῶν συνοδικῶς ἐκπεφώνηται. Καὶ πῶς συνιών τις, καὶ οὐκ ὢν δύσερις, οὐχ ὁμολογήσειεν οὕτως ἔχειν; Τί δὲ ταύτης τῆς αἱρέσεως χεῖρον ἔσται, ἕως ἀναδείξεως αὐτῆς τοῦ Ἀντιχρίστου; Ἐγὼ οὕπω δοκῶ εἶναι· ἀλλ' αὐτὴν ταύτην εἰς πέρας ἀρξαμένην ἐκ τοῦ δεῦρο τῷ τότε καιρῷ ἀπολῆξαι· καὶ ὅσοι ἐν ταύτῃ ὑποπέσωσι, κἂν τότε ὑπῆρχον, ὑπέπεσον ἄν· καὶ ὁπόσοι δυνάμει Θεοῦ ἀνταγωνιζόμενοι στῶσιν, εἶεν ἂν καὶ ταῖς ἡμέραις ἐκείναις νικῶντες τὸν Ἀντίχριστον ἐν θανάτῳ μετὰ Χριστοῦ. Ἀλλ', ὦ τῆς ἀνθρωπίνης ταλαιπωρίας! πῶς ἀπεντεῦθέν νωτα ἔστρεψα; πῶς ὑποδεικνύομεν τί ἐσόμεθα; Διὰ τοῦτο ὀλίγοι οἱ μέλλοντες στῆναι. Διὰ τοῦτο Ἠλίας καὶ Ἐνώχ· οὐκ οἴδαμεν εἰ καὶ ὁ Θεολόγος καὶ εὐαγγελιστὴς, ἀρωγοὶ τῆς ἀνθρωπίνης ἀσθενείας, καὶ πρωτοστάται, καὶ ἀθλοφόροι τῆς ὑπὲρ ὁμολογίας Χριστοῦ νικῆς. Διὰ τοῦτο κολοβωθήσονται αἱ ἡμέραι τῆς ἀνάγκης ἐκείνης τῇ ἐπιφανείᾳ Χριστοῦ ἀναιρουμένης.

lent eorum quæ in Christo et apostolis tradita sunt. Et quomodo ex his Antichristus non videbitur esse in januis? Non enim dicere audebunt Mœchiani: Nonne rex, etiamsi peccet, facit ac jubet ut populus legi pareat? Et ecce in illorum sermone prorsus advenit Antichristus. Nam cum ipse rex sit, tum id duntaxat quod vult et dicit, fieri exiget: neque ab iis, qui ipsum antecesserint aliter discrepabit, quam quia nec ea quidem volet quæ jam nunc illi voluerint. Eadem licentia per episcopos synodice promulgata est. Et quisnam compos mentis, si contentiosus non est, rem ita se habere non fateatur? Quid autem hac hæresi deterius futurum est, ad ipsam usque Antichristi manifestationem? Ego nondum quidem factam hanc esse arbitror: sed jam nunc inchoatam, illo tempore exitum habituram: et quotquot in hac succubuerint, eos, si tunc exsisterent, penitus cessuros: et quotquot Dei virtute reluctantes steterunt, eosdem illis diebus, Antichristi victores per mortem cum Christo futuros. Sed, o calamitatem humanam! ut terga jam exinde veterunt! ut, qui futuri simus, ostendimus! Propterea pauci futuri sunt qui stent, propterea Elias et Enoch, haud scimus an et Theologus ac evangelista, infirmitatis humanæ auxiliatores erunt, et antesignani, et in Christi confessione victores. Propterea breviabuntur dies ærumnæ illius, cui adventus Christi finem imponet [30].

Οἱ συνιόντες στῆτε, μὴ ἀρνήσησθε Χριστὸν ἀπὸ τοῦ δεῦρο· ἀρκτικὰ γὰρ τὰ παρόντα τῶν τότε. Τὸ δεύτερον οὐ πολλῆς δεῖται σαφηνείας, ἐκ τοῦ προτέρου ἐπιδηλούμενον. Ἀναθεματίσαντες οὖν τοὺς μὴ δεχομένους τὴν μοιχοζευξίαν καὶ τὴν μοιχείαν τοῦ βασιλέως, καὶ τὴν τοῦ παντὸς εὑρεθέντος καὶ ἐν αὐτῇ τὴν μερίδα θεμένου παρανομίαν, ὡς ἁγίαν οἰκονομίαν· τί ἄλλο ἢ τοὺς ἁγίους, καὶ πρώτόν γε τὸν Πρόδρομον ἀναθεματίκασιν; ἀληθὲς εἰπεῖν, εἰ καὶ φοβερὸν, καὶ αὐτὸν τὸν τῶν ἁγίων Δεσπότην; Ὃς γὰρ ταῦτα ἀπηγόρευσεν, οὐ δέχεται, οὐδὲ εὐδοκεῖ δηλονότι, ἀλλὰ λίαν ἠπείλησεν ἀπαραίτητον τὸ κρῖμα, καὶ τὸ μόνον μετὰ μοιχοῦ τὴν μερίδα θεῖναι, οὐ τοῦ δε, ἢ τοῦδε, ἀλλὰ παντὸς οὑτινοσοῦν, Βασιλέως, δυνάστου, μικροῦ καὶ μεγάλου. Εἷς γὰρ νόμους ἔσται, φησὶ, καὶ ἓν Εὐαγγέλιον παρελάβομεν· καὶ ὃς ἐκ τοῦδε τοῦ Εὐαγγελίου κἂν τὸ τυχὸν παρασαλεύσοι, κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἀρκεῖ σοι ἡ ἀσφάλεια. Μὴ βασιλεὺς μείζων ἄγγέλου; Μὴ οὐχὶ ὁ κοσμοκράτωρ ἐν τῷ κόσμῳ μείζων πάντων τῶν κοσμοκρατορικῶς κρατούντων δαιμόνων καὶ ἀνθρώπων, ἀλλ' οὐχὶ θεϊκῶς; Καὶ τί ὁ Ἀπόστολος; Ἀνάθεμα ἔστω. Ἄγγελοι οὐ τολμῶσι παρασαλεῦσαι, οὐδὲ σαλεύοντες μένουσι μὴ ἀναθεματιζόμενοι, ὡς ὁ διάβολος καὶ ἡ ἀποστατικὴ αὐτοῦ πληθύς. Καὶ πῶς ἄνθρωπος πᾶς ἐν σαρκὶ ὢν, σαλεύων καὶ καινοτομῶν, καὶ μάλιστα τοιαύτας καινοτομίας, οὐκ ἀλλότριος Θεοῦ; Ὃς δὲ οὐ δέχεται, ἃ ἀπηγόρευσεν (ἀναληπτέος γὰρ ἐξ οὗ εἰς μεταξυλογίαν μετῆλθεν ὁ λόγος) οὗτος κατὰ τοὺς Μοιχειανοὺς, μᾶλλον δὲ Ἀντιχρίστους, ἤδη ἀναθεμάτισται. Εἰ δὲ

State, quicunque sapitis, et Christum deinceps ne abnegetis. Hæc enim quæ videmus, initia sunt eorum quæ tunc erant Alterum longa explicatione non eget, cum jam ex priori manifestum sit. Itaque qui illos anathematizarunt qui conjunctionem adulterinam, et imperatoris adulterium et omnium, qui ejus participes inventi sunt, prævaricationem non recipunt tanquam dispensationem sanctam; quid egerunt aliud nisi sanctos, ac primum quidem Præcursorem, anathematizarunt, atque ut verum dicatur, tametsi horrendum, ipsum etiam sanctorum Dominum? Qui enim hæc prohibuit, haud dubie ea non recepit nec approbat: quin judicium inexorabiles minatus est etiam communicanti cum adultero, non hoc vel illo, sed quocunque, imperatore, dynasta, parvo et magno. Una enim, ait, lex erit [31]: et unum Evangelium accepimus: et qui ex hoc Evangelio quidpiam labefactaverit, licet angelus de cœlo, sufficit tibi asseveratio. Num imperator major est angelo? Num mundi princeps in mundo major cunctis dæmonibus et hominibus, qui mundana potestate, non divina, in mundo dominantur? Quid autem dicit Apostolus? Anathema sit. Angeli labefactare non audent, et, si labefactent, anathema non effugiunt, quemadmodum diabolus ac ejus turba desertrix et quonam modo in carne vivens omnis homo, si labefactet, et nova introducat, ac præcipue nova hujusmodi, alienus a Deo non erit? Qui vero ea quæ Deus prohibuit, non recipit (revocanda enim unde digressa est oratio), is Mœchiano-

[30] Matth. XXIV, 22. [31] Exod. XII, 49.

rum, vel potius Antichristorum sententia jam est excommunicatus. Quod si Dominum, sicut Judæi, dæmonia in Beelzebub ejicientem vocaverunt [32], quid de ipsius servis et famulis? Aut enim eos Domini leges in suis dispensationibus non servasse rati, conjunctionem adulteri et communionem cum adultero parilis esse momenti ac gloriæ statuerunt, suam illis dispensationem adjungentes, ideoque minime illos tanquam exleges et mandatorum transgressores, anathematizarunt, proindeque ipsi prorsus anathematizandi sunt: aut legem ab illis servatam esse confitentes, se ipsos anathematizaverunt, non autem sanctos, sanctorum sibi nomen miseri vindicantes in dispensatione, ut vocant, conjunctionis adulteri: ac eo ipso rursus sanctos anathematizaverunt tanquam minime sanctos: quandoquidem sancti eorum judicio ii sunt, qui pro viribus dispensationes conjunctionis adulterinæ, et communicationis cum adultero principe fecerunt et faciunt: alieni autem a Deo et exleges ac mandatorum transgressores, et excommunicati apud ipsos sunt, qui illorum dispensationem adulteris patrocinantem non recipiunt, nec illius vestigiis insistunt.

Undecunque igitur libuerit et quamcunque ipsorum impietatis vocem intueri, cogita, qui solertia polles et mirare, altam magis magisque impietatis voraginem contemplans ac revolvens. Non enim totam statim impietatem suam produnt hæreses: sed aliæ quidem prorsus alienæ sunt ab Evangelio, aliæ vero verba quædam ex Evangelio captantes, cum his se insinuant, haudquaquam profitentes se oracula evangelica non sequi: imo pro illis maxime pugnantes in speciem, quod isto et non illo modo accipi debeant, in divinis sermonibus ambiguitatem statuentes. Et cum a recto sensu discesserint, hæreses nominatæ sunt. Hinc vero manifesta est deerratio a fide. Non errant quod ad sensum attinet: sed quod dicant; Christus quidem sic ait, quantumvis lex sic habeat, in regibus ita fieri: vinci Evangelium. Vide quemadmodum finis principio respondeat. A Christi incarnatione hæreses natæ sunt extra Evangelium; deinde diabolus paulatim per gratiæ incrementa repulsus, ex ipsomet Evangelio clanculum subintravit. Scripturæ verbis textuque ipso tegens escam, hæreses procreat, usque ad Iconomachos, ac postquam ac auscultari ab hominibus sensit, appropinquante simul consummationis tempore, cœpit deinceps, sicut initio, exitium ipsius Evangelii moliri, ut congrue occurrat. Antichristo, in quo habitabit et in quo tota ipsius amaritudo et apostasia patefiet, quem Dominus præsentia sua quam citissime interimet. De tertio autem quid dicemus? Qui enim Evangelium aperta fronte transgredi ausi sunt, eosque qui transgredi noluere anathematizaverunt, ecquam illi curam habituri sunt canonum, quantumvis a Spiritu sancto obsignati sint, ac eorum dissolutione dissolvantur omnia quæ ad salutem nostram attinent? Nusquam enim

[32] Luc. xi, 15.

A τὸν Δεσπότην οὕτως, ὥσπερ οἱ Ἰουδαῖοι, ἐν Βεελζεβοὺλ ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια κεκλήκασι; τί περὶ τῶν δούλων καὶ θεραπόντων αὐτοῦ; ἢ γὰρ ὡς οὐ πειθαρχήσαντας τοῖς Δεσποτικοῖς νόμοις ἐν ταῖς οἰκονομίαις αὐτῶν ἐδογμάτισαν ἰσόρροπον καὶ ἰσοκλεῆ τὴν μοιχοζευξίαν καὶ μοιχοκοινωνίαν, οἰκονομίαν αὐταῖς συντάξαντες, καὶ διὰ τοῦτο ὡς ἀνόμους τοὺς ἁγίους, καὶ παραβάτας τῶν ἐντολῶν ἀνεθεμάτισαν, καὶ ἐνταῦθεν πάντως ἀναθεματιστέοι· ἢ νομοφύλακας αὐτοὺς ὁμολογοῦντες, ἑαυτοὺς ἀνεθεμάτισαν. Ἀλλ' οὐ τοὺς ἁγίους, σφετερισάμενοι οἱ δείλαιοι εἰς ἑαυτοὺς τὸ τῶν ἁγίων ὄνομα ἐν τῇ λεγομένῃ αὐτοῖς οἰκονομίᾳ τῆς μοιχοζευξίας· καὶ διὰ τοῦτο πάλιν τοὺς ἁγίους ἀνεθεμάτισαν ὡς μὴ ὄντας ἁγίους· ἐπεὶ ἅγιοι κατ' αὐτοὺς οἱ κατὰ δύναμιν τῆς μοιχοζευ-
B ξίας καὶ μοιχομεριδαρχίας τὰς οἰκονομίας πεποιηκότες καὶ ποιοῦντες, καὶ οὗτοι ἀλλότριοι Θεοῦ καὶ ἄνομοι, καὶ παραβάται ἐντολῶν, καὶ ἀναθεματισμένοι παρ' αὐτοῖς, οἱ μὴ τὴν μοιχοσύστατον αὐτῶν οἰκονομίαν δεχόμενοι, καὶ τὰ κατ' ἴχνος αὐτῆς οἰκονομοῦντες.

Ὅθεν οὖν βούλει, καὶ ποτέραν τῶν ἀσεβῶν αὐτῶν φωνὴν ἐθέλοις ἰδεῖν, νόει, ὁ ἀγχίνους, καὶ θαύμαζε, βάθος ἐκ βάθους ἀθεΐας ἀναθεωρῶν καὶ ἀναλαμβανόμενος. Οὐδὲ γὰρ αἱ αἱρέσεις προφανῆ τὴν ὅλην ἀσέβειαν ἔχουσιν· ἀλλ' αἱ μὲν πόρρω τοῦ Εὐαγγελίου πάντη γε· αἱ δὲ ὑποδούμεναι ἐκ τοῦ Εὐαγγελίου ῥήσεις τινὰς, συνεισέρχονται· οὐ λέγουσαι μὴ στοιχεῖν τοῖς εὐαγγελικοῖς θεσπίσμασιν, ἀλλὰ καὶ πάνυ τὸ δο-
C κεῖν ὑπὲρ αὐτῶν ἀντιποιούμεναι, τῷ οὕτως νοεῖσθαι, καὶ μὴ οὕτως· εἰς τοὺς θείους λόγους τὴν ἀμφιβολίαν ἔχουσαι. Καὶ ἐπειδὴ ἀποτυγχάνουσι τοῦ ὀρθοῦ φρονήματος, αἱρέσεις κατωνομάσθησαν. Ἐνταῦθα δὲ φανερὰ ἔκπτωσις πίστεως. Οὐ περὶ τὸν νοῦν σθαλλόμενοι, ἀλλὰ λέγοντες· Καὶ εἶπεν ὁ Χριστὸς οὕτω, κἂν νόμος ἔχῃ τάδε, ἐπὶ τῶν βασιλέων οὕτως γίνεσθαι, νικᾶσθαι τὸ Εὐαγγέλιον. Σκόπησον πῶς τῇ ἀρχῇ τὸ τέλος ἀκολουθεῖ. Ἀπὸ Χριστοῦ ἐνανθρωπήσεως ἤρξαντο ἔξωθεν τοῦ Εὐαγγελίου αἱ αἱρέσεις. Εἶτα ἀποκρουσθεὶς ὁ διάβολος διὰ τῆς κατὰ μικρὸν προκοπῆς τῆς χάριτος, ὑπεισῆλθε λανθανόντως ἐξ αὐτοῦ τοῦ Εὐαγγελίου. Τεννᾷ τὰς αἱρέσεις μέχρι τῶν Εἰκονομάχων, ἀπὸ Γραφῆς καὶ τῶν κειμένων αὐτῶν ὑποδούμενος τὸ δέλεαρ. Καὶ ἐπὰν ἤσθετο εὐηκόους
D αὐτῷ τοὺς ἀνθρώπους ὑπάρχειν, συνελαύνοντος καὶ τοῦ καιροῦ τῆς συντελείας, ἤρξατο ἐκ τοῦ γεῦρο ὡς τὸ ἀπ' ἀρχῆς, κατ' αὐτοῦ τοῦ Εὐαγγελίου ἀνάπτειν τὸν φόνον, ὅπως κατανιτήσῃ εἰς τὸν Ἀντίχριστον εὐθέτως, ἐφ' ὃν κατοικήσει, καὶ ἐν ᾧ ἀποκαλυφθήσεται ἡ πᾶσα αὐτοῦ πικρία καὶ ἀποστασία, ὃν ἀνελεῖ Κύριος τῇ ἐπιφανείᾳ αὐτοῦ ὅσι τάχιστα. Περὶ τοῦ τρίτου τι καὶ φῶμεν; Οἱ γὰρ τὸ Εὐαγγέλιον παραβαίνειν γυμνῇ τῇ κεφαλῇ κατατολμήσαντες, καὶ τοὺς μὴ παραβαίνειν αἱρετισαμένους ἀναθεματίσαντες, τί περὶ κανόνων αὐτοῖς μελήσει; Καί γε καὶ τούτων ὑπὸ Πνεύματος ἁγίου ἐσφραγισμένων, καὶ ἐν τῇ λύ-

σει αὐτῶν λελυμένων ὄντων τῶν ἁπάντων εἰς σωτηρίαν ἡμῶν ἡκόντων. Οὐδαμοῦ γὰρ ἱερωσύνη, θυσία, τἆλλα ἰάματα τῶν ψυχικῶν ἡμῶν ἀῤῥωστημάτων. A

sacerdotium, sacrificium, ac reliqua morborum nostrorum spiritualium medicamenta.

Τί δὲ λέγω κανόνων, καὶ ποιοῦμαι διαφοράν; Ταυτὸν ἔστιν εἰπεῖν καὶ ἐπ' αὐτῶν [καὶ] Εὐαγγελίου Χριστοῦ. Αὐτὸς γὰρ τὰς κλεῖς δέδωκε τῆς βασιλείας τῶν οὐρανῶν τῷ μεγάλῳ Πέτρῳ φάσκων· Ὃν ἂν λύσῃς, καὶ ὃν ἂν δήσῃς, ἔσται τὸ καὶ τό. Καὶ πάλιν πᾶσι τοῖς ἀποστόλοις· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· καὶ ἂν τινων κρατῆτε, κεκράτηται. Καὶ ἑπομένως τούτοις εἰς τοὺς μετ' αὐτοὺς διαβιβάζων τὴν ἐξουσίαν, ἐάνπερ ὡσαύτως πράξοιεν. Καὶ διὰ τοῦτο Βασιλείου, καὶ τῶν ἰσοστασίων αὐτῷ ἁγίων, ὡς τῶν ἀποστολικῶν κανόνων δεδεγμένων, καθότι ἐξηκολουθήκασι μηδὲν B κεκαινοτομηκότες, ἀλλὰ καὶ ἐπαυξήσαντες κατὰ τὸ δέον· οὗτοι οὖν οἱ νέοι ψευδαπόστολοι ἀποφαίνονται ἐμπράκτως, μὴ πάντως κατὰ τοὺς κειμένους ὅρους τῶν ἁγίων, ἀλλ' οἰκείᾳ ἐξουσίᾳ καὶ διακρίσει, παρὰ τὸ ὑπ' αὐτῶν διατεταγμένον ἔσθ' ὅτε ἕκαστον τῶν ἱεραρχων ποιεῖν· λύειν ἐν οἷς οὐ παρ' αὐτῶν λύσις· καὶ δεσμεῖν ἐφ' οἷς οὐχ ὑπ' αὐτῶν ὁ δεσμός. Καὶ ὁρᾶτε ταῦτα καθεκάστην γιγνόμενα. Καὶ ἐβεβηλώθη τὰ ἅγια, καὶ ἐφόδιον ἁμαρτίας κρύβδην τε καὶ εἰς τοὐμφανὲς ἡ μοιχοσύνοδος· καὶ καθαίρεται ὁ ἀκαθαίρετος· καὶ χειροτονεῖται ὁ διαβεβλημένος· καὶ ἑᾶται ὁ ὑποπίπτων κανόσι καθαιρετικοῖς, ἀνευθύνως ἱερουργῶν, καὶ ἐκ κελεύσματος ἀνθρωπίνου, καὶ οὐκ ἐκ ψήφου θείας καὶ κανονικῆς, αἱ προβολαί.

Quid autem canones dico, ac discrimen aliquod statuo? Perinde est de Evangelio Christi ac de illis dicere. Ipse enim claves, regni cœlorum magno Petro tradidit his verbis: Quemcunque solveris et quemcunque ligaveris, hoc erit et illud [33]. Et rursum omnibus apostolis: *Accipite Spiritum sanctum: quorum remiseritis peccata, remittuntur eis; quorum retinueritis, retenta sunt* [34]: ac consequenter potestatem transmittens ad eorum successores, cum idem egerint. Cumque idcirco Basilius, epsique suppares sancti, canones tanquam apostolicos receperint, quatenus eos secuti sunt, nihil immutantes, sed et amplificantes etiam prout conveniebat: isti demum novi pseudoapostoli re ipsa ostendunt, se nequaquam secundum præscriptos a sanctis terminos, sed propria auctoritate et arbitrio contra quam ab illis statutum est, facere, dum episcopus quilibet solvit interdum, ubi solvere non potest: ligat ubi ligandi jus non habet. Atque hæc quotidie fieri cernitis; et profana sunt sancta, et peccati illecebra clam palamque facta est mœchosynodus; deponiturque qui deponi non debet, et ordinatur qui infamia laborat, et qui canonibus depositionem irrogantibus obnoxius est, impune sacra facere permittitur, fluntque ex jussione humana, non Dei et canonum decreto, promotiones.

Καὶ, φεῦ μοι, τῆς ταλαιπωρίας, πάντα κατατραγῳδεῖν! καὶ τίς ἔχων καρδίαν αἰσθητικὴν, οὐκ ἀλγεῖ καὶ στένει; Καὶ ποῖος νοῦς ταῦτα ἀναθρώσκων καὶ συμβάλλων, οὐχ ὁμολογεῖ αἱρέσεων τὴν ἀποστάτριαν εἶναι Χριστοῦ; καὶ ποῦ μοι πάντα λέγειν τὰ κατα νοῦν, καὶ ὑπερβαίνειν μέτρον ἐπιστολῆς; Εὐσύνοπτα τὰ λεγόμενα, οὐ κεκομψευμένα, οὐ δυσνόητα· τὸ μὲν, ὅτι οὐδὲ ἐγὼ ὑψηγορεῖν δυνάμενος, ἀλλὰ καὶ λίαν ὀλίγος, καὶ ὀλιγόλογος, καὶ βραχύγνωστος, αὐτὰ ταῦτα δι' εὐχῆς τοῦ κοινοῦ Πατρὸς καὶ ὑμῶν ἔχων· τὸ δὲ καὶ διὰ τό τινας ὑμῶν μὴ ἰσχύειν δογματικώτερον καταλαμβάνειν τὴν αἵρεσιν, καὶ ἅμα ὅτι καὶ ἁπλοῦς ὁ λόγος τῆς ἀληθείας· ἥ τε αἵρεσις φανερὰ, καὶ ἀδογμάτιστος, καὶ παιδὶ εὐκατάληπτος. Ὧ γὰρ ὁ Θεὸς εἶπε, σύντομος ὁ λόγος. Οὗτοι οὐ στοιχοῦσιν· ἀλλὰ καὶ στοιχοῦντας ἀναθεματίζουσι. Δῴη δὲ ὑμῖν χάριν ὁ Κύριος ἐπὶ πᾶσιν, ἀγαπητὰ τέκνα. C D

Et, heu mihi! quantus dolor est omnia deplorare? et quisnam sensu aliquo præditus non dolet et ingemiscit? et quæ mens ista spectans et expendens, non confitetur desertricem Christi esse hanc hæresim? et cur omnia quæ in animo versantur expromam, et epistolæ modum excedam? Comperta sunt quæ dico, non scite composita, non difficilia, licet non dignus qui audiar, utriusque concordiam, per quam et clarius emicat radius veritatis, et pravitas illi adversantium, vel potius nocturna lux, intellectu: partim quia non sum sublimia loquendi facultate præditus, sed tenuis admodum et exigui sermonis, et angustæ scientiæ, hæc ipsa precibus Patris communis ac vestris adeptus; partim etiam quod nonnulli vestrum accuratiorem hæresis expositionem capere nequeant: demum, quod simplex sit veritatis oratio, et hæresis hæc manifesta sit, et doctrinæ expers, et quam puer possit capere. Cui enim Deus loquitur, ei brevis est sermo. Hi non recta incedunt, et recta incedentes anathematizant. Det autem vobis Dominus gratiam in omnibus, dilecti filii.

ΑΖ'. — Ἰωσηφ ἀρχιεπισκόπῳ Θεσσαλονίκης. [Ἐπ.]

XXXVII. — *Josepho archiepiscopo Thessalonicæ.*

Adversus eosdem hæreticos.

Διὰ τῆς ταπεινοφροσύνης καὶ σοφίας σου, τῆς τε πρός με τὸν ταλαίπωρον ἀγάπης, καὶ ὑπὲρ ἀξίαν μου ἀποτιμήσεώς σου, τὰ νῦν μοι ἐπεσταλμένα, εἰλικρινῆ

Digna humilitate ac sapientia tua, et charitate erga me miserum, ac de me supra quam mereor æstimatione sunt ea quæ ad me nunc scripsisti;

[33] Matth. xvi, 19. [34] Joan. xx, 22.

sinceram et incorruptam ex radiante anima tua, A ter beate mi fratripater, diffundentia veritatem. Quam amplexatus, gratias egi Christo desiderii mei expletori, bonorum omnium largitori : quidni enim? te scientia locupletem, zeloque convenienti, ac germanum præterea communis Patris filium, convenienta nobis minimis et sapere, et in animo habere. At belle sane ista, cum in votis habeam, licet non dignus qui audiar, utriusque concordiam, per quam et clarius emicat radius veritatis, et gravitas illi adversantium, vel potius nocturna lux, enervatur, et tenebris offunditur. Cum autem in litteris reperissem necessarii divisionem ; ignosce obstupui : non enim est hæc necessarii, sed contingentis, quod trifariam dividitur, in id quod sæpius, quod æqualiter, et quod rarius. Prioris autem, in B præsens et futurum : deinde præsentis altera divisio in subjectum et prædicatum : cum illud, quia sæpius contingit, in exsistens : et istud in necessarium transit, non tamen vicissim hoc in illud, quamvis inde descendat.

Non enim si quid jam necessarium, continuo et contingens. Si quid autem ut plurimum contingit; per id quod exsistit, transit nonnunquam in necessarium. Atque ita, omnis homo grammaticus, aliquis homo grammaticus : quorum prius quidem contingens, potest enim fieri ; alterum vero, si modo actus adsit, necessarium ; isto autem exstincto, abscessit actus necessarii : hoc, inquam est si sit, videlicet quandiu est ; alterum vero in eo quod est nunquam variatur : cujusmodi C sunt æterna, angelus et anima. Quod ergo quærebatur jam tenemus : ut qui reus est canonis de contingenti, pœnam interdum propter aliam hominis improbitatem sustineat ejus qui est de necessario ; at non hic vicissim ejus qui de contingenti. Fieri enim non potest, cum æquivaleat jam impossibili, omne siquidem quod impossibile, idem per conversionem necessarium est : quomodo necessarium est solem lucere, sed et impossibile est non lucere. Quod vero sanctitas tua dicit aliquando non luxisse : utique in Passione Christi, nam de nocte haud scio quo pacto. Hæc porro sunt prodigia, non consueta, neo regularia ; sed vel supra, vel præter naturam : quorum alterum declarat Christi incarnatio : alterum præsens iniquitas, non in abdito nec in trans- D cursu facta, sed palam atque in legis morem confirmata, quoad in ipsa fuit, per synodicam actionem, eorumque qui pro veritate pugnant, relegationem tanquam in aliqua divinorum canonum transgressione, aut, ut verius dicam, gravi infestaque hæresi.

O prævaricantium audaciam! quibus quanta ob divinarum legum, vel potius Evangelii canonumque ferme omnium contemptum pœna impendet ; tantum humilibus nobis impendet periculum, si quid de officio subtraxerimus. Quænam autem dispensatio esse queat erga eos qui cum adulteri copulatore sacrificant, quique adulterii confirmatrici synodo

καὶ ἀσύμφυρτον τηλαυγοῦντα ἐκ τῆς φωτοειδοῦς σου ψυχῆς, τρισόλβιέ μου ἀδελφοπάτορ, τὴν ἀλήθειαν· ἣν ἀσπασάμενος ηὐχαρίστησα τῷ ἀποπληρωτῇ τῆς ἐπιθυμίας μοῦ Χριστῷ, τῷ τῶν καλῶν ἁπάντων δοτῆρι· καὶ πῶς γε οὐχί; γνώσεώς σε πεπλουτισμένον ὄντα, καὶ ζήλου τοῦ προσήκοντος, ἄλλως τε τέκνον ἀληθινὸν τοῦ κοινοῦ Πατρὸς, συνῳδὰ ἡμῖν τοῖς ἐλαχίστοις καὶ φρονεῖν καὶ συνδιατίθεσθαι. Ἀλλ' εὖ γε μὲν ταῦτα· εὐκταιότερον ἔχοντός μου τοῦ ἀνακούστου τὴν ἀμφοτέρων ὁμοφωνίαν· δι' ἣν ἥ τε τῆς ἀληθείας ἀκτὶς μαρμαίρει λαμπρότερον, καὶ ἡ τῶν ἀντιδιατιθεμένων αὐτῇ σκολιότης, μᾶλλον δὲ νυκταυγία, ἀπονευροῦται τε καὶ ἀποζοφοῦται. Εὑρηκὼς δ' ἐν τοῖς γράμμασι τὴν τοῦ ἀναγκαίου διαίρεσιν, σύγγνωθι, ἀπηνεώθην. Οὐ γὰρ αὕτη τοῦ ἀναγκαίου, τοῦ δὲ ἐνδεχομένου, ὃ διῄρηται τριχῶς· εἴς τε τὸ ἐπὶ πλέον, ἐπίσης, καὶ ἐπ' ἔλαττον. Τοῦ δὲ προτέρου, εἴς τε τὸ παρὸν, καὶ ἐσόμενον· εἶτα τοῦ παρόντος ἐπιδιαίρεσις· εἰς ἀΐδιον, καὶ εἰς τὸ ἔστ' ἂν ᾖ. Τοῦ δὲ ἔστ' ἂν ᾖ. ὑποδιαίρεσις εἰς τὸ ὑποκείμενον καὶ κατηγορούμενον. τοῦ ὡς ἐπὶ πολὺ ἐνδεχομένου χωροῦντος εἰς τὸ ὑπάρχον· τοῦ δὲ, εἰς τὸ ἀναγκαῖον.

Οὐ μὴν ἀντιστρέφοντος, εἰ καὶ ἐκεῖθεν κατιόντος· οὐ γὰρ εἴ τι ἀναγκαῖον ἤδη καὶ ἐνδεχόμενον· εἴ τι δὲ τὸ ὡς ἐπὶ πολὺ ἐνδεχόμενον, ὀδεῦον διὰ μέσου τοῦ ὑπάρχοντος, ἔστ' ἂν ᾖ ἀναγκαῖον. Καὶ γοῦν πᾶς ἄνθρωπος γραμματικὸς, καὶ τίς ἄνθρωπος γραμματικός. Ἀλλὰ τὸ μὲν πρῶτον ἐνδεχόμενον· δυνατὸν γὰρ γενέσθαι· τὸ δὲ δεύτερον ἀναγκαῖον, ἐπ' ἂν ἔστιν ἐνέργεια· οὗ θανέντος, ἀπέστη κατὰ τὸ ἀναγκαῖον ἐνέργεια. Τοῦτό φησιν, ἔστ' ἂν ᾖ, τὸ ἕως ἂν ᾖ, ἥτε· Τὸ δὲ ἕτερον, τὸ μήποτε τοῦθ' ὅπερ ἐστὶν ἀλλοιούμενον· οἷα τὰ ἀΐδια, ἄγγελος καὶ ψυχή. Καί γε ἔχομεν τὸ ζητούμενον· ὥστε τὸν ἀλόντα ἐνδεχομένῳ κανόνι, πείσεσθαι ἔστιν ὅτε διὰ τὴν τοῦ ἀνδρὸς ἄλλην μοχθηρίαν, τὰ τοῦ κατὰ τὸ ἀναγκαῖον κειμένου· ἀλλ' οὐχὶ τοῦδε τὰ τοῦ κατὰ τὸ ἐνδεχόμενον. Οὐ γὰρ ἐνδέχεται· ἰσορροποῦντος ἤδη τῷ ἀδυνάτῳ. Πᾶν γὰρ ὃ ἀδύνατον, ἀντεστραμμένως καὶ ἀναγκαῖον· οἷον ἀναγκαῖον τὸν ἥλιον λάμπειν· ἀλλὰ καὶ ἀδύνατον μὴ λάμπειν. Τὸ δὲ φάναι τὴν ἁγιωσύνην σού ποτε μὴ λάμψαι· πάντως ἐπὶ τοῦ πάθους τοῦ Χριστοῦ. Ἐν νυκτὶ γὰρ οὐκ οἶδ' ὅπως. Ταῦτα δὲ τέρατα, καὶ οὐκ ἔννομα, οὐδὲ ἐγκάνονα· ἀλλ' ὑπὲρ φύσιν, ἢ παρὰ φύσιν· καὶ τὸ μὲν πρῶτον δηλοῖ ἡ Χριστοῦ οἰκονομία· τὸ δὲ δεύτερον, ἡ νῦν παρανομία, μάλιστα οὐκ ἐν ἀποδύστῳ καὶ ὡς ἐν παρεκδρομῇ γενομένη, ἀλλ' ἐμφανῶς καὶ εἰς νόμον κρατυνθεῖσα τὸ καθ' αὑτὴν, διὰ τῆς συνοδικῆς πράξεως· καὶ τῆς τῶν ὑπὲρ ἀληθείας ἐνισταμένων ἐξορίσεως, ὡς ἐπί τινος τοὐναντίον θείων κανόνων παραβάσεως, τἀληθέστερον δὲ εἰπεῖν, στιβαρᾶς καὶ πονηρᾶς αἱρέσεως.

Ὦ τῆς τόλμης τῶν ὁρασάντων! οἷς ὅσον τὸ κατάκριμα τῆς τῶν θείων νόμων, μᾶλλον δὲ τοῦ Εὐαγγελίου καὶ πάντων σχεδὸν κανόνων καθυβρίσεως· τοσοῦτον ἡμῖν τοῖς ταπεινοῖς ἐπικίνδυνον καθυφιοῦσί τι τοῦ πρέποντος. Πῶς δ' ἂν εἴη οἰκονομία ἐν τοῖς συλλειτουργοῦσι τῷ μοιχοζεύκτῃ, καὶ προάρξασι τῆς μοιχοκυρώτου συνόδου, ὡς ὁ θεῖος ἔφη Βασίλειος;

Φησὶ γὰρ, πολλάκις καὶ τοὺς τοῖς ἀνυποτάκτοις συναπελθόντας, ἐπ' ἂν μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν ἀποδέχεσθαι τάξιν, ἀλλ' οὐ παρ' ἡμῶν· εἴπερ ποτὲ καὶ μεταγνοῖεν· παρὰ δὲ τῶν [ἴσ]οστασίων, ὡς ὁ θεῖος ἔφη Διονύσιος. Τὰ πλείω ἀφίημι τῇ συνέσει σου ἱερῶς ἰσχυούσῃ ἐποπτεύειν τὰ ἡμᾶς λανθάνοντα. Δόξα Θεῷ ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπολύσει, εἴπερ ἀληθές. Δόξα Θεῷ καὶ περὶ τῆς θεοδότου σου, ἀδελφέ μου, καρτερίας, ἐν τοῖς τῶν αὐτόθι σκληροῖς καὶ ἀπεριτμήτοις τῷ πνεύματι κεντήμασι· Χαρίζου μοι τὴν εἰσαεὶ ὑπόμνησιν, νηφαλεοῦσάν με τὸν νυστάζοντα· εἶτα καὶ νῦν ἱερὰν προσευχὴν πάνυ πάντων, τοῦ δὲ Πατρὸς ἡμῶν καὶ τοῦ διαφερόντως, χρῄζοντι. Μεμάθηκα πεποιηκέναι σε χάριτι Χριστοῦ πόνημά τι· καὶ, εἰ κελεύεις, ἀναγνώσαιμι αὐτὸ ἐπ' ὠφελείᾳ.

A præfuerunt, ut divinus ait Basilius? Dicit enim, sæpe illos etiam qui in obedientibus adhæserunt, postquam eos pœnituerit, in eumdem gradum recipit, sed nequaquam a nobis, si modo unquam errorem agnoscent, verum a comparibus, ut ait divinus Dionysius. Cætera relinquo prudentiæ tuæ, quæ potest etiam ea quæ nos latent, sancte perspicere. Laus Deo et de fratrum liberatione, si verum est. Laus Deo et de tua, mi frater, divinitus data constantia, in duris et incircumcisis spiritu hominum istorum stimulis. Largire mihi perpetuam admonitionem, quæ me dormitantem expergefaciat; deinde et nunc sacras preces omnium prorsus, sed Patris nostri et tuas potissimum, indigenti. Didici te per Christi gratiam opus aliquod elaborasse; fac, si placet, ut cum utilitate legam.

B

ΑΗ'. — Ἀρσενίῳ τέκνῳ. [ρδ'.]

XXXVIII. — *Arsenio filio.*

Scelus nomine dispensationis prætexentes refellit. (Baron. an. 787, n. 58.)

Ἡλίκον ἐχάρην καὶ τανῦν, ἀναγνούς σου τὰ γράμματα, τέκνον ποθεινότατον· οὐ τοσοῦτον ἐν τῇ ἀνεῳχθείσῃ σοι μᾶλλον θύρᾳ τῆς πρὸς ἀδελφοὺς συντυχίας· εἰ καὶ αὐτὴ εὐκταία· ὅσον ἐπὶ τῇ τῆς γλώττης εὐχάριτι Θεοῦ, δι' ἧς κλείεις τὰ ἀπύλωτα στόματα τῶν αἱρετιζόντων. Προσθείη σοι τοιγαροῦν ἔτι Κύριος λόγον γνώσεώς τε καὶ σοφίας, διακατελέγχειν τοὺς τῆς εὐσεβείας προ[σ]ασπιστάς· ὡς ἂν ἕξει σοι εὖ μάλα τῷ θείῳ Δαυὶδ συμψάλλειν· Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα· ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. Καθ' ὧν λυττήσαντες οἱ Μοιχειανίζοντες, ἐκεῖνό πως τὸ Γραφικὸν αὐτοῖς τοῖς ἔργοις φθέγγονται. Ἀπόστα ἀπ' ἐμοῦ, ὁδοὺς σου εἰδέναι οὐ βούλομαι. Εἰ γὰρ ᾔδεισαν, οὐκ ἂν παρέβησαν τὰ τοῦ Κυρίου ἐντάλματα. οὐκ ἂν παραβάντες, οἰκονομίαν σωτήριον τῇ Ἐκκλησίᾳ Χριστοῦ τὰς παραβάσεις συνοδικῶς ἐδογμάτιζον, ὑπ' ἀναθέματι τῶν ταύτας μὴ οὕτω προσιεμένων. Ὅπερ ἀσεβὲς δόγμα τοσοῦτόν ἐστιν, ὡς μὴ μόνον τὸ ἱερὸν Εὐαγγέλιον ἀνατρέπειν, κατὰ τὸ ἐκ μέρους φύσιν ἔχειν τὸ ὅλον ἀνατρέπεσθαι· ἀλλὰ καὶ αὐτὴν τὴν Χριστοῦ οἰκονομίαν ἀναιρεῖν· ἀναιρετικὰ γὰρ ἀλλήλων τἀναντία. Ὅτι δὲ ἐναντία ἡ μοιχοζευξία, δογματισθεῖσα σωτήριος οἰκονομία, τῇ θείᾳ, καὶ ἐπ' ἀναιρέσει τῆς ἁμαρτίας οἰκονομίᾳ, παντί που δῆλον. Ἀλλὰ μὲν οὖν καὶ ἑτέρων ἀσεβημάτων ἐστὶν ἐπίμεστος ἡ μοιχοσύνοδος· ἅ, εἰ περιτύχοις πάλιν ἰδεῖν τὸν ἀδελφὸν Εὐπρεπιανὸν, ὑποδείξειέ σοι.

Quanto nunc etiam gaudio perfusus sum lectis litteris tuis, fili desideratissime! non tam quod apertum tibi ostium fuerit liberius cum fratribus congrediendi; quamvis et illud optandum, quam propter insitam linguæ tuæ Dei gratiam, qua obstruis effrenata ora hæreticorum. Adaugeat ergo tibi Dominus sermonem scientiæ ac sapientiæ ad confutandos impietatis defensores: ut tibi merito sane liceat cum divino David canere: *Os meum aperui, et attraxi spiritum; quia mandata tua non sum oblitus* [35]. Contra quæ insanientes Mœchiani, illud Scripturæ, operibus ipsis, quodammodo inclamant: *Recede a me vias tuas scire nolo* [36]. Si enim scivissent, haudquaquam Domini mandata violavissent: neque, postquam violaverunt, salutarem Christi Ecclesiæ dispensationem fuisse prævaricationes suas, synodice sanxissent, anathemate in eos decreto qui eas non perinde approbassent. Quod quidem adeo est impium dogma, ut non modo sacrum Evangelium destruat, quatenus totum destrui in parte vulgo solet; sed ipsam etiam Christi incarnationem tollat de medio; tollunt siquidem sese mutuo contraria. Quod autem adulterina conjunctio, quam isti salutarem dispensationem fuisse statuunt, divinæ, et ad peccati destructionem institutæ dispensationi contraria sit, omnibus manifestum est. Verumenimvero aliis quoque impietatis generibus scatet mœchosynodus; quæ, si Euprepianum fratrem iterum videre contingat tibi demonstrabit.

C

Ἐῤῥῶσο καὶ εὐσθένει, τέκνον, ἀμφοτέρωθεν τοὺς βάλλοντας ἀοράτως, ἐκβάλλων κράτει πίστεως, φόβου τε θείου καὶ ἀγάπης. Ἐπειδὴ γὰρ ἔξωθεν δι' ὧν ἐπεγείρουσιν αἱρέσεων προσβάλλοντες, ἀποκρούονται ὑπὸ τοῦ ὀρθοδόξου φρονήματος· ἔνδοθεν ἐπέρχονται οἱ δόλιοι, συλῆσαι τὸν τῆς ψυχῆς θησαυρὸν τεχναζόμενοι. Ὧν λυτρωθείημεν τῆς θήρας, χεῖρας πρὸς Θεὸν αἴροντες, συνεργίᾳ τῶν τοῦ κοινοῦ Πατρὸς ἡμῶν προσευχῶν, καὶ πάντων τῶν εὐσεβούντων, ἐγώ τε καὶ σὺ καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν. Ὁ τοῦ

D

Vale et constans esto, fili, utrinque eos qui invisibiliter feriunt prosternens fidei robore, timorisque divini et charitatis. Postquam enim extrinsecus per hæreses, quas suscitant, irruentes, per orthodoxam sententiam repulsi sunt: intrinsecus aggrediuntur fraudulenti, animæ thesaurum diripere molientes: quorum a deprædatione liberemur, manus ad Deum attollentes, et adjuti precibus communis Patris nostri et piorum omnium, ego et tu, et fratres nostri universi. Auletæ præpositus tibia

[35] Psal. cxviii, 131, 176. [36] Job xxi, 14.

canit, sed obscuro sono, nec Spiritui sancto concinenti. Quod enim ait se Romam spectare; imbecillitatis causæ, falsæque in re præsenti defensionis suffugium est. Quodque de Saba et Theoctisto, religiosissimis monachis; hoc illudve dicat, et quod Romæ hoc et illud, falsum est. Hi enim ob hanc causam ne ab Iconomachorum hæresi redeuntes episcopi in pristinos gradus restituerentur: non quidem omnes, sed præcipui, et principes hæreseos, juxta sancti Athanasii verba, restiterunt. Quod sane absurdum non erat. Sed postquam synodus, quæ coacta tum fuit, recipiendos omnes judicavit, exemplum secuta quartæ sanctæ synodi; assenserunt et ipsi: neque enim ulla suberat rei necessariæ transgressio.

A Αὐλητοῦ καθηγούμενος αὐλεῖ, ἀλλὰ ἄσημα, καὶ οὐ τῷ Πνεύματι τῷ ἁγίῳ εὔρυθμα· καὶ τὸ λέγειν αὐτὸν ἀφορᾷν ἐν Ῥώμῃ, ἀσθενείας λόγου, καὶ πρὸς τὸ παρὸν ψευδαπολογίας καταφύγιον. Καὶ τὸ φάναι αὐτὸν περὶ Σάβα τε καὶ Θεοκτίστου, τῶν εὐλαβεστάτων μοναχῶν, τοῦτο κἀκεῖνο, καὶ ὡς ἐν Ῥώμῃ τὸ καὶ τὸ οὐκ ἀληθές. Οἱ μὲν γὰρ ἕνεκεν τοῦ μὴ προσδεχθῆναι τοὺς ἐκ τῆς Εἰκονομαχικῆς αἱρέσεως ὑποστρέφοντας ἐπισκόπους εἰς τοὺς οἰκείους βαθμούς· καὶ οὐ πάντας, ἀλλὰ τοὺς ἐξόχους καὶ πρωτάρχους τῆς αἱρέσεως, κατὰ τὸν λόγον τοῦ ἁγίου Ἀθανασίου, ἐνίσταντο. Ὅπερ οὐκ ἀπεικότως. Ἀλλ' ἐπεὶ ἡ τηνικαῦτα σύνοδος κέκρικεν ὅλους εἰσδέξασθαι, ἔχουσα τὴν τετάρτην ἁγίαν σύνοδον παράδειγμα· συνῆλθον· οὐ γὰρ ἦν τῶν ἀναγκαίων τι παραβαινόμενον.

De Simoniacis autem tum quidem prætermissum est, quia de eo capite post synodum quærendum erat. Postquam vero quæsitum fuit . . . . . , primum quidem annuæ pœnitentiæ, aut aliquanto amplius. O facinus audax! cum monachis quibusdam, quorum nominibus parco, editum est ab eo decretum relaxandæ depositionis perpetuæ, ita ut Christi sacerdotes iterum forent, quos Deus per apostolorum principem Petrum deposuisset. Deinde cum ipsi in ea re non assentiretur Sabas, sed plane adversaretur; quid agit? malum recto corrigit. Negat se pœnitentiam dedisse, ut eos admittere qui per pecuniam ordinassent, vel ordinati fuissent, quod cum dicit, convincitur ab illius temporis Augusta, a qua inductus fuerat ut iniquam pœnitentiam daret.

B Περὶ δὲ τῶν Σιμωνιανῶν, τηνικαῦτα μὲν παρεκαλύφθη, ὡς μετὰ τὴν σύνοδον ἐκζητησομένου τοῦ κεφαλαίου. Ἐπεὶ δὲ ἐζητήθη . . . . . τὸ πρῶτον μὲν εἰς ἐπιτίμιον ἐνιαυσιαῖον ἢ καὶ πλέον. Ὦ τοῦ τολμήματος! σύν τισι μοναστᾶις, ὧν ἀφίημι λέγειν τὰ ὀνόματα, ἐδόθη ὅρος ὑπ' αὐτοῦ ἐξιλεώσεως τῆς εἰς αἰῶνας καθαιρέσεως· εἰς τὸ εἶναι τοὺς ὑπὸ Θεοῦ διὰ Πέτρου τοῦ τῶν Ἀποστόλων κορυφαίου καθῃρημένους, πάλιν ἱερουργοὺς Χριστοῦ. Καὶ ἐπεὶ οὐ συνῆλθον οἱ περὶ Σάβαν ἐν τούτῳ, ἀλλὰ καὶ διηνέχθησαν πρὸς αὐτὸν, τί ποιεῖ; κακὸν καλῷ ἀπάκλάττει. Ἀρνεῖται μὴ δεδωκέναι ἐπιτίμιον, μηδὲ προσίεσθαι τοὺς ἐν χρήμασι χειροτονήσαντάς τε καὶ χειροτονηθέντας. Λέγων διελέγχεται ὑπὸ τῆς τηνικάδε κρατούσης, ἀφ' ἧς καὶ εἰλκύσθη δοῦναι τὸ ἄνομον ἐπιτίμιον.

Aderat dies Theophaniorum Christi, venerunt illo die quibus imposita pœna fuerat: et, ea jam peracta, se absolvi postularunt, abnuebat ille, Augusta urgebat, ut admitterentur. Iterum malo rectum destruit patriarcha: cum illis eo ipso festo palam sacrificat, non invitus sane, sed sua sponte: quandoquidem cum posset cum depositis non sacrificare, sacrificavit: quoquomodo quis dicat eum non potuisse. Hinc illa Sabæ cum eo contentio: hinc emersit amplior quam divini canones ferant, absolutio, Roma vero minime hæc probavit, absit! sed neque synodum ipsam habuit pro œcumenica, sed pro locali, et quæ proprium locorum illorum errorem emendasset [37]. Neque enim aliorum Patriarcharum vicarii erant qui pro iis sedebant: falsum, siquidem Romani non propter synodum, sed ob eliam causam missi huc venerant. Quare et depositi, ut fertur, post reditum fuerunt ab eo qui miserat. quamvis coactos ac fuisse causarentur. Alii autem ex oriente quidem, sed a nostratibus persuasi et inducti, non autem a Patriarchis missi, qui nihil sciverunt ne postea quidem, propter gentis metum scilicet. Hoc autem idcirco faciebant homines nostri, ut hære-

C Παρῆν ἡ ἡμέρα τῶν Θεοφανίων Χριστοῦ· ἐληλύθασιν ἐν ταύτῃ οἱ ἐπιτιμιασθέντες, πεπληρωκότες τὸ ἐπιτίμιον, καὶ λύσεν ἐπιζητοῦντες· ὁ μὲν ἀπηξίου, ἡ βασίλισσα κατηπείγετο τὴν εἴσοδοχήν. Πάλιν κακῷ τὸ καλὸν διαμείβει ὁ πρόεδρός. συλλειτουργεῖ αὐτοῖς τῇ αὐτῇ ἑορτῇ εἰς προοῦπτον· οὐκ ἀκουσίως δῆθεν ἀλλ' ἑκουσίως· ἐπὰν δυνάμενος μὴ συλλειτουργῶν καθῃρημένοις, συνελειτούργησε· κἂν ὁπωσοῦν φαίη τις ἀδυνατεῖν αὐτόν. Ἐντεῦθεν ἡ πρὸς αὐτὸν διαφορὰ τῶν περὶ Σάβαν· ἐντεῦθεν ἐπεπόλασεν ἡ λύσις πλεόνως τῶν θείων κανόνων. Ἡ δὲ Ῥώμη ταῦτα οὐ προσήκατο· μὴ γένοιτο! ἀλλ' οὐδὲ αὐτὴν τὴν σύνοδον ὡς οἰκουμενικὴν, ἀλλ' ὡς τοπικὴν, καὶ τὸ ἴδιον πτῶμα τῶν τῇδε ἀνορθώσασαν. Οὐδὲ γὰρ οἱ κατὰ D κότες ἀντιπρόσωποι τῶν ἄλλων πατριαρχῶν· φευδές (1)· τῶν μὲν Ῥωμαίων δι' ἄλλο, οὐ διὰ σύνοδον, παραπεμφθέντων ἐνταῦθα. Διὸ καὶ καθῃρέθησαν, ὥς φασι, παλινοστήσαντες ὑπὸ τοῦ πεπομφότος, κἂν ἐπεκαλῶντο βεβιάσθαι. Οἱ δ' ἄλλοι ἐκ μὲν ἀνατολῆς, ἀλλ' ὑπὸ τῶν ἐνταῦθα προτραπέντες καὶ ἐλχθέντες, οὐχ ὑπὸ τῶν πατριαρχῶν ἀποσταλέντες, ὅτι μηδὲ ἐνόησαν, ἢ ὕστερον, διὰ τὸ τοῦ ἔθνους δέος δηλονότι. Τοῦτο δὲ ἐποίουν οἱ ἐνταῦθα, ἵνα τὸν αἱρετίζοντα

[37] De hoc loco videsis Baronii dubitationem, an. 787, n. 58.

NOTÆ.

(1) Forte hæc vox ex ora libri in textum irrepsit.

λαὸν μᾶλλον πείσωσιν ὀρθοδοξεῖν, ἐκ τοῦ οἰκουμενικὴν δῆθεν ἀθροισθῆναι σύνοδον.

Εἰ δὲ φαίης, πῶς ἡμεῖς οὐκ ἐνιστάθημεν τηνικαῦτα, καὶ διὰ τί χειροτονίαν ἐδεξάμεθα μετὰ τὴν σύνοδον παρὰ τοῦ κυροῦ Ταρασίου· ἀπολογούμεθα καὶ σοὶ καὶ πᾶσιν, ὅτι τὸ μὲν ἐν ὑπηκόοις ἐτελοῦμεν, μὴ τὰ ὕστερον γνωσθέντα ἡμῖν πρότερον εἰδότες· τὸ δὲ, δραξάμενος αἰτίαν εὔλογον, τὸ λέγειν Ταράσιον, μήτε ἐπιτίμιον δεδωκέναι. μηδ' αὖ εἰ γνοῖεν, τῶν τοιούτων συνιερουργεῖν τινι, ἀλλὰ καὶ καθαιρεῖν. Κἂν οὐχ εὕτως ἦν τὸ ἀληθὲς, διὰ τὸ προφανές. Ἀλλ' ὅμως ἡμεῖς ὀρεγόμενοι τὴν ὁμόνοιαν, ἠρκέσθημεν τοῖς λεγομένοις· τοῦτο κεκρικότες, ἐπὶ τὸ φιλανθρωπότερον τῆς εἰρήνης νεῦσαι ἐν τῷ ἀμφιβόλῳ πράγματι, καθώς φησί που ὁ Θεολόγος. Καὶ ἅμα, ὅτι δεδεγμενος ἦν διὰ τὴν ὀρθοδοξίαν, καὶ τὸ κατ' αὐτὴν ἀνδρεῖον καὶ σπουδαῖον γενέσθαι, ὑπὸ τῶν ἄλλων Ἐκκλησιῶν. Ταῦτά σοι ἐγνώρισα. τέκνον, εἰς εἴδησιν τῶν καθηκόντων· καὶ ὅτι οἱ περὶ Σάβαν εἰ διὰ τοῦτο, καὶ οὐκ ἄλλοις τισὶν ἀλόγοις διεφέροντο πρὸς αὐτὸν, εἶχον εὔλογον καὶ ἔχουσιν. Ὡς γὰρ ὑπὸ παραπετάσματι ἡμεῖς τοῦ λέγειν μὴ δέχεσθαι τοὺς τοιούτους, ἀλλὰ καὶ καθαιρεῖν, συνήλθομεν τῷ προέδρῳ· οὕτως ἐκεῖνοι τὸ πραχθὲν ἐμφανῶς ἔχοντες δικαίωμα, ἀντιποιοῦνται εἰκότως τοῦ θείου κανόνος. Καὶ οὐκ ἔστιν ὁ χάριν τούτου τοῦ κεφαλαίου δυνάμενος ἀντιστῆναι αὐτοῖς, εἴ γε λέγοιεν ὅτι Ταράσιος οἰκονομικῶς ἐδέξατο τοὺς χρηματοχειροτονοῦντας. Ἀλλὰ γὰρ οὐδ' ἂν Πέτρος καὶ Παῦλος ἐπιστῇ· αὐτοὶ γὰρ ἐξέθεντο τὸν κανόνα, καὶ αὐτοί φασιν· Ἀλλὰ κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω.

si adhærentem populum facilius ad orthodoxam fidem pertraherent, cum œcumenica synodus coacta fuisset.

Quod si quæras quamobrem nos tum minime obstiterimus, et cur ordinationem post synodum de domini Tarasii manu susceperimus; hoc tibi omnibusque aliis respondemus: primun quidem nos sub obedientia tua vixisse, nec dum ea cognovisse, quæ perspecta nobis postea fuerunt: deinde causam nactos fuisse probabilem; cum diceret Tarasius, se nec pœnitentiam imposuisse, nec porro cum ullo eorum, si novisset, communicaturum; quinetiam depositurum. Quanquam id verum non erat, cum manifesta res esset. Sed nos tamen concordiam appetentes, iis contenti fuimus quæ ab eo dicebantur: sic statuentes, ad humaniorem pacis partem in re ambigua propendendum esse, sicut alicubi Theologus ait. Simul hoc etiam reputantes, illum propter fidem orthodoxam, suumque in ea tuenda studium, ab aliis Ecclesiis receptum fuisse. Hæc tibi exposui, fili, ut scias quæ scire te convenit, et Sabam, si propter hæc non ob alia quæpiam rationi haud consentanea ei adversatus est, probabilem causam habuisse et habere. Quemadmodun enim nos hoc prætextu, quod diceret, se tales non recipere, sed deponere, cum patriacha convenimus: sic illi justam rei palam gestæ defensionem habentes, pro divino canone merito decertant. Neque est qui hoc nomine redaguere illos possit, si dicant Tarasium per dispensationem eos recepisse, qui per pecuniam ordinarant. At neque si Petrus et Paulus adsint; ipsi enim canomen condiderunt, ipsimet dicunt: *Sed licet nos aut Angelus de cælo, evangelizet vobis præterquam quod evangelizavimus, anathema sit* [38].

ΛΘ'. — Θεοφίλῳ ἡγουμένῳ. [ρς'.]

XXXIX. — *Theophilo præposito.*

Cur hæreticos vocet eos, quibuscum ipse aliquando communicaverat. (*Baron. ann.* 809, *n.* 28.)

Ἐβουλόμην ταχύτερον ἐπιστεῖλαι τῇ ἁγιωσύνῃ σου, ἀλλ' οὐκ εὐωδούμην φρουρούμενος ἀσφαλῶς. Ὅτε δὲ εὐδόκησεν ὁ ἀγαθὸς Θεὸς χαρίσασθαι καὶ τὸν τρόπον καὶ τὸ πρόσωπον· τηνικαῦτα τὸν ἐμὸν πόθον πληρῶ ὁ ταπεινὸς, καὶ προσαγορεύω, καὶ ἀσπάζομαι τὸν ἐμὸν πνευματικὸν Πατέρα, καὶ λίαν ὄντως φιλούμενον. Οὐ γὰρ ἐπειδὴ διέστησαν ἡμᾶς σωματικῶς οἱ ἄρχοντες τοῦ αἰῶνος τούτου, ἤδη διέλυσαν καὶ τὴν ἐπὶ Θεὸν ἡμῶν πρὸς ἀλλήλους ὁμόνοιάν τε καὶ σχέσιν· μᾶλλον μὲν οὖν καὶ ἐβεβαίωσαν. Πείθομαι γὰρ καὶ τὴν σὴν ὁσιότητα ποθεῖν τὴν ἡμετέραν ἀναξιότητα· καὶ ἀκλινῆ διαμένειν τῆς ὀρθοδόξου καὶ θαρέστου ἐνστάσεως, ἐξ ὧν τε πρότερον καὶ ὕστερον ὑπέδειξεν ἑαυτὴν Θεῷ τε καὶ ἀνθρώποις, ὡς συναιρεῖσθαι ἡμῖν τοῖς ταπεινοῖς καὶ τὸν ὑπὲρ εὐσεβείας διωγμόν· κἂν οὐκ ἠβουλήθησαν οἱ κρατοῦντες, φειδοῖ τοῦ μὴ πολλοὺς ἐξορίζειν καὶ καθείργειν· καὶ ὡς ἂν δόξωσιν ἐντεῦθεν πείθειν τὸν κόσμον, εἰς ἡμᾶς μόνους περιίστασθαι τὴν πρὸς αὐτοὺς διαφοράν, καὶ μὴ εἶναι ἄλλους τοὺς ἐνισταμένους· οἳ τοσοῦτοι τῷ πλήθει ἐν τῇ ὑπ' αὐτῆς ἐξουσίᾳ· κἂν φόβῳ εἴτε καὶ

Volebam equidem citius ad sanctitatem tuam scribere, sed viam nullam reperiebam, arcta custodia inclusus. Postquam autem Deo bono placuit, et modum et hominem concedere: nunc desiderium meum humilis expleo, et saluto amplectorque spiritualem Patrem meum quem revera amo plurimum. Neque enim, quando, corpore nos segregarunt principes sæculi hujus, pariter mutuam in Deo nostro concordiam affectumque dissolverunt: quinimo magis confirmarunt. Confido enim et me quamvis indignum a tua sanctitate diligi, et in orthodoxa Deoque accepta propugnatione immobilem ipsam permanere; ex iis quibus se et antea, et post etiam, Deo atque hominibus comprobavit: ita ut cum humilibus nobis persecutionem etiam pro pietate eligat: licet noluerint qui rerum potiuntur, ne tam multos in exsilium amandarent, vel in custodiam traderent; atque ut hac ratione mundo persuaderent, nos solos ab ipsis dissidere nec alios esse qui resistant: cum tamen adeo multi sint sub eorum imperio; quamvis aut metu aut dissimula-

[38] Galat. I, 8, 9.

tione se ipsos tegant ; ut divinum David clamantem exaudire liceat : *Dinumerabo eos et super arenam multiplicabuntur* [39].

Non enim leve est nec occultum, quod impie agitur ; sed et grave prorsus et sensu præditis manifestum. Incarnationem Christi, o sanctissisme, quantum in ipsis est, everterunt, cum Evangelii prævaricationem in adulteri copula et adulterio, salutarem Ecclesiæ dispensationem esse sanxerunt, anathema in eos decernentes, qui talia non probarent. Evangelium per unius mandati solutionem solverunt, solutionem hanc Dei dispensationem appellantes. Nam si, ut scriptum est : *Quincunque totam legem servaverit, offendat autem in uno, factus est omnium reus* [40] : isti vero lapsum, imo lapsus, tum adulteri, tum ejus qui adulteros conjunxit, et omnium qui adultero adhæserunt, partemque cum adultero posuerunt ; neque enim a se invicem sejungi possunt qui fecerunt, et qui simul abrepti sunt ; haudquaquam reos esse dicunt, sed dispensatores Dei ; mentitus est qui reos esse pronuntiavit ; alieni autem sunt a Dei dispensatoribus sancti quoque ipsi : siquidem nullus sanctorum Dei legem transgressus est, nec, si transgrediatur, sanctus dici potest. Isti vero in transgressione dogma inviolabile, tanquam Dei legem constituerunt, et omnes qui ipsis ea in re non consentiunt, anathematizarunt. Non consentiunt proculdubio sancti, qui in cœlo quique in terra sunt, adulterio. Quare perspicuum est eos, soluto Evangelii uno mandato, non solum Evangelium totum evertisse, salutarem Ecclesiæ dispensationem hanc esse synodice definiendo, legemque, quod in ipsis fuit inviolabilem sanciendo, in omni mandato quod violetur, violationem ipsam dispensationem esse, ac nuncupari : verum etiam sanctos non consentientes, quoniam nec Deus consentit, suo judicio anathematizasse.

Ac demum quid pluribus opus est, cum epistola capere non possit ? Perversa et dira opinion in Ecclesiam nostram invecta est. Hæresis ista Mœchianica una cum Evangelii destructione, et canones divinos per illius qui ab eis depositus fuerat, adulterorum copulatoris absolutionem dissolvit. Etenim si Evangelium neglexerunt, otiosum illis fuisset de sacris canonibus esse sollicitos. Hæc igitur cum salutatione paternitati tuæ suggerere necessarium existimavi, ut hæresim esse intelligens, hæresim fugiat, sive hæreticos, ita ut nec cum eis communicet, nec eos in divina liturgia commemoret in religiosissimo monasterio suo : quoniam ingentes minæ a sanctis denuntiatæ sunt iis qui cum ea vel cibo tenus participant. Quod si quærat sanctitas tua, quid causæ sit, cur hæc ipsi ante captivitatem non dixerimus, sed et Byzantinorum commemorationem ipsi fecerimus ; hoc habeto synodum eo tempore nondum coactam fuisse, nec promulgatum adhuc pravum dogma et anathema. Et ante hæc tutum

οἰκονομίᾳ ὑποκρύπτωσιν ἑαυτούς· ὡς ἔστιν ἀκούειν τοῦ θείου Δαβὶδ κράζοντος· Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.

Οὐδὲ γὰρ μικρόν τι καὶ λανθάνον τὸ ἀσεβούμενον· ἀλλὰ καὶ σφόδρα μέγα τε καὶ προφανὲς τοῖς νοῦν ἔχουσι. Τὴν οἰκονομίαν Χριστοῦ, ὦ ἁγιώτατε, τὸ καθ' ἑαυτοὺς ἀνέτρεψαν, τὴν παράβασιν τοῦ Εὐαγγελίου ἐν τῇ μοιχοζευξίᾳ καὶ μοιχείᾳ οἰκονομίαν σωτήριον τῇ Ἐκκλησίᾳ δογματίσαντες, ὑπ' ἀναθέματι τῶν μὴ οὕτω προσδεχομένων· Τὸ Εὐαγγέλιον διὰ λύσεως τῆς μιᾶς ἐντολῆς διέλυσαν, τὴν λύσιν οἰκονομίαν Θεοῦ ἀποφηνάμενοι. Εἰ γὰρ ὡς γέγραπται. Ὅστις ὅλον τὸν νόμον πληρώσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος. Οὗτοι δὲ τὸ πταῖσμα, μᾶλλον δὲ τὰ πταίσματα, τοῦ τε μοιχοῦ καὶ τοῦ μοιχοζεύκτου, μοιχοσυνδρόμων τε καὶ ὅλων τῶν μετὰ μοιχοῦ τὴν μερίδα θεμένων· οὐ γὰρ οἷόν τε ἐξ ἀλλήλων χωρισθῆναι τοὺς πράξαντας, καὶ τοὺς συναπαχθέντας· οὐκ ἐνόχους φασὶν, ἀλλ' οἰκονόμους Θεοῦ· ἔψευσται ὁ ἀποφηνάμενος ἐνόχους εἶναι· ἀλλοτριοῦνται δὲ ναὶ οἱ ἅγιοι τῶν οἰκονόμων Θεοῦ· ὅτι οὐδεὶς ἅγιος τὸν τοῦ Θεοῦ νόμον παραβέβηκεν, οὐδὲ παραβὰς δύναται καλεῖσθαι ἅγιος. Οἱ δὲ δόγμα ἐν τῇ παραβάσει ἐκθέμενοι ἀπαράβατον ὡς νόμον Θεοῦ, καὶ τοὺς μὴ συναιρουμένους αὐτοῖς ἐν τούτῳ ἀναθεματίξοντες. Οὐ συνάρονται δὲ δηλονότι οἱ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἅγιοι τῇ μοιχείᾳ. Φανερὸν ἄρα ὅτι τῇ λύσει τῆς μιᾶς ἐντολῆς τοῦ Εὐαγγελίου, οὐ μόνον ὅλον τὸ Εὐαγγέλιον ἀνέτρεψαν, ὁρισάμενοι αὐτὴν συνοδικῶς οἰκονομίαν σωτήριον τῇ Ἐκκλησίᾳ, θέντες νόμον ἀπαράβατον, τὸ καθ' ἑαυτοὺς, ἐπὶ πάσης ἐντολῆς παραβαινομένης οἰκονομίαν γίνεσθαι τὴν ταύτης παράβασιν, ὁμοῦ τε καὶ ὀνομάζεσθαι· ἀλλὰ γὰρ καὶ τοὺς ἁγίους μὴ προσιεμένους, ὅτι μηδὲ θεὸς κατ' αὐτοὺς, ἀνεθεμάτισαν.

Καὶ ἁπλῶς τί πολλὰ λέγειν, μὴ ἐγχωρούσης τῆς ἐπιστολῆς δέχεσθαι ; Χαλεπὴ κακοδοξία ἐδογματίσθη ἐν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ. Αὕτη ἡ Μοιχειανικὴ αἵρεσις ἅμα τῇ ἀνατροπῇ τοῦ Εὐαγγελίου, καὶ τοὺς θείους κανόνας διὰ τῆς ἀθωώσεως τοῦ παρ' αὐτῶν καθηρημένου μοιχοζεύκτου διαλύσασα. Εἰ γὰρ τὸ Εὐαγγέλιον ἠθέτησαν, σχολὴ αὐτοῖς περὶ τῶν ἱερῶν κανόνων φροντίζειν. Ταῦτα οὖν σὺν τῇ προσηγορίᾳ, ἀναγκαῖον ἐνόμισα ὑπομνῆσαι τὴν πατρωσύνην σου· ὅπως εἰδυῖα ὅτι αἵρεσις, φεύγῃ τὴν αἵρεσιν, ἤγουν, τοὺς αἱρετικούς· τοῦ μήτε κοινωνεῖν αὐτοῖς, μήτε ἀναφέρειν ἐν τῇ εὐαγεστάτῃ αὐτῆς μονῇ ἐπὶ τῆς θείας λειτουργίας· ὅτι μέγισται ἀπειλαὶ κεῖνται παρὰ τῶν ἁγίων ἐκφωνηθεῖσαι τοῖς συγκαταβαίνουσιν αὐτῇ μέχρι καὶ ἐστιάσεως. Εἰ δὲ λέγῃ ἡ ὁσιότης σου, πῶς αὐτῇ πρὸ τῆς λεηλασίας τοῦτο οὐκ εἴπομεν, ἀλλ' ὅτι καὶ ἡμεῖς ἐμνημονεύομεν τῶν ἐν τῇ Βυζαντίδι· ἐκεῖνο γινωσκέτω· ὅτι οὔπω σύνοδος ἦν, οὐδὲ ἐκφωνητὸν ὑπῆρχε τὸ πονηρὸν δόγμα καὶ ἀνάθεμα. Καὶ πρὸ τούτων οὐκ ἦν ἀσφαλὲς ἀποστῆναι τῶν

[39] Psal. CXXXVIII, 18. [40] Jac. II, 10.

παρανομούντων τελείως, ἢ τὸ φεύγειν μόνον τὴν προφανῆ κοινωνίαν αὐτῶν, οἰκονομίᾳ δὲ πρεπούσῃ ἀναφέρειν ἕως καιροῦ.

Ἐπεὶ δὲ ἐξῆλθεν εἰς προῦπτον ἡ αἱρετικὴ ἀσέβεια διὰ συνόδου εἰς τοὐμφανὲς, δεῖ ἄρτι καὶ τὴν σὴν εὐλάβειαν σὺν πᾶσιν ὀρθοδόξοις παῤῥησιάζεσθαι διὰ τοῦ μὴ κοινωνεῖν τοῖς κακοδόξοις, μηδὲ ἀναφέρειν τινὰ τῶν ἐν τῇ μοιχοσυνόδῳ εὑρεθέντων, ἢ ὁμοφρονούντων αὐτῇ. Καίγε δίκαιον, ὅσιε Πάτερ, κατὰ πάντα σε ὄντα φερωνύμως Θεόφιλον, φιλεῖν καὶ ἐν τούτῳ τὸν Θεόν. Ἐχθροὺς γὰρ Θεοῦ ὁ Χρυσόστομος, οὐ μόνον τοὺς αἱρετικοὺς, ἀλλὰ καὶ τοὺς τοῖς τοιούτοις κοινωνοῦντας, μεγάλῃ καὶ πολλῇ τῇ φωνῇ ἀπεφήνατο. Καὶ ἐὰν ἡ σὴ στερρότης οὐκ ἀσφαλίσηται, τίς λοιπὸν σωθήσεται; καὶ ἐὰν ὁ παῤῥησιασάμενος δυνάμει Θεοῦ, ὡς ἅγιος, πλὴν τελείας αἱρέσεως, ἄρτι μετὰ τὴν αἵρεσιν ὑποστείληται· πῶς ἕτερος τολμήσει γρύξαι; καὶ ἐὰν τὸ μοναδικὸν τάγμα οὐχ ἡγήσηται πάντα σκύβαλα· μοναστήρια λέγω; καὶ πάντα τὰ περὶ αὐτά· πῶς λαϊκὸς καταφρονήσει γυναικὸς, τέκνων, καὶ τῶν ἄλλων;

Διὸ ὑπομιμνήσκω, ὡς ἐλάχιστος ἀδελφὸς καὶ τέκνον, μὴ σιγήσωμεν, ἵνα μὴ κραυγὴ Σοδόμων γενώμεθα· μὴ φεισώμεθα τῶν κάτω, ἵνα μὴ ἀπολέσωμεν τὰ ἄνω· μὴ θῶμεν σκάνδαλον τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, ἥτις ἐστὶ καὶ ἐν τρισὶν ὀρθοδόξοις ὁριζομένη κατὰ τοὺς ἁγίους· ἵνα μὴ τῇ ἀποφάσει τοῦ Κυρίου καταδικασθῶμεν. Καὶ οὐ δι' ἑαυτὸν ταῦτά φημι ὁ τάλας· ἐμοὶ γὰρ, εἰ καὶ τολμηρὸν εἰπεῖν, καὶ τὸ ἀποθανεῖν ὑπὲρ τῆς ἀληθείας κέρδος καὶ χαρὰ καὶ ζωή. Εἴγε δυναμωθείην ταῖς ἱεραῖς προσευχαῖς ὑμῶν· ἀλλὰ διὰ τὴν ἐν ἡμῖν ἀγάπην ἀρχαίαν καὶ πνευματικὴν, καὶ τὸ κοινῇ συμφέρον. Εἰ γὰρ ὁ Υἱὸς τοῦ Θεοῦ ὁ Κύριος καὶ Δεσπότης ἁπάντων ἑαυτὸν ἀνήνεγκεν ὑπὲρ πάντων τῷ Θεῷ καὶ Πατρὶ θυσίαν· τί ὀφείλομεν ἡμεῖς, καὶ πόσον οὐ χρεωστοῦμεν δι' αὐτὸν παθεῖν καὶ ὑπομεῖναι; Καί γε οἱ μονάζοντες καὶ τῇ ἀποταγῇ σταυρωθέντες· οἵ γε ἀληθῶς καὶ οὐκ ἀνονήτως ἀποταξάμενοι· ἐπεὶ μὴ ἀπὸ τοῦ ἔξωθεν σχήματος μόνον ἔστι κρίνειν τὰ πράγματα· πολλοὶ γὰρ οἱ προσωπεῖα ὑποδυόμενοι, καὶ οὐκ ὄντες ὅπερ φαίνονται· ἀλλ' ἐκ τῶν ἔργων δηλονότι τὰ σχήματα. Εἰ οὖν μοναχοί εἰσί τινες ἐν τοῖς νῦν καιροῖς, δειξάτωσαν ἐπὶ τῶν ἔργων. Ἔργον δὲ μοναχοῦ, μηδὲ τὸ τυχὸν ἀνέχεσθαι καινοτομεῖσθαι τὸ Εὐαγγέλιον· ἵνα μὴ ὑπόδειγμα τοῖς λαϊκοῖς προτιθέμενοι αἱρέσεως καὶ αἱρετικῆς συγκοινωνίας, τῆς ὑπὲρ αὐτῶν ἀπωλείας λόγον ὑφέξωσι. Πολύ με ληρολογῆσαι τὴν ὑπόθεσιν ἡ ἄκρα ταπεινοφροσύνη τῆς ἁγιωσύνης σου ὡς δεχομένη πεποίηκε. Σὺ δὲ, ὦ Πάτερ, εὔχου καὶ ὑπερεύχου ὑπὲρ σαθροῦ καὶ ἁμαρτωλοῦ, ἀλλ' οὖν ἐραστοῦ σου ὅτι μάλιστα. Ὁ συμφρουρούμενός μοι ὡσαύτως καὶ προσαγορεύει, καὶ δέεταί σου τῶν ἱκεσιῶν.

A non erat discedere penitus a prævaricantibus, vel solummodo apertam illorum communionem refugere, et congruenti dispensatione ad tempus commemorare.

At postquam impietas hæretica per Synodum in apertum nunc erupit, religionem tuam oportet, una cum cæteris orthodoxis, libere agere, nec communicando cum hæreticis, nec ullius nomen commemorando ex iis, qui mœchosynodo adfuerunt, aut qui idem cum ea sentiunt. Et æquum sane est, Pater sancte, ut qui in omnibus, pro ratione nominis tui, Theophilus es, hac etiam in parte Deum ames. Inimicos enim Dei Chrysostomus, non hæreticos solum, sed omnes etiam qui cum illis communicant, magna et clara voce pronuntiavit. B Quod nisi constantia tua stabilis permaneat, ecquis demum salvabitur? et, si is qui Dei virtute, ut sanctus, fiduciam præ se tulit ante plenam hæresim, nunc post hæresim ignaviter se gerat; quomodo alius hiscere audebit? et nisi ordo monasticus omnia arbitretur ut stercora: monosteria dico, et cuncta quæ in eis sunt; quomodo laicus uxorem, liberos, et cætera cantemnet?

Quamobrem admoneo, ut minimus frater ac filius, nequaquam sileamus, ne clamor Sodomorum simus; nequaquam terrenis parcamus, ne cœlestia amittamus; nequaquam scandalum demus Ecclesiæ Dei, quam vel tres orthodoxi, sanctorum sententia constiutunt, ne Domini decreto condemnemur. Neque hæc ego miser mea causa dico: mihi enim, tametsi audax dictum est, C vel mori pro veritate lucrum, gaudium et vita, si modo sacris precibus vestris confirmer; sed propter veterem inter nos spiritualem dilectionem, et pro communi utilitate. Etenim si Dei Filius Dominus ac dominator universorum seipsum obtulit pro omnibus Deo et Patri hostiam, quid debemus nos, et quantum pro eo perpeti ac perferre nos æquum est, monachos præsertim et renuntiatione ipsa crucifixos? si modo revera et non incassum renuntiavimus: quandoquidem non ab externa solum specie dijudicari eos debent; multi enim personas induunt, nec sunt id quod videntur esse: sed ab operibus ipsis species externa. Si ergo monachi ulli sunt his temporibus, factis ostendant. Monachi autem munus est, ut nec tantillum in Evangelio innovari sinat, ne exemplum laicis hæreseos atque D hæreticæ communionis præbentes, rationem reddant de illorum perditione. Pluribus me nugari, et argumentum hoc persequi, coegit summa humilitas sanctitatis tuæ, ut quæ id minime improbat. Tu vero ora, Pater, et deprecare pro imbecillo et peccatore, sed qui te revera plurimum amat. Concaptivus meus similiter et te salutat, et preces tuas exposcit.

Μ'. — Ναυκρατίῳ τέκνῳ. [ρια'.]

XL. — *Naucratio filio.*

Respondet ad quædam interrogata ac præcipue de baptismo hæreticorum.

Πάλιν ἑτέρα σοι φυλακὴ, τέκνον ἠγαπημένον, ἀλλὰ καὶ πάλιν στήλη μὲν τῶν δυσωνύμων αἱρετι-

Alter tibi iterum carcer, dilecte fili; sed et infamiæ rursus nota infausti nominis hæreticis; tibi

vero incrementum præmiorum honorumque cœlestium. Quocirca pro illis quidem gemere ac flere mihi suppetit, pro te autem lætari et gratias agere, Annon acceptius sit, te, iterata custodia, factum esse velut aurum in fornace bis expurgatum? Ergo firmas radices age, puer sance, teque auctori Domino purum et probum in omnibus exhibe, vas utile prorsus, ad omne opus bonum paratus. Magno itaque fer animo custodem alterum qui tibi præter morem datus est. Non enim præpositum vel sacerdotem dixerim : siquidem nullus Dei minister, saltem monachus, militaribus officiis ministraret, sed neque cum sic ministrante communicaret. Cæterum renuntia mihi quomodo te tractet: commodiorem enim esse puto, quam prius fuit. Sive autem hoc modo se res habet, sive aliter, tu tamen, fili mi, forti sis animo: quæ tristia sunt, spei bonæ gaudio allevens : et solitudine quærens et comparans tibi æquanimitatem, dum ad Deum unum, qui te intuetur, oculos animumque convertis : cogitationes furfureas, quæ a zizaniorum satore identidem injiciuntur, despiciens ac dispellens. Quæ autem a me postulasti, ut de hæresibus et baptismis sigillatim responderem, ea epistolæ modum excedunt : ac supervacaneum est rursus recensere quæ divinus Epiphanius invenit atque ita conscripsit ut nemo ex Patribus melius. Lege igitur sacrum de istis ejus librum, et quæ scire desideras, illic cognosces. Hunc autem tibi in manus tradet egregius Euprepianus.

A κῶν · σοὶ δὲ προσθήκη ἄθλων τε καὶ ἐπαίνων οὐρανίων. Διὰ τοῦτο ὑπὲρ μὲν ἐκείνων τὸ στένειν μοι καὶ δακρύειν · ὑπὲρ δὲ σοῦ, τὸ χαίρειν καὶ εὐχαριστεῖν. Ἡ οὐχὶ δοκιμώτερόν ἐστί σε γενέσθαι τῇ μεταφρουρήσει, καθάπερ χρυσὸν διπυρούμενον ὑπὸ χωνείας; Εὐριζωθείης οὖν, ὦ ἱερὲ παῖ, καὶ ὀρθείης τῷ Δεσπότῃ Κυρίῳ ἐν πᾶσι καθαρὸς καὶ ἀκίβδηλος, σκεῦος ὄντως εὔχρηστον, κατηρτισμένος πρὸς πᾶν ἔργον ἀγαθόν. Φέρε οὖν μακροθυμίᾳ τὸ ἄηθες τοῦ δευτέρου φύλακός σου · οὐ γὰρ ἡγουμένου, οὐδὲ ἱερέως λέγοιμι · οὐδεὶς γὰρ Θεοῦ λειτουργὸς καί γε μοναστὴς, στρατιωτικοῖς ἔργοις ὑπουργήσειεν, ἀλλὰ μὴν οὐδὲ τῷ οὕτως ὑπουργοῦντι κοινωνήσειε. Πλὴν δήλωσόν μοι ὅπως σε κρατεῖ. Δοκῶ γὰρ διαφορώτερον εἶναι τοῦ προτέρου. Ἀλλ' εἴ γε οὕτως, ἢ ἑτέρως · σὺ δὲ ὅμως, τέκνον μου, στῆθι γενναίως · εὐμαρίζων τὰ B λυπηρὰ τῇ τῶν ἐλπίδων περιχαρείᾳ, καὶ κατακτώμενος ἑαυτῷ τὴν μόνωσιν, ἀπαθείας εὕρεσιν · διὰ τῆς ἐπὶ μόνον τὸν ὁρῶντά σε Θεὸν ἀποβλέψεώς τε καὶ σχέσεως · σαυβαλίζων καὶ λικμίζων τοὺς ἐπεισαγομένους ἀχυρώδεις λογισμοὺς παρὰ τοῦ τῶν ζιζανίων σπορέως ἑκάστοτε. Ἃ δὲ ἐπεζήτησας ἀποκριθῆναί με περί τε τῶν αἱρέσεων καὶ βαπτισμάτων κατ' ἔπος, ἐπιστολῆς ὑπερβαίνει μέτρον · καὶ πάλιν περιττολογεῖν ἔστι ταῦτα ἀφηγεῖσθαι, ἃ ὁ θεοφόρος Ἐπιφάνιος ἐξεῦρε καὶ διέγραψεν ὡς οὐδεὶς τῶν Πατέρων. Ἔντυχε οὖν τῇ περὶ αὐτῶν ἱερᾷ αὐτοῦ βίβλῳ, κἀκεῖσε διαγνώσειας ἃ μαθεῖν ἐφίεσαι. Παράσχοι δὲ αὐτὴν ἐν χερσί σου ὁ καλὸς Εὐπρεπιανός.

De baptismis porro brevius respondebo. Trifariam hæc commentatio dividitur. Baptizantur enim C Marcionistæ, Tascodrugitæ, Manichæi, et qui ejusdem ordinis usque ad Melchisedechianos, hæreses numero viginti quinque. Inunguntur autem sacro chrismate Tessarescædecatitæ, Novatiani, Ariani, Macedoniani, Apolinaristæ, simul quinque. Qui vero neque baptizantur, neque inunguntur, sed solummodo hæresim tum propriam, tum omnem aliam anathematizant, Meletiani, Nestoriani, Eutychianistæ, et qui, usque ad hæresim quæ istic est, sunt ordinis ejusdem, haud numerati a me modo, eo quod Acephali sint multiplices, tum etiam ne excrescat epistola. Quod autem dixisti, canonem minime destinguere, sed definitive pronuntiare, eos qui ab hæreticis ordinati aut baptizati sunt, nec clericos esse posse nec fideles: illud cogita quod apo- D stolicus canon hæreticos illos dicit, qui in nomine Patris et Filii et Spiritus sancti non sunt baptizati nec baptizant. Istud porro magni quoque Basilii voce divina docemur. Ait enim hæreses esse eas quæ penitus abruptæ sunt, et circa ipsam fidem alienatæ : schismata vero, eos qui propter causas aliquas ecclesiasticas et quæstiones quibus remedium adhiberi potest, inter se dissident : parasynagogas autem, congregationes quæ a contuma-

Τὸ δὲ τῶν βαπτιζομένων συντομώτερον ἀποκριθήσομαι. Τριχῇ διῄρηται τὸ θεώρημα. Βαπτίζονται μὲν γὰρ Μαρκιονισταὶ, Ταςκοδριουργοὶ (1), Μανιχαῖοι · καὶ οἱ σύστοιχοι αὐτῶν ὁμοῦ ἕως τῶν Μελχισεδεκιτῶν, αἱρέσεις εἴκοσι πέντε. Χρίονται δὲ τῷ ἁγίῳ μύρῳ Τεσσαρεσκαιδεκατῖται, Ναυατιανοὶ, Ἀρειανοὶ, Μακεδονιανοὶ, Ἀπολιναριασταὶ, ὁμοῦ πέντε. Οἱ δὲ μήτε βαπτιζόμενοι, μήτε χριόμενοι, ἀλλὰ μόνον ἀναθεματίζοντες τὴν ἰδίαν καὶ πᾶσαν ἄλλην αἵρεσιν, Μελετιανοὶ, Νεστοριανοὶ, Εὐτυχιανισταὶ, καὶ οἱ τούτων ὁμόστοιχοι, μέχρι τῆς δεῦρο αἱρέσεως, τῷ ἀριθμῷ οὐχ ὑποβαλλόμενοί μοι κατὰ τὸ παρόν · διὰ τὸ πολυσχιδὲς τῶν Ἀκεφάλων, καὶ τὸ ὑπερτενὲς τῆς ἐπιστολῆς. Τὸ δὲ εἰρηκέναι σε, μὴ διακρῖναι τὸν κανόνα, ἀλλ' ὁριστικῶς ἀποφάναι, τοὺς ἀπὸ αἱρετικῶν χειροτονηθέντας, ἢ βαπτισθέντας, οὔτε κληρικοὺς εἶναι δυνατὸν, οὔτε πιστούς · ἐκεῖνο λογίζου · ὅτι αἱρετικοὺς ὁ ἀποστολικὸς κανὼν ἐκείνους ἔφη, τοὺς μὴ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτισθέντας καὶ βαπτίζοντας. Καὶ τοῦτο ἐκ θείας φωνῆς τοῦ μεγάλου Βασιλείου διδασκόμεθα. Φησὶ γὰρ, αἱρέσεις μὲν τὰς παντελῶς ἀπερρηγμένας, καὶ κατ' αὐτὴν τὴν πίστιν ἠλλοτριωμένας · σχίσματα δὲ τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντας · παρασυναγωγὰς δὲ, τὰς συνάξεις τὰς

NOTÆ.

(1) Apud Epiphanium, hæresi 47, Ταςκοδρουγῖται.

παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων ἢ ἐπισκόπων, παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας Καὶ τοῦ μὲν πρώτου αὐτὸς ἐπιφέρων ἓν παράδειγμα, φησὶ πρὸς τὸν ἅγιον Ἀμφιλόχιον· « Τίνα οὖν λόγον ἔχει τὸ τῶν Πεπουζηνῶν βάπτισμα ἐγκριθῆναι τῶν βαπτιζόντων εἰς Πατέρα καὶ Υἱὸν καὶ Μοντανὸν ἢ Πρίσκιλλαν; Οὐ γὰρ ἐβαπτίσθησαν οἱ εἰς τὰ μὴ δεδομένα ἡμῖν βαπτισθέντες. » Τούτους οὖν καὶ τοὺς κατ' αὐτοὺς, ὁ κανὼν καὶ οἱ Πατέρες, ὥς φησιν ὁ θεῖος Βασίλειος, αἱρετικοὺς ὠνόμασαν. Τοῦ δὲ δευτέρου παράδειγμα πάλιν φησὶν ὁ ἅγιος Βασίλειος· « Οἱ Καθαροὶ καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσίν. »

Εἰ δὲ φαίης. Καὶ πῶς λέγονται αἱρετικοὶ καὶ οὗτοι καὶ πάντες οἱ μεταγενέστεροι; τοῦτο λέγομεν λαὶ νοοῦμεν· οἱ μὲν πρῶτοι κυρίως αἱρετικοὶ, διὰ τὸ εἰς αὐτὸ τὸ καίριον τῆς τριαδικῆς ἡμῶν πίστεως ἠσεβηκέναι. Οἱ δὲ δεύτεροι κατὰ κατάχρησιν, καὶ ὡς ἐκ τῶν πρώτων παρηγμένοι· ὁμολογοῦντες δ' ὅμως εἰς Τριάδα καὶ πιστεύειν καὶ βαπτίζειν ἐν ἰδιώματι οἰκείῳ τῆς ἑκάστης ὑποστάσεως, καὶ οὐχὶ μιᾶς τῶν τριῶν ὑπαρχούσης· κἂν ἐν ἄλλοις ἠρέτιζον. Τοῦ τρίτου παράδειγμα, αὐτὸς ὁ ἅγιος πάλιν φησὶ, οἷον εἴ τις ἐν πταίσματι ἐξετασθεὶς, ἐπεσχέθη τῆς λειτουργίας, καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν· ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν καὶ τὴν λειτουργίαν. Καί γε ὡς οἱ δεύτεροι ὁμώνυμοι τοῖς πρώτοις, οὕτω καὶ οἱ τρίτοι ὁμώνυμοι τοῖς δευτέροις. Ἀμέλει τοὺς Μελετιανοὺς σχισματικοὺς οἱ πάλαι καλοῦσι, Μελετίῳ τῷ σχισματικῷ συναπαχθέντας, καὶ τοι μὴ ὄντας κακοδόξους. Ἀναθεματίζοντες γὰρ τὸ ἴδιον σχίσμα, ὡς φασι, δεδεγμένοι εἰσὶ τῇ καθολικῇ Ἐκκλησίᾳ. Ἔοικε δὲ σειρά τις εἶναι δαιμονόπλοκος ἡ καθόλου αἵρεσις, ἑτέρα τῆς ἑτέρας ἐχομένη, καὶ ὡς ἐκ κορυφῆς μιᾶς ἐξηρτημένων ἁπασῶν τῆς ἀσεβείας καὶ ἀθεΐας· κἂν ἑτερωνυμίᾳ, καὶ χρόνῳ, καὶ τόπῳ, καὶ ποσότητι, καὶ ποιότητι, καὶ δυνάμει, καὶ ἐνεργείᾳ διαφέρωσιν. Ἐπεὶ μηδὲ ἓν καὶ τὸ αὐτὸ σῶμα, ἓν μόνον μέλος, ἀλλὰ καὶ πολλά· καὶ διάφοροι αἱ τούτων πρὸς ἄλληλα ἐνέργειαι, δυνάμεις, ἰδιότητες, θέσεις τε καὶ τιμαί.

Περὶ τῶν ἑτέρων σου ἐρωτήσεων· ἡ πρώτη περὶ πρεσβυτέρου νοῦ ὀρθοδοξοῦντος, ἀλλ' ὅμως μνημονεύοντος φόβῳ διωγμοῦ τὸν αἱρετικὸν ἐπίσκοπον προαπεκρίθην σοι· πλὴν καὶ αὖθις· εἰ μὴ συλλειτουργεῖ αἱρετικῷ, καὶ εἰ μὴ μεταδιδοῖ τοῖς τοιούτοις, δεκτέον τὸν τοιοῦτον εἰς συνεστίασιν, καὶ ψαλμῳδίαν, καὶ εὐλογίαν βρωμάτων, καὶ τοῦτο κατ' οἰκονομίαν, οὐ μέν τοι εἰς θείαν μετάληψιν. Δεῖ δὲ ἐπερωτᾷν τῆς αἱρέσεως κρατούσης πάντως· ὁμολογίαν δὲ δεχομένοις ἀρκεῖσθαι, οὐκ οἶδα εἰ μὴ προδήλως ψευδολόγος αὕτη. Τὸ γὰρ φαίην σε διδάσκεσθαι ἡμᾶς παρὰ τῶν Πατέρων, μὴ ἐπερωτᾷν, περὶ καιροῦ οὗ μὴ ἔστιν αἵρεσις μαινομένη· καὶ περὶ τῶν μὴ προδήλως κατεγνωσμένων. Τοιοῦτον δὲ πρεσβύτερον, σπάνιον εὑρεῖν νῦν μὴ μιγνύμενον καὶ συγκοινωνοῦντα αἱρετικοῖς.

cibus presbyteris vel episcopis, vel a populis imperitis fiunt. Ac primi quidem generis exemplum unum ipse afferens, ad sanctum Amphilochium scribit [41]: « Quænam igitur ratio est ut Pepuzenorum baptisma esse judicetur, qui baptizant in Patrem, et Filium, et Montanum vel Priscillam? Neque anim baptizati sunt, qui in ea quæ nobis non sunt tradita, baptizati sunt. » Hos ergo et qui ipsis adhærent, canon et Patres, ut divinus Basilius ait, nominarunt hæreticos. Rursus secundi generis exemplum profert sanctus Basilius: « Cathari sunt et ipsi inter eos qui abscissi sunt. »

Quod si dicas: Et quomodo hi quoquo, et posteriores omnes, hæretici dicuntur? Hoc dicimus, et intelligimus: primos quidem proprie dici hæreticos, eo quod impietatem exeruerunt in id quid nostræ de Trinitate fidei præcipuum est: secundos vero abusive, et tanquam a primis derivatos, qui tamen confitebantur se in Trinitatem et credere et baptizare, in proprietate singulari personæ cujusque, non autem quæ una in tribus exsistat: licet in aliis rebus hæreticum aliquid assererent. Tertii generis exemplum rursus idem sanctus dicit: velut si quis criminis convictus, a sacro ministerio suspensus sit, et canonibus non cedat, sed primam sibi sedem et ministerium vindicet. Atque ut idem cum primis nomen sortiti sunt secundi; ita etiam tertii cum secundis. Certe Meletianos; quos Meletius schismaticus abduxerat; antiqui appellant schismaticos, quumvis non essent cacodoxi. Proprium enim schisma, ut aiunt, anathematizantes, ab Ecclesia catholica suscepti sunt. Videtur autem hæresis, in universum catena quædam esse a dæmone contexta, altera alteri connexa, cunctique tanquam ab uno impietatis capite appensis: quantumvis diversitate nominum, et tempore, et loco, et quantitate, et qualitate, et potentia, et actu differant: quandoquidem nec unum idemque corpus membrum est unum solum, sed multa; diversique sunt horum inter se actus, facultates, proprietates, situsque et honores.

Quod spectat cæteras interrogationes tuas; ad primam, de presbytero orthodoxo quidem, sed tamen qui persecutionis metu hæreticum episcopum commemorat, jam ante respondi tibi; sed et nunc iterum: Si cum hæretico non sacrificet, nec talibus impertiat; recipiendum hunc esse ad convictum, et psalmodiam, et benedictionem escarum, idque per dispensationem, non autem ad divinam participationem. Interrogare prorsus oportet, hæresi dominante; confessione autem suscepta, acquiescere, nisi perspicue sit falsa. Hoc enim a Patribus doceri nos dixerim; non interrogandum quo tempore non grassatur hæresis, nec de iis qui non sunt manifeste damnati. Hujusmodi autem presbyterum reperire nunc rarum est, qui non commisceatur et communicet cum hæreticis.

[41] Can. 1.

Secunda, de Christi famulo, qui ad oratorium suum advocat, ut pervigilium celebretur : utrum in eo sacra obire, et cum quibus oporteat. Mos gerendus est, et eundum utique, et una psallendum, si orthodoxus est qui advocat et qui psallunt, caventes utrique ne cum hæreticis communicent. Quin et sacra in oratorio peragenda, si affirmet qui obtinet, nondum in eo hæreticum ministrasse. Jam enim dictum est, necessario de omnibus, ob furentem hæresim, sciscitandum.

Tertia ; si quis ab aliquo Ecclesiam susceperit, orthodoxus, moris autem sit semel aut iterum quotannis in ea congregari populum, ac hæretici nomen in liturgia memorari : necessario quidem permittendum est ut tibi psallatur, non autem ut liturgia celebretur ; quod si obtineri potest ut mos ille rescindatur, etiam liturgia abeunda.

Quarta ; si sit Ecclesia in qua sacrificans hæreticum commemoret, habeatque orthodoxus sacrificatorium sanctificatum in sindone vel in asseribus ; an convenit illud in eadem poni Ecclesia, non præsente illo qui commemorat, in eoque sacrificare orthodoxum? Non convenit ; sed potius, ex necessitate, in communi domo, delecto quopiam mundiore loco.

Quinta ; si contingat in itinere orthodoxum vocari a sacerdote quopiam vel laico ad convivium, et tempus sit psalmodiæ ; quomodo licet interesse? Dixi, et iterum dico ; hæresi obtinente, nec disturbata per Synodum orthodoxam, necesse est interrogare tum in divina participatione, tum in communi convictu : nec ullum ad hæc tempus intempestivum est, nec pudori locus. Ergo ut panem quis simpliciter accipiat a quocunque, interrogatio necessaria non est ; neque ut apud illum convivari, seorsim fortasse, et dormire liceat, si ante convictus non est hæresis aut nequitiæ. De cæteris autem necessario interrogandum.

Sexta ; utrum in decursu itineris liceat orthodoxo, si Ecclesiam vico vel urbi vicinam offenderit, ibi orare, aut etiam, dum laicorum tectis uti vitat, in ea diversari? Et orandum in illa, et divertendum, si sola sit : sed et in laici ædibus vel sacerdotis, urgente, ut dictum est, horæ necessitate, indifferens est manere, privatimque cibum sumere, absque interrogatione, et quæ usui sunt accipere ; si modo ei qui excipitur, perspectum non sit, ut dixi, impie vel contra leges vivere eum qui excipit. Extra necessitatem vero, non est bonum temere ista, quæ dicta sunt, admittere ; sed sciscitari et apud orthodoxum divertere, et ab illo commeatum, se opus est, accipere. Sic enim per sanctos suos præcepit Dominus. Presbytero et præposito recte respondisti, prohibitos esse a ministerio eos qui nunc ordinati sunt ab eo qui repertus est, etiamsi ipse diceret : Male acta est synodus, et periimus. Cur enim, cum fateatur, non fugit exitium, subducens ac ab hæresi, ut apud Deum maneat episcopus? ac statim acceptabiles erunt ejus ordinationes. Aut cur,

Ἡ δευτέρα· περὶ φιλοχρίστου προσκαλουμένου εἰς τὸ εὐκτήριον αὐτοῦ ποιῆσαι παννυχίδα· καὶ εἰ δεῖ ἐν αὐτῷ λειτουργῆσαι· καὶ μεθ' ὧν χρή. Ὑπακουστέον, καὶ ἰτέον, καὶ συμψαλτέων δηλονότι εἰ ὀρθόδοξος ὁ προσκαλούμενος καὶ οἱ ψαλτῳδοί, φυλαττόμενοι ἀμφότεροι τῆς τῶν αἱρετικῶν κοινωνίας. Καὶ μὴν καὶ λειτουργητέον ἐν τῷ εὐκτηρίῳ, εἴ γε ὁμολογοίη ὁ κατέχων, μηκέτι ὁπὸ αἱρετικοῦ αὐτὸ λειτουργεῖσθαι. Προείρηται γὰρ ἀναγκαῖον εἶναι τὸ ἐπερωτᾷν ἐν πᾶσι διὰ τὴν λυττῶσαν αἵρεσιν.

Ἡ τρίτη· εἰ λάβοι τις παρά τινος Ἐκκλησίαν ὀρθόδοξος, ἔστι δὲ συνήθεια τοῦ κατ' ἐνιαυτὸν ἅπαξ ἢ δὶς συνηθροῖσθαι ἐν αὐτῇ λαὸν, καὶ ἐν τῇ λειτουργίᾳ ἀναφέρεσθαι τὸν αἱρετικόν· τοῦ μὲν ψάλλειν ἐκεῖσε κατὰ ἀνάγκην συγχωρητέον· λειτουργεῖν δὲ, οὔ. Εἰ δὲ δυνατὸν διακοπῆναι τὴν συνήθειαν, καὶ λειτουργητέον.

Ἡ τετάρτη· εἰ Ἐκκλησία ἐστὶν ἐφ' ᾗ ὁ λειτουργῶν ἀναφέρει τὸν αἱρετικόν· ἔχει δὲ ὁ ὀρθόδοξος θυσιαστήριον καθηγιασμένον ἐν σινδόνι, ἢ ἐν σανίσι· προσήκει αὐτὸ τεθῆναι ἐν τῇ αὐτῇ Ἐκκλησίᾳ, μὴ παρόντος τοῦ ἀναφέροντος, καὶ ἐν αὐτῷ συλλειτουργῆσαι τὸν ὀρθόδοξον; οὐ προσήκει, ἀλλὰ μᾶλλον κατ' ἀνάγκην ἐν κοινῷ εἴκῳ, ἐκλελεγμένῳ τινὶ καθαρωτέρῳ τόπῳ.

Ἡ πέμπτη· εἰ καθ' ὁδὸν τύχοι ὀρθόδοξον ὑπό τινος ἱερωμένον ἢ λαϊκοῦ προσκληθῆναι εἰς συνεστίασιν· εἶη δὲ καιρὸς ψαλμῳδίας· πῶς ἔστι διαγενέσθαι; εἶπον, καὶ πάλιν λέγω· αἱρέσεως ἐπικρατούσης, καὶ μὴ καταβληθείσης δι' ὀρθοδόξου σύνόδου, ἀναγκαῖον τὸ διερωτᾷν, ἐπί τε τῆς θείας μεταλήψεως, καὶ κοινῆς ἑστιάσεως· καὶ οὐδεὶς καιρὸς πρὸς ταῦτα αἰδοῦς καὶ ἀωρίας. Λαβεῖν μὲν γὰρ ἄρτον ἁπλῶς παρὰ τοῦ τυχόντος, οὐκ ἀναγκαῖον εἰς ἐρώτησιν· καὶ παρ' αὐτῷ ἑστιαθῆναι, καταμόνας τυχὸν, καὶ κοιτασθῆναι, εἰ μήγε προεγνωσμένος ἐστὶν ἐν αἱρέσει ἢ λαχίᾳ. Περὶ δὲ τῶν λοιπῶν ἐξ ἀνάγκης ἐρωτητέον.

Ἡ ἕκτη· εἰ κατὰ πάροδον εὑρόντα ὀρθόδοξον Ἐκκλησίαν πλησιάζουσαν κώμῃ ἢ πόλει, δέον αὐτόν εὔξασθαι ἐκεῖ, ἤ καὶ καταλῦσαι, φεύγοντα ὑφέστιον γενέσθαι λαϊκοῖς; Κσὶ εὐκτέον, καὶ καταλυτέον, εἴγε μόνη ἐστίν· ἀλλὰ καὶ εἰς οἰκίαν λαϊκοῦ, ἢ ἱερωμένου, ὡς εἴρηται κατεπειγούσης ἀναγκαίας ὥρας, ἀδιάφορόν ἐστι μεῖναι, καὶ ἑστιαθῆναι καθ' ἑαυτὸν, ἄνευ ἐρωτήσεως· καὶ λαβεῖν τὰ πρὸς χρείαν· εἴγε, ὡς εἶπον, μὴ εἴη ὁ ὑποδεχόμενος προεγνωσμένος τῷ ὑποδεχθέντι ἀσεβῶν ἢ ἀνόμων. Πλὴν δὲ ἀνάγκης, οὐ καλὸν ὡς ἔτυχε τὰ προῤῥηθέντα καταδέξασθαι· ἀλλ' ἐρωτᾷν, καὶ παρὰ τῷ ὀρθοδόξῳ καταλύειν· καὶ εἰ χρεία, παρ' αὐτοῦ ἐφόδια αἴρειν· οὕτω γὰρ ὁ Κύριος ἐντέλλεται διὰ γῶν ἁγίων αὐτοῦ. Τῷ πρεσβυτέρῳ καὶ ἡγουμένῳ καλῶς ἀπεκρίθης, εἰρχθῆναι τῆς λειτουργίας τοὺς νυνὶ χειροτονηθέντας ὑπὸ τοῦ εὑρεθέντος, λέγοντος δὲ ὅμως, ὅτι κακῶς ἐγένετο ἡ σύνοδος, καὶ ἀπολώλαμεν. Διὰ τί γὰρ ὁμολογῶν οὐ φεύγει τὴν ἀπώλειαν, διαστέλλων ἑαυτὸν τῆς αἱρέσεως, ἵνα μένῃ παρὰ Θεῷ ἐπίσκοπος; καὶ εἰσὶν αὐτοῦ δεκταὶ αἱ χειροτονίαι αὐτίκα. Ἢ διὰ τί προσει-

μένης τῆς αἱρέσεως, εἰς χειροτονίαν ὁ ἡγούμενος προήγαγε τοὺς ἀδελφοὺς αἱρετικήν ; ἂν οὖν ὁ χειροτονήσας ὤρθωσεν, ἦν αὐτοῖς εὐθὺς ἱερουργεῖν · ὄντος δὲ ἐν τῇ αἱρέσει διὰ τοῦ ἀναφέρειν αὐτὸν αἱρετικόν, κἂν τὸ φρόνημα λέγοι ἔχειν ὑγιές · οὐχ οἷόν τε οὓς χειροτονεῖ τῇ ἀληθείᾳ εἶναι λειτουργοὺς Θεοῦ. Εἰ δὲ πνεῦμα ξήλου Θεοῦ ἀνῆψεν ἐν τῷ καθηγουμένῳ, καὶ προθυμεῖται ὁμολογίας στέφανον ἀναδήσασθαι · μηδὲ λειτουργείτω ἐν τῇ ὑπ' αὐτοῦ ἐνθρονιασθείσῃ ἐκκλησίᾳ · μήτε ἀναφερέτω αὐτὸν ὡς ἐπίσκοπον. Καὶ μακάριος οὗτος, πολλῶν καὶ ἀλλων παράδειγμα σωτηρίας γενόμενος.

Τεθέντος δὲ θυσιαστηρίου ἐν τῇ αὐτῇ ἐκκλησίᾳ, οὐδὲν τὸ κωλύον λειτουργεῖν ἐκεῖσε. Ὃ δέ με ἔλαθεν ἀνωτέρω σημάναι, μνησθήσομαι ἐνταῦθα · ὅτι, ἐπειδὴ λέγει ὁ ἅγιος Βασίλειος περὶ τῶν ἐν παρασυναγωγῇ γενομένων τάδε, ὥστε πολλάκις καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπεὶ δ' ἂν μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν παραδέχεσθαι τάξιν · μὴ οἰέσθω σου ἡ εὐλάβεια ἐναντιοῦσθαι τὸν λόγον τῷ ἀποστολικῷ κανόνι λέγοντι. « Εἴ τις καθῃρημένῳ κληρικὸς ὢν ὡς κληρικῇ συνεύξεται, καθαιρείσθω καὶ αὐτός. » Ἀλλὰ νομιζέτω, ὅτι, ὡς διεκρίθη παρὰ τῶν Πατέρων, τινες εἶεν αἱρέσεις πρὸς σχίσματα · οὕτω διακέκριται δηλονότι κατὰ τὴν ἀκόλουθον ἔννοιαν, τίς ἐστιν ὁ ἀπαραιτήτως καθαιρῶν κανὼν τὸν καθῃρημένῳ συνεύξάμενον, παρὰ τὸν ἐν παρασυναγωγῇ γενόμενον · ὅτι ὁ μὲν εἰδὼς ὅτι ὁμολογουμένως καθῃρημένῳ συνεύχεται, εἰκότως αὐτίκα καθαιρεῖται, ἀδιαφόρως ἐνεχθείς. καὶ μὴ προσεσχηκὼς τῷ κανόνι · ὁ δὲ, ὡς οὐκ οἰόμενος εἶναι καθῃρημένον, ᾧ συναπήχθη μετὰ πλήθους, ἐπ' ἂν, φησί, μεταμεληθῇ εἰς τὴν αὐτὴν παραδέδεκται τάξιν. Πρόσκειται δὲ καὶ τοῦτο πολλάκις ἐν τῷ λόγῳ τοῦ ἁγίου · ὥστε ἐστὶ καὶ μεταμελόμενον, μὴ εἰς τὴν αὐτὴν τάξιν παραδεχθῆναι. Καὶ οὗτος μὲν ὁ λόγος ἐνδεχομένως ἐκδέδοται. Ὁ δὲ ἀποστολικὸς κανὼν ἀναγκαίως καὶ ἀπαραιτήτως· Ὅτι ὁ ψευδώνυμος Χριστοφόρος πάλιν τὶς τὸ ἴδιον ἐξέραμα ὑπέστρεψεν, οὐδ' ὅλως ἐθαύμασα, εἰδὼς αὐτοῦ τὸ ἄστατον καὶ ἀπαγές. Ὅτι δὲ ὁ Κληδόνιος ὑπὲρ ἀληθείας μίαν μόνην ἡμέραν ἤνεγκε φυλακὴν καὶ πληγὰς παρὰ τῶν ἀσεβῶν, πανυ ἐξέστην. Ὥστε εἰ ἕως τοῦ νῦν ἐπιμένει δυνάμει Θεοῦ, μὴ ἀεργὸν γένηταί σοί τε καὶ ἄλλοις ἀδελφοῖς, ὀρέγειν αὐτῷ χεῖρα, εἴπερ οἷόν τε. Περὶ δὲ τῶν προειρημένων, βαπτιζομένων λέγω χριομένων τε τῷ ἁγίῳ μύρῳ, καὶ ἀναθεματιζόντων τὴν αἵρεσιν · οὐχ ὡς ὁ θεῖος Ἐπιφάνιος τέταχε καὶ ἠρίθμησε, τὰς αἱρέσεις γέγραφα. Ἀλλ' ὡς ὕερον παρασημείωσίν τινος τῶν ἀρχαιοτέρων φιλοπόνου ἀνδρὸς, καὶ ἐκ τῆς ἐν Βυζαντίδι Ἐκκλησίας τὴν ἐκ βιβλίων ἔρευναν καὶ εὕρεσιν ποιησαμένου. Ὁ ἀδελφὸς Γρηγόριος γνησίως προσαγορεύει.

prostante hæresi, ad ordinationem hæreticam fratres produxit præpositus ? Si ergo is qui ordinavit recte fecit, ministrare statim potuerunt ; sed cum sit hæreticus, eo quod hæreticum ipse commemorat, tametsi sanum se habere sensum dicat, non possunt quos ordinat in veris Dei ministris censeri. Quod si spiritus zeli divini exarsit in præposito, et confessionis caronam adipisci studet ; nec sacra abeat in ecclesia in qua ille præsidet, neque illum tanquam episcopum commemoret. Et beatus hic qui aliis quoque multis exemplo ad salutem fuerit.

Posito autem in ecclesia illa sacrificatorio, nihil est quod illic ministrare prohibeat. Quod autem superius monere excidit, suggeram hoc loco, ne, cum de iis qui in parasynagoga fuerunt dicit sanctus Basilius, sæpenumero etiam illos qui in gradu sunt, si postquam contumaces sectati sunt, resipiscant, in eumdem ordinem recipi ; existimet prudentia tua, repugnare hæc verba Canoni apostolico dicenti [42] : « Si quis clericus cum deposito tanquam clerico oraverit, deponatur et ipse. » Sed putet, quemadmodum distinctum est a Patribus, quo differant hæreses a schismatibus ; sic utique consentanea intelligentia distinctum esse, quis sit canon, qui cum deposito orantem, inexorabiliter deponit præ eo qui parasynagogæ interfuit : eo quod ille quidem sciens orare secum eum, quem depositum esse palam est, merito statim deponitur, ut qui absque discrimine egit, et canoni minime obtemperavit : hic vero, ut qui non putavit depositum fuisse illum ad quem cum multitudine abreptus fuit, postquam, inquit, resipuit, eumdem in gradum est receptus. Hoc quoque in sancti verbis frequenter additur, eumdem in gradum non recepi [43]. Atque hic quidem sermo contingenter enuntiatur. Canon autem apostolicus necessario et inexorabiliter. Quod Christophorus falsum nomen habens, ad proprium vomitum reversus sit, miratus plane non sum ; perspectam habens ejus instabilitatem et inconstantiam. Quod vero Cledonius unica tantum die pro veritate custodiam et plagas ab impiis pertulit, vehementer obstupui. Quare si huc usque perseveravit Dei virtute, otiosum non fuerit, te et alios fratres opem illi ferre, si fas est. Quod ad eos porro spectat de quibus dixi, qui baptizantur scilicet, sanctoque chrismate unguntur, et hæresim anathematizant, non uti divinus Epiphanius disposuit et enumeravit, hæreses descripsi ; sed sicut in antiquioris cujusdam studiosi viri commentario inveni, qui ex Bysantinæ Ecclesiæ libris indagarat et eruerat. Frater Gregorius sincere salutat.

ΜΑ'. — Σιλουανῷ καὶ Εὐπρεπιανῷ τέκνοις. [ρκϐ'].

XLI. — *Silvano et Euprepiano filiis.*

Arcanam per epistolas scribendi rationem tradit.

Ἐπειδὴ ζητῶ μανθάνειν περὶ τῶν ἀδελφῶν, τέκνα, Quoniam de fratribus scire aveo, filii, et ipsi de

[42] Can. 11. [43] *Ad Amplilochium*, can. 32, 51.

illis frequenter significare vultis; consultum fore duxi, simulque brevius et occultius, ex elementis seu viginti quatuor litteris illos designari, ut sit nimirum.

α. Patris nostri.
β. Archiepiscopi.
γ. Calogeri.
δ. Athanasii.
ε. Barsanuphii.
ζ. Nicolai.
η. Sophronii.
θ. Euthymii.
ι. Joannicii.
κ. Domitiani.
λ. Œconomi.
μ. Arsenii.
ν. Acacii.
ξ. Meletii.
ο. Luciani.
π. Epiphanii.
ρ. Letoe.
σ. Basilii.
τ. Euschemonis.
υ. Silvani.
φ. Euprepiani.
χ. Gregorii.
ψ. Eustathii.
ω. Meum.

Quando igitur in inscriptione affixum est aliquod elementum, cujusnam sit epistola plane declarat : verbi gratia; α Patris nostri : et unumquodque similiter. Rursus, interrogante me. Quomodo valet β? clarum est intelligi, de archiepiscopo esse quæstionem. Eodem modo cum iterum interrogo, Quomodo valent qui cum β? perspicuum est, quod de iis qui cum illo sunt, sit interrogatio; eodemque modo in cæteris elementis. Rursus alia interrogatio : Quid audibus de π vel de ρ vel de ψ? ad singula clementa est responsio. Rursum quæro : Quis foris advenit? respondere vos oportet juxta elementum vel η vel ο vel ex reliquis; aut, Non venit η vel ο, sed qui cum η vel ο tot numero : quod hoc vel illud illi elemento acciderit. Rursus itaque quando mors : Obiit hoc elementum; vel, Ægrotat; vel, Dolet : et alia quælibet. Quod si quis est qui ab elemento aliquid passus sit; nomen quoque indicantes, verbi gratia de Christophoro, quod aufugerit ab ε, quod et factum est. Cum ergo missas a nobis litteras accipitis, si ex elementorum numero est is qui mittit, inscriptum elementum prorsus habebit epistola. Vos quoque qui estis ex elementis, cum litteras mittitis, ipsum elementum in propria epistola ponite. Quod si ignorent qui mittunt, vos inscriptionem expungite, et scribentis elementum apponite. At si ex elementorum numero non est, maneat inscriptio; quemadmodum et ipse dum scribo. Si non est ex elementis, maneat inscriptio ad eum ad quem est epistola. Rursus observandum, quod in unaquaque epistola mea ad eos qui sunt sub elementis sic habebit inscriptio : ω ad α et deinceps et ad me missæ epistolæ sic habeant α vel υ vel aliud ex elementis. Sciendum hoc etiam, quoniam

[44] Matth. x, 12 [45] Matth. vi, 9.

ἢ καὶ αὐτοὶ πολλάκις θέλετε δηλοῦν περὶ αὐτῶν. ἐσκόπησα καλὸν εἶναι, ὁμοῦ τε διὰ τὸ συντομώτερον καὶ ἐπικρυπτότερον, ἀπὸ τῶν στοιχείων, ἤγουν τῶν εἰκοσιτεσσάρων γραμμάτων, τούτους ἐπιδηλοῦσθαι · καὶ δὴ λέγω,

Τὸ α τοῦ Πατρὸς ἡμῶν.
Τὸ β τοῦ Ἀρχιεπισκόπου.
Τὸ γ τοῦ Καλογήρου.
Τὸ δ τοῦ Ἀθανασίου.
Τὸ ε τοῦ Βαρσανουφίου.
Τὸ ζ τοῦ Νικολάου.
Τὸ η τοῦ Σωφρονίου.
Τὸ θ τοῦ Εὐθυμίου.
Τὸ ι τοῦ Ἰωαννικίου.
Τὸ κ τοῦ Δομετιανοῦ.
Τὸ λ τοῦ Οἰκονόμου.
Τὸ μ τοῦ Ἀρσενίου.
Τὸ ν τοῦ Ἀκακίου.
Τὸ ξ τοῦ Μελετίου.
Τὸ ο τοῦ Λουκιανοῦ.
Τὸ π τοῦ Ἐπιφανίου,
Τὸ ρ τοῦ Λητόη.
Τὸ σ τοῦ Βασιλείου.
Τὸ τ τοῦ Εὐσχήμονος.
Τὸ υ τοῦ Σιλουανοῦ.
Τὸ φ τοῦ Εὐπρεπιανοῦ.
Τὸ χ τοῦ Γρηγορίου.
Τὸ ψ τοῦ Εὐσταθίου.
Τὸ ω τὸ Ἐμόν.

Ὅτε τοίνυν κεῖται ἐν τῇ ἐπιγραφῇ τι στοιχεῖον, οὗ τινός ἐστιν ἡ ἐπιστολὴ πάντως ἐγνωρίσθη · οἷον τὸ α, τοῦ Πατρὸς ἡμῶν · καὶ ἕκαστον ὡσαύτως. Πάλιν ἐρωτῶντός μου, Πῶς ἔχει τὸ β ; δῆλον ὅτι ἐγνωρίσθη περὶ τοῦ ἀρχιεπισκόπου εἶναι τὴν ἐρώτησιν. Ὁμοίως ἐν τῷ πάλιν ἐρωτῆσαί με, Πῶς ἔχουσιν οἱ περὶ τὸ β ; φανερὸν ὅτι περὶ τῶν ὄντων μετ' αὐτοῦ ἡ ἐρώτησις · ὡσαύτως ἐπὶ τῶν λοιπῶν στοιχείων. Πάλιν ἑτέρα ἐρώτησις · Τί ἀκούετε περὶ τοῦ π · ἢ περὶ τοῦ ρ · ἢ περὶ τοῦ ψ ; πρὸς ἓν ἕκαστον στοιχεῖον ἡ ἀπόκρισις. Πάλιν ἐρωτῶ, Τίς ἦλθεν ἐκ τῶν ἔξω ; δέον ὑμᾶς ἀποκριθῆναι κατὰ τὸ στοιχεῖον · ἢ ὅτι τὸ η, ἢ ὅτι τὸ ο, ἢ ἔκ τῶν λοιπῶν . ἢ οὐκ εἰσῆλθε τὸ η, ἢ τὸ ο, ἀλλ' οἱ περὶ τὸ η, ἢ τὸ ο, τόσοι · ὅτι γέγονε τόδε κἀκεῖνο εἰς τὸ θεῖνα στοιχεῖον. Ὅτε οὖν θάνατος πάλιν · Ἀπέθανε τόδε τὸ στοιχεῖον, ἢ Ἀσθενεῖ, ἢ Λυπεῖται, καὶ ὅσα ἄλλα. Εἰ δέ τίς ἐστιν ἐκ τοῦ περὶ τὸ στοιχεῖον παθών τι, καὶ τὸ ὄνομα δηλοῦντες, οἷον ἐπὶ τοῦ Χριστοφόρου, ὅτι ἀπέδρασεν ἀπὸ τοὺ ε, ὃ καὶ γέγονε. Δεχομενοι οὖν τὰς παρ' ἡμῶν πεμπομένας ἐπιστολὰς, πάντως ἐάν ἐστιν ἐκ τῶν στοιχείων, τὴν ἐπιγραφὴν τοῦ στοιχείου ἕξει ἡ ἐπιστολή. Πέμποντες οὖν καὶ αὐτοὶ τὰς ἐκ τῶν αὐτῶν στοιχείων ἐπιστολὰς, τὸ αὐτὸ στοιχεῖον θέσθε ἐν τῇ ἰδίᾳ ἐπιστολῇ. Κἂν δὲ ἀγνοῶσιν οἱ πέμποντες, ὑμεῖς λειοῦτε τὴν ἐπιγραφὴν, καὶ ἐντιθεῖτε τὸ στοιχεῖον τοῦ ἐπιστείλαντος. Εἰ δὲ οὐκ ἔστιν ἐκ τῶν στοιχείων, μενέτω ἡ ἐπιγραφή · ὥσπερ καὶ ἐν τῷ γράφειν με. Ἐὰν οὖκ ἔστιν ἐκ τῶν στοιχείων, μενέτω ἡ ἐπιγραφὴ πρὸς ὃν ἡ ἐπιστολή. Πάλιν σκεπτέον ὅτι ἐφ' ἑκάστης μου ἐπιστυλῆς πρὸς τοὺς ὄντας ὑπὸ νὰ στοιχεῖα, οὕτως ἕξει ἡ ἐπιγραφή. Τὸ ω, τῷ α · καὶ καθεξῆς. Καὶ πεμπόμεναί μοι αἱ ἐπιστολαὶ οὕτως ἐχέτωσαν τὸ α, ἢ τὸ υ, ἤ ἄλλο τῶν στοιχείων. Γνωστέον καὶ τοῦτο ·

ὅτι ἐπειδὴ καὶ ταῦτα τὰ τρία εἰσὶ γράμματα, ἅτινά εἰσιν ἔξω τῶν εἰκοσιτεσσάρων στοιχείων τὸ ς, το ϟ, τὸ π. τὸ ς δηλοῖ τοὺς ἀθετήσαντας πάντας καὶ πρότερον καὶ ὕστερον ποτὲ ἀδελφοὺς ἡμῶν· τὸ ι, τὸν πατριάρχην· τὸ π, τὸν κρατοῦντα. Ὅταν οὖν χρεία γένηται εἴτε ἐρωτῆσαί με, εἴτε δηλῶσαι ὑμᾶς περὶ ἑνὸς τῶν τριῶν· διὰ τοῦ γράμματος ἔσται ἡ δήλωσις. A hæ tres quoque litteræ extra numerum viginti quatuor elementorum sunt, ς. ϟ. π. illud ς. fratres nostros omnes significare, qui, prius vel posterius, aliquando prævaricati sunt; ϟ vero patriarcham; π deinque imperatorem. Cum ergo res exiget, ut vel ego interrogem, vel vos de uno e tribus significetis; per litteram fiet indicium.

ΜΒ'. — Ἄννῃ μοναζούσῃ. [ρκγ'.]

XLII. — *Annæ monachæ.*

Docet quomodo sit orandum.

Ἐδόκουν τετελευτηκέναι τὴν μακαρίαν μου μητέρα· ἐκείνη δὲ ἔτι ὑπὲρ γῆς ἐστιν, ὡς ἔοικε. Τί γὰρ ἂν ἔμελλε πλέον ποιεῖν, ὡς αὐτὴ πρός με τὸν ταπεινὸν μητρικῇ κηδεμονίᾳ φερομένη; Ἀλλ' εἰ B κἀγὼ ἁμαρτωλὸς, ὅμως πιστεύω τῷ Κυρίῳ ἀντα-μείψασθαι σε τῶν ὑπὲρ τῆς ἀναξιότητος ἡμῶν οὐ τὴν τυχοῦσαν χάριν, καὶ ἐπίτευξεν ὧν ποθεῖς καὶ αἰτεῖς. Πλὴν ἱκανῶς ἔχει τὰ γεγενημένα. Τοῦτο γὰρ καὶ διὰ τῶν πραλαβόντων γραμμάτων ἀπελογησάμην. Αὐτὴ δὲ τούναντίον προσέθηκας μᾶλλον τοῦ ἐκδα-πανᾶσθαι ἐν τῇ ἐπιδόσει. Πόθεν δὲ καὶ οὐκ ἐμέλλο-μεν ἄρτι μνημονεύειν σου τῆς θεοσεβείας; ἐκ τῶν περιβολαίων, ἐκ τοῦ ἱεροῦ ἀναθήματος, ἐκ τῆς βρώ-σεώς τε καὶ πόσεως, πανταχόθεν ἡμᾶς ἐξέστησας. Διὰ τοῦτο καὶ τέλος ἐπίθες τοῖς δώροις· καὶ εὔελπις ἔσω περὶ τῆς θείας ἀμείψεως. Ἀψευδὴς γὰρ ὁ εἰρη-κώς, καὶ ὑπὲρ ψυχροῦ ποτηρίου μισθοὺς ἀποδιδόναι. Λυπεῖσθαι δὲ φυίης ἐν τῇ φροντίδι τοῦ τέκνου, ἀπ-ασχολίαν ἐμποιούσῃ σοι τῆς δεούσης περὶ τὴν ψυχὴν μερίμνης. Καὶ δυνατὸς ὁ Θεὸς καὶ τὴν τοῦ καλοῦ C τέκνου διοίκησιν ἀπεργάσασθαι, καὶ σὲ ἐπὶ πᾶσι σχολὴν ἄγειν περὶ τῶν ψυχώφελῶν καταστήσασθαι. ὡς ἑτοίμῃ καρδίᾳ πρὸς τὴν ἔξοδον τοῦ σώματος παρ-ίστασθαι. Νηστεύειν δὲ καὶ ταλαιπωρεῖσθαι, σῶμα ἔχουσα νοσερὸν οὐ δύνῃ· κἂν τούτῳ [l. τοῦτο] ἀλύπως φέρε, τὰ δυνατὰ εἰσοίσουσα τῷ Κυρίῳ, καὶ τῷ πλεονασμῷ τῆς ταπεινοφροσύνης τὸ ἐκ τῆς ἀσκή-σεως ἐνδέον ἀναπληροῦσα. Προσεύχεσθαι δὲ ὅπως σε χρὴ, ἐπιζητεῖς ἐκδιδαχθῆναι. Καὶ τοῦτο αὐτὸς ὁ Κύριος ἐξεδίδαξε διὰ τῆς τοῦ, Πάτερ ἡμῶν, ἐπιφω-νήσεως, καὶ τοῦ μηδὲν αἰτεῖν πρόσκαιρον, ἀλλὰ τὴν βασιλείαν αὐτοῦ, καὶ τὴν δικαιοσύνην τὴν αἰώνιον. Πλὴν ὅτι τετύπωται ὑπὸ τῶν πατέρων, πρῶτον ἡ εἰς Θεὸν εὐχαριστία· ἔπειτα ἡ τῶν ἁμαρτημάτων αὐτῶν ἀφέσεως, καὶ τῆς τῶν ἄλλων σωτηριωδῶν τρόπων πρὸς αὐτὸν ἐξαγόρευσις· καὶ οὕτω ἡ αἴτησις τῆς ἐπιτεύξεως.

Putabam diem obiisse beatam matrem meam: illa vero adhuc in terra est, ut apparet. Quid enim factura erat amplius, quam tu erga me humilem materna sollicitudine acta facis? Verum etsi ego peccator, confido tamen in Domino, relaturum tibi pro indignitate mea gratiam non levem, ac eorum quæ cupis et expetis adeptionem. Cæterum sufficiunt quæ facta sunt. Hoc enim superioribus quoque litteris respondi. At tu contra adjecisti potius ut largitionum sumptus augeres. Undenam enim poteram nunc etiam pietatis tuæ non meminisse? Ex vestimentis, ex sacro donario, ex cibo et potu, undique stuporem nobis injecisti. Quamobrem finem tandem muneribus impone; et de divina retributione secura esto. Verax enim est qui dixit, etiam pro frigidæ poculo mercedem se redditurum [44]. Tristari ais te ob de filio sollicitudinem, quæ tibi ad congruentem animæ curam otium non permittit. At potest Deus et egregii filii res rite dispensare, et ut animæ uti lia in omnibus consecteris efficere, ut parato corde corporis exitum præstolere. Jejunare autem et labores pati, cum morboso sis corpore, non potes: et hoc ipsum æquo fer animo, quæ potes offerens Domino, supplensque humilitatis abundantia id quod deest exercitationi. Orare porro quemadmodum debeas, doceri expetis. Hoc quoque Dominus ipse edocuit per invocationem, *Pater noster* [45]; et cadu-cum nihil petendum admonens, sed regnum ipsius et justitiam sempiternam. Præterquam quod a Patribus præscripta est primum gratiarum actio erga Deum; deinde peccatorum apud ipsum confessio: actum demum postulatio, tum ad eorum remissionem, tum ad cæterarum salutarium rerum impetrationem.

Ἐπ' ἂν οὖν μέλλῃς προσεύχεσθαι, εὐχαρίστει τῷ D Κυρίῳ καὶ Δεσπότῃ, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγέ σε· ὅτι ἐλυτρώσατό σε ἐκ πάσης πλάνης· καλέσας καὶ ἀξιώσας τῆς ἑαυτοῦ ἐπιγνώσεως μέτο-χον γενέσθαι, πλάνης ἐθνικῆς, πλάνης αἱρετικῆς· εἶτα ὅτι καὶ τοῦ μοναδικοῦ καὶ ἰσαγγέλου βίου ἐντός σε παρεσκεύασεν ὑπάρξαι μετὰ τὴν τοῦ κοινωνικοῦ βίου ἀπόλαυσιν· ὧν ἡ ἔννοια ἱκανὴ καταμαλάξαι τὴν ψυχὴν πρὸς κατάνυξιν καὶ δακρύων προσβολήν. Ἀφ' ὧν φωτισμὸς καρδίας, γλυκύτης πνεύματος, ἐπιθυ-μία Θεοῦ. Ταύτης ἐνυπαρχούσης τῇ καρδίᾳ, πάσης κακίας ἐστὶν ἀποβολή. Ὅταν οὕτως εὐχαριστίας ἀνα-πέμψῃς τῷ Θεῷ, ἐξαγόρευε αὐτῷ λέγουσα· Σὺ οἶδας, Cum igitur oratura es, gratias age Domino, quod ex nihilo ut esse te produxit: quod ab omni te errore liberavit, vocans te et sui cognitionem impertiens, ab errore gentili, ab errore hæretico. Deinde quod ad monasticam æqualemque angelis vitam te, post sæcularis vitæ delicias, revocavit. Quorum cogitatio ipsa idonea est ut animam emolliat ad compunctionem lacrymarumque profusionem; ex quibus cordis illuminatio, suavitas spiritus, Dei desiderium. Hujus in corde præsentia, omnium vitiorum est profligatio. Cum ad hunc modum gratias egeris Deo, confitere illi dicens: Tu nosti, Domine, quam multa tibi peccarim, et quam

multa peccem in horas, hocce peccatum, et hocce delictum : et quæ scis quæque ignoras recogitans, sed illa temere non recolens, quæ expressa recordatione animam lædunt. Et hinc tibi humilitatis gratia exoriatur cum cordis contritione, metuque divinæ vindictæ. Post hæc postula, plange, ora Dominum tuum pro horum remissione, pro virium, ut illi deinceps placeas, confirmatione ; dicens: Non amplius, Domine mi, Domine, irritabo te: non amplius quidquam desiderabo præter te qui vere es amabilis. Et, si offendam rursum, supplex flo visceribus tuis, ut mihi robur detur, quo tibi placere assuescam. Si quid aliud animo tibi occurret bonum quod agatur, impense postulans. His actis, invoca sanctam Deiparam, ut tui misereatur, sanctos angelos, et quem vitæ tuæ custodem habes angelum, ut te custodiat et protegat : Præcursorem, apostolos, sanctos omnes, et quos præcipue invocare consuevisti, et illum cujus memoria eo die agitur. Hæc igitur orationis vim habere mihi videntur; tamestsi unusquisque aliis verbis et non iisdem prorsus oret ; quandoquidem nec ipse qui orat, eadem semper loquitur : vis autem eadem necessaria est omnibus, ut existimo. Vale itaque, congruenter orans, et proficiens usquequaque, totamque te per accuratam vitam Domino placentem exhibe.

A Δέσποτα, ὅσα σοι ἥμαρτον· καὶ ὅσα ἁμαρτάνω καθ' ἑκάστην ὥραν· τήνδε τὴν ἁμαρτίαν, καὶ τήνδε τὴν πλημμέλειαν· καὶ τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ ἀναλογιζομένη. Πλὴν μὴ ἀνιστοροῦσα ὡς ἔτυχε τὰ βλάβῃν ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως ἐμποιοῦντα τῇ ψυχῇ. Κἀντεῦθεν ἀναταλεῖ σοι ταπεινοφροσύνης χαρις, μετὰ συντριμμοῦ καρδίας, καὶ φόβου ἀνταποδόσεως Θεοῦ. Μετὰ τοῦτο αἴτησον, στέναξον, δεήθητι τοῦ Κυρίου σόυ τὴν τούτων ἄφεσιν, τὴν πρὸς τὸ μέλλον πρὸς τὸ εὐαρεστεῖν αὐτῷ ἐνδυνάμωσιν· λέγουσα· Οὐκέτι, Κύριέ μου, Κύριε, παροργίζω [f. παροργίσω] σε, οὐκέτι φιλήσω ἄλλο τι παρὰ σὲ τὸν ὄντως ἀγαπητόν· κἄν τε παροργίσω πάλιν, προσπίπτουσά εἰμι τοῖς οἰκτιρμοῖς σου, δοθῆναί μοι ἰσχὺν ἐν ἕξει γενέσθαι τοῦ εὐαρεστεῖν σοι. Εἴ τι ἄλλο κατὰ νοῦν σοι B παρίσταται ἀνυσθῆναι ἀγαθὸν, θερμῶς αἰτουμένη. Καὶ μετὰ ταῦτα ἐπικαλοῦ τὴν ἁγίαν Θεοτόκον ἐλεῆσαί σε· τοὺς ἁγίους ἀγγέλους, καὶ ὃν ἔχεις τῆς ζωῆς σου φύλακα ἄγγελον· Ἵνα σε φρουρῇ καὶ σκέπῃ· τὸν Πρόδρομον, τοὺς ἀποστόλους, τοὺς ἁγίους πάντας, καὶ οὓς ἔχεις ἐξαιμέτως συνήθως ἐπικαλεῖσθαι, καὶ τὸν κατὰ τὴν ἡμέραν μνημονευόμενον. Ταῦτα οὖν μοι δοκεῖ ἔχειν τῆς προσευχῆς τὴν δύναμιν· κἂν ἕκαστος ἄλλοις λόγοις καὶ οὐχὶ τοῖς αὐτοῖς πάντως προσεύχηται· ὅτι μηδὲ αὐτὸς ἑαυτῷ ὁ προσευχόμενος τὰ αὐτὰ φθέγγεται πάντοτε· ἡ δὲ δύναμις ἡ αὐτὴ ἀναγκαία πᾶσι λελόγισταί μοι. Φυλαχθείης οὖν προσεκχομένη τὰ δέοντα, καὶ βελτιουμένη ἑκάστοτε, καὶ ὅλην ἑαυτὴν παριστῶσα διὰ τῆς ἀκριβοῦς βιώσεως ἀρέσκουσαν τῷ Κυρίῳ.

XLIII. — *Josepho fratri et archiepiscopo.*

ΜΓ. — Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ. [ρλα'.]

Sede Thessalonicensi extrusum solatur. (Baron. an. 809, n. 47.)

Et prior epistola fraternæ ac paternæ tuæ sanC titatis, tametsi brevis numero syllabarum : abundabat tamen allegorici sensus copia ; et posterior, omni scientia atque humilitate, unicum habens reprehendendum, meas infelicis indignas laudes. Ego vero non per antiphrasim absit, sed vere prosus his temporibus nostris in archiepiscopali dignitate elucere te, sanctorum Patrum instar, dixi. Nec aberrem, si columnam et fundamentum Ecclesiæ te vocem, mi frater egregie. Quisquis enim pro veritate decertat et patitur, columen ejus est ac fastigium. Belle autem accidit, quod quaterniones inspexisti. Occasionem enim præbuit nobis commonitio, seu potius jussio tua, ut hujusce propositionis refutationem aggrederer, quam cum aliis, hortatu Patris nostri, in prædictis quaternionibus D nisi sanctitati tuæ, nullam meam propriam in toto spere sententiam intexens ; quoniam nec lege justius, nec canone rectius quidquam esse potest : sed divinorum tantummodo Patrum, quamvis inepte, documenta et præcepta proferens atque connectens, prout oppositæ propositionis ratio postulabat. Ac nisi lectionem laboris metu refugias, erit, ni fallor, operæ pretium. Quod autem pax optima sit communi consensu; amo enim illam tamestsi peccator sum; et quod in eam flectendum sit, fecimus id ipsi quatenus licebat, magnam oneris patrem excutientes, juxta divinum Cyrillum : partim

C Καὶ ἡ πρώτη ἐπιστολὴ τῆς ἀδελφικῆς καὶ πατρικῆς σου ἁγιωσύνης, εἰ καὶ μικρὰ ἦν τῷ πλήθει τῶν συλλαβῶν, ἀλλ' οὖν γε ἀπήρτιστο τῷ πλατει τῆς ἀλληγορικῆς διανοίας. Καὶ ἡ δευτέρα, πάσης γνώσεως καὶ ταπεινώσεως, ἐν ἔχουσα μόνον ψεκτὸν, τοὺς περὶ ἐμὲ τὸν δείλαιον ἀναξίως ἐπαίνους. Ἐγὼ δὲ οὐ κατ' ἀντίφρασιν, μὴ γένοιτο. Ἀλλ' ἀληθείᾳ, ἐκλάμψαι σε ἐν τῇ καθ' ἡμᾶς γενεᾷ, ἐν τῷ τῆς ἀρχιερωσύτης ἀξιώματι, καθ' ὁμοίωσιν τῶν ἁγίων Πατέρων, εἶρηκα. Καὶ οὐκ ἄν ἁμάρτοιμι, στύλον καὶ ἐδραίωμα κεκληκώς σε τῆς Ἐκκλησίας, καλλιστέ μου ἀδελφέ. Πᾶς γὰρ ὁ ὑπὲρ ἀληθείας ἐνιστάμενος καὶ πανθάνων, ἔρεισμα καὶ ὕψωμα αὐτῆς τυγχάνοι. Εὖ δὲ γέγονεν, ὅτι ἐπεσκέψια τὰς τετράδας. Ὑπῆρξε γὰρ ἡμῖν ἡ ὑπόμνησις μᾶλλον δὲ παλευσίς σου ἐπιστασίας καὶ διαλύσεως τῆς τοιαύτης D προτάσεως ἀφορμὴ ἦν μεθ' ἑτέρων ὑποβληθέντων, δι' ὑπομνήσεως τοῦ Πατρὸς ἡμῶν, ἐν ταῖς προγραφείσαις τετράσιν ἀπέστειλα τῇ ἁγιότητί σου· μηδὲν ἐξ ἑαυτοῦ ἐτ ὅλῳ τῷ συντάγματι φρόνημα εἰσκεκομικώς· ὅτι μηδὲ θέμις τοῦ νόμου νομιμώτερον, μηδὲ τοῦ κανόνος εὐθύτερον γίνεσθαι· ἢ μόνον τὸ ὑφεῖναι καὶ συνάψαι τὰ τῶν θείων Πατέρων, κἂν ἀμαθῶς, διδάγματά τε καὶ παραγγέλματα, εἰς ὅπερ ἡ πρότασις ἐκκαλεῖ τῆς ἀντιθέσεως. Καὶ εἰ μὴ παραιτήσοιτο διὰ κόπον ἀναγνῶναι, οἶδ' ὅτι λυσιτελήσειεν. Ὅτι δὲ ἡ εἰρήνη καλὴ ὁμολογουμένως· φιλῶ γὰρ αὐτὴν, κἂν ἁμαρτωλός εἰμι· καὶ ὅτι πρὸς αὐτὴν

ἀποκλιτέον· ἕως ἐξῆν πεπράχαμεν· πολλὰ τοῦ φόρτου ἀποσκευασάμενοι, κατὰ τὸν θεῖον Κύριλλον· τοῦ μὲν ἡνίκα τὸ πρότερον ἠθώουν τὸν μοιχοζεύκτην, παρόντος μου ἐκεῖ, καὶ καθὰ συνεβουλευσάμεθα, ἀποσιωπήσαντες· ἡ δὲ σιωπὴ μέρος συγκαθέσεως· ἧς καὶ ὁραξάμενοι οἱ ἐξ ἐναντίας, ὡς οἶσθα, ἀποκλείειν ἡμᾶς ἐπειρῶντο τῆς ἐνστάσεως· τοῦτο δὲ ἐπειδὰν ἐκροτεῖτο ἡ δευτέρα ἀθώωσις αὐτοῦ παρὰ τῶν πατησάντων τοὺς νόμους τοῦ Θεοῦ, λεγόντων ἡμῶν· ὅτι στήτω μόνον τῆς ἱερουργίας ἀπολαύων τῆς τιμῆς, κατὰ τὸν κανόνα τοῦ ἁγίου Βασιλείου· ἤδη συλλειτουργήσαντος αὐτοῦ ἐν τοῖς δυσὶν ἔτεσι τῷ πατριάρχῃ· ὃ ἦν φοβερὸν, καὶ ὑπὲρ οἰκονομίαν. Ἐῶ λέγειν τὰς ψευδοπροφάσεις τῆς ἀπ' αὐτοῦ φυγῆς, καὶ τὸ, ὡς παρὰ πρεσβυτέρου τὰς εὐλογήσεις ἐν ταῖς ἑστιάσεσι κοινωνεῖν, τήν τε ἀναφορὰν τοῦ πατριάρχου. Ἀλλ' ὅμως εἰ καὶ ἡμεῖς δι' οἰκονομίαν τοσοῦτον κατηγόμεθα. Ἐκεῖνοι τοὐναντίον τῇ σκληρότητι συνεπαίροντο τῇ ἁμαρτίᾳ· τοῦ Θεοῦ κρεῖττόν τι προβλεψαμένου, ἵνα καὶ ἡμεῖς οἱ ταπεινοὶ μὴ ἀνόνητον τὴν πρώτην ἐξορίαν ὑποίσωμεν· μηδὲ ἡ τολμηθεῖσα ἐπὶ τοῦ κόσμου μοιχεία ὡς ἔτυχε διὰ τῆς τοῦ συνάψαντος αὐτὴν πέρισσοτέρας οἰκονομίας κατασμικρυνθῇ.

A quidem quando primum adulterii copilatorem absolvebant, cum ibi essem, et certo consilio taceremus; silentium autem pars est consensus: quod arripientes quoque adversarii, ut nosti, intercludere nobis dimicationem conati sunt: partim etiam quo tempore altera ejus absolutio ad legum Dei conculcatoribus celebrabatur, dicentibus nobis: Abstineat tantummodo a sacrificio, retenta dignitate, juxta canonem sancti Basilii [46]. Cum ille biennio jam una cum patriarcha ministrasset; quod certe formidabile erat, et supra dispensationem. Mitto dicere falsos prætextus cur eum fugeremus, et quod tanquam presbyteri benedictionibus in conviviis communicaremus: et patriarchæ commemorationem. Attamen quamvis adeo nos per dispensationem demitteremus, illi contro pertinacia sua B in peccato efferebantur: Deo melius quiddam providente, ut nec nos humiles prius exsilium nostrum inane redderremus, nec inductum in orbem adulterium nimia forsitan erga ejus copulatorem dispensatione minueretur.

Ὥστε καιρὸς ἄρτι ἐκεῖνο ἡμᾶς, ἠγαπημένε, λέγειν· Ἕως πότε οἰκονομήσεις, καί· Οἰκοδομῆσαί ποτε προθυμήθητι. Καὶ κατὰ τὸν θεῖον Βασίλειον, ἀκριβείᾳ κανόνων ἡμᾶς δουλεύειν. Ἄλλοι γὰρ λόγοι πρὸ πολέμου, καὶ ἄλλοι μετὰ πόλεμον· ἐν ὑπομονῇ τε διεξάγειν τὰς ἡμέρας ἡμῶν, καθὼς νενουθέτηκας, καὶ εὔχεσθαι ὑπὲρ τῶν διωξάντων. Ἀσπασταὶ δὲ C μοὶ καὶ ὁμογνωμονικαὶ αἱ τρεῖς σου τίμιαι [In ms. Reg. τίμιε.] ῥήσεις· ἥ τε τοῦ δι' ἑνὸς ἀνθρώπου ὑπόπτωσιν μὴ σχίζειν τὰς Ἐκκλησίας. Ἥ τε τοῦ μὴ συγκοινωνεῖν τῇ λύσει τοῦ τοιούτου· καὶ ἡ ἐκ παντὸς ἀδιαβλήτου ἱερέως μεταλαμβάνειν· οὕτως ἐχούσης πάντως τῆς διανοίας. Καὶ σύγγνωθί μοι, ὦ ἀδελφὲ, οὐ διδακτικῶς, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον διατρανοῦντι τὸν λόγον. Κατὰ τὴν πρώτην, οὐ δι' ἕνα ἄνθρωπον ἀποσχίζομεν τῆς Ἐκκλησίας τῆς ἀπὸ Βορρᾶ καὶ δυσμῶν καὶ θαλάσσης· καὶ μέντοι καὶ τῆς ἐνταῦθα, δηλονότι πλὴν τῶν μοιχοκυρωτῶν. Οὐ γὰρ οὗτοι Ἐκκλησία Κυρίου. Εἰ δὲ Ἐκκλησία, ἀποσχίζομεν τῆς Ἐκκλησίας δι' ἕνα ἄνθρωπον συνημμένον αὐτῇ, λέγω δὲ τὸν μοιχοζεύκτην μὴ προσιέμενοι. Ἐπειδὴ δὲ οὐκ Ἐκκλησία Θεοῦ, ἀποσχίζουσιν αὐτοὶ ὡς ἀληθῶς, δι' ἕνα ἄνθρωπον συνημμένον αὐτοῖς, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· ἐκείνοις παρεοικότες τοῖς ἐν τῷ χρονογράφῳ κειμένοις· ἡμῶν μὴ σχιζομένων αὐτῆς διὰ τὸν τοιοῦτον. Κατὰ τὴν δευτέραν οὐ κοινωνοῦμεν τῇ λύσει ωὐτοῦ, δηλονότι μὴ κοινωνοῦντες τοῖς προδήλως λύσασιν αὐτόν. Εἰ δὲ ἐκείνοις κοινωνοῦμεν, συγκοινωνοῦμεν τῇ λύσει αὐτοῦ. Ἀλλ' ἐπεὶ ἐκείνοις θεοπρεπῶς οὐ συγκοινωνοῦμεν λύσασιν, ἀσφαλῶς ἄρα οὐ συγκοινωνοῦμεν τῇ λύσει αὐτοῦ. Κατὰ τὴν τρίτην· ἐκ παντὸς ἱερέως ἀδιαβλήτου μεταλαμβάνομεν. Διὰ τοῦτο δὲ ἐκ τοῦ Ἰωσὴφ οὐ μεταλαμβάνομεν, ὡς διαβεβλημένου αὐτοῦ δημοσίᾳ· διαβεβλημένοι δ' ἂν εἶεν πάντως

Quare nunc tempus est, charissime ut illud usurpemus: Quousque tandem dispensabis? et, Ædificare aliquando incipe. Et, juxta divinum Basilium, accuratæ canonum observationi serviamus; alii enim sermones ante bellum, et alii post bellum: atque ut in patientia dies nostros ducamus, sicut admonuisti, et oremus pro persecutoribus. Amplectendæ autem mihi sunt et retinendæ tres egregiæ sententiæ tuæ: Ne propter unius hominis lapsum dividantur Ecclesiæ; ne illius absolutioni communicemus: et ut ab omni inculpato sacerdote participemus. Is enim omnino est sensus. Et ignosce mihi, frater, non docendi studio, sed communis utilitatis causa rem fusius explicati. Quod ad primam attinet, haud sane propter unum hominem discessionem facimus ab Ecclesia quæ ad Aquilonem, et quæ ad Occidentem, et quæ ad mare: sed neque ab ea quæ in his locis est; præterquam ab his qui adulterium confirmant. Non enim illi sunt Ecclesia Domini: quod si Ecclesia, recedimus utique ab Ecclesia propter unum hominem cum ea colligatum, adulteri scilicet copulatorem non admittentes. Sed quoniam Ecclesia Dei D non sunt, separantur ipsi revera, propter unum hominem ipsis consociatum, ab Ecclesia Dei: similes eorum de quibus apud chronographum agitur: nobis ab ea propter illum minime secedentibus. Quod ad secundam, non communicamus ejus absolutioni, siquidem non communicamus cum iis qui eum manifeste absolverunt. Quod si his communicemus: et illius sane absolutioni communicamus. Sed quandoquidem cum iis qui absolverunt communicare detrectamus sicut Deus exigit, plane igitur non communicamus ejus absolutioni. Quod ad tertiam; ab omni sacerdote inculpato

[46] Ad *Amphilochium, can.* 70.

participamus. Propterea autem ab Josepho non participamus, quod publice fuerit notatus. Notati ergo et illi prorsus qui cum eo ministrant; cum depositus fuerit. Quod si ab his participemus tanquam ab inculpatis, inculpatus erit et Josephus, qui cum eis sacrificat. Quoniam autem is revera notatus fuit, et ab eo non participamus ; profecto nec ab iis qui cum eo ministrant; cum patri modo notati sint. Confirmata est igitur sententia sanctitatis tuæ, atque ita consentimus. Ac utinam per hancce sinceram hic concordiam nostram, in futuro sæculo nunquam divellamur, mi frater charissime, ut digni simus et nos humiles aliquod Patrum nostrorum virtutis vestigim consectari. De civitate autam tua columnam accendisti pietatis, quam obscurare nullus unquam possit. Neque est quod ægre feras. Quin lætare potius, uti et ego miser id dissipatione humilis monasterii mei ; quia propter Dominum hæc dissolutio. Neque ob eam causam, quod tam muli steterint genua non curvantes, magna laus est: sed vel si unus. Melior siquidem unus Domini fociens voluntatem, quam decem millia prævaricantium [47]. Nec vero ipse causa es illorum dispersionis, licet id garriant nonnulli, sed ergo infelix ! Erit autem nobis, si perferas, ustriusque rei communio. Tantamque ipse mercedem capies in divina fratrum dispersione ; quantam ego nanciscar in iis qui Thessalonicæ reliqui sunt legem divinam servantes. Do carceris autem mei custode nihil attinet loqui, cum talis sit, et cum Josepho animo conjunctissimus. Nunquam cesses pro humilitate mea enixe precari, frater mi ac Pater egregie et sanctissime. Scito accusatum fuisse Theosostum, quod ab eo non participaret, qui sedem tuam sacrilege invasit, eumdemque strenue monasterio suo pulsum fuisse. Athanasius frater noster rursum captus est et illuc relegatus. Custos meus, cum exiisset, attulit mihi a patriarcha salutationem : Ignoscet tibi Deus, inquit, hic habere te volebamus ad auxilium nostrum. Abiisti, et istic consedisti, invideo tibi. Quod cum audivissem, risi. Neque enim opus erat respondere me, nisi hoc tantum ; quod si invidet, exeat et ipse. Relaxavit porro custodiam, invitans ad requietem, Attulit enim mihi et a Simeone salutationem, et quod dicere imperatori velit, te in carcere male habere, et a Leontio humilem salutationem. Passus sum, ait, necessitatem : non me separet Deus a sermone tuo. Et ego, hæc, inquam, ab illo non requiro. Coegerunt autem illum ire ad œconomum et Arsenium et Joannem, ac dicere, quod Dominus Tarasius illum absolverit, et quod modo viderim. At illi eum revera colaphis exploserunt. Qui mecum est, pastorem meum per me salutat magno affectu.

καὶ οἱ τούτῳ συλλειτουργοῦντες καθημένῳ ὄντι. Εἰ δὲ ἐκ τῶν τοιούτων μεταλαμβάνομεν, ὡς ἐξ ἀδιαβλήτων, ἀδιάβλητος ἂν εἴη καὶ ὁ Ἰωσὴφ συλλειτουργῶν αὐτοῖς. Ἐπεὶ δὲ διαβεβλημένος ὡς ἀληθῶς, καὶ παρ' αὐτοῦ οὐ μεταλαμβάνομεν, δηλονότι οὐδὲ ἐκ τῶν συνιερουργούντων αὐτῷ, ὡσαύτως ὄντων διαβεβλημένων. Ἐρρῶται τοίνυν ὁ λόγος τῆς ἁγιωσύνης σου· καὶ οὕτως συμφονοῦμεν. Καὶ ἔστω ἡμῖν τὸ ἀδιάσπαστον διὰ τῆς ἐνταῦθα ἀληθοῦς συμφωνίας ἐν τῷ μέλλοντι αἰῶνι, φίλτατέ μου ἀδελφέ, ὡς ἂν ἀξιωθείημεν καὶ ἡμεῖς οἱ ταπεινοὶ ἀπενέγκασθαί τι ἴχνος κατορθώματος τοῖς Πατράσιν ἡμῶν ἀκόλουθον. Περὶ δὲ τῆς πόλεώς σου στύλον ἀνῆψας εὐσεβείας, οὐ σβεννύμενον παρὰ ἀνθρώπου ἕως αἰῶνος. Καὶ οὐ λυπεῖσθαι χρή, ἀλλὰ μᾶλλον χαίρειν· ὥσπερ κἀγὼ ὁ τάλας ἐν τῇ διαλύσει τοῦ ταπεινοῦ μου μοναστηρίου· ὅτι διὰ Κύριον ἡ διάλυσις. Καὶ οὐχ ὅτι τοσοῦτοι ἔστησαν μὴ κατακαμφθέντες, μέγα τὸ κλέος· ἀλλ' εἰ καὶ εἷς. Κρείσσων γὰρ εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παραβαίνοντες. Καὶ οὐκ αἴτιος αὐτὸς τῆς λύσεως αὐτῶν, εἰ καὶ φλυαροῦσί τινες· ἀλλ' ἐγὼ ὁ δύστηνος. Εἴη δὲ ἡμῖν κοινωνία, εἴπερ ἀνέχῃ, ἐπ' ἀμφοτέροις. Καὶ τοσοῦτον ἔξοις αὐτὸς τὸν μισθὸν ἐν τῇ ἐνθέῳ διαλύσει τῶν ἀδελφῶν, ὅσον ἐγὼ εὕροιμι ἐν τῇ κατὰ νόμον Θεοῦ καταλείψει τῆς Θεσσαλονίκης. Περὶ δὲ τοῦ φυλακίτου μου οὐδεὶς λόγος, τοιούτου αὐτοῦ ἀνθρώπου ὄντος, καὶ συμψύχου τοῦ Ἰωσήφ. Μὴ διαλείποις ὑπερευχόμενος τῆς ταπεινώσεώς μου κραταιῶς, ἀδελφοπάτορ μου καλὲ καὶ ὁσιώτατε. Γίνωσκε ἐνσταθέντα τὸν Θεόσωστον τοῦ μὴ κοινωνῆσαι αὐτὸν ἐκ τοῦ ἀνιέρως ἀνελθόντος εἰς τὸν θρόνον σου· καὶ ἐκδιωχθέντα νεανικῶς ἐκ τοῦ μοναστηρίου αὐτοῦ. Οἱ περὶ τὸν Ἀθανάσιον ἀδελφοὶ ἡμῶν, ἀκμὴν κρατοῦνται περιωρισμένοι ἐκεῖσε. Ὁ φυλακίτης μου ἐξελθών, ἤγαγέ μοι προσκύνησιν ἐκ τοῦ πατριάρχου λέγοντος, ὅτι ὁ Θεὸς συγχωρήσει σοι· τοῦ, ηὐχόμεθα ἔχειν σε ὧδε εἰς βοήθειαν ἡμῶν. Ἐξῆλθες, καὶ ἐκάθισας αὐτόθι· καὶ, ὅτι φθονῶ σε. Καὶ ἄκουσας ἐγέλασα. Οὐ γὰρ ἦν χρεία τέως ἀποκριθῆναί με· ἢ μόνον. Ὅτι ἐὰν φθονῇ, ἐξέλθῃ κἀκεῖνος. Ἐχαύνωσε δὲ καὶ τὴν φυλακὴν προτρεπόμενος εἰς ἀνάπαυσιν. Ἐξήγαγε γάρ μοι καὶ ἐκ τοῦ Συμεὼν προσκύνησιν· καὶ ὅτι βούλεται λαλῆσαι τῷ βασιλεῖ, ὅτι κεκοπίακας ἐν τῇ φυλακῇ. Καὶ ἐκ τοῦ Λεοντίου τεταπεινωμένην προσκύνησιν, λέγοντος· ὅτι ἀνάγκην ἔπαθον· καὶ μὴ συγχωρήσῃ με ὁ Θεὸς τοῦ λόγου σου. Καὶ εἶπον ὅτι οὐ χρήζων ταῦτα ἀπ' αὐτοῦ. Ἠνάγκασαν δὲ αὐτὸν ἀπελθεῖν εἴς τε τὸν οἰκονόμον, καὶ τὸν Ἀρσένιον, καὶ τὸν Ἰωάννην, λέγοντα· ὅτι ὁ κῦρις Ταράσιος ἀπέλυσεν αὐτόν· καὶ ὅτι ἄρτι ἀνέβλεψα. Καὶ ἀπερράπισαν αὐτὸν τῷ ὄντι. Ὁ σὺν ἐμοὶ προσαγορεύει πόθῳ πολλῷ τὸν ποιμένα μου ἐξ ἐμοῦ.

XLIV. — *Sergio consuli.*

ΜΔ. — Σεργίῳ ὑπάτῳ. [ρμγ'-]

Gratulatur ei dignitates in aula : hortaturque ut bene agat.

Tu quidem, ut audio, alios ex aliis honores ca-

Αὐτὸς μὲν, ὡς μανθάνω, ἀμείβεις ἀρχὰς ἐξ ἀρχῶν

[47] Eccli. xvi, 3.

παρὰ τῷ κάτω Καίσαρι, καὶ παρὰ προαίρεσιν, ἠγαπημένε μοι ὁμοῦ καὶ τιμιώτατε. Ἐγὼ δὲ ὁ ταπεινὸς οὐ διαλιμπάνω, τῷ ἄνω καὶ πάντων βασιλεῖ φίλον οἰκεῖόν σε δι' εὐσεβείας ὑπάρχειν. Διότι κρεῖσσον καὶ τὸ πολλοστὸν τετάχθαι κατὰ τὸ ἄκρότατον ἔσχατον τῷ οὐρανίῳ, ἢ κατὰ τὸ πρώτιστον τῷ ἐπιγείῳ. Πιστεύω δὲ εἰδώς σου τὸ φιλομέριμνον τῆς σωτηρίας, μηδὲν παραζημιοῦσθαι εἰς ψυχὴν, ἀλλὰ καὶ παρακερδαίνειν ἐκ τοῦ ἀξιώματος· ὄντων τρόπων οὐκ ὀλίγων εἰς λυσιτέλειαν. Ἤρκεσε γὰρ τῷ πτωχῷ ὑποτελεῖ οὐ μόνον ἀνοχὴ φόρων· ἀλλὰ καὶ ὄψις εὐμενὴς τοῦ τὰ βασιλικὰ χρήματα αἴροντος, καὶ φωνὴ ἡπία, καὶ φθόγγος χαιρετιστικός· καὶ οὔπω λέγω λύσιν συνδέσμου ἀδικίας, ἄλλα τε ὅσα ἐπακολουθοῦσιν εὐχερῶς ποιεῖν τῷ ἄρχοντι τῷ ἀρχομένῳ. Μὴ τοίνυν ἐφ' ὧν δύνῃ εὖ ποιεῖν, σεαυτὸν διὰ τῆς εἰς ἑτέρους χρηστότητος ἀμεμοίης, Κύριέ μου· ἀλλ' ὡς συνετὸς καὶ εἰδὼς μικρὸν ὕστερον ἐξελεύσεσθαι ἡμᾶς τοῦδε τοῦ βίου, μηδὲν ἄλλο συναίροντας ἢ τὰς πράξεις· τοιαύταις καὶ προσκείμεθα, τὰς δὲ καὶ θησαυρίζοιμεν· δηλονότι τὰς ἐφόδιον ἡμῖν ζωῆς αἰωνίου, καὶ ἀπολαύσεως ἀπορρήτων ἀγαθῶν μελλούσας ἔσεσθαι. Ναὶ, παρακαλῶ τὸ ἐμὸν αἷμα, τὸ ἐμὸν πόθημα, τὸ ἀγαθῆς ὄντως ῥίζης βλάστημα Ἄννης ἐκείνης, τῆς ἐμοὶ σεβασμίας καὶ ἐρασμιωτάτης ὅτι μάλιστα, πᾶσι δὲ τοῖς γνωρίμοις ἐπαινουμένης διὰ σεμνότητα, τῆς ἐμῆς ὡς ἀληθῶς μακαρίας μητρὸς ἀμφοτέρωθεν.

A pessis apud Cæsarem nostrum, idque præter votum, dilecte mi pariter ac reverendissime. Ego vero humilis optare non desino, te amicum familiarem cœlesti omnium regi per pietatem esse. Quoniam melius est millesimo et omnium postremo apud cœlestem, quam omnium primo apud terrenum regem loco censeri. Bona autem spe sum, perspectum habens quod curam salutis geras, nulla ex parte lædi animam tuam, sed lucrum etiam facere ex dignitate : cum sint non pauci ad proficiendum modi. Sufficit enim pauperi tributario, non solum tributorum remissio : verum etiam benignus aspectus illius qui pecunias regias colligit, et vox lenis et salvere jubentis sonus : ac nondum dico solutionem vinculi iniquitatis, et alia quæcunque a principe erga subditos fieri solent. Ne igitur in quibus potes benefacere, teipsum, Domine mi, propter bonitatem in alios, neglexeris; sed tanquam prudens et sciens nos ex hac vita paulo mox excessuros, nihil aliud auferentes nobiscum præter actiones: in has proinde incumbamus, has et thesaurizemus : quippe quæ viaticum nobis vitæ æternæ et fruitionis bonorum inenarrabilium futuræ sunt. Næ, obsecro te sanguinem meum, desiderium meum, bonæ omnino radicis germen Annæ illius, quæ et mihi veneranda et adamanda supra modum, omnibus vero qui eam norunt laudata propter honestatem ; meæ revera beatæ matris utrinque.

Tres epistolæ sequentes desunt in libris mss. quibus usi sumus : tantum inscriptiones notantur isto loco et ordine in ms. collegii nostri Parisiensis.

ΜΕ'. — Ναυκρατίῳ τέκνῳ.
ΜϚ'. — Ἄννῃ ἡγουμένῃ.
ΜΖ'. — Ναυκρατίῳ τέκνῳ.

XLV. — *Naucratio filio.*
XLVI. — *Annæ præpositæ.*
XLVII. — *Naucratio filio.*

ΜΗ'. — Ἀθανασίῳ τέκνῳ. [σιβ'.]

XLVIII. — *Athanasio filio.*

Sententiam Mæchianorum, hæresim esse ostendit et orthodoxorum certamina describiti (*Baron. ann.* 809, *n.* 30.)

Ἐνέτυχόν σου τοῖς γράμμασιν, ἀδελφὲ ἠγαπημένε, μακροθύμως· καὶ ἐξέστην ἐπὶ τῇ ἀθρόᾳ σου μεταβολῇ λίαν. Ἀφήσω τὸ πρότερον· ὅτι συνοψισθείς μοι ὠμοφώνησας αἵρεσιν εἶναι τὴν Μοιχειανικὴν ψευδοδοξίαν· ἄγνοιαν προβαλλόμενος καὶ τὴν ἀπ' ἄλλων συντυχίαν· ἀλλ' ὅτι γε καὶ μετὰ ταῦτα ἀναγνοὺς τὴν Πεντάλογον, ἀπέφηνας αὐτὴν πεντάφωτον εἶναι. Νῦν δὲ, ὡς ἔοικεν, ἀντιθέτως αὐτὴν ὑπολαμβάνεις· ὅλην σου τὴν ὁμιλίαν ὁμοίαν σοι τῆς πρὶν ἀγνοίας, μᾶλλον δὲ καὶ πλέον ἀπεχθανομένην τοῖς ὑπὸ τῆς ταπεινώσεώς μου ῥηθεῖσι πνεύσας. Καὶ εἰ μὲν ἐμοῦ λόγια, ἐπειδὴ σκοτεινὸς, οὐδὲν θαυμαστόν. Ἐπειδὴ δὲ διὰ φωνῆς Κυρίου, ἀποστόλων τε καὶ προφητῶν, πρὸς τούτοις δὲ καὶ θεοφόροις Πατράσιν ἐναποδέδεικται, ὅτι αἵρεσις χαλεπωτάτη· βλεπέτω σου ἡ σύνεσις, καὶ εἴ τινοσοῦν ἄλλου ὁμογνωμονοῦντός σοι, ποῦ προσκρούειν μέλλετε. Αἱ γὰρ παρ' ὑμῶν προτάσεις περὶ τοῦ μὴ εἶναι αἵρεσιν, σύγγνωτε, οὐκ ἐκ φωνῆς Κυρίου, οὐδὲ ἐκ στόματος ἁγίου· προφητικῶς δὲ εἰπεῖν, ἐκ γῆς φωνούντων καὶ ἐκ νόμων ἀλλοκότων, πληθύος τε τῆς φόβῳ ἀνθρωπίνῳ πάντα

Magna cum patientia legi litteras tuas, frater charissime : et valde obstupui ad repentinam mutationem tuam. Mitto priora illa, quod cum coram mecum esses, hæresim esse confessus es Mœchianicam falsam opinionem ; inscitiam prædicans et aliorum qui convenerant : postea etiam cum Pentalogum legisses, quintuplicem eum lucem esse pronuntiasti. Nunc vero, ut apparet, impugnandum tibi illum sumis : totam orationem tuam, pristinæ illius ignorantiæ tuæ similem, ac multo etiam magis infestam humilitatis meæ dictis, effutiens. Et quidem si verba mea essent; quia obscurus sum, nihil mirum esset. Cum vero ex Domini voce, apostolorumque et prophetarum, a Patribus etiam Deo plenis demonstratum sit, hæresim esse gravissimam ; videat prudentia tua, et quisquis alius est qui tecum sentiat, quo redigendi sitis. Argumenta enim illa, quibus hæresim non esse contenditis, ignoscite, non ex Domini verbis, neque ex ore sancto deprompta sunt ; sed, ut cum propheta loquar [48], ex terra clamantium, et ex

[48] Isa. xxix, 4

legibus alienis, multitudineque omnia humano metu loqui permissa. Ais enim amicos omnes ac pios, doctosque juxta et indoctos, percelli, cum hæresim audiunt esse: hæc contra opponentes: Cum adversetur nemo, doceatve mœchari, et sacrilegos absolvere; quomodo hæreticos illos appellabimus? Transgressores enim mandatorum Domini et conculcatores canonum divinorum, et sacrilegos æquum est appellare eos scilicet, non autem hæreticos. Qui ergo possimus non obstupescere, primum diligentiam vestram, quæ eadem atque illi identidem producit in medium, et vera inde responsa refert, quæ pueris ipsis persuadere possint? Deinde rursus eadem, velut oblita quæ prius audivit, profert cum acriore controversia et reprehensione nostra, tanquam immerito hæresim esse affirmemus. Hoc, inquam, est, in quo demirari vos cogor.

Quod vero ad ipsos adversarios attinet, hæc dico: Quonam pacto, quod synodice promulgarunt, quod confirmarunt sub eorum anathemate qui dogmati, hoc est dispensationi ipsorum se opponunt, quod etiamnum quotidie factis ipsis docent, id prædicare et docere se negant? Quam igitur ob causam ego humilis inclusus hic teneor? Cur inclusus Pater meus ærumnis affectus est, ab aliis segregatus primum, deinde in eum intrusus locum ubi nunc est? Cur archiepiscopus ipsorum judicio depositus, et in eas angustias redactus, ut cibum certa mensura caperet, ministris imperio astrictis, tum in palatio inclusus, ac nuper etiam in exsilium ejectus? Cur reverentia tua cum fratribus custodiæ tradita Thessalonicæ: et Theosostus præpositus ex eadem civitate pulsus cum discipulis: et alter ibidem præpositus immodice diverberatus? Cur Naucratius et Arsenius fratres arcta custodia huc usque detinentur, parique modo Basilius et Gregorius? Cur Stephanus ille virtutis amans præpositus cum discipulis quinquaginta suo exactus monasterio: cum una cum centum et decem, et cum eo qui episcopus ante fuerat, mœchosynodum tanquam Evangelii infractricem anathemate damnasset, sicut missæ ab eo litteræ testantur? Cur Antonius religiosissimus præpositus in custodiam apud Ammorium datus, cum eodem quo superior modo mœchosynodum una cum fratribus suis anathematizasset? Cur Æmilianus frater a Nicomediensi in Thyniam vinctus ductus est, verberibusque et ludibriis affectus, direpto ab iis qui irruperant monasterio, perinde ac si hostium spolia fuissent? Cur in Chersone persecutionem passus Leo piissimus Episcopus, Valelades cognomento, et Antonius reverendus præpositus cum aliis duobus custodia septus? Cur in Lipara insula ultra Siciliam posita fratres nostri in custodia detenti? Cur Letoius in Chersone retentus, indeque sub custodia ad imperatorem missus, tum Byzantii in carcerem conjectus, et alii pariter in monasteriis detenti? Dicam rursus de nobis tribus. Cur ad Agathi [49] nobis illa per Spatharios ab impe-

A λέγειν ἐπιτρεπομένης. Φαίης γὰρ ὅτι, πάντες φίλοι καὶ εὐσεβεῖς, γνωστικοί τε καὶ ἰδιῶται, ἐκμείνοντει ἀκούοντες ὅτι αἵρεσις· παράστασιν ταῦτα προβαλλόμενοι, ὅτι μηδενὸς ἀνθισταμένου καὶ διδάσκοντος τοῦ μοιχεύειν καὶ λύειν τοὺς ἀνιέρους. Πῶς καλέσομεν αὐτοὺς αἱρετικούς; Παραβάτας γὰρ τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ καταπατητὰς τῶν θείων κανόνων, καὶ ἀνιέρους, δίκαιον. Πῶς οὖν οὐκ ἔστιν ἐκπλαγῆναι πρῶτον εἰς τὴν ἡμῶν ἐμμέλειαν, τὰ αὐτὰ πολλάκις δῆθεν ἐκείνων προσάγουσαν, καὶ ἀντακούουσαν τἀληθῆ, ἃ καὶ παῖδας πείθειν δύναιτ' ἄν. Εἶτα αὖθις τὰ αὐτὰ, ὥσπερ ἐπιλαθομένην τὰ πρότερον ἀκουσθέντα, ἐπάγουσαν μετὰ σφοδροτέρας τῆς ἀπορίας καὶ καθάψεως ἡμῶν ὡς ἀλόγως λεγόντων αἵρεσιν· οὕτω [f. τοῦτο] μέν τοι τὸ περὶ ὑμᾶς ἐκπλη-

B κτικόν.

Περὶ δὲ τῶν ἐναντίων, ἐκεῖνα εἰμὶ λέγων· Πῶς, ὃ ἐκήρυξαν συνοδικῶς, καὶ ἐβεβαίωσαν ὑπ' ἀναθέματι τῶν ἀντιπιπτόντων τῷ δόγματι, ἤτοι τῇ οἰκονομίᾳ αὐτῶν· καὶ ἔτι καθεκάστην ἐμπράκτως διδασκόντων· μὴ κηρύσσειν, μηδὲ διδάσκειν λέγουσιν, ὑπὲρ τίνος ἐγὼ ὁ ταπεινὸς ἐνταῦθα ἀπόκλειστος; Ὑπὲρ τίνος ὁ Πατήρ μου ὁ ἔγκλειστος τεταλαιπώρηται, μεμονωμένος τὸ πρίν· ἔπειτα παρεῤῥιμμένος ἐν ᾧ περιώρισται τόπῳ; ὑπὲρ τίνος ὁ ἀρχιεπίσκοπος ὡς κατ' αὐτοὺς καθηρημένος καὶ ἐν πολλῇ στενοχωρίᾳ παραγγελίᾳ τε καὶ ἀσφαλείᾳ· ὡς καὶ τρυφὴν μέτρῳ λαμβάνειν αὐτόν. Παρακελευσθέντων τῶν τροφοδοτῶν· εἶτα ἐν τῷ παλατίῳ μετεγκλεισθείς· ἄρτι τε

C ἐν ξενίᾳ παραῤῥιφείς; ὑπὲρ τίνος ἡ τιμιότης συν σὺν τοῖς ἀδελφοῖς ἐν Θεσσαλονίκῃ φρουρουμένη· Θεόσωστός τε ὁ ἡγούμενος διωκόμενος σὺν τοῖς φοιτηταῖς ἐκ τῆς αὐτῆς πόλεως· ἕτερός τε ἡγούμενος ἀμέτρως μαστιγωθεὶς τῶν ἐκεῖσε; ὑπὲρ τίνος Ναυκράτιός τε καὶ Ἀρσένιος οἱ ἀδελφοὶ, ἕως δεῦρο ἀσφαλῶς καταφρουρούμενοι, Βασίλειός τε καὶ Γρηγόριος ὡσαύτως; ὑπὲρ τίνος Στέφανος ὁ ἐνάρετος ἡγούμενος, σὺν πεντήκοντα μαθηταῖς μεταναστὰς ἐκ τοῦ οἰκείου φροντιστηρίου σὺν ἑκατόν τε δέκα, ἅμα ἐπισκόπῳ πρότερον, ἀναθεματικῶς τὴν μοιχοσύνοδον, ὡς τὸ Εὐαγγέλιον λύσασαν· καθὰ περιέχει τὸ ἀποσταλὲν παρ' αὐτοῦ γραμματεῖον; ὑπὲρ τίνος Ἀντώνιος ὁ εὐλαβέστατος ἡγούμενος, ἔν φρουρᾷ εἰς τὸ Ἀμμόριον· ὁμοίως τοῦ προτέρου σὺν τῇ κατ' αὐτὸν ἀδελφότητι ἀναθεματικῶς τὴν μοιχοσύνοδον;

B est in proverbio. De altero vero capite : *Prudens in tempore illo tacebit, quia tempus malum est* [17] ; non mihi videtur aut prave dictum, aut præpostere. Tempus enim loquendi nobis a Scriptura divinitus inspirata definitum est [18], et tempus tacendi, ut poscit usus, nobis explorantibus, ac dispensantibus verbum veritatis. Annon enim nec dare sancta canibus, nec mittere margaritas ante procos jubemur [19] ? Sanctos viros intuere : hos profecto intelliges nunc quidem sub silentii modio sermonem ponere, cum loqui supervacuum est, imo et damnosum : nunc vero super candelabrum attollere, cum spem proventus sementis habet, nec lapidosa est. Hæc sunt quæ in proposita quæstione animus intuetur. Si vel per te ipse, vel aliorum ope com-

C pereris quæ magis probentur, fac me participem libens, patrem videlicet, fratremque tuum, consilii in primis egentem. Vale, ac plurimum pro me precare.

Θεόδωρος πάσαις ταῖς ἀδελφότησιν ἤτοι
οδίαις ταῖς πανταχοῦ διὰ Χριστὸν διε-
ρμέναις, σὺν τοῖς ἐν φυλακαῖς τε καὶ ἐξ-
αις κρατουμένοις, ἐν Κυρίῳ χαίρειν. [ρν'.]

VIII. — *Theodorus omnibus ubique propter Christum dispersis fratribus, et iis qui in carceribus et exsiliis detinentur, in Domino salutem* [20].

Dogmatica de sanctis imaginibus. (Baron. an 814, n. 45.)

ις ὑμῖν καὶ εἰρήνη, ἀποστολικῶς εἰπεῖν,
εοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χρι-
τῆς ἐλπίδος ἡμῶν· ὑπὲρ οὗ καὶ δι' ὃν ὁ διω-
ἡ θλῖψις καὶ ἡ στενοχωρία, ἡ ἐρημία καὶ φυγ-
αὶ εἱρκταὶ καὶ ποιναὶ καὶ ὅσα ἄλλα καθεκάστην
λαιπωρίαν ὑπαντήματα καὶ συμβάματα. Τούτου
ἀδελφοί μου ἀγαπητοὶ, τῆς ἀπολείψεως τοῦ
οῦ ἡμῶν προσώπου παραμυθίαν τινὰ ἐπι-
μενοι, στέλλομεν ὑμῖν τὴν ἐπιστολὴν ταύτην,
ζοντες, ὡς ἀδιαλείπτως μνείαν ἡμῶν ποιού-
ἐν ταῖς ταπειναῖς ἡμῶν προσευχαῖς, ἕνα ἕκα-
ἀναπολοῦντες καὶ ἀναλογιζόμενοι, δάκρυσι
ενεγμοῖς αἴροντες χεῖρας εἰς Θεόν· ἵνα καθὼς
ράμεθα τοὺς ὑπὲρ ἀληθείας ἀγῶνας, καὶ ἐξ-

D Gratia *vobis et pax*, ut Apostoli verbis utar, *a Deo Patre nostro, et Domino Jesu Christo* [21], qui est spes nostra, pro quo et propter quem persecutio tribulatio, angustia, solitudo, exsilium, carceres et pœnæ, et quotquot alia in dies ad cumulum calamitatis incidunt et occurrunt. Hujus rei gratia, fratres charissimi, absentiæ humilis faciei nostræ solatium aliquod excogitantes, hanc ad vos epistolam mittimus, notum facientes quod sine intermissione memoriam vestri facimus in humilibus orationibus nostris [22], unumquemque animo recolentes ac commemorantes, cum lacrymis ac gemitibus levantes manus ad Deum : ut sicut certamen pro veritate suscepimus, et in uno spiritu et anima una, tan

mos v, 13. [18] Eccle. III, 7. [19] Matth. VII, 6. [20] Catechetica. [21] Galat. I, 3. [22] Rom. I, 9

quam ex nido a sacris nostris asceteriis processimus; ita usque ad finem, Domini virtute, perseveremus, eadem fidem, *eamdem charitatem habentes, unanimes, idipsum sentientes* [23] et veritatis dogma retinentes, quod annuntiatum est, et inscriptum oculis et auribus in omni creatura quæ sub cœlo est: adorare quidem Patrem et Filium et Spiritum sanctum, venerandam et beatam Trinitatem, sicut theologiæ ratio docet: confiteri autem unum e Trinitate, Filium ac Verbum Dei, et Dominum nostrum Jesum Christum, seipsum exinanisse [24], servique formam accepisse, et in similitudinem hominum factum, in forma nostra effingi, efformariquecorporis figura, quatenus idem perfectus Deus simulque et homo est: sic inter circumscriptionem secundum nos, quorum formam assumpsit, consistens, quemadmodum ab ea per divinæ naturæ incomprehensibilitatem remotus est. *Non enim* utique est Scriptura, *angelos apprehendit* (quanquam et illis effingi convenit, ut viderunt quibus videre a Spiritu concessum est), *sed semen Abrahæ apprehendit* [25]. Unde oportuit eum per omnia fratribus assimilari. Dicant ergo Christomachi, quomodo potest semen Abrahæ non effingi? aut rursus quomodo per omnia similis nobis erit, quorum frater vocatur, si circumscriptionis proprietatem, prout in nobis est, qui ejus fratres sumus, non sumpsisse demonstretur? Non igitur frater, nec similis nobis est; ac proinde nec homo. Ita concluditur ex eo quod negant Christum per imaginem exprimi more nostro. Ita illi salutarem œconomiam destruunt: perinde ac Manichæi, Valentiniani, et Marcionistæ. Quorum communionem fugiamus, fratres, tanquam serpentis venenum non corpus infuscans, ut quodam loco ait Theologus, sed animæ intima.

Nos apostolicæ et universali Ecclesiæ consentientes (hæc enim Byzantina segmentum est hæreticum, cui solemne est et ab aliis frequenter abscindi) Dominum nostrum Jesum Christum corporali figura depingimus: serie sursum ab ipso ejus adventu ex apostolico facto deducta, imaginem ex imagine derivantes, quemadmodum et vivificæ crucis: non autem ut hanc quidem exprimamus quæ Christi armatura est adversus diabolum, ipsum autem non exprimamus qui armiger est et interfector Satanæ. Qui enim depingi queat armatura victrix ac vera, quæ armatum quoque ipsum oculis non subjiciat? Adoramus deinde sanctam ejus imaginem, tanquam expressum in ea Christum adorantes. Expressus enim et efformatus ex utero prodiit Deiparæ matris suæ: sin minus, abortivum quiddam et non formatus homo fuit, o theomachi! Quod si conformatus infans prodit, ut verum est, de quo dixit propheta: *Omne masculinum adaperiens vulvam sanctum Deo vocabitur* [26]; necesse prorsus est ut exprimi natura sua possit et effingi. *Surdi, audite; cæci, aspicite* [27]. Una in re duntaxat novitatem in Christo aguosci-

A εληλύθαμεν ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ, ὡς ἐκ καλιᾶς ἀπὸ τῶν ἱερῶν ἡμῶν ἀσκητηρίων· οὕτω διαμείνωμεν μέχρι τέλους, δυνάμει Κυρίου, τὴν αὐτὴν πίστιν ἔχοντες, τὴν αὐτὴν ἀγάπην, σύμψυχοι, τὸ ἓν φρονοῦντες, καὶ κρατοῦντες δόγμα τῆς ἀληθείας, τὸ κηρυχθὲν, καὶ ἐγγραφὲν καὶ ὄψει καὶ ἀκοῇ, ἐν πάσῃ τῇ κτίσει ὑπὸ τὸν οὐρανόν· προσκυνεῖν μὲν οὖν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα τὸ ἅγιον, τὴν πολυύμνητον καὶ μακαρίαν Τριάδα κατὰ τὸν τῆς θεολογίας λόγον· ὁμολογεῖν δὲ τὸν ἕνα τῆς Τριάδος, τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, Κύριον δὲ ἡμῶν Ἰησοῦν Χριστὸν, ἑαυτὸν κεκενωκέναι, δούλου τε μορφὴν ἀναλαβόντα, ἐν ὁμοιώματί τε ἀνθρώπων γεγονότα, ἐν εἴδει τῷ καθ' ἡμᾶς εἰκονίζεσθαι, χαρακτηρίζεσθαι χαρακτῆρι σώματος, καθότι ὁ αὐτὸς τέλειος
B Θεὸς, ὁμοῦ τε καὶ ἄνθρωπος ἐχρημάτισε· τοσοῦτον περιγραφῆς εἴσω γενόμενος καθ' ἡμᾶς, ὧν καὶ τὴν φύσιν εἴληφεν· ὅσον ταύτης τῷ ἀπεριγράπτῳ τῆς θείας φύσεως ἀνῴκισται. Οὐ γὰρ, δήπου κατὰ τὰ λόγια, ἀγγέλων ἐπιλαμβάνεται· εἴπερ κἀκείνοις τὸ εἰκονίζεσθαι· ὡς ὦπται τοῖς βλέπουσιν ὑπὸ Πνεύματος· ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. Εἰπάτωσαν οὖν οἱ Χριστομάχοι, πῶς οἷόν τε τὸ Ἀβραμιαῖον σπέρμα μὴ εἰκονίζεσθαι; πῶς δ' αὐτῷ ἔξει τὸ κατὰ πάντα ὅμοιον ἡμῖν, ὧν ἀδελφὸς κέκληται· εἴπερ οὐ τὸ περιγραφῆς ἰδίωμα καθ' ἡμᾶς τοὺς ἀδελφοὺς αὐτοῦ εἰλῆφώς ὀείκνυται; Οὐκοῦν ἀδελφὸς οὐδ' οὐ μὴν ὅμοιος ἡμῖν· διὰ τοῦτο οὐδὲ ἄνθρωπος. Οὕτω συνάγεται ἐκ τοῦ μὴ λέγειν αὐτοὺς Χριστὸν καθ' ἡμᾶς εἰκονίζεσθαι· καὶ οὕτως ἀποσκευάζονται
C τὴν σωτήριον οἰκονομίαν· ἐπίσης τῶν Μανιχαίων, Οὐαλεντίνων τε καὶ Μαρκιωνιστῶν· ὧν φύγοιμεν τὴν κοινωνίαν, ἀδελφοὶ, ὡς ἰὸν ὄφεως, μελαίνουσαν οὐ σῶμα, ὥς πού φησιν ὁ Θεολόγος· ἀλλὰ τὰ βάθη τῆς ψυχῆς.

Τῇ ἀποστολικῇ δὲ καὶ ὑπ' οὐρανὸν Ἐκκλησίᾳ τὰ ἴσα φρονοῦντες· αὕτη γὰρ ἡ Βυζαντιαία τμῆμα αἱρετικὸν, ὡς εἴθισται αὐτῇ πολλαχῶς τῶν ἄλλων ἀποσχίζεσθαι· εἰκονίζομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν σωματικῷ χαρακτῆρι, εἱρμῷ τῷ ἀνέκαθεν ἀπ' αὐτῆς τῆς ἐπιφανείας αὐτοῦ ἐξ ἀποστολικῆς πράξεως παρηγμένῳ, ἐξ εἰκόνος εἰκόνα μεταγράφοντες, καθάπερ καὶ τοῦ ζωοποιοῦ σταυροῦ· καὶ μὴ τὸν μὲν τυποῦντες, ὃς ἐστιν ὅπλον Χριστῷ κατὰ τοῦ διαβόλου· τὸν δὲ οὐκ εἰκονίζοντες, ὃς ἐστι
D ὁπλίτης καὶ καθαιρέτης τοῦ Σατανᾶ. Ποῦ γὰρ ἂν ἐγγραφείη ὅπλον νικητικὸν καὶ ἀληθὲς, μὴ τὸν ὁπλίτην ἔχον ὑπ' ὄψιν δεικνύμενον; Εἶτα καὶ προσκυνοῦμεν αὐτοῦ τὴν ἁγίαν εἰκόνα, ὡς ἐν αὐτῇ προσκυνοῦντες τὸν ἐξεικονισμένον Χριστόν. Ἐξεικονισμένος γὰρ προῆλθεν ἐκ κοιλίας μητρὸς αὐτοῦ τῆς Θεοτόκου· εἰ δὲ μὴ, ἀμβλωθρίδιόν τι καὶ οὐ μεμορφωμένος ἄνθρωπος, ὦ Θεομάχοι! Εἰ δὲ ἐξεικονισμένον τὸ βρέφος πρόεισιν, ὥσπερ ἀληθές· περὶ οὗ φησιν ὁ προφήτης· Πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Θεῷ κληθήσεται· πᾶσα ἀνάγκη καὶ ἐξεικονίζεσθαι πέφυκεν. Οἱ κωφοὶ, ἀκούσατε, καὶ οἱ τυ-

[23] Philipp. II, 2. [24] Philip. 7. [25] Hebr. II, 16. [26] Exod. XIII, 2; Luc. II, 13. [27] Isa. XLII, 18.

φλοὶ, ἐμβλέψατε · ἐν ἑνὶ μόνον ἡ καθ' ἡμᾶς καινοτομία ἐπὶ Χριστοῦ · ὅτι ἄνευ σπορᾶς συνείληπται ἐν μήτρᾳ Παρθένου, καὶ δίχα φθορᾶς γεγέννηται · καθότι οὐδὲ ἁμάρτιαν ἐποίησε γραφικῶς · οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. Τὰ δ' ἄλλα πάντα καθ' ἡμᾶς · ἔφαγεν · ἔπιε · διεπνεύσθη · ηὔζησεν · ἐβάδισεν · ἴδρωσεν · ἐκοπίασεν . ἐσταυρώθη · ἀπέθανε · κἂν, ὡς Θεὸς, τριήμερος ἐγήγεραι, ἔχων καὶ μετὰ τὴν ἀνάστασιν τὴν ἐξεικονισμένην ἡμῶν μορφὴν θεωθεῖσαν καὶ ἀφθαρτισθεῖσαν ἐν αὐτῷ · καθ' ἣν καὶ ἐθεάθη τοῖς ἀποστόλοις, καὶ συνέφαγε καὶ συνέπιεν ἐγηγερμένος, καὶ ἐψηλαφήθη ὑπὸ Θωμᾶ · λέγων τοῖς πᾶσιν ὑποτοπήσασιν αὐτὸν πνεῦμα εἶναι · Ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Οὕτω καὶ ἀνελήφθη ἐν δόξῃ · ὡσαύτως καὶ ἥξει ἐν μορφῇ τῇ αὐτῇ τοῦ καθ' ἡμᾶς εἴδους · ὃν ὄψεται πᾶσα σάρξ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ ἐν πυρὶ φλογὸς, διδόντα ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακούσασι τῷ Εὐαγγελίῳ αὐτοῦ, καθὼς γέγραπται · μεθ' ὧν οἱ σταυρώσαντες αὐτὸν Ἰουδαῖοι κόψονται, καὶ οἱ μὴ ἀνεχόμενοι αὐτὸν εἰκονίζειν Εἰκονομάχοι. Ταῦτά ἐστιν, ἀδελφοὶ, τὰ εὐαγγελικὰ κηρύγματα · ταῦτα τὰ ἀποστολικὰ διδάγματα. Οἱ δὲ τάναντία φρονοῦντες, εἰς ἕτερον Εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο, πειρῶνται μεταστρέψαι τὸν λαὸν τοῦ Θεοῦ προσέροντες νόθα συγγράμματα · ἐκ κοιλίας φωνοῦντες, καὶ οὐκ ἀπὸ στόματος Κυρίου. Εἴωθε γὰρ ἀεὶ τῷ σίτῳ τὰ ζιζάνια παρασπείρεσθαι, καὶ τῇ ἀληθείᾳ τὸ ψεῦδος παρατίθεσθαι. Ἐπεὶ πῶς καὶ φανείη ἀλήθεια μὴ ἀντιλογίαν ἔχουσα; Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, φησὶν ὁ Ἀπόστολος, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω · ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω · Εἴ τις εὐαγγελίζεται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

A mus, quod sine semine in Virginis utero conceptus sit, et sine corruptione prognatus : quippe *qui peccatum non fecit, nec inventus est dolus in ore ejus* [28]. Cætera autem omnia more nostro, edit, bibit, spiritum duxit, crevit, ambulavit, sudavit, laboravit, crucifixus est, mortuus est: etsi, ut Deus, tertio die resurrexit, habens etiam post resurrectionem expressam formam nostram jam deificatam et immortalem in ipso factam : secundum quam et visus est ab apostolis, et cum illis edit, bibit, redivivus eta Thoma contrectatus est : omnibus qui eum esse spiritum suspicabantur, dicens :*Palpate me et videte, quia spiritus carnem et ossa non habet, sicut videtis me habere* [29]. Sic et assumptus est in gloria; sic et veniet in forma eadem speciei nostræ; quem videbit omnis B caro *de* [30] *cœlo, cum angelis virtutis ejus in flamma ignis vindictam dantem iis qui non noverunt Deum, et qui Evangelio ejus non obedierunt* [30], sicut scriptum est : cum quibus plangent et qui crucifixerunt eum Judæi, et qui ejus effigiem fieri non ferunt Iconomachi. Hæc est, fratres, evangelica prædicatio : hæc sunt apostolica documenta. Qui vero contra sentiunt, ad aliud Evangelium [31], quod quidem non aliud est, Dei populum traducere conantur, adulterina scripta proferentes, ex ventre loquentes, et non ex ore Domini. Solent semper cum tritico zizania seminari, et veritati mendacium aspergi. Quomodo enim ueritas elucescat, si contradictionem nullam habeat? *Sed licet nos*, inquit Apostolus, *aut angelus de cœlo evangelizet vobis, præter quam quod evangelizavimus vobis, anathema sit: sicut prædiximus, et nunc* C *iterum dico: Si quis vobis evangelizet præter id quod accepistis, anathema sit* [32].

Περὶ δὲ τῆς Θεοτόκου, ἢ οὐτινοσοῦν τῶν ἁγίων, ὅτι εἰκονίζονται, περισσόν μοί ἐστι τὸ γράφειν ὑμῖν. Ἠλίθιαν γὰρ ὄντιναοῦν ἄνθρωπον φαίην μὴ χαρακτηρίζεσθαι. Ἀλλ' οἱ Χριστὸν ἀπαναινόμενοι περιγράφεσθαι, ὃς ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, συμπεριελεῖν ἔδοξαν καὶ τὰ μέλη Χριστοῦ μὴ εἰκονίζεσθαι · εἴπερ σῶμα Χριστοῦ ἡμεῖς πάντες, καὶ μέλη ἐκ μέρους. Ἔλεγχος γὰρ αὐτοῖς, μητέρα μὲν Θεοῦ εἰκονίζεσθαι · οὐ μὴν τὸν ἐξ αὐτῆς τεχθέντα, καὶ αὐτῇ ὑπομάζιον ὄφθέντα, καὶ ὅσα τῆς σωματικῆς αὐτοῦ παρουσίας ὑπείκοντα · ἢ πάλιν τοὺς αὐτόπτας καὶ ὑπηρέτας στηλογραφεῖσθαι · τὸν δὲ ὑπηρετηθέντα καὶ συναναστραφέντα μὴ χαρακτηρίζεσθαι. Καὶ Ἰουδαίων χείρους δείκνυται . ὅτι οὐδὲ Μωσέως, οὐδ' εἴ τινος ἄλλου τῶν προφητῶν εἰκόνα προσίενται · προσιεμένων ἐκείνων τῶν πρὸ τῆς χάριτος, ὡς νομικῶν καὶ οὐ Χριστιανῶν. Οἱ δὲ τοσοῦτον ἀνηνηταίνουσιν ὡς καὶ ἑαυτοῖς καὶ Ἰουδαίοις μάχεσθαι · καὶ μήτε Ἰουδαίους εἶναι νομοφύλακας μήτε Χριστιανοὺς, οὐκ εἰδογρασοῦντας τὸν Χριστὸν, ὃν προσήκαντο ἄνθρωπον γεγονότα. Φωνὴ Πέτρου τοῦ

De Deipara autem et unoquoque sanctorum, quod eorum imagines efformantur, supervacaneum est mihi scribere vobis. Stultum quippe dixerim, quemcunque hominen non figurari. At qui Christum circumscribi negant, qui este aput corporis Ecclesiæ; inferre una voluerunt, membra itidem Christi non effingi : siquidem *corpus Christi nos sumus omnes, et membra ex parte* [33]. Ipsorum autem confutatio est, matrem quidem Dei effingi, nec tamen eum D qui ex ea natus est, qui ejus uberibus adhæsit, et quæcunque alia illius in corpore adventum secuta sunt : aut rursum oculatos testes ac famulos statuis exprimi; ipsum vero cui serviebant, et quocum versabantur, non exprimi. Et Judæis plane deteriores se ostendunt : qui nec Moysis, nec alterius cujuspiam e prophetis imaginem recipiunt : admittenbus illis eos qui ante gratiam fuerant, ceu legis cultores, et non Christianos. Isti vero eo vecordes sunt, ut secum ipsi et cum Judæis pugnent : ut neque Judæi sint legis custodes, neque Christiana : qui Christi effigiem exprimi nolint, quem

[28] I Petr. II, 22. [29] Luc. XXIV, 39. [30] Thess. I, 7. [31] Galat. I, 7. [32] Galat. VIII, 9. [33] I Cor. XII, 27.

hominem factum agnoscunt. Petri apostoli vox est, in historia martyrii sancti Pancrati : « Fili Joseph, affer imaginem Domini nostri Jesu Christi, et imprime illam in pyrgisco, ut cernant populi qualem formam assumpserit Filius Dei : ut videntes amplius credant, formæ typum intuentes et reminiscantur eorum quæ per nos eis annuntiata sunt [34]. » Vox Pauli est : *O insensati Galatæ! quis vos fascinavit non obedire veritati ; ante quorum oculos Jesus Christus præscriptus est in vobis crucifixus* [35] ? Vos Basilii magni est : « Exprimatur in tabula certaminis præses Christus [36]. » Et iterum : « Imagini habitus honor ab exemplar transit [37]. » Tot palmis inclyti Athanasii vox est : « Nos, qui fideles sumus, imagines non adoramus tanquam deos, quod Græci faciunt : absit : sed affectum tantummodo et charitatis nostræ studium erga figuram personæ per imaginem expressæ declaramus [38]. » Vox Chrysostomi est : « Ego ex cera fusam amavi picturam, pietatis ergo factam [39]. Vidi enim angelum in imagine copias barbarorum versantem in fugam, vidi protritas barbaras gentes, et Davidem vera voce concinentem : *Domine, in civitate tua imaginem ipsorum ad nihilum rediges* [40]. » Quo1 in Christum hoc tempore, et in Deiparam ac sanctos, faciunt Iconomachi : o rem auditu horrendam ! sanctas illorum imagines abolendo. Atque ut cæteras aliorum auctoritates prætermittam ; multæ enim suppetunt ; si unam adjecero, ad aliud orationem convertam.

Vox est divinorum Patrum qui sextæ sanctæ synodo affuerunt : « In quibusdam venerandarum imaginum picturis, agnus qui Præcursoris digito monstratur exprimitur, qui in gratiæ typum assumptus est : Agnum verum nobis per legem demonstrans Christum Deum nostrum Nos igitur figuras veteres atque umbras, tanquam veritatis notas ac signa Ecclesiæ tradita complectentes, gratiam et veritatem anteponimus, quam ut legis plenitudinem accepimus. Itaque ut id quod perfectum est, omnium etiam oculis subjiciatur in picturis ; statuimus ut posthac veteris agni loco, Agnus ille qui tollit peccatum mundi, humana forma etiam in imaginibus erigatur ; ut per ipsum, celsitudinem humilitatis Dei Verbi comprehendentes animo, ad memoriam conversationis etiam in carne et cruciatus ipsius, ac salutiferæ mortis, unde mundo facta redemptio est, deducamur [41]. » His ergo instructi testimoniis, charissimi, cum illa nostra, et ab ipsa veritate minime dubia demonstratione, ut supra demonstratum est, *Vigilate*, obsecro, *state in fide : viriliter agite, et confortamini* [42] : *in nullo terreamini ab adversariis* [43], neque a falsis fratribus qui seducti fuerunt, et in fraudem inducti : *quæ illis est causa perditionis, nobis autem salutis : et*

A ἀποστόλου ἐστὶν ἐν ἱστορίᾳ μαρτυρίου τοῦ ἁγίου Παγκρατίου. « Τέκνον Ἰωσήφ, ἔξένεγκε τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ · καὶ ἐντύπωσον αὐτὴν ἐν τῷ πυργίσκῳ · ἵνα εἴδωσιν οἱ λαοὶ ποίαν μορφὴν ἔλαβεν ὁ Υἱὸς τοῦ Θεοῦ · ἵνα ἰδόντες ἐπὶ πλέον πιστεύσωσιν, ὁρῶντες τὸν τύπον τῆς μορφῆς, καὶ ὑπόμνησιν λαμβάνωσι τῶν παρ' ἡμῶν εἰς αὐτοὺς κηρυχθέντων. » Φωνὴ Παύλου ἐστίν· Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκηνε τῇ ἀληθείᾳ μὴ πείθεσθαι, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος ; Φωνὴ Βασιλείου τοῦ μεγάλου ἐστίν · « Ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός. » Καὶ αὖθις · « Ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίτει. » Φωνὴ Ἀθανασίου τοῦ πολυάθλου ἐστίν · B «Οὐχ ὡς θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν οἱ πιστοί, μὴ γένοιτο, ὥσπερ οἱ Ἕλληνες· Ἀλλὰ τὴν σχέσιν μόνον, καὶ τὸν πόθον τῆς ἡμῶν ἀγάπης πρὸς τὸν χαρακτῆρα τοῦ προσώπου τῆς εἰκόνος ἐμφανίζοντες. » Φωνὴ τοῦ Χρυσοστόμου ἐστίν · « Ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφὴν, εὐσεβείας ἕνεκεν πεπληρωμένην. Εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα βαρβάρων στίφη · εἶδον πατούμενα βαρβάρων φῦλα, καὶ τὸν Δαυὶδ ἀληθεύοντα · Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. » Ὅπερ οἱ εἰς Χριστὸν τὸν Εἰκονομαχοῦντες εἴς τε τὴν Θεοτόκον καὶ τοὺς ἁγίους ἐργάζονται, ὦ τοῦ φοβεροῦ ἀκούσματος! τὰς ἁγίας αὐτῶν εἰκόνας εἰξουδενοῦντες. Καὶ ἵνα τὰς τῶν ἄλλων φωνὰς παραδράμω · πολλαὶ γάρ εἰσι. Μίαν προσθεὶς, ἐπ' ἄλλο τρέψοιμι τὸν λόγον.

Φωνὴ τῶν τῆς ἕκτης ἁγίας συνόδου θεοφόρων Πατέρων ἐστίν· « Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται · ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν, Χριστὸν τὸν Θεὸν ἡμῶν. Τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείρς σύμβολά τε καὶ προχαράγματα τῇ Ἐκκλησίᾳ παραδεδομένους κατασκιζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. Ὡς ἂν οὖν τὸ τέλειον κἀν ταῖς χραματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται · τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα · καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν. Δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ C Λόγου κατανοοῦντες · καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γινομένης τῷ κόσμῳ ἀπολυτρώσεως. Ταύτας οὖν ἔχοντες, ἀγαπητοὶ, τὰς μαρτυρίας, μετὰ τῆς οἰκοθεν καὶ παρ' αὐτῆς τῆς ἀληθείας ἀναμφιλέκτου ἀποδείξεως, καθὼς προαποδέδεικται, παρακαλῶ, Γρηγορεῖτε · στήκετε ἐν τῇ πίστει · ἀνδρίζεσθε, κραταιοῦσθε, μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, μηδ' αὖ D

[34] Hæc ipsa testimonia retulit in Refut. Poem. *Icon.* supra, p. 154, Ex *Vita S. Pancratii* Exstat apud Bollandum. [35] Galat. III 1. [36] hom. 18 *in S. Barlaam.* [37] *De Spiritu sancto* c. 18, p. 189. [38] Ex *Quæst. ad Antiochum*, quæst.39. [39] Ex serm. I *De diversis utriusque Testam. locis*, [40] Psal. LXXII, 20. [41] Can. 82. [42] I Cor. XVI, 13. [43] Philip. I, 28, 30.

ὑπὸ τῶν ὑποσκελισθέντων καὶ φρεναπατηθέντων ψευδαδέλφων· Ἥτις ἐστὶν, αὐτοῖς μὲν ἔνδειξις ἀπωλείας, ἡμῖν δὲ σωτηρίας· καὶ τοῦτο ἀπὸ Θεοῦ, καθὰ γέγραπται· Ὅτι ὑμῖν [Reg. cod. ἡμῖν] ἐχαρίσθη ἀπὸ Θεοῦ τὸ ὑπὲρ τοῦ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ τῷ ἁμαρτωλῷ, καὶ νῦν ἀκούετε. Συμφρονοῦντες, συμψυχοῦντες, συναθλοῦντες τῇ πίστει τοῦ Εὐαγγελίου· μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι· ἵνα ἀκούων τὰ περὶ ὑμῶν χαίρω ὁ ἁμαρτωλός. Βλέπετε τὸν Σατανᾶν· βλέπετε τὴν παῤῥησίαν· ὁρᾶτε μή τις ἔν τινι παραπικράνοι τὸν Θεόν. Ὁ γὰρ δράκων ὁ μέγας, πολύτεχνός ἐστι καὶ πολύπειρος. Ἔνθεν διὰ πίστεως οὐχ εὑρίσκει ὀλέσαι· ἐκεῖθεν τρέχει διὰ παραπτώματος τὸ αὐτὸ κακὸν ἀπεργάσασθαι ἐν ἡμῖν αὐτοῖς διὰ τοῦ ἀντιστρατευομένου νόμου τῆς ἁμαρτίας τῷ νόμῳ τοῦ νοὸς ἡμῶν. Βρυχᾶται, ἐπιτηρεῖ ὡς λέων ἁρπάσαι, γαργαλίζει· πῦρ ἀνάπτει· ἐμπιπρᾷν ὀρέγεται τὸν οἶκον τῆς ψυχῆς. Ἔχομεν ἐκ Θεοῦ τὰ καθαιρετικὰ αὐτοῦ ἀμυντήρια· ὕδωρ κεφαλῆς, πηγὴν δακρύων· δεήσεις· προσευχάς. Ἐπὶ πᾶσιν ὁ θεῖος φόβος σιδηρῶν καὶ καθηλῶν τὰς σάρκας ἡμῶν ἔστω. Μηδαμοῦ φθόνος αὐλιζέσθω· μηδ' αὖ ἔρις· μὴ μὴν κενοδοξία· μήτε τι τῶν ἔργων τοῦ σκότους· ἕως ὅτε ἀκριβολεῖ τὰ πάθη ἐκκρουέσθω· ἵνα μὴ εἰσοικισθέντα καὶ φαρμάξαντα τὴν ψυχὴν δυσαπάλλακτα γένηται. Ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. Οὕτως τρέχετε, ἵνα καταλάβητε· ὑπείκετε οἱ ἔσχατοι τοῖς πρώτοις. Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλ' εἰρήνης. Ἀγαπᾶτε θεϊκῶς οἱ προηγούμενοι τοὺς ἑπομένους· καὶ μὴ ἐξ αὐθεντείας, ἀλλ' ἐξ ἀρετῆς καὶ ἀγαθότητος ἀπαιτοίητε τὸ ὑποτακτικὸν, καὶ ὑπήκοον. Μὴ χωρίζεσθε ἀπ' ἀλλήλων, ἀμείβοντες πολλοὺς πρώτους [f. τόπους], καὶ οὐδαμοῦ χρησιμεύοντες. Μάρκον τὸν εὐαγγελιστὴν οὐχ εἵλετο συμπαραλαβεῖν Παῦλος, ὡς γέγραπται, διὰ τὸ μὴ συνελθεῖν, ἀλλ' οἴκοι ἀναστρέψαι τὸ πρότερον. Πόσῳ μᾶλλον ἡμεῖς ὀφειλέται ἐσμὲν στέρυειν; Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοὶ, ἐν τούτῳ μενέτω. Καθαρίζωμεν ἑαυτοὺς, ἀγαπητοὶ, ἀεὶ ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. Τὰς παραδόσεις κρατεῖτε, ἃς ἐδιδάχθητε· κατηχεῖτε ἀλλήλους· ὑπόμνησιν λαμβάνετε ἀεὶ τοῦ θανάτου. Εὐχεσθε οὖν, παρακαλῶ, ὑπὲρ πάντων. Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε· περιερχόμενοι ἐκ τόπου εἰς τόπον, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ἐν ἐρημίαις καὶ ὄρεσι πλανώμενοι· ἢ τάχα καὶ ἐν ὀπαῖς τῆς γῆς εἰσδύοντες. Αὐχεῖτε ὅτι διὰ Χριστὸν, ὅτι ὑμῶν οὐκ ἄξιος ὁ κόσμος. Ἐνέγκατε, τεκνία μου, τεκνία, ἐνέγκατε μικρὸν, καὶ ἐλεύσεται Κύριος ὁ στεφανοδότης, ὁ μισθαποδότης· οὗ συγκληρονόμοι γεγενῆσθαι ἐπηγγέλμεθα· Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν· ἐπὶ πᾶσι προσευχόμενοι

A *hoc a Deo ;* sicut scriptum est : *Quia vobis donatum est a Deo pro Christo non solum ut in eum credatis sed ut etiam pro illo patiamini : idem certamen habentes, quale vidistis in me,* peccatore, *et nunc auditis : idem sentientes, unanimes, collaborantes fidei Evangelii : cum metu et tremore salutem vestram operantes*[44] : ut ego peccator gaudeam, cum audio de vobis. Videre Satanam : videte audaciam : videte ne quis in ullo Deum irritet. Draco enim magnus, vafer et callidus in varias partes se versat. Ubi per fidem perimere non potest, illic per lapsum eamdem perniciem nobis ipsis afferre studet per legem peccati repugnantem legi mentis nostræ. Rugit, quærit sicut leo quem rapiat, titillat, ignem accendit, inflammare cupit animæ domum. Habe-
B mus a Deo unde illum disturbemus, aquam capitis, lacrymarum fontem, supplicationes, orationes. Sit in omnibus timor Dei, qui carnem nostram roboret et configat. Nusquam invidia habitet, nec contentio, nec inanis gloria, nec quidquam de operibus tenebrarum : dum adhuc emergunt et oriuntur perturbationes, arceantur : ne postquam admissæ fuerint, animamque infecerint, difficilius expellantur. *Qui in agone contendit, ab omnibus se abstinet*[45]. *Sic currite, ut comprehendatis*[46] : cedite novissimi primis. *Non enim est dissensionis Deus, sed pacis* [47]. Diligite, sicut Deus, præpositi subditos ? et non ex auctoritate, sed ex virtute et bonitate subjectionem exigatis et obedientiam. Ne separamini ab invicem, loca multa mutantes, et nusquam proficientes.
C Marcum evangelistam secum assumere noluit Paulus, sicut scriptum est [48], eo quod non isset cum iis, sed domi prius remansisset. Quanto magis nos acquiescere debemus ? *Unusquisque in quo vocatus est; fratres, in hoc permaneat* [49]. *Mundemus nos, dilecti semper ab omni inquinamento carnis et spiritus perficientes sanctificationem in timore Dei* [50]. *Tenete traditiones quas didicistis* [51] : instruite invicem, mortem semper recogitate. Orate itaque obsecro, pro omnibus. *Benedicite persequentibus vos : benedicite, et nolite maledicere* [52] : circumeuntes de loco in locum, egentes, angustiati afflicti [53], in desertis et montibus errantes, forsan et cavernas terræ intrantes. Gloriamini quia propter Christum : quia vobis dignus non est mundus.
D Sustinete, filioli, mei : filioli, sustinete modicum : et veniet Dominus coronæ dator, et mercedis retributor : cujus nos cohæredes fore nobis promissum est : *Si tamen compatimur, ut et conglorificemur*[54], in omnibus orantes, pro me etiam misero, ut confirmetur cor meum ad perferenda usque ad mortem ea quæ nobis infliguntur : ut non repellat me Christus propter indignitatem meam : ut liberer a malo per omnia usquequaque. Nunc vivo, dilectissimi, dum statis in Domino. *Quæ est enim nostra spes, aut gaudium. aut corona gloriæ* [55] *? Nonne vos*

[44] Philip, II, 12. [45] I Cor. IX. 25. [46] ibid. 24. [47] I Cor. XIV, 33. [48] Act. XV. 38. [49] I Cor. VII, 34. [50] II Cor. VII, 1. [51] Thess. II, 14. [52] Rom. XII, 14. [53] Hebr. XI, 37. [54] Rom. VIII, 17. [55] I Thess. 19.

estis tum in hoc, tum in futuro sæculo? Vos enim et solatium charitatis, et consolatio mea estis. *Ipse autem Deus pacis sanctificet vos per omnia : ut integer spiritus vester, et anima, et corpus sine querela servetur* [56]. Fidelis Deus noster, fratres, qui et faciet. *Salutate invicem in osculo sancto* [57]. Salutatio mea, humilis Theodori ad omnia membra mea ex labiis cordis mei. Salutant vos qui mecum sunt fratres. Gratia cum spiritu vestro. Amen.

A καὶ ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου· ἵνα μου στερεωθῇ ἡ καρδία ἐνεγκεῖν μέχρι θανάτου τὰ ἐπαγόμενα ἡμῖν· ἵνα μή με ἀπώσηται Χριστὸς διὰ τὴν ἀναξιότητά μου· ἵνα ῥυσθῶ ἀπὸ τοῦ πονηροῦ διὰ παντὸς ἐν παντὶ τρόπῳ. Νῦν ζῶ, ἀγαπητοί, ἐὰν ὑμεῖς στήκετε ἐν Κυρίῳ. Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἀλλ' οὐχὶ ὑμεῖς καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι; ναὶ, ὑμεῖς γὰρ καὶ παραμύθιον ἀγάπης, καὶ παράκλησίς μου. Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως τηρηθείη. Πιστὸς ὁ Θεὸς ἡμῶν· ὃς καὶ ποιήσει, ἀδελφοί. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ὁ ἀσπασμός μου τοῦ ταπεινοῦ Θεοδώρου πρὸς πάντα τὰ μέλη μου ἀπὸ χειλέων μου καρδίας. Ἀσπάζονται ὑμᾶς οἱ μετ' ἐμοῦ ἀδελφοί. Ἡ χάρις μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

IX. — *Josepho fratri et archiepiscopo.*

Θ'. — Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ. [Ρνα.]

Quorumdam prævaricationem deflet. (Baron. an. 815, n. 11)

Semper mihi optabile scribere sanctitati tuæ, ac tanto magis, quanto exsilii nostri longiora sunt intervalla : facit enim ut propius quodammodo veniam in venerabilem conspectum tuum, et levamen affert ipsa tui allocutione : quod et nunc quoque accidit graviter mœrenti ob proditam a quibusdam præpositis veritatem. Ut enim jam novit sanctitas tua, vetus illa custodia, Josephus, inquam, adulteri copulator, Photinodites, Heracleotes, Mediciotes, Mylianus, Hypolichniotes, Gulæates, et, o peccatum meum ! etiam Phlubutenus, stulta simplicitate captus, unanimi consensu, dispensationem scilicet propugnantes, abrepti ab eo qui talia patrare solet Josepho, post Satanam abierunt, semel atque iterum cum impiis communicantes. Qua de causa benevole dimissi, in errorem suum instabiles impellunt. Quinetiam, ut apparet, Nicænus quoque in ruinam positus est episcoporum. Revocant enim ab exsiliis, ut talia faciant. Et nisi nos fulciens præveniat manus Dei, perimus et nos qui residui sumus. Quid ergo est quod et iterum in nos humiles cum paucis aliis incumbere fabula videtur ? Exsurge itaque, vir Dei, tanquam pontifex Christi veri principis pastorum, tantoque impensius, quanto cæteris omnibus superemines culmine sacerdotii, uno dempto, qui in abdito detinetur : *Glorifica Deum in corpore tuo et in spiritu tuo* [58]. Non penitus in insula relinqueris : exerceri forsitan et probari te, sicut antea, oportet ut coronam inde referas illustriorem. Heu ! heu ! frater, in quæ tempora reservati sumus ? Sed gratia tamen ei qui reservavit : Et *hoc a Deo*, ait Apostolus, *qui a nobis donatum est pro Christo, non solum ut in eum credamus, sed etiam ut pro illo patiamur* [59]. Non despexit Dominus humilitatem nostram in iis quæ antecesserunt : sed neque nunc, spero, despiciet reverentiam tuam : sed sicut tunc, ita et nunc magnificabitur Christus in corpore tuo, faciens supra modum misericordiam suam ad ostensionem virtutis tuæ. Propterea, vir sancte, et mihi quoque porrige manum intercessionis, ut confirmer et eruar ab ingruente hieme

B Ἐμοὶ τὸ ἐπιστέλλειν τῇ ἁγιωσύνῃ σου πάντοτε ποθητόν· καὶ τοσοῦτον ὅσον καὶ τὸ τῆς περιορίσεως διάστημα μακρότερον· ἐγγὺς γάρ με ποιεῖ τοῦ τιμίου προσώπου σου· καὶ ῥᾳστώνην ἐμποιεῖ διὰ τῆς προσφωνήσεως· οἷα καὶ νῦν λυπηρῶς διακειμένῳ ἐπὶ τῇ τῶν τινων ἡγουμένων προδοσίᾳ τῆς ἀληθείας. Ἵνα γὰρ οἶδέ σου ἡ ὁσιότης, ὅτι ἡ πάλαι κουστωδία· λέγω δὴ, Ἰωσὴφ ὁ μοιχοζεύκτης, ὁ Φωτεινουδίτης, ὁ Ἡρακλειώτης, ὁ Μηδικιώτης, ὁ Μυλιανὸς, ὁ Ὑπολιχνιώτης, ὁ Γουλαιάτης, ἀλλὰ φεῦ τῆς ἁμαρτίας μου! ὅτι καὶ ὁ Φλουβουτηνὸς [Reg. cod. Φλουβουτινὸς] συλληφθεὶς ἐξ ἄφρονος ἁπλότητος· ὁμοθυμαδὸν, μικρὸν ἐνστάντες ὄπισθεν οἰκονομίας, ὑφορμισθέντες παρὰ τοῦ εἰωθότος κατεργάζεσθαι τὰ τοιαῦτα Ἰωσὴφ, ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ, κοινωνήσαντες ἅπαξ καὶ δὶς τοῖς ἀσεβέσιν. Ἐν ᾧ καὶ εὐμενῶς ἀπολυθέντες, ἁλίσκουσιν ἐν τῷ οἰκείῳ πτώματι τοὺς ἀστηρίκτους. Ἀλλ' ὡς ἔοικε, καὶ ὁ τῆς Νικαίας ἐπτῶμα κεῖται τῶν ἐπισκόπων. Ἀνακαλοῦνται γὰρ τοὺς ἐν ἐξορίαις πρὸς τὸ τὰ ὅμοια πρᾶξαι. Καὶ εἰ μὴ προφθάσει ἡ χεὶρ τοῦ Θεοῦ ὑπερείδουσα, ὀλλύμεθα καὶ οἱ ὑπολειφθέντες. Τί οὖν ἐστιν ὅτι καὶ πάλιν, ὡς φαίνεται, εἰς ἡμᾶς τοὺς ταπεινοὺς περιίσταται τὸ δρᾶμα σὺν ὀλίγοις; Ἀνάστα οὖν, ὦ ἄνθρωπε, τοῦ Θεοῦ· ὡς ἀρχιερεὺς τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ ἀρχιποιμένος; καὶ τοσοῦτον ὅσον τῶν ἁπάντων εἴ ὑπερέχων τῇ κορυφαλίδι τῆς ἱερωσύνης, πλὴν τοῦ ἑνὸς ἐν παραβύστῳ κειμένου. Δόξασιν δὴ τὸν Θεὸν ἐν τῷ σώματί σου καὶ ἐν τῷ πνεύματί σου· οὐ πάντως ἀφεθῆναι ἐν τῇ νήσῳ· τυχὸν πειρασθῆναί σε δεῖ κατὰ τὰ πάλαι· ἵνα καὶ στεφανίτης κανταῦθα λαμπρότερος χρηματίσοις. Αἴ, αἴ, ἀδελφὲ, εἰς οἵους καιροὺς ἐταμιεύθημεν; Ἀλλὰ χάρις ὅμως τῷ ταμιευσαμένῳ· καὶ τοῦτο ἀπὸ Θεοῦ, φησὶν ὁ Ἀπόστολος, ὅτι ἡμῖν ἐχαρίσθη ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Οὐ παρεῖδε Κύριος τὴν ταπείνωσιν ἡμῶν ἐν τοῖς προλαβοῦσιν· ἀλλ' οὐδὲ νῦν, πέποιθα, ὑπερόψεται τῆς τιμιότητός σου· ἀλλ' ὡς τηνικαῦτα οὕτως καὶ ἄρτι μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί σου· ποιῶν ὑπερεκπερισσοῦ τὸ ἔλεος αὐτοῦ εἰς ἔνδειξιν τῆς ἀρε-

[56] I Thess. v, 23. [57] II Cor. xiii, 12. [58] I Cor. vi, 20. [59] Philipp. i, 28.

τῆς σου. Διὸ ὀρέγοις κἀμοὶ χεῖρα πρεσβευτικὴν, ὅτιε, A στηριχθῆναι καὶ σωθῆναι ἀπὸ τοῦ ἐνεστῶτος χειμῶνος τικροῦ. Στῆθι καὶ ἱλέωσαι, μεταστραφῆναι τὴν καταιγίδα εἰς αὔραν τοῦ ἁγίου Πνεύματος· γένοιτο! Τοὺς ἀδελφοὺς ἀσπαζόμενος πλεῖστα· καὶ παρακαλῶ ὑπερεύχεσθαί μου τῆς ταπεινώσεως. Οἱ σὺν ἐμοὶ τοῖς ποσί σου προσπίπτουσιν.

amara. Sta, et propitium fac, ut procella in auram Spiritus sancti convertatur : utinam ! Fratribus salutem plurimam dico, eos obsecrans, ut orent pro humilitate mea. Qui mecum sunt, pedibus tuis advolvuntur.

Ι'. — Ναυκρατίῳ τέκνῳ. [ρνβ'.]

X. — *Naucratio filio.*

Dogmatica de sanctis imaginibus. Ne quorumdam lapsu pertubentur alii : potius eo ipso excitentur ad constantiam. (Baron., an. 815, n. 13.)

Πονηρὰ ἡ ἀγγελία τῶν γραμμάτων σου, ὦ τέκνον· ἥτις καθαψαμένη μου τῆς ταπεινῆς ψυχῆς τῷ ὄντι ὠδύνησε, καὶ δάκρυον προσεκαλέσατο καρδιακον· μικροῦ δεῖν, ἄϋπνόν μοι τὴν νύκτα καθ' ἣν ἐδεξάμην ἐπὶ χεῖρας τῆδε ἐπιστολὴν ἐμποιήσασα. Τοῦτο μὲν ἐπὶ πάντων τῶν συμπεπτωκότων· ἐξαιρέτως δὲ εἰς τὸν τῆς Φλουβουτῆς. Ὅτι οἱ μὲν τοῖς προλαβοῦσιν ὅμοια καὶ τανῦν ἔπραξαν· ὁ δὲ τῶν δοκούντων ἑστάναι ἀσφαλῶς ἐγνωρίζετο. Ἐθαύμαζον οὖν, ἔτι ἑστηκότων αὐτῶν, ὅτι μὴ ὁμολογήσαντες τὴν προτέραν ἐπὶ μοιχείᾳ καὶ μοιχοζευξίᾳ ἧτταν αὐτῶν, ἀντεποιοῦντο ἐπὶ τῇ προκειμένῃ ὑποθέσει· καὶ τάχα ὑπενόουν ἰδίᾳ καὶ καθ' ἑκυτοὺς τὴν μεταμέλειαν ἐσχηκέναι· καὶ ἔχαιρον ὁ ταπεινὸς ἐπὶ τῇ ὀρθοποδήσει αὐτῶν. Ἀλλ' ὡς ἔοικεν, ἐν σαθροῖς τὴν οἰκίαν αὐτῶν οἰκοδομήσαντες, τῷ λαίλαπι τῆς προσπεσούσης αἱρέσεως, πεπτώκασι πτῶσιν τὴν χαλεπωτάτην· πάλιν οἰκονομίαν λέγοντες τὴν ἀθέτησιν τῆς ἀληθείας. Οἱ αὐτοὶ καὶ πρότερον σκάνδαλον γεγόνασι τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· καὶ νῦν τὸ αὐτὸ δι' ὧν ἔπρακαν πάν- C τας προσκαλούμενοι εἰς ἀπώλειαν. Καίγε ἕτοιμοι οἱ πλεῖστοι πρὸς τὴν τοῦ κακοῦ μετουσίαν ἐν ταῖς ἀνάγκαις ζητοῦντες ἐξευρεῖν τινα πρόφασιν· δι' ἧς ἄθλιπτος καὶ ἀταλαίπωρος αὐτοῖς ὁ ὑπὲρ εὐσεβείας ἀγὼν ὑπαχθείη· ἐκοινώνησαν ἐπὶ τῇ ἀρνήσει Χριστοῦ, τῆς Θεοτόκου, τῶν πάντων ἁγίων. Τοῦτο γὰρ ἡ τῆς εἰκόνος οὐτινοσοῦν ἄρνησις. Φεῦ τῆς συμφορᾶς! φεῦ τῆς ἀπάτης! οἴμοι! πῶς ἐναρξάμενοι καλῶς, ἐστράφησαν εἰς τὰ ὀπίσω; οἴμοι! πόσοις ἔσονται καταστροφή· ὁμοταγάσι καὶ ὑπερέχουσι· λαϊκοῖς τε καὶ κληρικοῖς καὶ μοναστᾶις; Ἀλλ' ἡ ἀρχαία πληγὴ, τὸ ἐγκόλπιον κακόν. Ἰωσὴφ ὁ πάλαι εἰκότως κληθεὶς Μοιχοζεύκτης, νυνὶ δὲ Χριστεμπαίκτης· αὐτὸς ὁδηγὸς τοῖς τῆς ἀρχαίας κουστωδίας. Τί πρὸς ταῦτα; ἐκλυθησόμεθα; καταπεσούμεθα; ἀποκαμούμεθα πρὸς τὴν Χριστοῦ ὁμολογίαν ὁμοῦ καὶ ἔνστασιν; μηδαμῶς, ὦ ἀδελφοὶ, μηδαμῶς. Εἰ γὰρ, ἀσεβῶν καταπιπτόντων, οἱ δίκαιοι ἔμφοβοι ἔσονται· ἀλλ' οὖν τῷ τοῦ πέλας πτώματι ἀσφάλεια τῷ ἑστηκότι μεγίστη. Στῶμεν οὖν ἐν Κυρίῳ βεβαιότερον, μᾶλλον παρακαλῶ· μὴ πτυρόμενοί ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων. Μὴ γὰρ ἕνεκεν τῶν ὑποσκελισθέντων ἡ ὁμολογία ἡμῶν; ἢ τῇ τούτων στάσει ἐπερειδόμενοι ἐστερεούμεθα, ἵνα καὶ τῇ σκελίσει αὐτῶν κατασεισθῶμεν; μὴ γένοιτο! οὔτε τούτων, οὔτε ἄλλων· Χριστὸς ἡμῶν ὁ θεμέλιος, ἐν ᾧ στήκομεν· ἐν ᾧ καυχώμεθα· σὺν τῷ Παύλῳ λέγοντες· Τίς ἡμᾶς χωρίσει

Pessimus nuntius litterarum tuarum, o fili : qui simul humilem animam meam attigit, revera contristavit, et cordis lacrymas elicuit, tantum non insomnem mihi reddens noctem illam qua litteras B accepi. Atque hoc quidem omnium causa una lapsi sunt, maxime autem ob Phlubutæ præpositum. Nam quod ad alios attinet, consentanea præteritis egerunt : hic vero ex iis erat, qui secure stare videbantur. Mirabar itaque, priusquam ruerent illi, quod pristinam suam circa adulterium et adulteri nuptias ignaviam minime agnoscentes, in re præsenti aliquid auderent : cogitabamque illos privatim forsitan et apud se pœnitentia tactos fuisse : ideo gaudebam miser, quasi recte ambularent. Sed in marcidis, ut apparet, domum suam ædificantes ; ingruentes hæreseos turbine, ruina pessima corruerunt : dispensationem iterum appellantes, ipsam veritatis condemnationem. Illi ipsi qui Ecclesiæ Dei scandalo antea fuerant, eodem nunc relabuntur, et facti sui exemplo ad interitum provocant universos. Et quidem paratis plurimi ad criminis societatem, prætextum quempiam in necessitatibus reperire gestientes, quo ærumnarum et calamitatum expers ipsis pietatis certamen reddatur : in negatione Christi, Deiparæ, sanctorum omnium, communionem inierunt. Hoc siquidem est cujuslibet imaginis negatio. O perniciem ! o fallaciam ! hei mihi ! quomodo, cum recte cœpissent, retro conversi sunt? hei mihi ! quam multis fraudi erunt et subversioni, æqualibus, et majoribus, laicis, clericis et monachis? Etenim antiquum vulnus, intestinum malum, Josephus olim Mœchozeuctes merito dictus, nunc Christempœctes, ipse dux fuit veteris custodiæ præpositus. Quid ad hæc? languidioresne erimus? frangemur? concidemus animis ad confessionem, defensionemque Christi? Minime gentium, fratres, minime. Etenim si, corruentibus impiis, justi metu percelluntur ; at vicini lapsus maxima est stantis securitas. Stemus igitur in Domino constantiores, amplius obtestor, nec in ullo conterriti ab adversariis. Nunquid enim propter eos qui subversi sunt confessio nostra? aut illorum stabilitate nixi consistebamus, ut eorum quoque lapsu concutiamur? Absit ! neque horum, neque aliorum. Fundamentum nostrum Christus est, in quo stamus, in quo gloriamur, cum Paulo dicentes : *Quis nos separabit a charitate Dei? Tribulatio? an angustia? an fa-*

mea" an persecutio? an nuditas? an periculum? an gladius? Sed enim in his omnibus superamus propter eum qui dilexit nos [60,61]. Itaque qui accinctus pro Christo non certaverit, Christianus esse non potest.

An vero innumera martyrum agones, certamina, tormenta? an eamdem nobiscum carnem non gesserunt? An tantis supplicils subjecti labores nullum senserunt? Annon *eos* vivere tædebat, ut ait Apostolus [62]? sed *perenium* pœnarum metu, cœlestiumque præmiorum desiderio, carnis mortem, ut prudentes, quam æternam subire maluerunt. Nihil expavescebant, minime animo consternabantur, et futura tanquam præsentia mediantes, læti et alacres ad tormenta pergebant, muneris loco habebant plurima rati: *Nobis enim pro Christo donatum est non solum ut in eum credamus, sed ut etiam pro illo patiamur* [63]. Et alibi rursum: *In multo enim experimento tribulationis abundantia gaudii ipsorum fuit* [64]. Ita gaudebant, ita lætabantur, cum pro Christo paterentur sancti omnes. Delibemus et nos, dilectissimi, charitatem Christi, incedamus per sanctorum vestigia: sæculi hujus affectus omnes abjiciamus: *Non habemus hic manentem civitatem* [65]. Superna Jerusalem patria et civitas nostra est, o viri potentes in Spiritu, o filii Dei, non enim mei qui peccator sum! Ne procumbamus, quamvis omnes subvertantur, quod absit. Ipsi autem, ut olim, a Deo corroborati: vel soli etiamnum depugnemus. Stat a nobis Deus, sanctique omnes qui unquam fuerunt. Nobiscum Oriens, nobiscum Occidens: exigua pars est quæ ab Ecclesia universa sese abrupit, et sejunxit, idque metu, et propter hæc temporalia, propter carnem: quam postmodum, nisi veritatem defendimus, sempiternis ignibus una cum anima ipsa trademus. Exerceamur, esto, et flagellemur, neque id semel, sed sæpius: denique moriamur. Nonne post hæc gaudium erit ineffabile, nos cœlorum regnum consequi, et gloriam inde referre immortalem, non contra iis quæ dixi vitatis, propterea irrideri perpetuo, et ignominiam interminatam sustinere? Utique vos oro, filioli mei, quos genui in Domino, quibus incrementum dedit Christus: per ærumnas et labores non solum asceticos, verum etiam athleticos. *Implete gaudium meum, ut idem sapiatis, eamdem charitatem habentes, unanimes, idipsum sentientes: nihil per contentionem, neque per inanem gloriam, sed humilitate, superiores sibi invicem arbitrantes* [66]. Apostolica hæc monita: licet a me misero in memoriam reducantur. Orate et pro me, obsecro, ut detur mihi fortitudo, robur, sermo per vos, quamvis divina gratia indignus sim: ut unanimiter in uno spiritu glorificetur Deus in corpore et spiritu nostro. Mitte ad archiepiscopum egregium Dionysium. Saluta Petrum abbatem, Ignatium ab-

A ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; Θλῖψις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος ἢ μάχαιρα; Καίτοι ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Οὕτως ὁ μὴ παρατεταγμένος οὐκ ἀγωνίζεται ὑπὲρ Χριστοῦ, οὐ δύναται Χριστιανὸς εἶναι.

Οὐκ εἰκῇ οἱ ἀγῶνες τῶν μαρτύρων, τὰ πάθη, αἱ βάσανοι: μὴ γὰρ οὐχ ὁμοίαν ἡμῖν; μὴ οὐκ ἐνόσουν τοσαύτας τιμωρίας ὑποβαλλόμενοι; μὴ οὐκ ἐξηπορούντο καὶ τοῦ ζῆν, ὡς φησιν ὁ Ἀπόστολος; ἀλλὰ τῷ φόβῳ τῶν αἰωνίων κολάσεων, καὶ τῷ πόθῳ τῶν οὐρανίων ἀμοιβῶν, εἵλοντο μᾶλλον, ὡς ἔμφρονες, τὸν τῆς σαρκὸς θάνατον, ὑπὲρ τὸν αἰώνιον ὑπενεγκεῖν. Οὐκ ἐπτοήθησαν· οὐ κατεπλάγησαν. Καὶ ὡς παρόντα μέλλοντα φανταζόμενοι, χαρᾷ ἔχαιρον πρὸς τὰς βασάνους· δωρεὰν ἡγοῦντο τὰς πολυπαθείας. Ἠρκεῖ γὰρ ἐχαρίσθη ὑπὲρ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Καὶ αὖθις ἑτέρωθι· Ἐν γὰρ πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν. Οὕτως ἔχαιρον, οὕτως ἠγάλλοντο ὑπὲρ Χριστοῦ πάσχοντες πάντες οἱ ἅγιοι. Γευσώμεθα καὶ ἡμεῖς, ἀγαπητοὶ, τῆς ἀγάπης Χριστοῦ· περιπατήσωμεν ἐν ἴχνεσιν ἁγίων· ῥίψωμεν τὰς προσπαθείας τοῦ αἰῶνος τούτου. Οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν· ἡ ἄνω Ἱερουσαλὴμ πατρὶς καὶ πόλις ἡμῶν· ὦ ἄνδρες δυνατοὶ ἐν Πνεύματι, ὦ τέκνα Θεοῦ· οὐ γὰρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ! Μὴ ὀκλάσωμεν, κἂν πάντες τραπῶσιν· ὅπερ μὴ γένοιτο. Ἀλλ' ἡμεῖς ὡς πάλαι ὑπὸ Θεοῦ δυναμωθέντες, καὶ τὰ νῦν μονομαχήσωμεν. Μεθ' ἡμῶν ὁ Θεός· πάντες οἱ ἀπ' αἰῶνος ἅγιοι· μεθ' B ἡμῶν Ἀνατολὴ καὶ Δύσις· μικρὰ μερὶς ἡ ἀποῤῥήξασα ἑαυτὴν ἀπὸ τῆς ὑπ' οὐρανὸν Ἐκκλησίας· καὶ τοῦτο διὰ φόβον· διὰ τὰ πρόσκαιρα· διὰ τὴν σάρκα· ἣν μικρὸν ὕστερον παραδώσομεν τῷ αἰωνίῳ πυρὶ σὺν τῇ ψυχῇ, εἰ μὴ ἀντισχώμεθα τῆς ἀληθείας· Ἔστω, καὶ πειρασθῶμεν· καὶ μαστιχθῶμεν· καὶ τοῦτο πολλάκις· τέλος, καὶ ἀποθάνωμεν, Εἶτα οὐκ ἔστι χαρὰ ἀνεκλάλητος ἐπιτυχεῖν ἡμᾶς βασιλείας οὐρανῶν· κἀντεῦθεν ἀπενέγκασθαι κλέος ἀθάνατον· ἢ κοινωνὸν φυλόντας τὰ προειρημένα, κἀντεῦθεν κωμῳδηθῆναι μέχρι τέλους· καὶ αἰσχύνην ὑποῖσαι ἀτελεύτητον; Ναὶ, δέομαι, τεκνία μου, οὓς ἐγέννησα ἐν Κυρίῳ· οὓς πῦξησε Χριστὸς ἐν πόνοις καὶ κόποις οὐ μόνον ἀσκητικοῖς, ἀλλὰ γὰρ καὶ ἀθλητικοῖς. Πληρώσατέ μου τὴν χαράν. Ἵνα τὸ αὐτὸ φρονῆτε· τὴν αὐτὴν ἀγάπην ἔχοντες· σύμψυχοι τὸ ἓν φρονοῦντες· μηδὲν κατ' ἐρίθειαν ἢ κενοδοξίαν· ἀλλὰ τῇ ταπεινοφροσύνῃ· ἀλλήλους D ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. Ἀποστολικὰ τὰ παραγγέλματα· κἂν παρ' ἐμοῦ τοῦ ταλαιπώρου ὑπομιμνησκόμενα. Προσεύχεσθε καὶ περὶ ἐμοῦ, παρακαλῶ· ἵνα μοι δοθῇ ἰσχὺς, κράτος, λόγος δι' ὑμᾶς· κἂν ἐγὼ ἀνάξιος θείας χάριτος· ὅπως ὁμοθυμαδὸν ἐν ἑνὶ πνεύματι δοξασθῇ ὁ Θεὸς ἐν τῷ σώματι καὶ ἐν τῷ πνεύματι ἡμῶν. Στεῖλον εἰς τὸν ἀρχιεπίσκοπον τὸν καλὸν Διονύσιον. Προσαγόρευσον τὸν ἀδελφὸν Πέτρον.

[60,61] Rom. VIII, 33,36. [62] II Cor. I, 8. [63] Philip. I, 29. [64] II Cor. VIII, 2. [65] Hebr. XIII, 14. [66] Philipp, II, 2, 3.

τὸν ἀββᾶν Ἰγνάτιον· καὶ τὸν ἀββᾶν Τίθόην· καὶ ὑπόδειξον αὐτοῖς τὸ γράμμα. Ἔτι ἑτοιμάζου σὺν τοῖς λοιποῖς, καὶ μάλιστα τοῖς προγεγραμμένοις· ὅτι τῶν ἐγγύθεν ἡμῶν ὀλισθησάντων, οὐκ ἔστιν ἡμᾶς [Reg. cod. ὑμᾶς] ἐαθῆναι ὑπ' αὐτῶν ἐκείνων ἐνδιαβαλλομένους. Δοίη δὲ Κύριος σθένος, κράτος, νοῦν, ὀφθαλμὸν, σύνεσιν, πᾶν ὁτιοῦν εὖ πρᾶξαι ὑμᾶς εἰς ἔπαινον καὶ δόξαν Χριστοῦ· εἰς καύχημα ἐμόν· εἰς κλέος ὑμῶν αἰώνιον. Προσαγορεύουσιν οἱ συνόντες μοι ἀμφοτέρους. Ὁ Χριστὸς μεθ' ὑμῶν. Ἀμήν.

A batem, et Tithoen abbatem, et ostende illis hanc epistolam. Porro accingere, et paratus esto cum cæteris, et cum iis maxime quos scripsi: quoniam cum lapsi sint qui nobis vicini erant, fieri nequit ut relinquamur ab illis ipsis delati. Det autem Dominus vobis vires, robur, intellectum, oculum, prudentiam, omnia recte agere in honorem et gloriam Christi, ad laudem meam et gloriationem vestram sempiternam. Salutant qui mecum sunt utrosque. Christus vobiscum. Amen.

ΙΑ'. — Τῷ αὐτῷ. [ρνδ'.]

XI. — *Eidem.*

De quibusdam, qui lapsi erant, recipiendis. (Baron. an. 816, n. 16.)

Παρὰ προσδοκίαν εἶδον τὰ γράμματά σου, τέκνον ἠγαπημένον, καὶ τοὺς ἀδελφούς· οὐ γὰρ, ὡς προέγραψα, ἐπέσχες μέχρι Σεπτεμβρίου. Ἀλλ' ὅμως ἀπεδεξάμην σου τὸ πρόθυμον, τὸ οὐκ ἀνεκτὸν τῆς ἀγάπης, τὸ διάπυρον τοῦ πόθου, τὸ περὶ πάντα φιλόθεον· προσθείη δ' ἂν καὶ φιλοπάτριον. Σύ μου χαρὰ καὶ παραμύθιον· σύ μου ἐν Κυρίῳ ἐν πᾶσι τοῖς κινδύνοις καὶ θλίψεσιν ἔδρασμα, καὶ στέφανος καυχήσεως, μετὰ πάντων τῶν συνάθλων σου· καὶ πρὸ πάντων ἀδελφῶν ἡμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τέκνων. Διὸ καὶ χαίρω, εὐλογῶν τὸν Θεὸν τοῦ Πατρός μου· ὅτι ὑγιάζῃ ψυχῇ καὶ σώματι· οὕτως ὑπὸ Θεοῦ οἰκονομηθέντος εἶναί σε ἄφετον ἐκ δεσμῶν· ἵνα τοὺς ἐν δεσμοῖς ἀλείφῃς, τοὺς ἀφεμένους συνδέων ἐπιστηρίζοις. Ὃ καὶ ποιεῖς χάριτι Χριστοῦ, παρακαλῶν, νουθετῶν, παραμυθούμενος ἕνα ἕκαστον. Ὡς ἀληθῶς Θεοῦ οἰκονόμος. Δέομαι οὖν αὐτὸ τοῦτο μὴ ἐκκακεῖν ἐργάζεσθαί σε εἰς δόξαν Χριστοῦ, εἰς περιποίησιν σωτηρίας σου, εἰς καύχημα ἐμοὶ τῷ ἠπορημένῳ ἐν παντιοῦν ἀγαθῷ. Ἰλὴν, ἀδελφὲ, ὅτι οὐκ εἰς κενὸν ἐδράμομεν καὶ τρέχομεν πάλαι τε καὶ νῦν· οὐδ' εἰς κενὸν κοπιῶμεν· ὑπὲρ Χριστοῦ γὰρ καὶ διὰ Χριστὸν ὑπὲρ οὗ τὸ πάσχειν, πάσχα· ὑπὲρ οὗ τὸ λυπεῖσθαι, χαρά. Εἴπερ συμπάσχομεν, φησὶν, ἵνα καὶ συνδοξασθωμεν. Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Καὶ εἰκότως. Ἡ γὰρ ἐνταῦθα σύνθλιψις, ὁποιαοῦν σκιώδης καὶ ὀνειρώδης· ἡ δὲ ἐκεῖσε ἀντάμειψις, ζωὴ ἀπέραντος μετὰ δόξης αἰωνίου. Μὴ οὖν ἐπαισχυνθῶμεν, ὦ τέκνον, τὸ παρὸν μαρτύριον· τοῦ Κυρίου γάρ ἐστι. Πολλοὶ ἐπεθύμησαν ἐξ ἀγάπης Χριστοῦ τοῦτο ἰδεῖν· ἀλλ' οὐκ ἐπέτυχον· ἡμεῖς δὲ κατηξιώμεθα. Τί τοῦτος ὑπὲρ αὐτοῦ πάσχειν· διώκεσθαι· αἰχμαλωτίζεσθαι· φυλακίζεσθαι· ἐκ τόπου εἰς τόπον περιορίζεσθαι· ἢ τάχα καὶ τύπτεσθαι· θέατρον γίνεσθαι καὶ ἀγγέλοις καὶ ἀνθρώποις.

Εἰ δὲ ὅτι καὶ τὸ ὄνομα ἡμῶν ὡς πονηρὸν ἐξέβαλον, ἀναθεματίζοντες ἰδίᾳ τε καὶ δημοσίᾳ σὺν ἁγίοις· οὐκ ἔνι χαρά; οὐκ ἔνι σκιρτᾷν; Οἶδα, τέκνον, τὸν μακαρισμὸν Κυρίου. Τούτοις καὶ αὐτὸς γήθου· τέρπου σὺν ὅλοις τέκνοις. Ὑμεῖς γάρ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. Καὶ εἴτε πάσχει

B Præter exspectationem, dilecte fili, litteras tuas et fratres vidi. Non enim, ut antea scripseram, usque ad Septembrem distulisti. Cæterum amplexus sum alacritatem tuam, charitatem non remissam, ardens desiderium, in omnibus pietatem erga Deum, addiderim etiam erga patrem. Tu lætitia et consolatio mea: tu meum in omnibus periculis et tribulationibus firmamentum in Domino et exsultationis corona, cum certaminum tuorum sociis universis, præ omnibus nostris in Christo Jesu fratribus et filiis. Quocirca et lætor plurimum, Deum Patris mei laudans, quod animo et corpore recte vales: Deo sic omnia disponente, ut tu vinculis solutus fueris, quo illos qui in vinculis sunt subleves, eos autem qui soluti sunt conjungendo confirmes. Quod quidem facis per Christi

C gratiam, unumquemque adhortans, admonens, consolans, tanquam verus Dei dispensator. Precor igitur ne animo deficias illud ipsum agendo ad Christi gloriam, ad salutis tuæ assertionem, ad meam, qui cujuscunque boni sum inops, gloriationem. Tametsi, frater, non in vacuum olim concurrimus, neque in vacuum laboramus; siquidem pro Christo et per Christum, pro quo aliquid pati, pascha est: pro quo tristari, lætitia. *Si modo compatimur*, inquit, *ut et conglorificemur. Existimo enim quod non sunt condignæ passiones hujus temporis ad futuram gloriam quæ revelabitur in nobis* [67]. Et merito. Istic enim afflictio qualiscunque, umbræ et somnio similis: illic autem compensatio, interminata vita cum gloria sempiterna. Non erubescamus ergo, fili, præsens testimonium: Domini enim est.

D Multi præ Christi amore illud videre optaverunt, sed nacti non sunt: nos autem digni habiti sumus. Quidnam illud? pro ipso pati, vexari, captivitatem ac vincula sustinere, de loco in locum pelli, aut fortassis etiam verberari, spectaculum fieri et angelis et hominibus [68].

Quod si et nomen nostrum ejecerunt tanquam malum, anathematizantes privatim et publice cum sanctis; nonne gaudium est? nonne licet exsultare? Novi ego, fili, beatitudinem a Domino prædicatam. Tu quoque ob hæc lætare: gaude cum universis filiis: *Vos enim estis corpus Christi et membra ex*

[67] Rom. VIII, 17, 18. [68] Luc. VI, 22.

parte. Et si quid patitur unum membrum, compatiuntur omnia membra : sive gloriatur unum membrum, congaudent omnia membra [69]. Quære, ait, quæ restant, sputa, colaphos, crucem denique; dulces mihi clavos Christi, quibus crucifigi cum ipso ecquis erit qui dignus habeatur: servus cum Domino lancea confodi, sanguinem miscens sanguini: homo, Dei viventis! Sancti hoc affectu pleni, gaudebant cum dilaniarentur: gestiebant cum membra secarentur. Advenit itaque et nostrum gaudium : ex parte tentati fuimus et utinam consummata esset tentatio gratia et benignitate Jesu Christi Domini nostri! per gratiam enim victoria contingat in quocunque: ut nom glorietur quisquam quasi aliquid ex se habeat: sed ut Dei misericordiam in Christo Jesu consequamur per animi demissionem et efficacem confidentiam. *Si qua ergo consolatio in Christo, si quod solatium charitatis, si qua societas fidei, si qua viscera et miserationes, implete gaudium meum* [70]; ut ego miser cum Apostolo dicam : *Idem sapite, eamdem charitatem habentes, unanimes, idipsum sentientes, nihil per contentionem neque per inanem gloriam* [71], invicem adversantes. Interdum enim in iis etiam quæ pro pietate geruntur certaminibus aucupatio primarum partium et pervicacia contentionem obrepit· Vos vero tanquam Dei ministri ; nam in persona tua eos comprehendi volo qui præsunt, quique hanc epistolam legerint : *Nemini dantes ullam offensionem, ut ministerium vestrum non flat vituperabile* [72].

De illis autem quos scribis mihi erroris sui pœnitentia duci ; erga eos qui de corpore nostro sunt, medici sumus, quamvis indigni. Quam igitur pœnam Oresti, qui ad nos huc venit, per fratres indiximus (neque enim convenire multas ob causas visum est, ut in conspectum nostrum admitteretur), hanc eamdem et cæteri suscipiant : nimirum ut sanctis mysteriis non participent ; una cum aliis observationibus. Quousque tandem ? rogas. Quoad orthodoxæ fidei tranquillitas redeat. Si mors interveniat, inquit, communicent. Remissum illis peccatum arbitramur. Quod vero significasti, vos de hac et illa re inter vos dissidere : tollite quæstiones vestras, et mutuam pacem habetote· Non sicut hi qui ab hæresi convertuntur, recipiendi suntisti ; quanquam et illic quoque non leve discrimen est hujus ad illam ; sed tanquam qui nomen Domini abnegarint, sive ad ejus abnegationem Christomachis communicarint, seu metu adacti seu aliam ob causam. Ad hujus enim abnegationem manifesto communicarunt sanctam ejus imaginem negantibus : quia negatio imaginis ad prototypum transit, ut clamans clamat [73]. Nec aliter se res habet, tametsi negationem elevare quidam velint. Si ergo non prius recte sentientes, nec veritatem edocti, sed divina quadam providentia veritatis lumine illustrati ad nos convolassent : alia ratio esset, nec temere eos admitti oporteret, nisi ex plurimorum orthodoxorum con-

A ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. Ζήτει, φησὶ, τὰ λειπόμενα, ἐμπτύσματα, κολαφίσματα, τέλος τὸν σταυρόν· τοὺς γλυκεῖς μοι Χριστοῦ ἥλους· οἷς τίς ἂν καταξιωθείη συσταυρωθῆναι· συλλογχευθῆναι δοῦλος Δεσπότῃ· μίξαι αἷμα αἵματι· ἄνθρωπος, Θεοῦ τοῦ ζῶντος ; Τοιαύτῃ διαθέσει [χωροῦντες οἱ ἅγιοι ἔχαιρον κοπτόμενοι· ἥδοντο μελοτομούμενοι. Ἔφθασε τοιγαροῦν καὶ ἡ ἡμετέρα χαρά· ἐκ μέρους ἐπειράθημεν· εἴγε καὶ πειραθείημεν τέλεον· χάριτι καὶ φιλανθρωπίᾳ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν! Τῇ γὰρ χάριτι εἴη τὸ νῖκος ἐφ' ὁτῳοῦν· ἵνα μή τις καυχήσηται οἰκοθέν τι ἔχειν· ὥστε ἕλκομεν τὸν ἔλεον Θεοῦ ἐν Χριστῷ Ἰησοῦ, διὰ τῆς ταπεινοφροσύνης καὶ ἐνεργοῦς πεποιθήσεως. Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ· εἴ τι παραμύθιον ἀγάπης· εἴ τις
B κοινωνία πίστεως· εἴ τινα σπλάγχνα καὶ οἰκτίρμοι, πληρώσατέ μου τὴν χαράν· σὺν τῷ Ἀποστόλῳ ὁ τάλας λέγειν· Τὸ αὐτὸ φρονεῖν, τὴν αὐτὴν ἀγάπην ἔχοντες· σύμψυχοι· τὸ ἓν φρονοῦντες· μηδὲν κατ' ἐρίθειαν ἢ κενοδοξίαν πράττοντες, καὶ ἀντικαθιστάμενοι ἀλλήλοις. Πέφυκε γὰρ καὶ ἐπ' αὐτῶν τῶν ὑπὲρ εὐσεβείας ἀγώνων τὸ φιλόπρωτον καὶ φιλόνεικον παρεισδύειν. Ἀλλ' ὑμεῖς ὡς Θεοῦ διάκονοι (συμπαραλαμβάνω γὰρ τῷ προσώπῳ σου τοὺς ὑπερέχοντας, οἳ καὶ ἀναγνοῦεν τὴν ἐπιστολήν), Μηδεμίαν ἐν μηδενὶ δοίητε προσκοπὴν, ἵνα μὴ μωμητὴ ἡ διακονία ὑμῶν γένοιτο.

Περὶ ὧν ἔγραψάς μοι ἐν μετανοίᾳ γεγονέναι· ἐ-
C τοὺς τοῦ σώματος ἡμῶν, εἰ καὶ ἀνάξιοι, ἀλλ' ἡμεῖς ἰατροί. Ὅ τοίνυν ἐδώκαμεν ἐπιτίμιον τῷ Ὀρέστῃ ἐλθόντι ἐνταῦθα, διὰ φωνῆς τῶν ἀδελφῶν (οὐδὲ γὰρ κεκρίκαμεν εὖ ἔχειν συνοψισθῆναι αὐτῷ διὰ πολλὰ αἴτια), τοῦτο σχοῖεν καὶ οἱ λοιποί· ἀμύχους εἶναι τῶν ἁγιασμάτων· καὶ ἐν τοῖς ἄλλοις παρατηρήμασιν. Ἐρωτᾷς ἕως πότε ; Ἕως ἂν ἀναλάμψῃ ἡ τῆς ὀρθοδοξίας αἴθρία. Εἰ, φησὶ, τύχῃ θάνατος ; Κοινωνείτωσαν. Πιστεύομεν συγκεχωρῆσθαι αὐτοῖς τὸ ἁμάρτημα. Ἐπειδὴ δὲ γέγραφας, τοῦτο κἀκεῖνο ἀντιλεκτεῖν ὑμᾶς πρὸς ἀλλήλους· διαλύεσθαι τῶν προβλημάτων ὑμῶν, καὶ εἰρηνεύετε ἐν ἑαυτοῖς. Οὐχ ὡς οἱ ἐξ αἱρέσεως ἐπιστρέφοντες, οὗτοι δεκτέοι· εἴπερ κἀκεῖ παρατήρησις διαφορᾶς οὐ τῆς τυχούσης τῇδε πρὸς τήνδε· ἀλλ' ὡς ἀρνησάμενοι τὸ ὄνομα
D Κυρίου, ἤτοι ἐπὶ τῇ ἀρνήσει αὐτοῦ κεκοινωνηκότες τοῖς Χριστομάχοις διὰ φόβον ἤ τινα ἄλλην περιστασιν. Ἐπὶ γὰρ τῇ ἀρνήσει αὐτοῦ ἐκοινώνησαν προδήλως ἠρνημένοις τὴν ἁγίαν αὐτοῦ εἰκόνα. Ἡ γὰρ τῆς εἰκόνος ἄρνησις ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, ὡς βοᾷ ὁ βοῶν. Καὶ οὐκ ἔστιν ἄλλοίως· κἂν τινες σμικρύνειν τὴν ἄρνησιν βούλοιντο. Εἰ οὖν μὴ ὀρθοδοξοῦντες τὸ πρότερον, μηδὲ μυηθέντες τὴν ἀλήθειαν, ἐκ θείας προνοίας αὐγασθέντες τάληθὲς μετεπέδησαν εἰς ἡμᾶς, ἄλλως εἶχε· κἀκείνους οὐχ ὡς ἔτυχε προσδεκτέον, εἰ μὴ διὰ πλείστων ὀρθοδόξων συμφωνήσεως· ὡς δεδήλωκεν ὁ θεῖος Βασίλειος πρὸς τοὺς

[69] I Cor. XII, 2, 26. [70] Philipp. II, 1, 2. [71] ibid. 3. [72] II Cor. VI, 3. [73] S. Basilius.

ἐν Μεσοποταμίᾳ ἐξ Αἰγύπτου περιωρισμένους· καθ- A
απτόμενος αὐτῶν ἐν τῷ ἀφυλάκτως προσήκασθαι.

Ἢ ἀγνοεῖτε ὅ φησιν ὁ αὐτὸς Πατὴρ ἐν ἑτέρᾳ ἐπι-
στολῇ; « Οὐκ οἶδα ἐπίσκοπον, μηδὲ ἀριθμήσαιμι ἐν
ἐπισκόποις τὸν ἐπὶ καταστροφῇ τῆς πίστεως ὑπὸ
τῶν βεβήλων χειρῶν προαχθέντα εἰς προεδρείαν· »
οἷοί εἰσι τανῦν, οὐ δι' ἄγνοιαν, ἀλλὰ διὰ φιλαρχίαν,
ἐπιπηδῶντες τοῖς θρόνοις· προέμενοι ἀκουσίως [f.
ἑκουσίως] τὴν ἀληθειαν· καὶ ἀντιλαμβάνοντες τὴν
τῆς ἀσεβείας προεδρείαν. Εἰ κατὰ ἄνθρωπον ἐθη-
ριομάχησα, φησὶν ὁ Ἀπόστολος, ἐν Ἐφέσῳ, τί
μοι τὸ ὄφελος; Λέγω κἀγώ· Εἰ καθ' ὑμᾶς μετὰ
τὴν ἄρνησιν ἤτοι κοινωνίαν τῶν Χριστομάχων εὐθὺς
δεκτέοι καὶ ἀνεπιτίμητοι οἱ τοιοῦτοι· τί μάτην κιν-
δυνεύων καθ' ἑκάστην ἡμέραν· καὶ μὴ αὐτομολήσας B
πρὸς τοὺς ὑπεναντίους, αὖθις διὰ μετανοίας τοῖς
ὀρθοδόξοις ἀνεπιτιμήτως συνταχθείην; Μὴ πλανᾶ-
σθε, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Ἐκνήψατε ἐν Κυρίῳ. Τίς δὲ κοινωνία φωτὶ πρὸς
σκότος· ἵνα ἐκ παραλλήλου τῶν Χριστομάχων τὰ
ἡμέτερα τηρῆται; ὡς ὅτι, φησίν, αὐτοὶ τοὺς ἐξ ὀρθο-
δοξίας πρὸς αὐτοὺς χωροῦντας χαρᾷ ἀνεπιτιμήτως
προσίενται. Οὐά· δέον οὖν καὶ στεφανοῦν ἡμᾶς τοὺς
ἀρνητὰς τοῦ Χριστοῦ, καὶ σολυμνιάζειν ὡς ἐκεῖνοί τι-
νας ἐκείνων. Ἀδελφοί, δέομαι ὑμῶν, μὴ παιδία
γίνεσθε ταῖς φρεσίν· ἀλλὰ τελειοῦσθε διὰ τῆς
ἀληθοῦς ἐπιγνώσεως. Περὶ τῶν ἔξω τῆς ἀδελφότητος
ἡμῶν, τίς εἰμι δοῦναι λόγον; Εἰ δὲ καὶ ἀναγκάζοι τίς·
ἐπειδὴ ἡ ἀγάπη πλήρωμα οὖσα νόμου ἔχει καὶ
τὴν πειθώ· τοῦτό φημι ὃ καὶ ἐπὶ τῶν ἡμετέρων·
ἡμεδαποὶ γὰρ κἀκεῖνοι. Πρεσβύτερος εἴτε ὑπογρά- C
ψας, εἴτε κοινωνήσας φόβῳ μὴ φέρων τὴν κάκωσιν,
εἰργέσθω τῆς κοινωνίας. Κατὰ Χριστοῦ γὰρ κοινω-
νήσας, πῶς δύναιτ' ἂν Χριστῷ κοινωνεῖν; Τῆς γὰρ
ἐγκρατήσεως τῆς ἱερουργίας παρὰ συνοδικῆς ἐπι-
σκέψεως ἡ λύσις. Ὁ δόξας μετὰ τὴν ἧτταν ἀναπα-
λαῖσαι· ἀποχωρείτω τοῦ ἐν ᾧ ἐκαθέζετο πρὶν τόπου·
ἐπεὶ πῶς γνωσθήσεται αὐτῷ τε ἐκείνῳ ἡ ἄρνησις
ἣν ὑπέστη, καὶ ἄλλοις;

Οὐ χωρῶ ἐπιτρέψαι· ἐπ' ἂν ἡ ἀναπάλαισις
αὐτοῦ μάλιστα οὐκ ἐγένετο ἐν ἐπισήμῳ τινὶ δράματι
οἷον ἐπὶ τοῦ Λαοδικείας. Οὐδὲ γὰρ ἐκείνῳ συμβου-
λεύσαιμι ἂν ἔγωγε ἱερουργεῖν, ἢ μόνον κοινωνεῖν
διὰ τὸ ἐπίσημον. Οὕτως ἐπὶ τοῦ τυχόντος μονάζον-
τος· οὕτως ἐπὶ λαϊκοῦ· εἴρξις τῆς κοινωνίας, μετὰ D
τῶν ἄλλων ἀξίων καρπῶν τῆς μετανοίας· ἀναμέ-
νειν τε τὸν καιρὸν τῆς ὀρθοδοξίας. Πλὴν ἐπειδὴ ἐν-
δέχεται, καὶ ὕφεσιν καὶ πρόσθεσιν γίνεσθαι παρὰ
τοῦ ἐπιτιμῶντος· ἐπὶ τῆς κοινωνίας λέγω· ἐκτεινο-
μένων τῶν χρόνων τῆς αἱρέσεως κατὰ τὰ ἀθεώρητα
κρίματα τῆς δικαίας ὀργῆς τοῦ Θεοῦ· ἔστι καὶ πρὸ
συνόδου λῦσαι ἐν Κυρίῳ· καθὼς ὑποπέπτωκε τὸ
πρόσωπον βαρύτερον ἢ ἐλαφρότερον· καὶ καθ' ἣν
πάλιν ὑποδείκνυσι μετάνοιαν· εἴς τε τοὺς ἡμετέ-
ρους καὶ τοὺς ἔξω, συνεστιᾶσθαι αὐτοὺς οὐ κωλυτέον

sensu : ut divinus Basilius docet [74], ad eos scribens qui in Mesopotamiam fuerant relegati ex Ægypto : perstringens illos quod temere admitterent.

An nescitis quid idem Pater dicat in alia epistola ? « Non agnosco episcopum, nec inter episcopos illum adnumerarim, qui a profanis manibus ad fidei destructionem præsul electus est [75]. » Quales nunc sunt qui, non per ignorantiam, sed dominandi studio, in sedes insiliunt, veritatem sponte sua prodentes, et præmii loco impietatis principatum accipientes. *Si secundum hominem*, inquit Apostolus, *ad bestias pugnavi Ephesi, quid mihi prodest* [76] ? Aio et ego : Si post negationem vel communionem cum Christomachis, tales statim, sententia vestra, sine pœna recipiendi sunt : cur incassum periclitor in dies, ac non potius ad adversarios ultro occurrens, orthodoxis iterum, mox ut facti pœnituerit, sine pœna ulla me aggrego ? *Nolite seduci : corrumpunt bonos mores colloquia prava* [77]. Evigilate in Domino. *Quæ* autem *societas luci ad tenebras* [78] : ut Christomachorum instar res nostræ dirigantur ? Quoniam ipsi, inquiunt, eos qui ab orthodoxa parte ad illos transeunt, cum gaudio, nulla pœna irrogata, suscipiunt. Væ : ergo et coronandi sunt nobis negatores Christi, et solemni honore afficiendi, ut ab illis quidam eorum affecti sunt. *Fratres, oro vos, nolite pueri effici sensibus* [79], sed per veram scientiam perficimini. De his autem qui extra fraternitatem nostram sunt, quis ego sum ut verba faciam ? Si cogat tamen quispiam : quoniam quæ *plenitudo legis est dilectio* [80], suam quoque suadelam habet : hoc ipsum dico, quod de nostris : nam et nostri sunt etiam illi. Presbyter seu subscripserit, seu metu communicarit afflictionem non ferens ; a communione arceatur. Qui enim adversus Christum communionem iniit, qui potest cum Christo communicare ? Privationis enim sacrificii relaxatio synodicæ est consultationis. Qui post lapsum ad certamen iterum revertitur, abstineat ab eo loco quem prius obtinuit : alioqui quomodo innotescat tum ipsimet negatio quam passus est, tum aliis ?

Non possum permittere : præsertim quando iterata ipsius pugna insigni quopiam opere non cernitur : quemadmodum in episcopo Laodiceæ. Neque enim illi ego auctor fuerim sacrificandi, sed communicandi tantum propter celebritatem. Sic in monacho unoquoque, sic in laico : arcendus est a communione, cum aliis dignis fructibus pœnitentiæ ; exspectandumque tempus fidei orthodoxæ. Cæterum, quoniam et remitti et intendi pœnam ab eo fas est qui imponit ; de communione loquor ; si occultis justæ Dei iræ judiciis hæreseos tempora prorogentur, licebit etiam ante synodum in Domino relaxare, prout persona gravius leviusve lapsa est, et pro ea rursum pœnitentia, quam præ se fert : tum erga nostros, tum erga extraneos prohibendum non est ; quin una epulentur, non tamen ut benedicant ante

[74] Epist. 213. [75] Epist. 192, Nicopolit. presbyt. [76] I Cor. xv, 32. [77] Ibid. 33. [78] II Cor. vi, 14. [79] I Cor. xiv, 20. [80] Rom. xiii, 10.

relaxationem. Hæc sunt quæ de his habeo in timore Dei et veritate. Si quid novi vel a vobis vel ab aliis proferatur, discam. Fateor enim me in multis peccare : et multa nescire non abnuo. Saluta fratres tuos et filios meos, Petrum abbatem, et Ignatium, et Tithoen, desideratos mihi in Domino et adjutores meos. Saluta eos qui mihi chari sunt ex sancta congregatione. Saluta mysteriorum custodes, viscera mea charissima. Saluta eam cujus magnus est labor in Domino : de qua recipio et abundo in bonis. Saluta omnes in Christo fratres, etiam qui sunt laici, ex quibus est Sergius pius et Engius. Qui mecum sunt fratres semper dilecti te et alios salutant. Memento te tenuitatis meæ. Dominus noster Jesus Christus vobiscum fratres.

A οὐχ ἵνα εὐλογῶσιν ἕως λύσεως. Τοσαῦτά μοι ὦσιν περὶ τούτων ἐν φόβῳ Θεοῦ καὶ ἀληθείᾳ. Εἴ δέ τι ἐξ ὑμῶν ἢ ἀπ' ἄλλων καινότερον, διδαχθῶ. Ὁμολογῶ γὰρ ὡς πολλὰ ἁμαρτάνων, καὶ πολλὰ ἀγνοεῖν δέχομαι. Ἀσπάσαι τοὺς ἀδελφούς σου καὶ τὰ τέκνα μου τὸν ἀββᾶν Πέτρον, καὶ Ἰγνάτιον, καὶ Τιθόην [cod. Reg. Τιδόϊον], τοὺς ἐν Κυρίῳ ἐπιποθήτους μου καὶ συνεργούς. Ἄσπασαι τοὺς ἐκ τῆς ἁγίας συνοδίας φιλητούς μου. Ἄσπασαι τοὺς μυστηριοφύλακας, τὰ ἐμὰ ἠγαπημένα σπλάγχνα. Ἄσπασαι τὴν κοπιῶσαν ἐν Κυρίῳ· ἧς ἀπέχω καὶ περισσεύω ἐν ἀγαθοῖς· ἄσπασαι πάντας τοὺς ἐν Χριστῷ ἀδελφούς, κἂν λαϊκοί, ἐξ ὧν Σέργιος ὁ εὐσεβὴς καὶ ἔγγιος [*f.* ἅγιος]. Ἀσπάζονται σὲ καὶ τοὺς ἄλλους οἱ σὺν ἐμοὶ ἀδελφοὶ ἀειπόθητοι. Μνημονεύετέ μου τῆς ταπεινώσεως. Ὁ B Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μεθ' ὑμῶν, ἀδελφοί.

XII. — *Paschali papæ Romæ.*

ΙΒ'. — Πασχαλίῳ πάπᾳ Ῥώμης.

Romani pontificis opem adversus Iconomachos exposcit. (Baron. an. 817, n. 21.)

Prorsus sanctissimo luminari magno, antistitum supremo, domino nostro, domino apostolico papæ, Joannes, Theodosius, Athanasius, Joannes, Theodorus, minimi presbyteri et præpositi eorum qui apud Cathara, Picridium, Paulopetrium, Euceriam, et Studium.

Audita jam sunt haud dubie supremæ vestræ beatitudini ea quæ propter peccata nostra in nostram Ecclesiam invasere. Etenim facti sumus in parabolam et proverbium omnibus gentibus, ut secundum Scripturam loquar [81] : nondum tamen fortasse ea perfecte et per epistolas renuntiata fuere. Quare nos minimi, etsi membrum corporis Christi ultimum sumus : tamen, cum is qui caput nostrum est, captivus sit, atque ii qui inter fratres eminent, huc atque illuc dissipati : aliquo modo potuimus, ex eo quod prope sumus, et ex mutua significatione, tanquam uno spiritu et communibus verbis quamvis temerarium sit, ista scribere. Audi, apostolicum caput, a Deo præposite pastor ovium Christi, janitor regni cœlorum, petra fidei super quam ædificata est catholica Ecclesia. Petrus enim tu, Petri sedem exornans et gubernans. Lupi graves irruperunt in caulam Domini : portæ inferi, ut olim, ruptæ sunt in ipsam. Quid hoc? Persecutionem patitur Christus cum matre et ministris : siquidem contra imaginem incursus, prototypi est persecutio. Hinc detentio patriarchalis capitis : exsilia et relegationes archiepiscoporum et sacerdotum, et monachorum monacharumque compedes et vincula ferrea, tormentaque et ad extremum mors. O horribilem auditionem ! Veneranda imago salvatoris Dei nostri, quam etiam dæmones perhorrescunt, contumeliis affecta et ludibrio habita est, non solum in regia urbe, verum etiam in omni regione et opido. Altaria deleta sunt, templa destructa, sacra profanata, effusus est sanguis et effunditur eorum qui retinent

Τῷ πάντα παναγεστάτῳ, φωστῆρι μεγάλῳ, ἀρχιερεῖ πρωτίστῳ, κυρίῳ ἡμῶν, δεσπότῃ ἀποστολικῷ πάπᾳ, Ἰωάννης, Θεοδόσιος, Ἀθανάσιος, Ἰωάννης, Θεόδωρος, ἐλάχιστοι πρεσβύτεροι καὶ ἡγούμενοι τῶν Καθαρᾶ, τῶν Πικριδίου, τοῦ Παυλοπετρίου, τῆς Εὐκερίας, τῶν Στουδίου.

Ἤδη που πάντως ἤκουσται τῇ κορυφαίᾳ ὑμῶν μακαριότητι τὰ κατὰ τὰς ἁμαρτίας ἡμῶν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ ἐπελθόντα. Καὶ γὰρ γεγενήμεθα εἰς παραβολὴν καὶ διήγημα ἐν πᾶσι τοῖς ἔθνεσι, C Γραφικῶς εἰπεῖν . οὐ μὴν ἴσως ἡ ἀπαγγελία ἐντελῆς τε καὶ ἐπιστολικῶς. Διόπερ ἡμεῖς οἱ ἐλάχιστοι, ἐ καὶ μέλος που τοῦ σώματος Χριστοῦ ἔσχατον τη Χάνοντες · ὅμως τῆς κεφαλῆς ἡμῶν εἱργομένης, τῶν τε ἐν ἀδελφότητι προεχόντων ὧδέ τε κἀκεῖσε διεσπαρμένων · ἠδυνήθημέν πως ἐκ τοῦ σύνεγγυς εἶναι καὶ διὰ τῆς εἰς ἀλλήλους καταμηνύσεως εἰς ἓ γενέσθαι καὶ πνεῦμα καὶ ῥῆμα · γράφοντες εἰ κ τολμηρῶς τάδε. Ἄκουε, ἀποστολικὴ κάρα, θεοπρ βλητε ποιμὴν τῶν Χριστοῦ προβάτων · κλειδοῦχε τῆ οὐρανῶν βασιλείας · πέτρα τῆς πίστεως, ἐφ' ᾗ ᾠκοδόμηται ἡ καθολικὴ Ἐκκλησία. Πέτρος γὰρ εἶ, τὸν Πέτρου θρόνον κοσμῶν καὶ διέπων. Λύκοι βα ρεῖς εἰσερθάρησαν ἐν τῇ αὐλῇ Κυρίου · πύλαι ᾅδου, D ὡς πάλαι, προσερράγησαν αὐτῇ. Τί τοῦτο; διώκεται Χριστὸς σὺν μητρὶ καὶ θεράπουσιν · εἴπερ ἡ τῆς εἰκόνος καταδρομή, τοῦ πρωτοτύπου διωγμός. Ἐντεῦθεν κατένεξις πατριαρχικῆς κεφαλῆς · ἐξορίαι τε καὶ περιορισμοὶ ἀρχιερέων τε καὶ ἱερέων, μοναστῶν τε καὶ μοναζουσῶν · εἱρκταί τε καὶ σιδηρώσεις · βάσανοί τε καὶ τέλος θάνατοι. Ὦ τοῦ φοβεροῦ ἀκούσματος ! ἡ σεπτὴ εἰκὼν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, ἣν καὶ δαίμονες ῥίττουσιν · ἐνύβρισται · ἐξουδένωται · οὐ μόνον ἐν τῇ βασιλευούσῃ πόλει · ἀλλὰ γὰρ καὶ κατὰ πᾶσαν χώραν καὶ πολίχνην. Θυσιαστήρια ἠφανίσθη · ναοὶ ἠμαυρώθησαν · ἱερὰ ἐκοινώθη, ἐχέθη αἵματα καὶ χέεται τῶν ἀντ-

[81] Psal. LXVIII, 12.

ἐχομένων τοῦ Εὐαγγελίου. Διωγμοὶ καὶ φυγαδεῖαι τῶν ἔτι ὑπολελειμμένων. Ἐσίγησε πᾶν εὐσεβοῦν στόμα δέει θανάτου· ἀνέῳκται ἡ ἀντίθετος καὶ βλάσφημος γλῶσσα· σεσάλευται πᾶσα σὰρξ ἀμφοτερίζουσα. Οἴμοι, φησὶν, ὅτι ἐγενήθημεν ὡς συνάγων καλάμην ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ· οὐχ ὑπάρχοντος βότρυος.

Ἐφ' ἡμᾶς, ὦ μάκαρ, ἐγένετο ταῦτα πάντα. Ἅ τίς μὲν οὐκ ἐκιστυγνάσειεν εἰς ἑαυτὸν τὰ τοῦ πλησίον ἀναθεωρῶν πάθη; Τίς δὲ οὐ λογίσοιτο προεισόδια εἶναι τῆς τοῦ Ἀντιχρίστου παρουσίας· τοσοῦτον διαφέροντα ὅσον εἰκὼν ἀρχετύπου, ἐφ' ᾗ καὶ μαίνεται; Δεῦρο δὴ οὖν ἀπὸ Δυσμῶν ὁ Χριστομίμητος, Ἀνάστητι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. Πρὸς σὲ εἴρηκε Χριστὸς ὁ Θεὸς ἡμῶν· Καὶ σὺ ποτὲ ἐπιστρέψας στηρίξεις τοὺς ἀδελφούς σου. Ἴδε ὁ χρόνος καὶ ὁ τόπος· βοήθησον ἡμῖν ὁ ὑπὸ τοῦ Θεοῦ τεταγμένος εἰς τοῦτο· ὄρεξον χεῖρα καθ' ὅσον οἷόν τέ ἐστιν· ἔχεις τὸ ἰσχύειν παρὰ Θεῷ ἐκ τοῦ παντων πρωτεύειν· ἐν ᾧ καὶ ἐτέθης. Πτόησον, δεόμεθα, τοὺς αἱρετικοὺς θῆρας σύριγγι τοῦ θείου λόγου σου. Ὁ ποιμὴν ὁ καλὸς, θὲς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· ἱκετεύομεν. Ἀκουσάτω ἡ ὑπ' οὐρανὸν, ὅτι ὑφ' ὑμῶν ἀναθεματίζονται συνοδικῶς οἱ ταῦτα τετολμηκότες, καί γε ἀναθεματίζοντες τοὺς ἁγίους Πατέρας ἡμῶν. Τοῦτο εἴη Θεῷ εὐπρόσιτον· ἀγγέλοι; καὶ ἁγίοις χαρμόσυνον· σαλευομένοις στήριγμα· ἑδραιουμένοις ἐπισφράγισμα· καταπεπτωκόσιν ἀνάστημα· πάσῃ Ἐκκλησίᾳ ὀρθοδόξων ἀγαλλίαμα· καί γε τῇ σῇ κορυφαιότητι κατὰ τοὺς πάλαι προηγησαμένους μνημόσυνον αἰώνιον. Οἱ ἐν τοῖς ὁμοίοις καιροῖς τὰ παρ' ἡμῶν τῶν ἁμαρτωλῶν νῦν αἰτούμενα δεδρακόνες πνευματοκινήτως· καὶ μνημονεύονται, καὶ μεμακάρινται. Πάντως δὲ πιστεύομεν ὡς ἐλέῳ οἰκτιρμῶν καμπτόμενος δέξῃ ἡμῶν τὸ εὐτελὲς γράμμα· Χριστὸν μιμούμενος· ὃς Θεὸς ὢν τῶν ἁπάντων, οὐκ ἀπῃξίωσε τὴν παρὰ Αὐγάρου ἐπιστολὴν καὶ δέξασθαι, καὶ πρὸς αὐτὴν ἀντιγράψαι.

A Evangelium, persecutiones et exsilia eorum qui adhuc relicti sunt. Conticuit omne os pium mortis metu: aperta est adversaria et blasphema lingua: commota est omnis caro in ambiguitate versans. *Hei mihi!* inquit, *quia facti sumus ut qui colligit calamum in messe, et racemum in vindemia, cum non sit botrus* [83].

In nos, a beate, hæc omnia facta sunt. Quæ quis non ægre tulerit, in seipso proximi damna considerans? Quis autem ratiocinatus non fuerit, esse adventus Antichristi præludia tantum differentia quantum ab exemplari imago, in quam etiam insanitur? Huc igitur ab Occidente, o Christi imitator: *Exsurge et ne repellas in finem* [83]. Tibi dixit Christus Deus noster: *Et tu aliquando conversus confirmabis fratres tuos* [84]. Ecce tempus, B ecce locus; opitulare nobis, qui et a Deo ad hoc ordinatus: porrige manum quantum fieri potest: habes potestatem a Deo, eo quod omnium princeps es: in quo et positus es. Terreto, supplicamus, hæreticas feras calamo divini verbi tui. Pastor bone, pone animam pro ovibus, supplicamus. Audiat Ecclesia quæ sub cœlo est, quod a vobis anathematizantur per synodum qui hæc ausi, et jam sanctos Patres nostros anathematizant. Hoc fuerit Deo acceptum, angelis et sanctis gaudium, concussis firmamentum, fundatis stabilimen, lapsis resurrectio, omni orthodoxorum Ecclesiæ exsultatio, et tuæ certe celsitudini, secundum eos qui antiquitus præcesserunt æternum monimentum. Qui similibus temporibus cum fecerint ea quæ a nobis peccatoC ribus nunc petuntur, Spiritu sancto afflati; et commemorantur, et beati habiti sunt. Prorsus autem credimus et confidimus, quod misericordia miserationum flexus nostram tenuem epistolam accipies. Christum imitatus, qui, Deus cum esset omnium, non recusavit ab Abgaro epistolam accipere, et acceptæ rescribere.

ΙΓ'. — Τῷ αὐτῷ. [σά']

XIII. — *Eidem.*

Ejusdem ac superior argumenti. (Baron. an. 818, n. 2.)

Τῷ τὰ πάντα παναγεστάτῳ Πατρὶ, κορυφαίῳ φωστῆρι οἰκουμενικῷ, κυρίῳ ἡμῶν, δεσπότῃ ἀποστολικῷ πάπᾳ, Ἰωάννης, Θεοδόσιος, Ἀθανάσιος, Θεόδωρος, ἐλάχιστοι πρεσβύτεροι καὶ ἡγούμενοι τῶν Καθαρὰ, τῶν Πικριδίου, τοῦ Παυλοπετρίου, τῶν Στουδίου.

Per omnia religiosissimo Patri, supremo luminari universali, domino nostro, domino apostolico papæ, Joannes, Theodosius, Athanasius, Theodorus, minimi presbyteri et Præpositi Catharorum, Picridii, Paulopetrii, et Studii.

D Ἐπεσκέψατο ὑμᾶς Ἀνατολὴ ἐξ ὕψους. Χριστὸς ὁ Θεὸς ἡμῶν· τὴν σὴν ἐν τῇ Δύσει μακαριότητα, ὥσπερ τινὰ λυχνίαν θεαυγῆ, εἰς περίλαμψιν τῆς ὑπ' οὐρανὸν Ἐκκλησίας, ἐπὶ τὸν ἀποστολικὸν πρώτιστον θρόνον θέμενος. Καὶ γὰρ ἤσθημεν φωτὸς νοεροῦ οἱ ἐν σκότει καὶ σκιᾷ θανάτου ἐνισχημένοι τῆς πονηρᾶς αἱρέσεως· καὶ τὸ νέφος τῆς ἀθυμίας ἀπεθέμεθα· καὶ πρὸς χρηστὰς ἐλπίδας ἀνενεύσαμεν μεμαθηκότες δι' ὧν ἀπεστείλαμεν ἀδελφῶν ἡμῶν καὶ συνδούλων, οἷα καὶ ἡλίκα πέπραχέ τε καὶ λέλεγεν ἡ ἁγία ὑμῶν κορυφαιότης· τοὺς μὲν αἱρετικοὺς *Respexit nos oriens ex alto* [85], Christus Deus noster, tuam in Occidente beatitudinem, tanquam facem quamdam divinitus lucentem, ad Ecclesiæ quæ sub cœlo est illuminationem, in apostolica prima sede constituens. Etenim spirituale lumen percepimus, qui in tenebris et in umbra mortis improbæ hæreseos tenebamur: et tristitiæ nebulam deposuimus, atque in spem optimam emersimus, cum didicissemus ex fratribus nostris et conservis quos misimus, qualia et quanta egerit et dixerit sancta celsitudo vestra: quando hæreticos quidem. Apocrisia-

[83] Mich. VII, 1. [83] Psal. XLIII, 23. [84] Luc. XXII, 32. [85] Luc. I, 78.

rios, velut fures, ne in sacrum quidem conspectum admisit, sed cum procul adhuc essent, merito rejecit: nostris vero calamitatibus ex litterarum auditione et missorum relatione compatiens, indoluit atque ingemuit, Dei exemplo, tanquam propriis membris. Ac reipsa nos humiles cognovimus, manifestum Apostolorum principis successorem Romanæ Ecclesiæ præsidere, certoque nobis persuasimus, Dominum Ecclesiam nostram minime deseruisse, cui unum solumque a vobis auxilium hactenus, atque ad ipso exordio, in occurrentibus molestiis, Dei providentia concessum est. Vos igitur illimis revera ac sincerus ab initio fons orthodoxæ veritatis: vos adversus omnem hæreticam procellam tranquillus sepositus Ecclesiæ universæ portus: vos a Deo electa civitas refugii salutis. Sed quoniam temerarium est a nobis miseris ac indignis encomia congeri divino nomini vestro, quod divinæ olim linguæ beatum prædicarunt: præstat ut ad ærumnas nostras veniamus.

Impii ergo consueta sibi omni conatu ac vesania facere non cessant: omnes, qui mortis metu franguntur, in hæresis barathrum trahentes, et abripientes: siquidem omnino necesse est eum qui cedere nolit, verberum aliorumque suppliciorum pœnis subjici: ita ut diffluant sensim aliqui, quod est miserrimum, etiam ex iis qui certamen antea sustinuerant. Nos vero iterum, humiles et in membris postremi, tam pro sacro proprio capite, quam pro reliquis decertantibus patribus et fratribus audentes legatione fungimur, et obsecramus ut consoletur nos sancta et apostolica anima tua. Primum quidem, quod et facere illam credimus, ne suas pro stabilitate et salute omnium Deum flectentes preces intermittat. Ita obtestamur sacratissima viscera. Deinde ut quæ Spiritus sancti instinctu pro humilitatis nostræ utilitate ac perpetua virtutis suæ laude deliberavit et statuit, ad exitum, Deo adjuvante, perducat.

ἀποκρισιαρίους ὡς λωποδύτας, μηδὲ εἰς ἱερὰν αὐτῆς Θίαν προσηκαμένη, πόρρω δὲ ὄντας ἐνδίκως ἀπεπεμψαμένη· τοῖς δὲ ἡμετέροις ταλαιπωρήμασι, διὰ τῆς ἐπακροάσεως τῶν γραμμάτων, καὶ διηγήσεως των ἀποσταλέντων, ἐπιστυγνάσασά τε καὶ ἐπιστενάξασα θεομίμήτως, ὡς οἰκείοις μέλεσι. Καὶ ὄντως ἔγνωμεν οἱ ταπεινοὶ, ὡς ἐναργὴς διάδοχος τοῦ τῶν ἀποστόλων κορυφαίου προίστη τῆς Ῥωμαϊκῆς Ἐκκλησίας· ἀληθῶς πεπείσμεθα, ὅτι οὐκ ἐγκατέλιπε Κύριος τὴν καθ' ἡμᾶς Ἐκκλησίαν· μιᾶς καὶ μόνης τῆς παρ' ὑμῶν ἐπικουρίας ἄνωθέν τε καὶ ἐξ ἀρχῆς ἐν ταῖς συμβαινούσαις περιστάσεσιν ὑπαρχούσης αὐτῇ Θεοῦ προμηθείᾳ. Ὑμεῖς οὖν ὡς ἀληθῶς ἡ ἀθόλωτος καὶ ἀκαπήλευτος πηγὴ ἐξ ἀρχῆς τῆς ὀρθοδοξίας· ὑμεῖς ὁ πάσης αἱρετικῆς ζάλης ἀνῳκισμένος εὔδιος λιμὴν τῆς ὅλης Ἐκκλησίας· ὑμεῖς ἡ θεόλεκτος πόλις τοῦ φυγαδευτηρίου τῆς σωτηρίας. Ἀλλ' ὅτι τολμηρὸν παρ' ἡμῶν τῶν οἰκτρῶν καὶ ἀναξίων ἐγκώμια συναίρειν τῇ ὑπὸ Θείων γλωσσῶν πάλαι μεμακαρισμένῃ ὑμῶν Θεωνυμίᾳ· δέον ἐπὶ τὸ πονεῖν ἐλθεῖν.

Οἱ μὲν οὖν ἀσεβοῦντες τὰ συνήθη σὺν πάσῃ σπουδῇ καὶ μανίᾳ ποιεῖν οὐκ ἐνδιδόασι· πάντας ὑφέλκοντες καὶ κατασπῶντες εἰς τὸ τῆς αἱρέσεως βάραθρον ἑδιττομένους τὸν θάνατον. Ἀνάγκη γὰρ πᾶσα, τὸν μὴ εἴκοντα τῇ πονηρᾷ φλογὶ τῶν μαστίγων ὑποβληθῆναι σὺν τοῖς ἀκολούθοις, ὥστε κατὰ μικρὸν ὑπορρέειν, τὸ σχετλιώτατον, καὶ ἐξ αὐτῶν τῶν ἠθλητόκων. Ἡμεῖς δὲ καὶ αὖθις οἱ ταπεινοὶ καὶ ἔσχατοι ἐν τοῖς μέλεσιν, ὑπέρ τε τῆς οἰκείας ἱερᾶς κεφαλῆς, καὶ τῆς ἐνιστημένης ὑπεροχούσης πατρότητός τε καὶ ἀδελφότητος, τολμῶντες πρεσβεύομέν τε καὶ ἐκλιπαροῦμεν, παρακληθῆναί σου τὴν ἁγίαν καὶ ἀποστολικὴν ψυχήν. Πρῶτον μὲν, ὅπερ καὶ πιστεύομεν ποιεῖν, μὴ καταλῆξαι τῆς ὑπὲρ στηριγμοῦ καὶ διασώσεως ἁπάντων θεοκλινοῦς προσευχῆς. Καὶ, δεόμεθα τὰ ἱερώτατα σπλάγχνα. Ἔπειτα ἃ πνευματοκινήτως αὐτῇ βεβούλευται καὶ ὥρισται ἐπ' ὠφελείᾳ μὲν ἡμῶν τῶν ταπεινῶν, αἰωνίῳ δὲ μακαρισμῷ τῆς οἰκείας ἀρετῆς, εἰς πέρας σὺν Θεῷ ἀγαγεῖν.

XIV. — *Papæ Alexandriæ.*

ΙΔ'. — Πάπᾳ Ἀλεξανδρείας. [σδ'.]

Ejusdem ac duæ superiores argumenti. (Baron. an. 817, n. 26.)

In omnibus sanctissime Patri Patrum, luminari luminarium, Domino meo, Domino beatissimo papæ Alexandriæ, Theodorus minimus presbyter et præpositus Studii.

Τῷ τὰ πάντα ἁγιωτάτῳ Πατρὶ Πατέρων, φωστῆρι φωστήρων, κυρίῳ μου, δεσπότῃ μακαριωτάτῳ πάπᾳ Ἀλεξανδρείας, Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Maximum humilitati meæ munus, et summi voti opus erat, ut dignus fierem qui per litteras colloquerer cum apostolico vertice tuo, non solum ob tenuitatem parvitatis meæ, quæ impar est ut ad æquales scribat, nedum ad tam magnum et divinum caput; verum etiam ob difficilem in tanto intervallo accessum, quem ethnica præcipue inhibet obstructio. Attamen Dei optimi bonitate mihi obtigit, et nunc scribo duabus de causis: altera, ut quo jamdumdum teneor desiderio, id peccator explicem,

Ὡς μέγιστον τῇ ἐμῇ ταπεινώσει δῶρον, καὶ εὐχῆς τῆς ἀνωτάτω ἔργον, διὰ γράμματος ἀξιωθῆναι εἰς ὁμιλίαν ἐλθεῖν τῆς ἀποστολικῆς σου κορυφῆς, οὐ μόνον διὰ τὸ εὐτελὲς τῆς σμικρότητός μου· ἧς καὶ τὸ πρὸς ἴσους γράφειν ἐνδεὲς, μὴ ὅτι γε πρὸς οὕτω μεγάλην καὶ θείαν κεφαλήν· ἀλλὰ γὰρ καὶ διὰ τὴν ἐν τοσούτῳ μακρυσμῷ πάροδον, τῇ ἐθνικῇ ὅτι μάλιστα εἰργομένην διατειχίσει. Ὅμως εὐδοκίᾳ τοῦ ὑπεραγάθου Θεοῦ ἐξεγένετό μοι· δυοῖν εἵνεκα· ἑνὸς μὲν, ὡς ἂν ἦν πάλαι εἶχον ἐπιθυμίαν

ρτωλὸς ἀποπληρώσω, διὰ νοερᾶς προσψαύσεως ἱερῶν σου ἰχνῶν· οὐδὲ γὰρ ἄλλως ἦν δυνατὸν θαθόμιον πληρωθῆναι· ἑτέρου δὲ, ὃ καὶ μᾶλλον εἶγον, πρὸς τὸ γνωριμώτερα παραστῆσαι τὰ όντα δεινὰ ἐνταῦθα, τῇ θειοτάτῃ σου κορυφῇ, υμπασχούσῃ τοῖς τοῦ ὅλου σώματος τῆς Ἐκ- ας μέλεσιν. Ἃ ἐξήκουσται, ὡς οἶμαι, καὶ εἰς σχατα τῆς οἰκουμένης, διὰ τὸ τῆς κακίας πε- τον.

υγμὸς κατείληφεν ἡμᾶς, ὦ μακαριώτατε, καὶ μῶν ὁ βαρύτατος. Πάλαι μὲν οὖν Ἀχαὰβ ζητῶν ν τὸν προφήτην, πάντα τόπον ἐμπρῆσαι λέγε- τοῦ ἐμπρησμοῦ τὸν θυμὸν τοῦ ἀσεβοῦς ὑποφαί- ς. Νυνὶ δὲ ὁ Ἀχααβίτης καὶ τὴν ἀξίαν καὶ τὴν αν, οὐ τὸν Ἠλιοῦ μόνον ἐγγεγραμμένον· ἀλλὰ ὸν τούτου Δεσπότην Ἰησοῦν Χριστὸν, τὸν Κύριον εὸν ἡμῶν· τὴν Θεοτόκον καὶ πάντα ἅγιον ζητῶν εῖ, καὶ εὑρὼν ἐξαφανίζει θυμῷ μεγάλῳ ἐκ πά- όλεως καὶ χώρας τῆς ὑπο χεῖρα. Ἐντεῦθεν θυ- ήρια κατεσκαμμένα· ναοὶ Κυρίου ἠχρειωμένοι, κατ' οἴκους καὶ καθολικῶς καὶ ἐν ἀνδρῶσι, καὶ αρθενῶσιν, οἱ πάλαι, οἱ νεωστὶ ἐγηγερμένοι. ινὸν θέαμα ὥσπερ ἐξοψισθέντας ἀνθρώπους τέ- τινα· οὕτως τὰς τοῦ Θεοῦ Ἐκκλησίας βλέπειν ημένας τὸν οἰκεῖον κόσμον, καὶ ἀμορφώτους τώσας. Τίς ἤκουσε τοιοῦτον ἢ ἑώρακεν ἐν τοῖς ἀσεβήμασι; Τάχα ὁ ἐπικείμενος ὑμῖν Ἄραψ χρώμενος φιλοχριστότερον διέξεισιν ἐν τούτῳ. οὐχ ὁ ἡμέτερος Ταβεήλ· Φείσαι, Κύριε, καὶ ὡς τέλεον τὴν κληρονομίαν σου εἰς ὄνει. Καὶ εἰ τοὺς ἐν πίναξι χαρακτῆρας, τοὺς ἐν ἱεροῖς μασι, δέλτους τὰς ὑπομνηματιζούσας περὶ αὐ- σκώπτει, κωμῳδεῖ, διασύρει ὡς βδελύγματα· εστυγῆ· τὰ θεοφιλῆ, καὶ κόσμου σωτήρια· ὦ! ὐκ ἐπιστάξειε δάκρυον; τίς οὐκ ἀφήσει στενα- ἐκ βάθους καρδίας ἀναπεμπόμενον; Ὁδοὶ Σιὼν ουσι παρὰ τὸ μὴ εἶναι τοὺς εὐσεβῶς δι- οντας. Καίγε Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώ- αν. Ἱεραρχεῖν δοκοῦντες καὶ ἱερεῖς, μοναστὰ μιγάδες, πᾶν γένος, καὶ πᾶσα ἡλικία· οἱ μὲν ν ναυαγήσαντες περὶ τὴν πίστιν, οἱ δὲ εἰ καὶ λογισμοὺς οὐ καταποντισθέντες, τῇ δὲ αἱρετικῇ υνίᾳ ἐξ ἡμισείας δέει σωματικοῦ θανάτου συγ- νεύοντος. Πλὴν ὅτι εἰσὶν ὑπολελειμμένοι, οἵτι- οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. Καὶ τοσοῦτοι οι καὶ ἠρίθμηνται Κυρίῳ. Πρὸ πάντων ὁ πρώτι- ἡμῶν, ἡ ἱερὰ ἡμῶν κεφαλὴ, καὶ ὁμοταγὴς τῇ ότητί σου· ἱεράρχαι καὶ ἱερεῖς Κυρίου· μονα- καὶ μονάζουσαι· τούτων οἱ μὲν ἐμπαιγμῶν καὶ ίγων πεῖραν ἔλαβον· οἱ δὲ δεσμῶν καὶ φυλακῆς· μετρίῳ καὶ ὕδατι τρεφόμενοι. Ἄλλοι ἐξορίαις ωρισθέντες· ἕτεροι ἐν ἐρημίαις καὶ ὄρεσι καὶ κίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐνδιαιτώμενοι· δὲ καὶ παραυτὰ μαστιγωθέντες, μαρτυρικῶς Κύριον ἐξεδήμησαν. Εἰσὶ δὲ οἳ καὶ σακκισθέν- θαλασσεύθησαν ἀωρίᾳ, ὡς σαφὲς γέγονεν ἐκ τῶν ους θεασαμένων.

A intellectuali contactu sacrorum pedum tuorum, quandoquidem aliter votum explere non licet: altera, quæ magis urget, ut notiora fiant divinissimo vertici tuo, quæ hic dira acciderunt: ut qui totius corporis Ecclesiæ membris condoleat. Quæ quidem vel in ultimis terræ finibus ob extremam impietatem audita existimo.

Invasit nos persecutio, beatissime, et persecutionum gravissima. Olim quidem Achab Eliam quærens prophetam, loca omnia incendisse dicitur, incendio illo impii iram et furorem demonstrante [86]. Nunc vero et dignitate et corde Achabites, non Eliam solum depictum, sed hujus quo-
B que Dominum Jesum Christum, Dominum et Deum nostrum, Deiparam et sanctum unumquemque quærens quærit, inventumque magna ira delet in omni civitate et regione ditionis suæ. Hinc eversa altaria, templa Domini vastata, et privata et publica, quæ in vivorum et virginum habitaculis, tam vetera quam recens exstructa. Miserabile spectaculum! tanquam facie deformatos homines et ostenta quædam, sic Dei Ecclesias ornatu suo destitutas et informes relictas contemplari. Quis talia audivit aut vidit unquam in priscæ improbitatis exemplis? Ille ipse qui cervicibus vestris incumbit Arabs, mitius forsitan hac in parte erga Christum se gerit. At non sic Tabeel noster: *Parce, Domine, ne des ultra hæreditatem tuam in opprobrium* [87]. Cum ergo pictas in tabulis imagine e sacris donariis
C sublatas, et libros qui mentionem earum continent, proscindit, irridet, subsannat tanquam abominanda et invisa Deo piacula, quæ Deo accepta sunt et mundo salutaria: Heu! quis lacrymas teneat? quis gemitus eximo pectore non edeat? *Viæ Sion lugent, eo quod non sint qui* pie ambulent in eis [88]. Et vero *Omnes declinaverunt, simul inutiles facti sunt* [89]. Qui episcopi videbantur et sacerdotes, monachi et sæculares, omnis sexus et omnis ætas, alii quidem circa fidem ultimum naufragium passi sunt, alii, si minus mente et cogitatione demersi, hæretica saltem communione mortis metu contracta, eodem ex parte periculo involuti. Relicti tamen quidam sunt *qui non curvaverunt genua ante Baal* [90]: si-
D quidem tot numero, quot et numerati sunt a Domino. Ante omnes, qui primus est inter nos, sacrum caput nostrum, et ejusdem tecum dignitatis; episcopi et sacerdotes Domini; monachi et monachæ: quorum hi ludibriis et verberibus tentati fuerunt; illi vinculis et carceribus, pane modico et aqua vitam trahentes; alii exsiliis relegati; alii in desertis et montibus, in speluncis et cavernis terræ versantes; quidam insuper flagellis cæsi martyres ad Dominum emigrarunt. Sunt qui sacco inclusi in mare demersi noctu fuerunt, ut ab iis qui viderant, relatum est.

III Reg. XVIII, 1 seqq. [87] Joel II, 17. [88] Thren. I, 4. [89] Psal. LII, 4. [90] III Reg. X, 18; . XI, 4.

Quid cætera? Anathemate feriuntur sancti Patres nostri: prædicantur qui impii fuerunt, infantes impietatis dogmata, tradito magistris tomo, docentur: non est usquam salutis perfugium inter mortales: pium verbum proferri non licet, prope instant insidiæ, ita ut vir a conjuge sua caveat: indices et pittaciorum oblatores ad hoc ipsum ab imperatore mercedem capiunt, ut observent, ubi quis quid dicat a Cæsare discrepans, aut impietati non communicet, aut librum habeat de imaginibus tractantem: vel imaginem ipsam, aut exsulem recipiat, aut captivis pro Domino ministret. Qui si deprehendatur, illico rapitur, cæditur, relegatur: unde et dominos videas servis supplicantes indicii metu. Nobis illud dicere fas est: *Non est in tempore hoc princeps, et propheta, et dux, neque locus primitiarum coram Domino, ut possimus invenire misericordiam*[91]. Propterea hæc apud sanctam animam tuam indigni lamentamur, tanquam ex ore omnium qui veritatem defendunt, ejus patrocinium et miserationem implorantes. Scimus enim, si juvare aliter non possit, precum saltem subsidio magnum nobis in summis angustiis, cum propitium Deum habeat, emolumentum allaturam. Quo autem ex parte cognoscat, qualia sint nefaria impiorum dogmata, his ea litteris adjunxi in quaternionibus: quæ piorum rogatu refutanda imperitus suscepi. Oro autem divinam sapientiam tuam, ut omnia inspiciat, et imperfecta corrigat, veniamque tribuat mihi erratorum, meique inutilis filii in suis flectentibus Deum precibus recordetur.

A Τί τἄλλα; Ἀναθεματίζονται οἱ ἅγιοι ἡμῶν Πατέρες· ἀνακηρύττονται οἱ ἠσεβηκότες· τὰ νήπια ἐν τοῖς τῆς ἀσεβείας δόγμασιν ἀνατρέφονται, τῷ δοθέντι τόμῳ τοῖς διδασκάλοις· οὐκ ἔστι που καταφευκτήριον σώματος ἐν οἰκουμένοις· οὐκ ἔστι προέσθαι εὐσεβές τι ῥῆμα· καὶ ἡ θήρα ἐγγύθεν· ὡς φυλάττεσθαι ἄνθρωπον καὶ ἀπὸ τῆς συγκοίτου· μηνυταὶ καὶ πιττακοδόται εἰς αὐτὸ τοῦτο παρὰ τοῦ κρατοῦντος μεμισθωμένοι, ποῦ τίς σι λέγει ἀπαρέσκον τῷ Καίσαρι, ἢ μὴ κοινωνῶν τῇ ἀσεβείᾳ, ἢ βίβλον ἔχων περὶ εἰκόνων ἔχουσάν τι λεγόμενον, ἤγουν αὐτὴν εἰκόνα· ἄν τε φυγαδευόμενον εἰσδεχόμενος, ἢ τοῖς διὰ Κύριον φρουρουμένοις διακονῶν. Κἂν φωραθείη· εὐθὺς ἁρπαστος, διαρήσιμος, ἐξόριστος· ἐξ οὗ καὶ τοῖς δούλοις οἱ δεσπόται ὑποπίπτοντες δέει μηνύσεως. Ἡμῖν B πρέπει λέγειν, ὅτι Οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, οὔτε προφήτης, οὔτε ἡγούμενος· οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιον Κυρίου, καὶ εὑρεῖν ἔλεος. Διὰ τοῦτο ταῦτα ἐπεβοησάμεθα οἱ ἀνάξιοι τῇ ἁγίᾳ σου ψυχῇ, ὡς ἀπὸ στόματος πάντων τῶν ἀντεχομένων τῆς ἀληθείας, εἰς ἀντίληψιν καὶ συμπάθειαν ἡμῶν ἐκκαλούμενοι αὐτήν. Οἴδαμεν γὰρ, ὅτι κἂν μὴ οἷόν τε ἐπικουρεῖν ἄλλως, ἀλλά γε τῇ τῶν εὐχῶν βοηθείᾳ μέγα παρέξει ἡμῖν ἐν τοῖς ἀναγκαιοτάτοις τὸ ὄρελος, εὐμενῆ τὸν Θεὸν ἔχουσα. Ἵνα δὲ γνοίη ἐκ μέρους, οἷα τὰ ἀσεβῆ δόγματα τῶν ἀθέων, συναπέστειλα τοῖς γράμμασι καὶ ταῦτα ἐν τετραδίοις. Ἃ καὶ ἔδοξα ὁ ἀμαθὴς ἀνατρέπειν, προτραπεὶς παρὰ εὐσεβῶν. Αἰτῶ δὲ ὑπὸ τῆς θείας σου μεγαλονοίας ἐπισκεφθῆναι καὶ τὸ ἐλλιπὲς ἀνορθωθῆναι, καὶ συγγνώμην τῶν ἐπωφλημένων δέξασθαί με, λαμ- C βάνεσθαί τε εἰς μνήμην ἐν ταῖς θεοκλινέσιν αὐτῆς προσευχαῖς, ὡς ἀχρεῖον τέκνον.

Hæc autem epistola missa est etiam ad patriarcham Antiochiæ.

Ἡ αὐτὴ δὲ ἐπιστολὴ καὶ πρὸς τὸν τῆς Ἀντιοχείας πατριάρχην ἀπεστάλη.

Adversus Iconomachorum hæresim et immanitatem. (Baron. an. 817, n. 30.)

XV. — *In omnibus sanctissimo Patri Patrum, lumini luminum, magistro meo, domino patriarchæ Hierosolymorum, Theodorus minimus, presbyter, et præpositus Studitarum.*

Quis annuntiabit Abraham, quod aclat puerum Sara[92]? ait usquam sermo divinus. Et quis indigno mihi nuntiet humilem epistolam meam ad sacras apostolici vestri beatissimi culminis manus pervenisse? Attamen perveniet, ut spero: non enim vesana cupiditate, sed necessaria causa impulsus D peccator et epistolam mittere ausus sum, et latorem una fratrem charissimum Dionysium destinare, fidelem prorsus, et qui supplere per se omnia queat quæ epistolæ desunt. Itaque velut absens corpore, præsens autem spiritu, primum quidem ejus pedes secundum Deum ambulantes humilis amplector: hinc enim mihi benedictio et sanctificatio. Deinde tanquam ab ea jussus ad sancta loca proficiscor, adveneror sacrum solum, quod divina vestigia calcarunt, vivificum monumentum, in quo

ΙΕ'. — Τῷ τὰ πάντα ἁγιωτάτῳ Πατρὶ Πατέρων, φωστῆρι φωστήρων, κυρίῳ μου, δεσπότῃ πατριάρχῃ Ἱεροσολύμων, Θεόδωρος ἐλάχιστος, πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου. [σε'.]

Τίς ἀναγγελεῖ Ἀβραὰμ ὅτι Σάῤῥα θηλάζει; φησί που ὁ ἱερὸς λόγος. Καὶ τίς ἐμοὶ τῷ ἀναξίῳ εὐαγγελίσοιτο, ὅτι μου τὸ ταπεινὸν γράμμα εἰς ἱερὰς χεῖρας φθάσειε τῆς ἀποστολικῆς ὑμῶν μακαριωτάτης κορυφῆς; Ὅμως πιστεύω, ὅτι γενήσεται· οὐ γὰρ ἀλόγῳ ἐπιθυμίᾳ, ἀλλὰ ἀναγκαίᾳ ὑποθέσει κινηθεὶς ὁ ἁμαρτωλὸς ἐτόλμησα καὶ τὸ γράμμα ἀποστεῖλαι, καὶ τὸν ἐπιστοληφόρον Διονύσιον τὸν ποθεινότατον ἀδελφὸν συνεκπέμψασθαι, πιστὸν ὄντα, καὶ δυνατὸν ὅσα ἐλλείπει τῇ ἐπιστολῇ ἀφ' ἑαυτοῦ ἐξηγορῆσαι. Τοιγαροῦν ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, πρῶτον μὲν ὁ ταπεινὸς κατασπάζομαι τὰ θεοβηδῆ αὐτῆς ἴχνη· τοῦτο γὰρ ἐμοὶ εὐλογία τε καὶ ἁγιασμός. Ἔπειτα ὡς πρὸς αὐτῆς ἐπιτραπεὶς ἄπειμι ἐν τοῖς σεβαστοῖς τόποις· προσπτύσσομαι τὸ θεῖον ἔδαφος, οὗ τὰ θεῖα ἴχνη βέβηκε· τὸ ζωοποιὸν μνῆμα,

[91] Dan. III, 38. [92] Gen. XXI, 7.

ἐφ' ᾧ τὸ πανάγιον σῶμα τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατετέθη· τὸν χῶρον τοῦ ἁγίου Κρανίου, ἐν ᾧ ἐσταύρωται ὁ Κύριος τῆς δόξης. Μετειμι ἀλλαχοῦ· ὁρῶ τὴν ἁγίαν Βηθλεὲμ ὡς τὴν Ἐδέμ· προσκυνῶ τὴν θείαν φάτνην ὑπὲρ τὴν στάμνον τὴν χρυσῆν, ἐν ᾗ οὐ μάννα, ἀλλ' ὁ τῆς ζωῆς ἄρτος τέθειται. Καὶ μὴν βλέπω τὸ ἅγιον ὄρος, οὗ ἡ θειοτάτη μεταμόρφωσις· τὸ τῶν ἐλαιῶν ὄρος, ἀφ' οὗ ἀνέπτη πρὸς οὐρανοὺς ὁ τῶν ὅλων Κύριος· τὴν ἁγίαν Γεθσημανῆ, ἐφ' ᾗ ὁ τάφος τῆς πανσεβάστου δεσποίνης ἡμῶν Θεοτόκου· τοῦτο κἀκεῖνα· ἵνα μὴ μακρὸν ἀποτείνοιμι λόγον. Ὡ πῶς καὶ ἀπ' αὐτῆς μόνης ἐπιμνήσεως ἁγιασμοῦ ἐστι μετάληψις! Ὡ πηλίκων καὶ φρικτῶν σεβασμάτων ἡ τῆς σῆς μακαριότητος ὑπάρχει κορυφή! Σὺ πρῶτος πατριαρχῶν, κἂν πεντάζοις τῷ ἀριθμῷ. Οὗ γὰρ ὁ ἐπίσκοπος τῶν ψυχῶν, καὶ τῶν ὅλων ἀρχιερεὺς καὶ ἐγεννήθη, καὶ ἔδρασε τὰ θεουργὰ πάντα, καὶ ἔπαθε, καὶ τέθαπται, καὶ ἀνέστη, καὶ ἔζησε, καὶ ἀνελήφθη· ἐκεῖ δηλονότι τὸ ὑπεραῖρον ἁπάντων ἀξίωμα. Ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα πόθῳ καὶ τρόμῳ τετόλμηταί μοι λαλῆσαι· ἐπὶ δὲ τὸ ἕτερον τρέψομαι ἀπάγγελμα.

Διωγμὸς ἡμᾶς κατείληφεν, ὦ μακαριώτατε, καὶ διωγμῶν ὁ Ἑλληνοειδέστατος. Ἐπεὶ γὰρ ᾔσθετο ὁ Σατανᾶς ἐν προθύροις εἶναι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Μείζους τῶν αἱρέσεων ἀνάπτει τὰς φλόγας, προεισόδια τῆς τοῦ Ἀντιχρίστου παρουσίας. Τί τοῦτο; τὴν πάλαι ἐπὶ Λέοντος καὶ Κωνσταντίνου διεγερθεῖσαν ἀσέβειαν, καὶ μανεῖσαν ἐπὶ πολὺ, καὶ ῥαγεῖσαν θείᾳ ἀπιτιμήσει, αὖθις ἄρτι ὁ ὁμώνυμος καὶ συνώνυμος τῇ ἀσεβείᾳ κρατῶν ἀνενεώσατο. Καὶ τοσοῦτον, ὡς ἀποκρύψαι τὴν ἐκείνων λύτταν. Διώκει τὸν Χριστὸν ἐγγεγραμμένον σὺν Μητρὶ καὶ θεράπουσι· καὶ οὗ ἂν εὕροι, καθαίρει, φλέγει. Ἐντεῦθεν θυσιαστήρια κατεσκαμμένα· ἱεροὶ ναοὶ ἡμαυρωμένοι· σκεύη ἱερὰ ἐμπεπρησμένα· οὐκ ἔστιν ὅτι μὴ ἐλλέλειπται μέρος τῆς ὑπ' αὐτὸν βασιλείας ἑαθὲν ἀκαθαίρετον. Ἀλλ' εἴ πως εὑρεθείη τις ἐγκεκρυφὼς σεπτὴν εἰκόνα, ἢ δέλτον περὶ αὐτῆς λεκτόν τι ἔχουσαν· ἀνάρπαστος εὐθὺς, μάστιξι καταξαινόμενος, καὶ πᾶν ἄλλο δεινὸν ὑφιστάμενος. Ἐντεῦθεν δείματα, καὶ τρόμοι, καὶ ἐκστάσεις περὶ πάντα ἄνθρωπον· ὡς καὶ χαίρειν λέγειν ἀδελφῷ ἀδελφὸν, καὶ φίλῳ φίλον, ἐκτρέπεσθαι. Σύνοδος κυροῦσα τὴν πάλαι ἀσεβεστάτην, καὶ καταναθεματίζουσα τὴν ὀρθόδοξον. Ἱερεῖς ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν· ἀλλὰ τὸ τῷ Ἀχαὰβ δόξαν συνεκρότησαν. Πάντες ἐξέκλιναν, ὅμα ἠχρειώθησαν· πλὴν ὀλίγων κομιδῇ. Τίνων τούτων; ἐπισκόπων τε καὶ ἡγουμένων· μοναζόντων τε καὶ μοναζουσῶν· αὐτοῦ τε, χάριτι Θεοῦ, τοῦ κορυφαιοτάτου ἡμῶν ἀρχιερέως· ὧν οἱ μὲν ἐμαστίχθησαν· ἄλλοι ὑπερωρίσθησαν· ἕτεροι ἐσυλακίσθησαν. Ἔνιοι δὲ καὶ παραυτὰ τῶν ποινῶν πρὸς Κύριον ἐξεδήμησαν, ἀθλητικὸν στέφανον ἀράμενοι.

Τί τἀντῆς βλασφημίας; Κωμῳδεῖται ἡ σεπτὴ καὶ

A sanctissimum Dei et Salvatoris nostri Jesu Christi corpus depositum fuit, sacrum Calvariæ locum, ubi Dominus gloriæ crucifixus. Alio pergo: sanctam Bethleem quasi Edem conspicio: divinum adoro præsepe supra urnam auream, in quo non manna, sed panis vitæ conditus est. Video etiam sanctus montem, in quo divinissima. Transfiguratio: Olivarum montem, unde ad cœlos Dominus omnium evolavit: sanctam Gethsemanen, ubi sepulcrum omni honore colendæ Dominæ nostræ Deiparæ. Hoc atque illud, ne longam texam orationem. O quanta vel ex ipsa commemoratione manat sanctificatio! o quot et quantis culturis præest beatitudinis tuæ vertex! Tu primus patriarcharum, licet quintus numereris. Ubi enim episcopus animarum ac pontifex omnium natus est, et divina B omnia operatus, et passus, et sepultus, ubi resurrexit, et vixit et assumptus est; illic suprema omnium procul dubio dignitas. Sed de his hactenus, desiderio ac reverentia impulsus loqui ausus sum. Nunc ad alteram narrationem me converto.

Invasit nos persecutio, beatissime, et persecutionum omnium ethnicæ simillima. Postquam enim sensit Satanas in januis esse beatam spem, et adventum gloriæ magni Dei et Salvatoris nostri Jesu Christi, majores hæresum faces accendit, præludia adventus Antichristi. Quid hoc rei est? Exortam olim sub Leone et Constantino impietatem, diuque debacchatam, sed divina vindicta compressam, nunc iterum cognominis et æque impius imperator C renovavit, idque tanto conatu, ut illorum rabiem obscuret. Expressum picturis Christum insectatur cum Matre et ministris; ubicunque nactus eas est, delet, exurit. Hinc eversa altaria, ædes sacræ deformatæ, sacra vasa concremata, nec ulla pars in ejus regno est ab illa grassatione immunis. Quin si repertus quispiam fuerit venerandam imaginem occultasse, aut librum qui de ea retractet, rapitur e vestigio, verberatur, et dira alia omnia perpetitur. Hinc terrores ac trepidationes, stuporesque omnium hominum: adeo ut frater fratri valedicat, et amicus amicum aversetur. Synodus facta est, veterem illam impiam confirmans, et orthodoxam anathemate condemnans. Sacerdotes non intellexerunt, Dominum non requisierunt: sed quod Achab D placuit, comprobarunt: *Omnes declinaverunt, simul inutiles facti sunt*[93], paucis admodum exceptis. Quibusnam illis? Episcopis et præpositis, monachis et monialibus, et ipso, Dei gratia, supremo archiepiscopo nostro. Quorum quidem alii flagellis cæsi sunt, alii relegati, alii in carcerem detrusi, alii per hasce pœnas ad Dominum migrarunt, athleticam coronam reportantes.

Quid de blasphemia loquar? Irridetur veneranda

[93] Psal. LII, 4.

et tremenda imago Christi, tanquam abominatio desolationis, tanquam idolum erroris : eodem modo quælibet alia Dominæ nostæ et sanctorum. Nunc, inquit, sincera et inculpata fides : nunc Dominus locutus est *pacem populo suo, et sanctis ejus, et iis qui ad illum cor convertunt* [94]. Quasi sublata pax esset, ex quo Christus dixit : *Pacem relinquo vobis, pacem meam do vobis* [95], ad hoc usque tempus : et ejus Ecclesia contaminata, quam sanctus Paulus *non habentem maculam* prædicat, *aut rugam, aut aliquid hujusmodi, sed sanctam et immaculatam* [96]. Et alii quidem ultimum circa fidem naufragium fecerunt ; alii vero quamvis mente et cogitatione submersi non sint, ipsa, tamen hæresis communione, una perierunt. Enimvero etiam ii qui recte sentiunt, persecutionis diuturnitate titubant circa veritatem : quemadmodum iis contingit qui ad decumanos maris fluctus navigationis rudes caligant. Miseranda nobis omnia luctuque digna. Subtrahuntur cantica ab antiquis accepta, in quibus imaginum fit mentio : canuntur pro eis nova impia dogmata palam exposita, quæ et pueris ipsis traduntur a magistris. Omnium rerum impia est conversio. Facti sumus, ut proprie loquar, sicut Sodoma et Gomorrha propter peccata nostra [97] : et procella hæresis altius dies assurgens nos operit : nec inventus est qui Christum Deum nostrum expergefaciat, ut increpet turbulentum hoc mare.

At tu esto nobis unus e duodecim apostolis, beatissime : excita e somno insomnem oculum dispensatorie dormitantem, quia perimus omnino. Si quod est et aliud auxilii pharmacum ad sanandos infirmos; ut peritus adhibe. Deprecamur, sanctissime, obtestamur, hortamur. Membra tua sumus : quandoquidem fideles omnes *corpus sunt Christi, et membra ex parte* [98]. Præcipe et aliis sanctis Patribus nostris, intercessoriam manum porrigant, ut multorum interpositu, suam Deus nobis misericordiam impertiat. Hunc in finem epistola, et tabellarius ab omnibus animo destinatus, etsi a nobis solis omnium minimis illorum vicem agentibus missus. Ut autem ex parte cognoscat celsitudo vestra, cujusmodi sint dogmata impiorum : ea in quaternionibus descripta epistolæ adjeci : quæ et aliorum rogatu refutanda imperitus suscepi. Ora autem ut ea inspiciat divina tua sapientia, et quod deest suppleat, veniamque mihi tribuat erratorum : atque adeo conservum fratrem nostrum litteras quas accepit sanctis aliis reddere, et huc postea, Deo volente, redire permittat.

φρικτὴ εἰκὼν Χριστοῦ, ὡς βδέλυγμα ἐρημώσεως, ὡς εἴδωλον πλάνης · οὕτως πᾶσα ἄλλη δεσποινική, ἁγιωτική. Ἄρτι, φησὶ, καθαρὰ καὶ ἀμώμητος πίστις · ἄρτι, φησὶ, Κύριος ἐλάλησεν εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Ὡς ἤδη ἀρθείσης τῆς εἰρήνης, ἀφ' οὗ Χριστὸς ἔφη· Εἰρήνην ἀφίημι ὑμῖν · εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν · μέχρι τοῦ δεῦρο · καὶ ἐρρυπωμένης οὔσης τῆς Ἐκκλησίας αὐτοῦ · ἣν ὁ ἱερὸς Παῦλος βοᾷ μὴ ἔχειν σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων · ἀλλ' εἶναι ἁγίαν καὶ ἄμωμον. Οἱ μὲν τέλεον περὶ τὴν πίστιν ἐναυάγησαν · οἱ δὲ, καὶ τοῖς λογισμοῖς οὐ κατεποντίσθησαν, ὅμως τῇ κοινωνίᾳ τῆς αἱρέσεως συνόλλυνται. Ἀλλὰ γὰρ καὶ αὐτοὶ οἱ κατὰ νοῦν ὀρθοδοξοῦντες, τῷ ἐπιμονῇ τοῦ διωγμοῦ ἰλιγγιῶσι περὶ τὴν ἀλήθειαν · ὥσπερ οἱ ὑπὸ τρικυμιῶν θαλάσσης ἀπειρίᾳ πλεύσεως σκοτούμενοι. Ἐλεεινὰ τὰ πάντα ὑμῖν καὶ ἀδυρμῶν ἄξια. Παραστέλλονται ψαλμῳδίαι ἀρχαιοπαράδοτοι, ἐν αἷς περὶ εἰκόνων ᾄδεταί τι · ἀντᾴδεται νὰ ἀσεβῆ νέα δόγματα εἰς προῦπτον κείμενα · ἄλλα τοῖς παισὶ πρὸς τῶν διδασκάλων παραδιδόμενα. Καὶ μεταστοιχείωσις τῶν ἁπάντων ἀθεωτάτη. Ἐγενόμεθα, κυρίως εἰπεῖν, ὡς Σόδομα καὶ Γόμορρα κατὰ τὰς ἁμαρτίας ἡμῶν · καὶ ἡ καιταιγὶς τῆς αἱρέσεως κορυφουμένη κορυφοῦται ὀσημέραι · καὶ ὁ διαναστήσων Χριστὸν τὸν Θεὸν ἡμῶν ἐπιτιμῆσαι τῇ πονηρᾷ ταύτῃ θαλάσσῃ οὐχ εὕρηται.

Ἀλλὰ γενοῦ ἡμῖν εἷς τῶν δώδεκα ἀποστόλων, ὦ μακαριώτατε · διύπνισον τὸν ἀκοίμητον ὀφθαλμὸν οἰκονομικῶς καθεύδοντα · ὅτι ἀπολλύμεθα τέλεον. Εἴ πως καὶ ἄλλως ἐστί τι φάρμακον βοηθείας, ἰατρεῦσαι τοὺς ἠσθενηκότας · ὡς ἐπιστήμων ἐπείχθητι. Ναὶ, δεόμεθα, ἁγιώτατε · ἀντιβολοῦμεν · παρακαλοῦμεν. Σοῦ ἐσμεν μέλη · ἐπεὶ οἱ πάντες πιστοὶ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. Ἐπίτρεψον καὶ τοῖς ἄλλοις ἁγίοις Πατράσιν ἡμῶν χεῖρα πρεσβευτικὴν ὀρέξαι · ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς ἔλεος εἴῃ παρὰ Θεοῦ. Τούτου δὴ χάριν τὸ γράμμα, καὶ ὁ γραμματηφόρος πρὸς πάντων τῇ προθέσει ἀπεσταλμένος · εἰ καὶ παρ' ἡμῶν μόνων τῶν ἐλαχίστων ἀναπληρούντων το ἐκείνων πρόσωπον. Ἵνα δὲ γνοίῃ ἐκ μέρους ἡ κορυφαιότης σου, οἷα τὰ τῶν ἀθέων δόγματα · συναπέστειλα τοῖς γράμμασι ταῦτα ἐν τετραδίοις · ἃ καὶ ἔδοξα ὁ ἀμαθὴς ἀνατρέπειν, προτραπεὶς ὑφ' ἑτέρων. Διτῶ δὲ παρὰ τῆς σῆς θεοσοφίας ἐπισκεφθῆναι · καὶ τὸ ἐλλιπὲς ἀνορθωθῆναι · συγγνώμην τε τῶν ἐπωφλημένων δέξασθαί με · οὐ μὴν ἀλλὰ καὶ τὸν σύνδουλον ἡμῶν ἀδελφὸν συγκροτηθῆναι · πρός τε διάδοσιν τῶν ἐν οἷς ἐπεστείλάμεν ἑτέρων ἁγίων προσώπων ἐπιστολῶν · καὶ δὴ, Θεοῦ θέλοντος, εἰς ἐπιστροφὴν παλινοδίας αὐτοῦ τῶν ἐνταῦθα.

XVI. — *Ad Lauram sancti Sabæ.*

A Deo honorato, dilecto et spirituali Patri meo, domino præposito percelebris lauræ beatissimi sancti Patris nostri Sabæ, et iis qui sub ea sunt sanctis

ΙϚ'. — Εἰς τὴν Λαύραν τοῦ ἁγίου Σάβα.

Τῷ θεοτιμήτῳ, ἠγαπημένῳ καὶ πνευματικῷ μου Πατρὶ, κυρίῳ καθηγεμόνι τῆς περιβοήτου λαύρας τοῦ παμμάκαρος ἁγίου Πατρὸς

[94] Psal. LXXXIV, 9. [95] Joan. XIV, 27. [96] Ephes. V, 27. [97] Isa. I, 9. [98] II Cor. XII, 27.

ἡμῶν Σάβα, καὶ τοῖς ὑπ' αὐτῇ ὁσίοις μου Πατράσι, Θεόδωρος ἐλάχιστος, πρεσβύτερος καὶ ἡγούμενον τῶν Στουδίου. [σϛ'.]

Χαρά μοι μεγάλη καὶ δόξης περιβολὴ τῷ ἀταξίῳ· ὅτιπερ ἠξίωμαι εὐτελές μου γραμματεῖον ἀποστεῖλαι ἐν τόπῳ ἁγίῳ, ἐν σκηναῖς ὁσίων τῆς ὑμετέρας περιποθήτου πατρότητος. Ἐπειδὴ γὰρ τῇ τοῦ σώματος παρουσίᾳ οὐχ οἷόν τε ἦν παραγενέσθαι με πρὸς τὰ ἴχνη ὑμῶν, καὶ ἰδεῖν τὸ ἅγιον τέμενος, τὴν ἱερὰν περιοχὴν ὑμῶν, ἣν ἐγὼ ὁ ταπεινὸς, ὡς πόλιν Θεοῦ δι' αἰδοῦς ἔχων εἰμί· εὐδόκησεν ὁ ἀγαθὸς Θεὸς διὰ τῆς τοῦ γράμματος ἐπισκοπῆς τὸ καταθύμιόν μου πληρῶσαι τοῦ ἁμαρτωλοῦ. Καὶ δὴ ὡς παρὼν πρὸ τῶν ποδῶν ὑμῶν, καὶ περιπτύσσομαι ὑμᾶς τῷ ἁγίῳ πόθῳ· καὶ προσκυνῶ τὸ θεῖον ἔδαφος, ἐν ᾧ τὸ ἐκλεκτὸν σκεῦος τοῦ Θεοῦ τεταμίευται· τὸ φῶς τῶν μοναζόντων· ὁ λαμπτὴρ τῆς οἰκουμένης· ὁ τοῦ νοητοῦ Φαραὼ καταποντιστής· καὶ τοῦ ἁγίου ἔθνους καθηγητὴς, ὁ τῆς ἁγίας γῆς ἐγκρατὴς, καὶ τῶν θείων μονῶν κληροδότης. Συνασπάζομαι καὶ τὰς λοιπὰς σεβασμίας θήκας, ἐφ' αἷς τὰ ἱερὰ σώματα τῶν ὁσίων· οἷς ὁ πλοῦτος τῶν ἀρετῶν, ἐν νυκτὶ τοῦ τῇδε βίου ἄστροις ἐοικόσι θεοφαέσιν. Ὁρῶ τὸν χῶρον, ἐφ' ᾧ ὁ στύλος τοῦ πυρὸς τῷ στύλῳ τῶν ἀρετῶν ὥπται· ἡ πρὸς τοὺς ἀοράτους ἐχθροὺς νικηφόρος πάλη· τὸ τῆς θαυματουργίας δρᾶμα· τοῦτο κἀκεῖνο ποικιλλόμενον ταῖς κατὰ καιρὸν ἐνεργείαις τοῦ Πνεύματος. Ὡ πόσα μοι ὁ πόθος ἐπιβάλλει λέγειν! καὶ ὁ τρόπος εἴργει τοῦ μὴ εἰς ἄμετρον ἐκπεσεῖν τὴν ἐπιστολήν. Ὡ πόσων ἀγαθῶν πράξεων σύμβολα καὶ ὑπομνήματα ἐν ὑμῖν! μονονουχὶ καὶ ὑπὸ θείας αὐτῆς δυνάμενα παρακαλεῖν ψυχὴν εἰς ἐπίδοσιν ἀρετῆς. Ἀλλ' ὁ μὲν πρῶτος λόγος ἐχέτω ταῦτα· εἰ καὶ ἐνδεέστερον τῆς ἐπιθυμίας. Ἐφ' ἕτερον δὲ μετελεύσομαι ὀδυρτικὸν, οὐ περιχαρῆ· δι' ὃν καὶ ὁ πρότερος ὑφωρμήθη μοι ὑπάρξαι. Ὀργὴ Θεοῦ ἡμᾶς κατέλαβεν, ὦ Πατέρες ἁγιώτατοι, διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγείσης τῆς ἀγάπης, ὡς ὁ Κύριος εἴρηκε. Διωγμὸς Ἑλληνοειδὴς, χαλεπώτατος λίαν. Ἀπηλάθη τῆς αὐλῆς ὁ ἀρχιποιμὴν ἡμῶν· διεσκορπίσθη τὰ Χριστοῦ πρόβατα· λύκοι βάρεῖς εἰσεφθάρησαν [f. εἰσίφθασαν] ἐν τῇ ποίμνῃ, καίγε μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. Τί τοῦτο; Πάλιν ἐνταῦτα ἠτιμάσθη ἡ σεπτὴ εἰκὼν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς Θεοτόκου, παντὸς οὐτινοσοῦν ἁγίου. Διὰ τοῦτο ποίμενες ἠφρονεύσαντο, καὶ οὐχ ὅτι τὸν Κύριον, προφητικῶς εἰπεῖν, οὐκ ἐξεζήτησαν· ἧττον γὰρ ἂν ἦν τὸ ἀσέβημα· ἀλλ' ὅτι συνήχθησαν Ἰουδαϊκῶς κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· ἀποδοκιμάσαντες αὐτοῦ τὴν ἁγίαν εἰκόνα, τῆς τε αὐτοῦ Μητρὸς, καὶ τῶν θεραπόντων.

Διὰ τοῦτο θυσιαστήρια ἅγια ἠφανίσθη· καὶ ναοὶ Κυρίου ἠμαυρώθησαν, ἐν πάσῃ πόλει καὶ χώρᾳ τῆς τῇδε ἐξουσίας, εἰς πένθος προκείμενοι τοῖς ὁρῶσι, τὸν οἰκεῖον κόσμον τῆς θείας εὐμορφίας ἀφῃρημένοι. Διὰ τοῦτο ἱερὰ σκεύη ἀναχωνευόμενα, καὶ ἐσθῆς

Patribus meis, Theodorus minimus, presbyter et præpositus Studitarum.

Magna mihi lætitia, ingensque gloria, indignus sim licet quod tenuem epistolam mittere in loca sacra contigerit, in tabernacula sanctorum, vestræ scilicet plurimum desideratæ paternitatis. Quandoquidem enim adesse coram non licet, ac vestigiis vestris advolvi, et sanctam ædem vestram intueri, sacrumque septum, quod ego humilis, tanquam Dei civitatem, religiose veneror, placuit Deo optimo per litteras, veluti per speculam, votis meis, licet, peccatis sim obnoxius, obsecundare. Itaque tanquam vestris pedibus advolutus, sanctos vos desiderio complector, et divinum animo exosculor solum, in quo vas Dei electum servatur, lux monachorum, orbis terrarum lucerna, qui spiritalem Pharaonem demersit, genti sanctæ moderator viæ, terræ sanctæ compos, divinarumque mansionum distributor. Saluto una et reliquos venerandos loculos, in quibus sacra sanctorum condita corpora, in quibus virtutum opes repositæ, quippe quæ in nocte hujusce vitæ divinorum siderum instar effulgent. Locum mihi videre videor, in quo columna ignis per virtutum columnam repræsentatur: ubi lucta adversus hostes invisibiles cum adeptione victoriæ, ubi scena referta miraculis, ubi hoc et illud opportune illustrat multiplex spiritus vis et efficacia. O quanta dicere suggerit animus! sed modus tenendus est, ne in immensum excurrat epistola. O quod rerum præclare gestarum argumenta apud vos ac monumenta exstant, quæ vel ipso conspectu impellere animum possint ad virtutis profectum! Sed sit hæc prior pars orationis, quanquam pauciora dixi quam velim. Ad alteram progrediar, nec illam quidem gaudii plenam sed mœroris: ob quam et prior illa est a me ultro instituta. Apprehendit nos ira Dei, Patres sanctissimi, quoniam abundavit iniquitas, refrigescente charitate, sicut Dominus pronuntiavit [99]. Persecutio ethnicæ similis, præpter modum sæva. Abactus ab ovili summus pastor noster, dispersæ sunt oves Christi, lupi rapaces invaserunt gregem, *et singularis ferus depastus est eum* [1]. Quid istud rei est? Iterum hic effecta probris est veneranda imago Dei et Servatoris nostri Jesu Christi, Deiparæ, et sancti cujuslibet. Idcirco *stulte egerunt pastores*, non quod *Dominum*, ut cum propheta loquar, *non quæsierunt* [2], levius enim piaculum foret; sed quod Judæorum more *convenerunt in unum adversus Dominum, et adversus Christum ejus* [3]: sanctam ejus imaginem reprobantes, Matris item ac famulorum.

Τὸ πρόβλημα περὶ τοῦ πρεσβυτέρου τοῦ ὀρθοδοξεῖν δοκοῦντος, συνεσθίοντος δὲ ἐπισκόπῳ καθὰ εἴρηκας· εἰ μὲν παύσοιτο τῆς τοιαύτης συνεστιάσεως, μετ' ἐπιτιμίου ἀπείρξεως τῆς ἱερουργίας ἕως τινὸς χρόνου, μηκέτι εἰς τὸν αὐτὸν ὄλισθον ὑποπίπτειν· ἔχει ἴασιν τοῦ ἱερουργεῖν Θεῷ. Εἰ δὲ ἀδιαφοροίη· μὴ γένοιτο λύτρον ἀνδρὸς ὁ ἴδιος πλοῦτος· τοῦ φυγεῖν σὺν τῇ δόσει καὶ αἱρετικῆς κοινωνίας, καὶ ἁμαρ[τη]τικῆς ἄλλης πράξεως· οὐ μὴν τῇ ἀνταλλαγῇ δοῦναι τὸ καλὸν, καὶ λαβεῖν τὸ χεῖρον· οἷον δοῦναι φῶς, καὶ λαβεῖν σκότος. Οὐδ' ἂν τὰ ὅλα χρήματα τοῦ κόσμου παρέξει τις· καὶ καινωνῶν εἴη τῇ αἱρέσει, φίλος Θεοῦ καθίσταται, ἀλλ' ἐχθρός. Καὶ τί λέγω κοινωνίας; Κἂν ἐν βρώματι, καὶ πόματι, καὶ φιλίᾳ συγκάτεισι τοῖς αἱρετικοῖς ὑπεύθυνος. Τοῦ Χρυσοστόμου ἡ ἀπόφασις· ἐπεὶ καὶ παντὸς ἁγίου. Ἡῶς δὲ ἀκούσιον, καὶ οὐκ ἔργον τῷ δοκοῦντι ὀρθοφρονεῖν, κοινωνοῦντι δὲ ὅμως τῇ ἀρέσει; Ἀκούσιόν ἐστιν, ὅταν τὸ στόμα τις τοῦ ὀρθοδόξου βιαίως ἀναχάνας, ἐγχέῃ τὴν αἱρετικὴν κοινωνίαν· ὅπερ ἐποίησαν οἱ πάλαι αἱρετικοὶ, καὶ ποιοῦσιν, ὡς ἔμαθον, οἱ νυνὶ Χριστομάχοι. Τὸ δὲ ἀφ' ἑαυτοῦ μετασχεῖν, ἑκούσιον. Εἰ δὲ ὅτι δέει· τοῦτο γάρ ἐστι τὸ ζητούμενον· οὐδὲ οὕτως ἕξει ἀπολογίαν. Μὴ φοβεῖσθε γὰρ ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, ἀλλὰ Θεὸν, τὸν τὸ συναμφότερον γεέννῃ αἰωνίου πυρὸς παραπέμποντα. Ἀκούομεν; Ἀληθῶς ὁ κόσμος ὅλος μιᾶς ψυχῆς οὐκ ἔστιν ἀντάξιος, τῆς φυλαττούσης ἑαυτὴν ἀμέτοχον καὶ αἱρετικῆς κοινωνίας καὶ παντὸς κακοῦ. Οἱ δὲ ἀμφοτέρων μέτοχοι, χόρτῳ ἰσότιμοι, ξύλοις, καλάμῃ. Ἃ κατακαύσειε τὸ δοκιμαστικὸν πῦρ τῆς κρίσεως· τοὺς δ' αὐτῶν πράκτορας σὺντηρήσει, ἀϊδίως φλογιζομένους, καὶ μὴ χωνευομένους.

A Quæstio de presbytero, qui cum orthodoxus crederetur; cum episcopo, quemadmodum dixisti, una cibum capit; si quidem ita convivari desierit, impositia pœna, abstentus ut sit ab re sacra obeunda usque ad certum tempus, ne posthac simili lapsu offendat: sanari potest, ut sacris operetur. Sin is parvipendat; ne sint homini propriæ opes pro redemptionis pretio. Fugienda enim cum donatione communio hæretica et aliud quodvis scelus: nec sic instituenda commutatio, ut quod bonum est detur, accipiatur quod deterius: cujusmodi est lucem impertiri, ac tenebras referre. Nec si quis universas mundi divitias offerat, communicetque hæresi, amicus Dei censebitur, sed hostis. Quanquam quid communionem dico? Vel si in cibo potuque, et amicitia cum hæreticis congrediatur, reus B est. Hæc Chrysostomi, imo et cujusvis sancti, oratio est. Quomodo vero id contra voluntatem ac non sponte fit, cum quis orthodoxus quidem videtur, hæresi tamen interim communicat? Contra voluntatem est, si quis orthodoxi os per vim aperiens, hæreticam communionem infundat: id quod fecerunt olim hæretici, et faciunt, ut didici, hujus ætatis Christomachi. Cum quis autem a seipso particeps fit, id sponte fit. Sin autem quoniam timet; hoc enim est quod quæritur; nec sic habebit excusationem. *Nolite*, enim *timere eos qui occidunt corpus* [58]; sed Deum, qui utrumque potest in gehennam sempiterni ignis amandare. Audimus? Vere mundus totus non est cum anima una conferendus, quæ seipsam tum ab hæretica communione, tum C ab omni malo servat immunem. Qui vero sunt utriusque participes, feno similes sunt, ligno, stipulæ: quæ quidem exploratur ignis judicii cremabit: eorum autem auctores in sempiternum ævum servabit, exurendos idem, non vero purgandos.

ΛΓ'. — Πρὸς τοὺς λέγοντας μὴ περιγραπτὸν εἶναι τὸν Χριστόν [σπη'.]

Ὁ μὴ περιγραπτὸν εἶναι σώματος χαραχτῆρι τὸν Χριστὸν λέγων· εἰρμῷ τινι πάντως φυσικῷ, καὶ ἀποδείξει λογικῇ κεχρημένος, τὴν περὶ τούτου ἔνστασιν πεποίηται, εἰς βεβαίωσιν ἀληθείας καὶ διασάφησιν τῶν ἀμυήτων.

Οὐκοῦν παρελθὼν διδασκέτω, ὅπως ἔχει φύσεως ὁ λόγος, καὶ τίς ἡ αἰτία τῆς ἀγραφίας. Ὅτι τῷ καθ' ἡμᾶς εἴδει οὐ μεμόρφωται; ὅτι ὀστέοις τὸ σῶμα οὐ διείληπται; ὅτι βλεφάροις καὶ ὀφρύσι τὰς D ὀπτικὰς κόρας οὐκ ἐφήρμοσται; ὅτι ὠσὶ τοὺς ἐλίκοειδεῖς πόρους οὐ τετόνωται; ὅτι ῥισὶ τῶν ὀσφραντῶν ἀντιλαμβάνειν οὐκ ἠθείασται; ὅτι παρειαῖς ἡβώσαις οὐκ ἐξήρτηται; ὅτι στόματι καὶ γλώττῃ, χείλεσί τε καὶ ὀδοῦσιν, οὐ διείλεκται, βέβρωκέ τε καὶ πέπωκεν; ὅτι ὤμων, καὶ ὠλενῶν, καὶ χειρῶν περιθέσει οὐ διέπλασται; ὅτι στέρνα αὐτῷ καὶ νῶτα σὺν κνημῖσι καὶ ποσὶν οὐκ ἐμπέφυκεν; ὅτι παράτασιν χρονικὴν κατὰ προκοπὴν καὶ αὔξησιν ἡλικίας οὐκ εἴληφεν; ὅτι κίνησις αὐτῷ πορευτικὴ, ἡ ἄνω, ἡ κάτω, ἡ ἐντὸς, ἡ ἐκτὸς, ἡ δεξιὰ, ἡ ἀριστερὰ, ἡ κυκλοφορικὴ, οὐ συνεκπέφανται; ὅτι κόποις καὶ

XXXIII. — *Ad eos qui dicunt non circumscribi Christum.*

Qui circumscriptum esse corporis forma Christum negat; consecutione quadam omnino physica, et demonstratione logica, usus, hanc de isto argumento instantiam protulit ad confirmationem veritatis, et ut profani homines manifesti fiant.

Prodiens itaque in medium, doceat cujus sit naturæ sermo, et quæ causa sit, cur Christus pingi non possit. An quod non est ad similitudinem nostram informatus? quod corpus ei non est divisum ossibus? quod pupillas oculorum non habet palpebris instructas ac superciliis? quod aures non sunt sinuosis compactæ mealibus? quod non sunt apte compositæ nares ad percipiendos odores? quod non est pubescentibus genis instructus? quod ore, lingua, labilis dentibusque, nec vocem protulit, nec comedit aut bibit? quod non est humeris, et ulnis, et manibus circumductis conformatus? quod nec pectus ei nec dorsum, cum cruribus pedibusque, inest a natura? quod progressu temporis non est procerior factus juxta processum et incrementum ætatis? quod nullus ei ad incessum motus, supra, in-

[38] Matth. x, 28.

fra, intra, extra, dextrorsum, sinistrorsum, in orbem deprehensus est? quod laboribus ac molestiis aliisque affectionibus, quæ culpa vacant, obnoxius non fuit; capitis comam nutriens, et vestibus universum corpus obvelans? Sin autem in confesso est visum in his quæ collegimus hominem verum, cujus fieri delineatio possit quoad formam corporalem, veraxque pictura, sine qua nec constare ullum corpus compositum possit: siquidem tactu et colore continetur: quæ ingens illa cæcitas est, impiaque altercatio, ut Christum, qui nobis consubstantialis apparuit, ac per omnia similis, pingi non posse contendat? Quomodo vero, eo pereunte quod pingi potest, non una perire necesse est cognatas omnes proprietatis? Est enim immutabilis propietas, ait Theologus; aut quomodo permanet mutata evanescensque proprietas? Respondeat adversarius.

A ἀχθηδόσι, καὶ τοῖς ἄλλοις ἀδιαβλήτοις πάθεσιν, οὐ συνουσίωται· θριξὶ τὴν κεφαλὴν κομῶν, καὶ χιτῶσι τὸ ὅλον σῶμα σκεπόμενος; Εἰ δὲ ἐν τούτοις ὁμολογουμένως ὤπται, ὧν ἡ ἄθροισις, ἄνθρωπος ἀληθής, καὶ οὗ ἡ κατὰ τὸν σωματικὸν χαρακτῆρα ἐξεικόνισις, γραφὶς ἀψευδής· καὶ ἧς ἄνευ οὐδὲ συστῆναι πᾶν σῶμα σύνθετον οἷόν τε· εἴπερ ἐν ἁφῇ καὶ χροιᾷ τὸ τοιοῦτον· τίς ἡ ἄγαν τυφλότης καὶ ἄθεος ἔρις, τὸν ἡμῖν ὁμοούσιον καὶ ὅμοιον κατὰ πάντα πεφηνότα, ἄγραπτον Χριστὸν λέγειν; Πῶς δὲ καὶ τοῦ γραπτοῦ οἰχομένου, οὐ συνοιχήσεται ἅπαντα τὰ σύστοιχα ἰδιώματα; Ἡ γὰρ ἰδιότης, φησὶν ὁ Θεολόγος, ἀκίνητος, ἢ πῶς μένοι ἰδιότης κινουμένη καὶ μεταπίπτουσα; Εἰπάτω ὁ ἀντικείμενος.

XXXIV. — *Naucratio filio.*

ΛΔ'. [ΤΕ'.] — Ναυκρατίῳ τέκνῳ.

Carcere inclusum cohortatur: tum, quæ et ipse in suo carcere pateretur, exponit. (Baron, an. 816 n. 8.)

Quid jucundius audire ego peccator poteram, B quam te dilectum filium meum, cum aliis septem fratribus tuis, *quorum momina sunt in libro vitæ* [89], pro Christo optimo Deo nostro flagris causam fuisse? Laus ei qui vos vocavit ad confessionem veritatis suæ: laus ei qui honorandas animas vestras corroboravit, ut ante alios certamen subirent: ut non reformidarent, nec refugerent a conspectu impii. sed pulchram confessionem vestram probarent, et propter eam dorsum verberibus cum Christo præberent. Vos chorus alius confessionis Ecclesiæ Dei adjecti estis: vos fraternitatis in Christo gloriam auxistis. Beati omnino, dilecti mei, et ter beati: quin et beati ventres qui in lucem vos ediderunt. Quod si de me aliquid etiam dicendum est: beatus ego quoque infelix ac miser, qui tantorum audio C pater filiorum, Dei filiorum et hæredum Christi. Quodnam hoc gaudium? Annon omni gaudio delectabilius? Quænam gloria hæc? Annon diadema gestantium gloria mirabilior, ferre stigmata Christi: vivificas ejus passiones, ceu coronas?

Τί τούτου χαριέστερον, τοῦ ἀκοῦσαί με τὸν ἁμαρτωλὸν, ὅτιπερ σὺ ὁ ἀγαπητός μου υἱὸς, μεθ' ἑτέρων ἑπτὰ ἀδελφῶν σου, ὧν τὰ ὀνόματα ἔν βίβλῳ ζωῆς, ἐμαστίχθητε ὑπὲρ Χριστοῦ τοῦ ἀγαθοῦ ἡμῶν Θεοῦ; Δόξα τῷ καλέσαντι ὑμᾶς εἰς τὴν ὁμολογίαν τῆς ἀληθείας αὐτοῦ· δόξα τῷ σταθερώσαντι τὰς τιμίας ὑμῶν ψυχὰς τῶν ἄλλων προκινδυνεῦσαι εἰς τὸ μὴ πτῆξαι, μηδὲ ὑποχωρῆσαι ἀπὸ προσώπου τοῦ ἀλιτηρίου· ἀλλὰ τὴν καλὴν ὑμῶν ὁμολογίαν ὁμολογῆσαι, καὶ διὰ ταύτην σὺν Χριστῷ δοῦναι τὸν νῶτον εἰς μάστιγας. Προσετέθητε χορὸς ἄλλος ὁμολογίας τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. Ηὐξήσατε τὸ κλῖμα τῆς ἐν Χριστῷ ἀδελφότητος. Μακάριοι ὄντως, ὑμνητοί μου, καὶ τρισμακάριοι, μακάριαι καὶ αἱ κοιλίαι, αἱ εἰς φῶς ὑμᾶς ἤγαγον. Εἰ δέ τι καὶ περὶ ἐμοῦ· μακάριος κἀγὼ ὁ ἀμακάριστος καὶ ἄθλιος· ὅτι τηλικούτων ἀκούω, Πατὴρ τέκνων, Θεοῦ υἱῶν, καὶ κληρονόμων Χριστοῦ. Τίς ἡ χαρὰ αὕτη; ἀλλ' οὐχὶ πάσης χαρᾶς θυμηρεστέρα; Τίς ἡ δοξα αὕτη; ἀλλ' οὐχὶ τῶν τὰ διαδήματα φορούντων θαυμασιωτέρα, στίγματα φέρειν τοῦ Χριστοῦ, τὰ ζωοποιὰ αὐτοῦ πάθη, ὡς στέφη;

Sic igitur vestra se habent, quæ et cœlum laudavit, et terra audivit. Nostra vero nullius sunt momenti, et plena peccatis, qualia nimirum Adrianus frater nuntiavit: omnino enim salvus evasit. Quod si quid adjici oporteat: hæc quoque indicabimus. Post dilaniationem incluserunt nos ambo in sublimi loco, januam obstruentes: et, scalis remotis, additi sunt circumquaque custodes, ne quis proprius accedat, contingatque domicilium. Quin et castrum ingredientes singulos obvii custodes ob- D servant, nec alio divertere sinunt quam ad proprias domos, quoad illi rursum egrediantur. Interdictum est severe, ne quid nobis detur præter aquam solum et lignum. Ita nos plane tanquam in sepulcro locarunt, ut enecent nos. Deus autem benignitatis suæ misericordia, per ea quæ intulimus necessaria, et quod insuper ab eo qui admo-

Οὕτως μὲν οὖν τὰς καθ' ὑμᾶς· ἃ καὶ οὐρανὸς ἤνεσε, καὶ γῆ ἠκουτίσθη. Τὰ δὲ ἡμέτερα μεμολυμμένα καὶ ἁμαρτωλά· πλὴν ὡς ἀπήγγειλεν ὁ ἀδελφὸς Ἀδριανός· πάντως γὰρ ἀποσέσωσται. Εἰ δέ τι δεῖ καὶ προσθεῖναι, ταῦτα καὶ δηλώσομεν. Μετὰ τὸν διαρμὸν ἐκλεισαν ἡμᾶς τοὺς δύο εἰς ἀνώγεων, ἀναφράξαντες τὴν θύραν, καὶ ἄραντες τὴν κλίμακα· κυκλόθεν φύλακες· μή τίς που θίγῃ, μηδὲ ἅψηται τοῦ δωματίου· ἀλλὰ καὶ πάντα τὸν εἰσερχόμενον εἰς τὸ κάστρον, προϋπαντῶντες οἱ φύλακες, οὐκ ἐῶσί που τραπῆναι πάρεξ τοῦ ἰδίου οἴκου, ἕως ἂν αὖθις [f. αὖτις] ἐξέλθοι. Παραγγελία κραταιὰ, μὴ ἐπιδοθῆναι ἡμῖν τι πάρεξ ὕδατος μόνου καὶ ξύλου. Οὕτως ἁπλῶς θέμενοι ὡς ἐν τάφῳ, καὶ πρὸς τὸ κτεῖναι ἡμᾶς. Ὁ δὲ Θεὸς ἐλέει φιλανθρωπίας ἑαυτοῦ· δι' ὧν προεισηνέγκαμεν χρειῶν· καὶ ἔτι δι' ὧν ἐπιδέδοται ἡμῖν τὸ προσταχθὲν δι' [ὀπῆς τῆς θυρ-

[89] Philipp. IV, 3.

δος, ἐπὶ κλίμακος ἀνιόντος κατὰ τὴν ὥραν ἐστώσης διατρέφει. Οὐ τολμῶμεν φῆσαι ἐκεῖνο ὃ φησι Δανιὴλ δεξάμενος παρὰ τοῦ Ἀβμρακοὺμ τὸ ἄριστον· Ἐμνήσθη γάρ μου ὁ Θεός. Πλὴν ὅτι ἐμνήσθη καὶ ἡμῶν τῶν ἁμαρτωλῶν· καὶ ἐλεεῖ, καὶ περιέπει, καὶ σκέπει. Ἕως ἂν οὖν πάρεστιν ἡμᾶς τρέφεσθαι ἐκ τῶν ἔνδον· ἤ ὅπως ποτὲ ἑνὸς τῶν πορταρίων οἴκοθεν λάτρα ἐπιδιδόντος τοῦ καὶ ἑβδομαρησίου· τρέφει ἡμᾶς, καὶ δοξάζομεν τὸν Θεόν. Ἐπιλιπόντων δὲ τῶν χρειῶν, οἰκονομίᾳ Θεοῦ, συγκαταλείψομεν καὶ ἡμεῖς τὴν ζωὴν, καὶ ἐν τούτῳ χαίρομεν· καὶ τοῦτο τῆς μεγαλοδωρεᾶς τοῦ Θεοῦ.

Καὶ τίς εἰμι ἐγὼ ὁ τάλας, τοιούτῳ τρόπῳ καταληφθεὶς ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, καὶ πρὸς τὸ ἐξῆς, ὡς κελεύει, δόξης περισσοτέρας τὸν ἀγέραστον κατ-ξιῶσαι σὺν τῷ ἀδελφῷ; Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, συναγωνίσασθέ μοι ἐν ταῖς προσευχαῖς ὑμῶν πρὸς τὸν Θεὸν, ἵνα ῥυσθῶ ἐν παντὶ τρόπῳ διὰ παντὸς ἐκ τοῦ Πονηροῦ· καὶ ἵνα ὁ ἐναρξάμενος ἐν ἡμῖν ἔργον ὁμολογίας αὐτοῦ διὰ σπλάγχνα οἰκτιρμῶν, οὐκ ἐξ ἔργων μού τινων· οὐ γὰρ ἐποίησά τι ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλὰ τοὐναντίον. αὐτὸς καὶ ἐπιτελέσειεν ἐν ἀμφοτέροις. Τοῦτο καὶ ἡμεῖς οἱ ταπεινοὶ πρὸς ὑμᾶς τοὺς τὰ αὐτὰ πάσχοντας οὐ διαλιμπάνομεν αἰτεῖσθαι μετὰ δακρύων. Οὐ μόνον τοὺς ὀκτὼ τὴν ἐκλογὴν τοῦ Κυρίου· ἀλλὰ καὶ τὸν ἀββᾶν Πέτρον, καὶ τὸν καλὸν Λητόϊον· καὶ εἴ τινα ἄλλον, ἀσπαζόμεθα ἐν Κυρίῳ.

tis stata hora scalis redit, nobis tribuitur imperatum per foramen ostioli, nos sustentat. Dicere non audemus quod Daniel dixit, cum prandium ab Habacuc accepisset : *Recordatus enim est mei Deus*[60]. Verumtamen recordatus est nostri qui peccatores sumus, et miseretur, et regit, et protegit. Quandiu igitur suppetit intus unde alamur, aut quocunque modo aliquis ostiariorum qui hebdomadarius sit, clam elargitur domo allatum cibum ; alit nos, et Deum glorificamus. Deficientibus autem necessariis, Dei permissu ; vitam una ponemus ipsi atque in hoc gaudemus, idque ipsum est Dei munificentia.

Et quis ego sum miser, qui pro ejus nomine in hunc modum detinear, ut abundantiore post gloria, sicut jubet, inhonoratum cum fratre remuneret ? Obsecro ergo vos, fratres, juvate me precibus vestris ad Deum, ut semper a malo liberer omnibus modis : et qui confessionis suæ opus in nobis cœpit, per viscera misericordiæ suæ, non ex operibus meis ullis ; neque enim bonum aliquod in terra egi, sed contrarium ; ipse perficiat in ambobus. Hoc etiam et nos humiles pro vobis, qui eadem patimini, cum lacrymis orare non cessamus. Non octo tantum in Domino electos, sed abbatem quoque Petrum, et egregium Letoium, et si quis alius, in Domino salutamus.

ΛΕ'. — Ἐπιφανίῳ τέκνῳ. [τς'].

XXXV. — *Epiphanio filio.*

Epiphanius mittitur ad Paschalem summum pontificem (Baron. an 818. n. 4.)

Ἰδοὺ, τέκνον μου ἠγαπημένον, καθὼς προεθυμήθης, ἀπᾶραι ἐν τῇ Δύσει, εἰπόντος μου ἆραι γράμματα ταῦτα. Ἀπέστειλα δύο ἐπιστολὰς, τοῦ τε ἀποστολικοῦ, καὶ τοῦ κυροῦ Μεθοδίου. Οἱ γὰρ περὶ τὸν ἀδελφὸν Διονύσιον εὐδοκίᾳ Θεοῦ καὶ ἀπεσώθησαν ἕως τῶν ἐκεῖ, καὶ χρηστὰς ἐλπίδας ἤνεγκαν· πρὸς ἃς καὶ πάλιν ἐπιστεῖλαι εὖ ἐνόμισα. Ἐπέστειλα δὲ, οὐχ ὡς ἀπ' ἐμοῦ μόνον, ἀλλ', ὡς τὸ πρότερον, ἐξ ἀμφοτέρων τῶν ἡγουμένων, οὓς δῆλοῖ ἡ ἐπιστολὴ, πάρεξ τοῦ τῆς Εὐκαιρίας· οὗτος γὰρ, ὡς ἔμαθον, κατὰ τὰς ἁμαρτίας μου κατέπεσε. Γνώσει οὖν καὶ κοινῇ γνώμῃ, διὰ μηνύματος λαθραίου, καὶ ἀναγνώσεως τῆς ἐπιστολῆς, τότε ἐπεστείλαμεν, ὡς καὶ ἐδήλου τὸ ἄπιον γράμμα. Νῦν δὲ, κἂν οὐ δεδύνημαι τοῦτο ποιῆσαι διὰ τὴν ἀσφάλειαν, ἀλλ' ὡς ἤδη ὁμογνωμονούντων ἀμφοτέρων, καὶ αὕτη ἡ ἐπιστολή. Ἴσως δὲ καὶ μετὰ ταῦτα ἐνδέχεται κἀκείνους ἐπιγνῶναι. Ἄπιθι οὖν, ὦ καλὲ Ἐπιφάνιε· ἐπίφανον τῇ Δύσει ἄγγελος πιστὸς, φρόνιμος, ἀρχαιογνώριστος· ἀποδιδοὺς τὴν ἐπιστολὴν, καὶ κατὰ τὰ θεοκινήτως τυπωθέντα ἐν τῷ ἁγίῳ ἀποστολικῷ, ὑποθετικῷ τρόπῳ καὶ λόγῳ τοῦ ἱεροῦ Μεθοδίου, καὶ τοῦ τῆς Μονεμβασίας ἁγίου ἐπισκόπου, καὶ αὐτὸς συνεπιπρεσβεύων καὶ ἐκλιπαρῶν εἰς πέρας ἐνεχθῆναι ταῦτα Θεοῦ εὐδοκίᾳ, τοῦ ἔχοντός σε καὶ ἀποσῶσαι, καὶ παραστῆσαι τῇ ἱερᾷ καὶ μακα-

En, dilecte fili mi, sicut alacri animo instituisti, solve in Occidentem, litteras istas laturus quas dictavi. Misi epistolas duas, ad apostolicum, et ad dominum Methodium. Frater enim Dionysius Dei nutu et incolumis eousque pervasit, et spem optimam reportavit : ad quam iteratas litteras addere operæ pretium duxi. Scripsi autem, non tanquam a me solum, sed, sicut antea, ex persona utrorumque præpositorum, uos indicat epistola, præterquam Eucæriæ : is enim, ut accepi, propter peccata mea lapsus est. Ex communi ergo sententia et scientia, tum per occultam significationem, tum per epistolæ ipsius lectionem, tunc scripsimus, ut epistolæ missa etiam declarabat. Nunc vero, etsi propter arctam custodiam id facere non potui, attamen veluti jam consentientibus utrisque, eorum etiam est hæc epistola. Fortasse autem postea contingit ut et ipsis certiores fiant. Vade igitur, egregie Epiphani, appare Occidenti nuntius fidelis, prudens, jam olim probatus : redde epistolam, et juxta ea quæ divino instinctu impressa sunt in sancto apostolico, suggestione verbisque sancti Methodii, et sancti Monembasiæ episcopi simul intercede et ipse, et ora, ut ad finem hæc perducantur Dei voluntate, qui potest et salvum te servare, et sistere sacro, et beato vertici. Ne formides : multa tibi

[60] Dan. XIV, 37.

merces, et magnum certamen. Christus tecum. Saluta sanctos omnes, et maxime eos qui notissimi sunt : præcipue sanctum Patrem meum archimandritam, ac dominum meum Chartophylacem : cujus charitas infixa est in humili corde meo,

ρίᾳ κορυφῇ. Μὴ δείσῃς· πολύς σοι ὁ μισθὸς μέγας ὁ ἀγιών. Χριστὸς μετὰ σοῦ. Πρόσειπε τ τοὺς ἁγίους, καὶ μάλιστα τοὺς γνωριμωτά ἐξαιρέτως τὸν ἅγιόν μου Πατέρα τὸν ἀρχιμα την. Ἀλλὰ καὶ τὸν δεσπότην μου τὸν Χαρτο κά· οὗ ἡ ἀγάπη ἔγκειται ἐν τῇ ταπεινῇ καρδίᾳ.

XXXVI. — *Naucratio filio.*

ΛϚ'. [ΤΘ'.] — Ναυκρατίῳ τέκνῳ.

Dogmatica de sanctis imaginibus.

De te gaudeo, mi frater Naucrati, quod lætitiæ filius factus es, quod est pro Christo pati. Nam quod isto majus lætitiæ argumentum, aut quid est ad laudem illustrius ? Flagellis igitur cæsus es, Christi exemplo : e carcere pertractus in carcerem, in manus impii Joannis traditus, es, sub quo et ego humilis decertavi. Quinetiam, quod illo agrediente non es subversus, sed e contrario insanæ mentis hominem repulisti et confutasti, utique audivi ego miser, et magnam animo cepi voluptatem. Adsit vero tibi et in posterum ad eventus omnes a Domino subsidium. Quoniam vero insinuasti, quasdam ab eo inter disputandum proferri sententias, ad eversionem sanctorum imaginum, videlicet Asterii, Epiphanii, et Theodoti : operæ pretium duxi ad instructionem amborum, hoc loco recensere, quanquam id epistolæ modum excedit, tum ipsas illorum voces, tum nostram, Deo juvante, etsi imperiti sumus, earum confutationem. Asterii itaque oratio ad verbum est hujusmodi. « Christum ne pinge. Sufficit enim ipsi quod ad corpoream naturam assumendam nostra causa sponte dimisit : sed mente et intellectu Verbum incorporeum circumfer [61]. » Interrogetur itaque argutator, quamobrem Christum pingi negat. Sufficere ei dicit unicam incorporationis humilitatem, quippe quæ semel suscepta est sine honore, refugiente ipso alteram humilitatis manifestationem. Et quomodo illa sponte suscepta, si habet adjunctam infamiam ? Nam quod voluntarium est, id gloriosum quoque, nec adjunctam habet involuntarii notam. Ac, si res secus foret, tamen pictura iteratio est, idem quod prius exhibens quoad similitudinem. Et quomodo illius memoriam perauditum refricare non piaculum sit : si quidem per visum rem divulgare, quasi iterare injuriam fuerit ? Est enim alterum alteri consonum et æquale, ut magnus Basilius divino ore pronuntiavit. Intelligetur autem et per comparationem, si crux semel delineatur, alterius videlicet esse crucis iterationem, sicut et de Evangelio. Et quoniam semper utrumque describitur ; innumeras esse cruces, multoque plura Evangelia, non unam et unum. Quod si una crux et non alia est, etsi mille pin-

Χαίρω ἐπὶ σοὶ, ἀδελφέ μου Ναυκράτιε, ὅτι χαρᾶς υἱὸς χρηματίζεις· ὅπερ ἐστὶ τὸ διὰ Χρ πάσχειν. Καὶ τί γὰρ τούτου χαριέστερον; τ εὐκλεέστερον; Ἐμαστίχθης οὖν Χριστομιμή ἤρθης ἐκ φυλακῆς εἰς φυλακὴν, παραδοθεὶς χεῖρας Ἰωάννου τοῦ ἀσεβοῦς, ἐφ' ᾧ ταπεινὸς ἠγωνίασα. Ἀλλ' ὅτι προσβαλόντος αὐτοῦ οὐ π τράπης, τοὐναντίον δὲ καὶ ἀπεπέμψω διελεγκτ τὸν ματαιόφρονα, πάνυ ὁ τάλας ἤσθην, καὶ μησα. Εἴη δέ σοι καὶ πρὸς τὸ ἑξῆς πρὸς πᾶν ὁ τῶν συμβησομένων παρὰ Κυρίου βοήθεια. Ἐ δὲ ἔφης προτεῖναι αὐτὸν ἐν τῇ διαλέξει φωνὰ ἀνατροπῇ τῶν ἁγίων εἰκόνων· ἤγουν Ἀσπ Ἐπιφανίου, καὶ Θεοδότου· ἀναγκαῖον ᾠήθην καταρθισμὸν ἀμφοτέρων, παραθέσθαι ἐνταῦθ καὶ ὑπερτείνει τὸ ἐπιστολιμαῖον ὕφος· αὐτὰς ἐ νων τὰς φωνὰς, καὶ τὴν σὺν Θεῷ παρ' ἡμῶν ἀμαθῶν ἀνατροπὴν αὐτῶν. Ἡ οὖν τοῦ Ἁ ρίου (1) ἐπὶ λέξεως τάδε· « Μὴ γράφε τὸν Ἰ στόν· ἀρκεῖ γὰρ αὐτῷ ἡ μία τῆς ἐνσωματ ταπεινοφροσύνη, ἣν αὐθαιρέτως δι' ἡμᾶς π ξατο· ἐπὶ δὲ τῆς ψυχῆς σου βαστάζων νοητ ἀσώματον Λόγον περίφερε. » Ἐρωτάσθω τ οὖν ὁ λογογράφος, ἀνθότου ἀπαγορεύσας Χ γράφεσθαι, ἀρκεῖν αὐτῷ λέγει τὴν μίαν τῆς ματώσεως ταπεινοφροσύνην· ὡς καὶ τὴν ἅπαξ θεῖσαν ἄδοξον ὑποφεύγοντι τὴν δευτερεύουσαν ταπεινοφροσύνης φανέρωσιν. Καὶ πῶς αὐθαί εἰ ἄδοξος; τὸ γὰρ αὐθαίρετον ἔνδοξον, οὐκ τοῦ ἀκουσίου τὸ ἄδοξον. Εἰ δὲ τοῦτο οὔ· ἀλλ' δευτέρωσις ἡ τὸ αὐτὸ καὶ πρῶτον καθ' ὁμοί δεικνύουσα γραφή. Πῶς δὲ καὶ τὸ ὑπομνη ζεσθαι δι' ἀκοῆς οὐ παραιτήσεται· εἶγε τὸ δι' ὄψ θριαμβεύεσθαι ὡς δευτέρωσινί φέρον νεμεσ αὐτῷ; Ἑκάτερον γὰρ θατέρου σύνοδόν τε καὶ δύναμον, ὡς τὸ θεῖον στόμα. Βασίλειος ὁ μέ ἀπεφθέγξατο. Λογισθήσεται δὲ καὶ κατὰ τὸ ἀν γον, καὶ τό τὸν σταυρὸν ἅπαξ γραφῆναι, ἑτέρου λαοῦ σταυροῦ δευτέρωσις· ὡς καὶ ἐπὶ τοῦ Εὐ γελίου. Καὶ ἐπειδὴ ἀεὶ γράφεται ἀμφότερα· ἀ ρους σταυροὺς, πρὸς δὲ καὶ Εὐαγγέλια, οὐχ καὶ ἓν, ὑπάρχειν. Εἰ δὲ εἷς καὶ οὐδέτερος, μυριοστῶς γράφοιτο, σταυρός (2). Καὶ ἓν καὶ οὐ

NOTÆ.

(1) In code. Reg. ad oram libri : Ἰστέον ὡς ἔστιν Ἀστέριος ὑπὸ τοῦ ἁγιωτάτου Σωφρονίου ἐν τοῖς αὐτοῦ συνοδικοῖς ἀναθεματιζόμενος, καὶ ὑπὸ ἄλλου Πατρὸς Ἀπολιναρίῳ καὶ Εὐτυχεῖ συνταττόμενος. *Sciendum quod Asterius a sanctissimo Sophronio est anathematizatus; et ab alio cum Apollinario et Eutyche conjunctus.*

(2) In Cod. Reg. ad oram libri : Εἷς ἐστι Χριστ κἂν γράφωνται μυρίοι. Καὶ σταυρὸς οὕτω, κἂν νωνται πλείονες. *Unus est Christus; etsi innum pingantur. Sic et crux, licet plures conficiantur.*

τερον, κἂν ἀπείρως γράφοιτο, Εὐαγγέλιον · καὶ εἷς καὶ οὐ δύο, κἂν ὡσαύτως γράφοιτο, Χριστός. Γραφόμενος γάρ ἐστιν, ὡς ἀναγινωσκόμενος · καὶ οὐ πλησθήσεται οὖς ἀπὸ ἀκροάσεως, οὔτε μὴ ὀφθαλμὸς ἀπὸ ὁράσεως · ὅτι ὁ Θεὸς ἄνθρωπος γέγονε · καὶ ὅτι ὤφθη βρέφος ὁ αἰώνιος · καὶ γαλακτοτροφεῖται ὁ τρέφων τὰ σύμπαντα · καὶ ἀγκαλίζεται ὁ ἀπερίληπτος · καὶ χρηματίζει ἀνὴρ ὁ ὑπέρθεος · καὶ βαπτίζεται ἡ τῆς σοφίας ἄβυσσος · καὶ δρᾷ τὰ θεόπρεπῆ καὶ ἀνθρωποπρεπῆ ὁ ὑπερούσιος · καὶ σταυροῦται ὁ τῆς δόξης Κύριος · καὶ θάπτεται καὶ ἀνίσταται ὁ ζωοποιῶν τὰ σύμπαντα · καὶ ἀναλαμβάνεται ἀνθρωποπρεπῶς ὁ μηδαμοῦ χωρούμενος. Παυσάσθω ἀπαγορεύειν τὴν οὕτω σωτήριον κόσμου καθ' ἑκάτερα φανέρωσιν · καὶ τὴν δόξαν Κυρίου ἀδοξίαν ὑποτιθέμενος, καὶ τὴν αὐθαίρετον ταπεινοφροσύνην ἀκούσιον ὑποβαλλόμενος · παυσάσθω δὲ καὶ τῷ μεγάλῳ Βασιλείῳ ἀντιφερόμεσος, οὗ ἡ φωνὴ, Θεοῦ φωνή · ὧδέ που προστάσσοντι · « Ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός. » Ἐβρίφθω δέ που θείου χοροῦ σὺν τῇ παρούσῃ ἀποφάσει καὶ ἡ ἐξῆς κατάφασις, ὡς τὸ ἴσον τῆς ἀτοπίας ἔχουσα.

Τί γάρ φησιν ; Ἐπὶ δὲ τῆς ψυχῆς σου βαστάζων νοητῶς τὸν ἀσώματον Λόγον περίφερε. Ὦ τῆς ἀλογίας ! Οὐτίπου γὰρ θεῖον στόμα ἀσώματον τὸν Λόγον, μετὰ τὸ γενέσθαι αὐτὸν σάρκα, λέλεχεν ; Οὐκέτι μὲν γὰρ σάρκα Χριστὸν, ἀλλ' οὐκ ἀσώματον τὸν Λόγον ὁ ἱερὸς Ἀπόστολος εἴρηκεν, ἐν οἷς φησιν · Ἡμεῖς δὲ ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα · οἱ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. Ὅπερ ἑρμηνεύων ὁ Θεολόγος Γρηγόριο, τὰ σαρκικὰ ἔφη πάθη, καὶ χωρὶς ἁμαρτίας ἡμέτερα · ὡς καὶ ἀλλαχοῦ φησιν · Οὐκέτι μὲν σάρκα, οὐκ ἀσώματον δέ. Ὁ δὲ ἀσώματον τὸν Λόγον φήσας, οὐ μόνον τοῖς δυσὶν, ἀλλὰ καὶ πᾶσι τοῖς θεοφόροις μαχόμενος εἶεν. Δέδεικται τοίνυν φύσεως λόγῳ ἀτόπῳ ἄτοπον ἑπακολουθῆσαν · καὶ τῇ τοῦ ψεύδους ἀνατροπῇ κείσθω ἀντιστρόφως ἡ ἀλήθεια. Πῶς ; Γράφε τὸν Χριστὸν ὅπου δεῖ · ὡς ἔχων αὐτὸν κατοικοῦντα ἐν τῷ καρδίᾳ σου · ἵνα καὶ ἀναγινωσκόμενος ἐν δέλτῳ, καὶ ὁρώμενος ἐν Γραφῇ · ὡς ταῖς δυσὶν αἰσθήσεσι γνωριζόμενος διττῶς, φωτίζῃ σου τὰς φρένας · μαθόντος ὅπερ διὰ λόγου κατηχήθης, τοῦτο βλέπειν κατ' ἀφθαλμούς. Καί γε ἐν τῷ οὕτως ἀκουτίζεσθαι καὶ ὁρᾶσθαι, οὐκ ἔχει φύσιν μὴ οὐχὶ δοξάζεσθαι Θεὸν, καὶ κατανύττεσθαι ἄνθρωπον εὐσεβῆ · οὗ τί ἂν γένοιτο σωτηριωδέστερον καὶ θεῷ εὐπρόσιτον ; Οὕτως οὖν οἱ οὐδαμινοὶ νοοῦμεν τάληθῆ · εἰ καί τινες τῶν πρὸ ἡμῶν ἱερῶν Πατέρων ἑτέρως ὑπειλήφασι τὸ διελεγχθὲν πρόβλημα. Τῆς γοῦν τοῦδε φωνῆς περαιωθείσης, τίς ἡ τοῦ Ἐπιφανίου (3) ; Νοήσει ἡ σὴ θεοσέβεια, εἰ πρέπον ἐστὶ

A gantur : si unum, et non alterum, Evangelium est, etsi infinite describatur : sic unus, non geminus, etsi similiter pingatur, Christus est. Pingitur enim, ut et legitur : nec multiplicatur auris auditu, aut oculus visu. Jam cum Deus factus homo sit, infans habitus qui sempiternus : cum lacte alatur per quem universa aluntur; cum incomprehensibilis ulnis contineatur; cum appelletur qui Deus eximius est; cum baptizetur is cujus inexhausta sapientia est; cum divina humanaque peragat qui naturam omnem superat; cum cruci Dominus gloriæ affigatur; sepeliatur ac resurgat is qui rebus omnibus vitam impertit; accipiatur denique ut hominem decet is qui nullo spatio continetur. Desinat tam salutarem mundo utraque ex
B parte manifestationem prohibere, et cum Domini gloriam ignominiam reputat, et cum spontaneam humilitatem contra voluntatem fuisse falso supponit : desinat et magno Basilio adversari, cujus vox, Dei vox est : sic autem is alicubi præcipit : « Pingatur in tabula et certaminum præses Christus[62]. Repudietur autem a piorum cœtu cum hac sententia, sequens quoque assertio, cum ait illa ex æquo absurda.

Quid enim ait? In animo tuo per contemplationem incorporeum Verbum circumfer. O dementiam! Nunquid enim Dei vox incorporeum Verbum, postquam caro factum est, appellavit? Non carnem quidem Christum, sed neque incorporeum Verbum sacer Apostolus dixit, ubi sic ait : *Itaque nos ex hoc neminem novimus secundum carnem : etsi cognovi-*
C *mus secundum carnem Christum; sed nunc jam non novimus*[63]. Quod interpretatus Gregorius Theologus[64], carnis dixit affectus, et quæ nostra sunt absque peccato : ut et alibi dicit : jam quidem non carnem, non incorporeum tamen. Qui vero incorporeum Verbum dicit, non duobus modo, sed et omnibus sanctis Patribus adversatur. Ostensum igitur ratione physica, absurdum ex absurdo consequi. Jam profligato mendacio, ex adverso veritas statuatur. Qua pacto? Christum pinge ubi operæ pretium fuerit : tanquam ipsum gerens habitantem in corde tuo : ut sive in libro legatur, sive cernatur in pictura; tanquam duplici sensu agnitus, bifariam animum tuum collustret, expertum utique quod per sermonem edoctus es, hoc ipsum oculis
D intueri. Atqui cum sic auditur ac cernitur, natura omnino comparatum est ut et glorificetur Deus, et homo pius dolore pungatur, quo quid salutarius fieri potest, aut facilioris ad Deum aditus? Sic igitur nos pusilli vera cogitamus : etsi quidam e sanctis Patribus, qui nos præcesserunt, confutatam quæstionem aliter accepere. Hac igitur confecta illius sententia quænam aliera Epiphanii

[61] Homil. 1 De divite et Lazaro. [62] *Orat. in S. Barlaam*, in fine. [63] II Cor. v, 16. [64] Orat. 11. de Filio.

NOTÆ.

(3) In cod. Reg. ad oram libri : Ἰστέον ὡς Ἐπιφανιος ὑπὸ τοῦ ἁγίου Ἐπιφανίου, ἐν τῷ λβ'. κεφαλαίῳ τῶν αἱρέσεων, Οὐαλεντίνῳ καὶ Ἰσιδώρῳ συντάττεται · ὑπὸ δὲ τοῦ ἁγίου Σωφρονίου μετὰ Καρποκράτην Ἐπιφάνιος ἀναθεματίζεται. *Sciendum quod Epiphanius a sancto Epiphanio, hæreseon capite* XXXIII,

est? Viderit pietas tua, num deceat depictum coloribus nos habere Deum. Vide porro mendacem. Non Christum dixit, in quo circuscriptiom cum incircumscriptione demonstratur : sic enim utriusque naturæ declaratio fit : sed Deum habere nos depictum, Verbum humanitate exuens ex Manichæorum sententia, ac Deum nudum proponens, ut propositionis absurditate terreat audientem. Sic profecto et visibilem Deum dicere absurdum est; siquidem ait divina Scriptura : *Deum nemo vidit unquam*, et quidem *unigenitus Filius*, cum Deus esset et cerneretur, hoc ipsum *enarravit*[65]. Sed, procul dubio, nudum humaintate Deum nemo vidit. Quoniam vero unigenitus non ita nudus post incarnationem; idcirco et aspectabilis est. Hinc sacer Apostolus clamat : *Deus manifestatus est in carne, justificatus est in spiritu, apparuit angelis, prædicatus est in gentibus, creditus est in mundo, assumptus est in gloria*[66]. Illud utique *in carne*, in quacunque enuntiatione æquo jure subintelligendum est. Cohæret enim vox illa prior, non modo cum subsequentibus, sed et cum omnibus incorporationis proprietatibus. Quemadmodun igitur Deus manifestatus est in carne; sic et in singulis quæ sunt ante commemorata. Neque enim natura fert, ut, nisi subintelligatur illud *in carne*, aut *apparuerit*, aut *assumptus sit*. Ita videlicet et lacte nutritur in carne et proficit ætate, et pedibus ambulat, et in agonia sudat, et lingua loquitur, et quot alia sunt ejusdem ordinis.

Hæc vero si habent, quandoquidem una ex omnibus corporis proprietatibus circumscriptio est, manifestum est et circumscribi Deum in carne, sive coloribus adumbretur, seu quovis alio modo. E duobus enim alterum omnino necessarium est. Si visus est in carne, et in carne circumscribitur : siquidem hæc cognata sunt inter se, et alterum alterius causa. Si itaque posterius verum non est, certe nec prius : atqui verum prius : igitur et posterius. Sic et juxta divinas paginas, et secundum vulgarem ratiocinandi modum, insipientis est non confiteri Deum in carne pingi, siquidem visus in carne est. Deinde alio in loco vir strenuus ait : « Audivi quosdam jubere incomprehensibilem Dei Filium pingi. Cum istud audis, exhorresce. » Quis itaque sanæ mentis desipientem non rideat! Non legit utique, quod *comprehenderunt Jesum, et ligaverunt eum; et adduxerunt eum ad Annam primum*[76], principem sacerdotum? Et alibi rursum : *Acceperunt ergo corpus Jesu, et ligaverunt illud lineis eum aromatibus*[68]? Annon confitetur Deum esse Jesum? Si Deus igitur, quomodo is qui comprehendi nequit, comprehensus est ac ligatus nisi manifeste in carne, quemadmodun sapientissimus Paulus confessus est? Sileat igitur furens in Christum et hic fraudulentus. Sicubi vero audiat ha-

A Θεὸν ἔχειν ἡμᾶς ζωγραητὸν διὰ χρωμάτων. "
δὴ τὸν ψευδηγόρον. Οὐ Χριστὸν εἶπεν, ἐφ' ᾧ δηλ
ται ἡ περιγραφὴ μετὰ τοῦ ἀπεριγράπτου · ὧδε
τῶν ἑκατέρων φύσεων ἡ δήλωσις · ἀλλὰ Θεὸν ἔ
ψμὰς ζωγραφητόν · ἀπαμφιεννὺς τὸν Λόγον
ἀνθρωπότητος Μανιχαϊκῷ φρονήματι, καὶ Θεὸν
μνὸν προτείνας · ὡς ἂν τῷ ἀτοπῳ τῆς προτάσ
τὸν ἀκροατὴν ἐκπλήξειεν. Οὕτω δὴ καὶ ὁρ
Θεὸν εἰπεῖν ἔκτοπον · εἴπερ φησὶ τὰ θεῖα Λό
Θεὸν οὐδεὶς ἑώρακε πώποτε · καὶ μὴν ὁ μονο
νὴς Γἱὸς Θεὸς ὢν καὶ ὁρώμενος, τοῦτο ἐξηγήσ
ἀλλ' εὔδηλον ὅτι γυμνὸν Θεὸν ἀνθρωπότητος οὐ
ἑώρακεν. Ἐπεὶ δὲ ὁ Μονογενὴς οὐ γυμνὸς μετὰ
σάρκωσιν, διὰ τοῦτο καὶ ὁρατός. Καὶ βεβόηκεν ὁ Ἰ
Ἀπόστολος · Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδι
B ώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθ
ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν
ξῃ. Τὸ οὖν ἐν σαρκὶ, ἐπὶ πάσῃ ἀποφάνσει ἀπὸ κο
ληπτέον. Εἱρμὸς γάρ τίς ἐστιν ἡ πρώτη φωνὴ
μόνον ταῖς ἐφεξῆς · ἀλλὰ γὰρ καὶ πάσαις ταῖς
ἐνσωματώσεως ἰδιότησιν. Ὡς οὖν ὁ Θεὸς ἐφανερ
ἐν σαρκὶ, καὶ ἐφ' ἑκαστῳ τῶν προειρημένων
γὰρ ἂν ἔχοι φύσιν, μὴ προσυπακουομένου τοῦ ἐν
ρκὶ, ἢ ὀφθῆναι, ἢ ἀναληφθῆναι) · οὕτω δὴ
καὶ γαλουχεῖται ἐν σαρκὶ, καὶ προκόπτει ἡλι
καὶ βαδίζει ποδὶ, καὶ ἱδροῖ ἀγωνίᾳ, καὶ διαλέ
γλώττῃ · καὶ ὅσαπερ ἄλλα τῆς αὐτῆς συστοιχίας.

C Εἰ δὲ ταῦτα οὕτως · ἐπειδὴ ἓν τῶν ἁπάντων
μάτων τοῦ σώματος καὶ ἡ περιγραφὴ, εὔδηλον ὅτι
περιγράφεται Θεὸς ἐν σαρκὶ, εἴτε χρωματουργι
εἴτ' οὖν ἑτεροτρόπως. Δυοῖν γὰρ ἑκάτερον, πᾶσα ἀ
κη. Εἴ ὥπται ἐν σαρκὶ, καὶ περιγράφεται ἐν σα
ἐπείπερ σύστοιχον καὶ ἀλληλαίτιον ἑκάτερον ἑκατέ
Εἰ οὖν μὴν τὸ δεύτερον ἀληθὲς, οὐδ' ἄρα τὸ π
τον. Ἀλλὰ μὴν τὸ πρῶτον ἀληθές · οὐκοῦν καὶ τὸ
τερον. Οὕτω καὶ κατὰ τὰ θεῖα Λόγια, καὶ κατὰ κο
συλλογισμὸν, ἠλίθιον τὸ μὴ ὁμολογεῖν Θεὸν ἐγ
φεσθαι ἐν σαρκὶ, εἴπερ ὥπται ἐν σαρκί · Ἐπεὶ
ἐτέρωθι ὁ γεννάδας φησίν · « Ἤκουσα ὅτι καὶ
ἀκατάληπτον Γἱὸν τοῦ Θεοῦ τινες γράφειν ἐπαγ
λονται. Φρίξαι ἐπὶ τοῦ ἀκοῦσαι. » Τίς γοῦν
ἔχων οὐκ ἐπιγελάσειε τὸν ματαιόφρονα ; Οὐτὶ
D ἀνέγνω, ὅτι Συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδη
αὐτὸν, καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν π
τον, τὸν ἀρχιερέα ; Καὶ ἐτέρωθι πάλιν · Ἔλαβ
οὖν τὸ σῶμα τοῦ Ἰησοῦ · καὶ ἔδησαν αὐτὸ
ὀθονίοις μετὰ τῶν ἀρωμάτων ; Οὐχ ὁμολογεῖθ
τὸν Ἰησοῦν ; Εἰ Θεὸς οὖν, πῶς ὁ ἀκατάληπτος ἐ
φθη καὶ ἐδέθη, ἢ δῆλον ὅτι ἐν σαρκὶ, καθὰ ὠμο
γησεν ὁ πάντοφος Παῦλος ; Σιγάτω οὖν λυττῶν κ
Χριστοῦ καὶ οὗτος ὁ πλάνος. Ἐὰν δέ που ἀκούσ
ὅτι καὶ ἐσθιόμενον ἔχομεν Θεὸν, τάχα ἂν οὐ μό
φρίξοι, ἀλλὰ καὶ διαῤῥηχθείη, μὴ φέρων τὸ ἄκ

[65] Joan. I, 11. [66] I Tim. III, 16. [67] Joan. XVII, 12. [68] Joan. XIX, 40.

cum Valentino et Isidoro conjungitur : a sancto autem Sophronio post Carpocratem anathema natur.

σμα. Ἀλλὰ τί φησιν ὁ Χριστός; Καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. Οὐκ ἂν δὲ ἄλλως βρωθείη εἰ μὴ ἐν σαρκί. Καὶ γὰρ ὁ Χριστὸς ὁμοῦ Θεὸς καὶ ἄνθρωπος τέλειος ὑπάρχων, ὁπότερον καθ' ἑκάτερον τῶν ἐξ ὧν συνετέθη φύσεων ὀνομάζοιτο· καὶ καθ' ἑκάτερον κυρίως νοούμενος λέγοιτο· οὐ τῆς θατέρου ἰδιότητος ἐν τῷ μοναδικῷ τῆς ὑποστάσεως μειουμένης ἢ συμφυρομένης.

Καὶ μάρτυς τοῦ λόγου αὐτὸς ὁ Θεὸς καὶ Λόγος, πῆ μὲν λέγων· Τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; Καίτοιγε ὁ λέγων καὶ Θεὸς ἀθάνατος ἦν. Πῆ δὲ φάσκων· « Ὑμεῖς λέγετε, ὅτι Βλασφημεῖς· ὅτι εἶπον· Υἱὸς τοῦ Θεοῦ εἰμι. » Καὶ μὴν ὁ εἰπὼν, καὶ υἱὸς ἀνθρώπου ἦν. Οὕτω τὸ πεφυκὸς ἑκατέρου ὀνόματος θατέρᾳ φύσει ἀπονέμοντες οὐτίπου διασφαλλόμεθα. Ἐπεὶ δὲ καὶ τοῦδε τέλος εἴληφεν ἡ φωνὴ, τίς ἡ Θεοδότου (4); « Τὰς τῶν ἁγίων ἰδέας οὐκ ἐν εἰκόσιν ἐξύλικῶν χρωμάτων ἅτα μορφοῦν παρειλήφαμεν· ἀλλὰ τὰς τούτων ἀρετὰς διὰ τῶν ἐν Γραφαῖς περὶ αὐτῶν δηλουμένων, οἷόν τινας ἐμψύχους εἰκόνας ἀναμάττεσθαι δεδιδάγμεθα· ἐκ τούτου πρὸς τὸν ὅμοιον αὐτοῖς διεγειρόμενοι ζῆλον. Ἐπεὶ εἰπάτωσαν οἱ τὰς τοιάσδε ἀναστηλοῦντες μορφὰς, ποίας ἄρα ἐκ τούτων καταπολαύοιεν ὠφελείας· ἢ ἐν ποίᾳ διὰ τῆς τούτων ἀναμνήσεως ἀνάγονται πνευματικῇ θεωρίᾳ. Ἀλλ' εὔδηλον ὡς ματαία ἡ τοιαύτη ἐπίνοια, καὶ διαβολικῆς μεθοδείας εὕρεμα. » Εὐθὺς ἡ βαλβὶς τοῦ λόγου οὐ νεμεσητή, εἰ καὶ τῶν ἐφεξῆς ἀτόπων κατασκευαστική· ἐπεὶ καὶ πολλοὶ τῶν ἱερῶν διδασκάλων τῆς εἰκονικῆς θέας τὴν διὰ λόγων ἱστορίαν προὐργιαιτέραν τίθενται· οὐ διαβάλλοντες τὴν θατέραν· ἕτεροι δὲ τὸ ἔμπαλιν· ἔχοι δὲ τὸ ἴσον, καθά φησιν ὁ μέγας Βασίλειος· « Ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας δι' ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι. » Καὶ οὐ πάντες ζωγράφοι, οὐδὲ πάντες λογογράφοι· ἀλλ' ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον χαριτος, Ὥστε τήνδε τὴν πρότασιν παρεὶς, λεγέτω τὴν ἑξῆς· « Ἐπεὶ εἰπάτωσαν οἱ τὰς τοιάσδε ἀναστηλοῦντες μορφὰς, ποίας ἐκ τούτων ἄρα καταπολαύοιεν ὠφελείας· ἢ ἐν ποίᾳ διὰ τῆς τούτων ἀναμνήσεως ἀνάγονται πνευματικῇ θεωρίᾳ. »

Ἀντερωτάσθω οὖν ὁ γεννάδας· ποίαν γὰρ ὄνησιν καὶ ἱερὰν θεωρίαν οὐκ ἔστιν ἐντεῦθεν εὑρέσθαι; Εἰ γὰρ αὕτη φύσις εἰκόνος, μίμημα εἶναι τοῦ ἀρχετύπου, καθά φησιν ὁ Θεολόγος Γρηγόριος· καὶ ἐν τῇ εἰκόνι τὸ ἀρχέτυπον ἐκφαίνεται, καθά φησιν ὁ πάνσοφος Διονύσιος· ὅῆλον ὅτι ἐκ τοῦ μιμήματος,

A bere nos Deum quem manducemus, forte non modo is exhorrescet, sed disrumpetur, dictum non ferens. Sed quid Christus ait? *Et qui manducat me, et ipse vivet propter me* [69]. Nec vero aliter manducaretur nisi in carne. Etenim Christus cum simul Deus sit et idem homo perfectus, utrumlibet secundum alterutram, ex iis naturis quibus constat, appellari, et secundum alterutram proprie spectatus dici potest, neutra proprietate in singularitate personæ vel diminuta vel commista.

Et testis quidem hujus sententiæ Deus idem ac Verbum, alicubi dicens : *Quid me quæritis interficere, hominem qui veritatem vobis loculus sum* [70]? Et qui hæc tamen dixit, Deus etiam immortalis fuit. Alibi vero aiens : *Vos dicitis, quia blasphemas, quia dixi : Filius Dei sum* [71]. Et sane cum hæc B diceret, filius etiam hominis fuit. Sic quod proprium est alterutrius appellationis alterutri naturæ tribuentes, a vero neutiquam aberramus. Quando autem et hujus vox finem accepit, jam Theodoti quænam est? « Sanctorum ideas non in imaginibus ex crassis coloribus informare accepimus, sed eorumdem virtutes per ea quæ de ipsis declarantur in sacris Scripturis, quasi quasdam animatas imagines exprimere edocti sumus, ex quo pari cum ipsis studio incitamur. Dicant deinde qui tales formarum effigies erigunt, quem ex illis denique fructum consequantur : aut ad quam ex earum admonitione spiritalem contemplationem assurgant. Sed perspicuum est inanem ejusmodi excogitationem esse, et diabolicæ artis inventum [72]. » Non statim C reprehendendum orationis exordium est etsi viam muniat ad absurda quæ consequuntur : quandoquidem et multi e sacris doctoribus narrationem quæ voce fit, utiliorem arbitrantur aspectu imaginum, neque hunc tamen vituperant; alii vero vice versa. Sed perinde est, ut magnus ait Basilius : « Nam quæ narrationis sermo per auditum ingerit, hoc pictura silens per imitationem ostendit [73]. » At nec omnes pictores, nec omnes sunt oratores : sed prout unicuique Deus gratiæ modum impertiit. Quare, omissa hac propositione, ad sequentem veniat. « Dicant deinde qui tales formarum effigies aut ad quam ex earum admonitione spiritalem erigunt, quem ex illis denique fructum consequantur : contemplationem assurgant. »

D Interrogetur vicissim vir strennus, quis non inde fructus, quæ non pia contemplatio oriatur. Nam si imaginis natura est ut sit archetypi simulacrum, quemadmodum ait Gregorius Theologus, et in imagine archetypum cernitur, ut sapientissimus Dionysius loquitur : perspicuum est ex simulacro,

[69] Joan. VI, 58. [70] Joan. VII, 40. [71] Joan. X, 36. [72] Concil. Nicæni II, act. 6. [73] Hom. 20 in 40 martyres, initio, t. I, pag. 527.

NOTÆ.

(4) In cod. Reg. ad oram libri : Ἰστέον ὡς Θεόδοτοι τέσσαρες ὑπὸ τοῦ ἁγίου Σωφρονίου ἀναθεματίζονται· ἀλλ' οἱ μὲν τρεῖς πρόδηλοι· ὁ δὲ εἷς ἀνώνυμος, ὑπὸ δὲ ἑτέρου πατρὸς, ὡς ἀνέγνων, Θεόδοτος Ἀγκύρων διαβέβληται. *Sciendum est quatuor Theodotos a sancto Sophronio anathematizari ac tres quidem noti sunt : hic autem unus sine cognomine, ab altero Patre, sicut legi, infamatur tanquam sit Theodotus Ancyranus.*

hoc est, ex imagine magnam utilitatem percipi, ac per simulacrum existere multiplicem circa archetypum mentis contemplationem. Ac testis quidem divinus Basilius, alicubi dicens : « *Imaginis honor ad prototypum ascendit* [74]. » Si ascendit autem, et descendit haud dubie ad imaginem a prototypo. Nemo vero ita desipit ut dicat honorem nullius esse utilitatis, aut simulacrum non esse rei assimilatæ expressam effigiem, ita ut alterum in altero sit, juxta divinum Dionysium : quo quid esse utilius potest vel ad sublimia animo contemplanda ! Est enim repræsentatio ipsi rerum aspectui par : est imago, ut proprio exemplo utar, ad solis lucem quasi lunæ lux. Alioqui si res secus habet, quid veteribus tabernaculum testimonii profuit, quod fuit cœlestium simulacrum ? Nam et illic cum cæteris Cherubim gloriæ propitiatorium obtegebant [75], hoc est, imagines humana similitudine expressæ : omnes ad mentem sursum attollendam aptæ, et contemplationes adorationis in spiritu. Frustra vero nobis, secundum illam propositionem, et imago crucis : frustra et quæ lanceam : frustra et quæ spongiam repræsentat : siquidem et hæc simulacra sunt, etsi non humanæ similitudinis : frustra et quæcunque alia sensibilibus imaginibus, ut cum Dionysio loquar [76], nobis sunt tradita : per quæ ad intelligibilem, quoad ejus fieri potest, inquit, contemplationem assurgimus.

Deinde vero et una e quinque animæ facultatibus phantasia est : phantasia vero imago quædam merito videatur : utrumque enim simulacrum est. Non inutilis igitur imago, quæ sit phantasiæ similis. Quod si inutilis ea est quæ præstantior, multo utique magis ea quæ deterior, frustra naturæ congenita. Ac si frustra, pariter et quæ sunt ejusdem cum illa ordinis, sensus, opinio, cogitatio, mens. Sic ratione physica utens oratio insipientem ostendit, magis probabili contemplatione, imaginis sive phantasiæ contemptorem. Ego vero et alio nomine phantasiam miror. Aiunt enim nonnulli mulierem hausta Æthiopis imagine sub ipso conceptu, Æthiopem peperisse. Simile quiddam de patriarcha Jacob narratur in virgarum decorticatione [77] ; quo ex visu, varii coloris pecora nascebantur, et, o rem miram ! imagini similis phantasia vim effrectricem visa est consummasse. Sed ad propositum revertatur oratio : « Dicant qui tale[s] formarum effigies erigunt, quem ex illis denique fructum consequantur : aut ad quam ex earum admonitione spiritalem contemplationem provehantur. » Ecquis, o amice, ex imaginis aspectu, siquidem exacte fixisque dextrorsum, ac sinistrorsum oculis cernat, simulacra hauriens non infigat in animo : et optima quidem, si ex imagine optima : sin ex turpi, turpia ? ita ut persæpe et domi habitans nunc cumpungatur, nunc vero succenseat. Annon et aliquis interdum obdormiens visis noctur-

A ἤγουν εἰκόνος, πολὺ τὸ ὄφελος πρόεισι · καὶ διὰ τοῦ μιμήματος πλείστη ἐπὶ τὸ ἀρχέτυπον ἡ πνευματικὴ θεωρία ἄνεισι. Καὶ μάρτυς ὁ αὐτὸς θεῖος Βασίλειος ὧδέ που λέγων · « Ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει. » Εἰ δὲ ἀναβαίνει, καὶ κάτεισιν εὔδηλον ἐπὶ τὴν εἰκόνα ἀπὸ τοῦ πρωτοτύπου. Οὐκ ἂν δέ τις ἀνοηταίνων ἀνωφελῆ τὴν τιμὴν εἴποιεν · οὐδ' αὖ τὸ μίμημα μὴ οὐχὶ τοῦ μεμιμημένου ἀποτύπωμα · ὡς εἶναι ἑκάτερον ἐν ἑκατέρῳ κατὰ τὸν θεῖον Διονύσιον · οὗ τί ἂν γένοιτο ὠφελιμώτερόν τε καὶ ἀναγωγικώτερον ; Ἔμφασις γάρ ἐστι τῆς αὐτοψίας, καὶ σεληνιαῖόν τι φῶς, ἵνα καὶ οἰκείῳ παραδείγματι χρήσωμαι, πρὸς ἡλιακὸν φῶς ἡ εἰκών · ἐπεὶ εἰ μὴ τοῦτο, τί ὀνίνησι τοὺς πάλαι ἡ σκηνὴ τοῦ μαρτυρίου, μίμημα οὖσα τῶν ἐπουρανίων ; Κἀκεῖ γὰρ μετὰ τῶν ἄλλων Χερουβὶμ δόξης κατα- B σκιάζοντα τὸ ἱλαστήριον · τουτέστιν εἰκόνες ἀνθρωπομόρφῳ εἴδει διατυπούμεναι · ἀναγωγικὰ πάντα, καὶ τῆς ἐν πνεύματι λατρείας θεωρήματα. Μάτην δὲ ἡμῖν ὅσον ἐπὶ τῇ τοιᾷδε προτάσει καὶ ἡ σταυροειδὴς εἰκών · μάτην καὶ ἡ λογχοειδὴς · μάτην καὶ ἡ σπογγοειδής. Ἐπείπερ καὶ ταῦτα μιμήματα, κἂν οὐκ ἀνθρωπόμορφα · μάτην καὶ ὅσα ἄλλα αἰσθηταῖς εἰκόσι, Διονυσιακῶς εἰπεῖν, παραδέδοται ἡμῖν · δι' ὧν ἐπὶ τὰς νοητὰς κατὰ τὸ δυνατὸν, φησὶν, ἀναγόμεθα θεωρίας.

Ἔπειτα καὶ ἡ μία τῶν πέντε τῆς ψυχῆς δυνάμεων ἡ φαντασία · φαντασία δὲ δόξειέ τ.ς εἰκών · ἰνδάλματα γὰρ ἀμφότερα. Οὐκ ἀνωφελὴς ἄρα ἡ C εἰκὼν τῇ φαντασίᾳ ἐοικυῖα. Εἰ δὲ ἀνωφελὴς ἡ προὐργιαιτέρα, πολλῷ οὖν μᾶλλον ἡ ὑφειμενεστέρα, μάτην συνυπάρχουσα τῇ φύσει · καὶ εἰ μάτην, καὶ αἱ σύστοιχοι αὐτῆς, αἴσθησις, δόξα, διάνοια, νοῦς. Οὕτω φυσιολογῶν ὁ λόγος ἄνουν ὑπαγορεύει διὰ θεωρίας ἐπαγωγικωτέρας τὸν τῆς εἰκόνος ἤτοι φαντασίας ἐξουδενωτήν. Ἐγὼ δὲ καὶ ἄλλως ἄγαμαι τὴν φαντασίαν. Φασὶ γάρ τινες γυναῖκα κατὰ τὸν συλλήψεως καιρὸν Αἰθίοπα φαντασθεῖσαν, Αἰθίοπα ἀποτεκεῖν. Τοιοῦτον καὶ τὸ κατὰ τὸν πατριάρχην Ἰακὼβ ἐπὶ τῷ τῶν ῥάβδων λεπισμῷ · ἐξ ἧς φαντασίας ἐποικίλλοντο τὰ ἐν τοῖς θρέμμασι τικτόμενα, καὶ, ὦ τοῦ D θαύματος ! ὅτι πραγματικῆς ἐνεργείας ἡ εἰκονοειδὴς φαντασία ὤπται ἀποτέλεσμα. Ἀλλ' ἐπὶ τὸ προκείμενον ὁ λόγος · « Εἰπάτωσαν οἱ τὰς τοιάσδε ἀναστηλοῦντες μορφὰς, ποίας ἄρα ἐκ τούτων καταπολαύοιεν ὠφελείας · ἢ ἐν ποίᾳ διὰ τῆς τούτων ἀναμνήσεως ἀνάγονται θεωρίᾳ. » Καὶ τίς, ὦ τᾶν, οὐκ ἐκ τῆς εἰκονικῆς ἰδέας, εἴπερ ἐναργῶς ἀτενίσειε, δεξιᾶς τε ἢ ἀριστερᾶς, ἰνδάλματα λαβὼν ἐν νῷ ἄπεισιν ; ἀλλ' εἰ μὲν ἐξ ἀρίστης ἄριστα · εἰ δὲ ἐξ αἰσχίστης αἴσχιστα · ὥστε πολλάκις καὶ οἶκοι μένων τῇ μὲν κατανύττεσθαι, τῇ δὲ παθαίνεσθαι. Ἢ οὐχὶ καί τις ἐνίοτε ἀφυπνώσας τοῖς νυκτερινοῖς φαντάσμασι περιχαρῶς ἢ λυπηρῶς διανίσταται ; Εἰ δὲ ἐκεῖ οὕτως, πολλῷ μᾶλλον ἐν τοῖς καθ' ὕπαρ εἰκονίσμασι διατί-

[74] Lib. De Spiritu sancto, c. 17. [75] Exod. xxv, 20. [76] De cœlesti hierarchia, cap. 1. [77] Gen. xxx, 37.

τι πρὸς ἑκάτερα τὸν βλέποντα· Οὐ δήπου ὦ βέλτιστε, ὡς οἱ πάλαι ὑποδείγματι καὶ τρεύουσι τῶν ἐπουρανίων. Τί; ἑκάτερον ν; οὐκ ἐν εἰκόνι ἀνήγοντο πρὸς τὴν τῶν ων θεωρίαν; οὐκ ἐν εἰκόνι διαπορεύεται ρωπος, Δαυϊτικῶς εἰπεῖν; οὐκ αὐτὸς σὺ ὁ ίχος εἰκὼν Θεοῦ, καὶ κατὰ ἰδέαν πατρῴαν ; καὶ εἰκονικῶς ἐν πίνακι ἐγγραφόμενος; σὺ ἀνεξεικόνιστος, ὡς οὐκ ἄνθρωπος, ἀλλ' ἴδιος· καὶ διὰ τοῦτο καὶ τοὺς ἁγίους οὕτως ; Ἀλλ' ἵνα μᾶλλον ὁ περὶ τοῦδε λόγος πίξοιτο· παρεὶς τὸ οἰκοθεν δογματίζειν, αὐστήσεται τοὺς τῆς οἰκουμένης λαμπτῆρας, μένους σοι πρὸς τὴν ἐρώτησιν. Γρηγόριος ὁς· « Εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα ως· καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον· τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν. » όστομος· « Ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάραφὴν εὐσεβείας ἕνεκεν πεπληρωμένην. Εἶ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα Βαρβάρων στίφη· ιτούμενα Βαρβάρων φῦλα· καὶ τὸν Δαβὶδ ντα· Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα ἐξουδενώσεις. Κύριλλος Ἀλεξανδρείας· ἐγὼ κατὰ τοίχου γραφὴν, ἐναλθοῦσαν τοῖς τι κόρην· καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν κατώ» Γρηγόριος ὁ Θεολόγος·

A nis excitatur, seu læta ea sint, seu tristia? Quod si sic res illic habet; multo magis in iis imaginibus quæ inter vigilandum informantur, utrolibet modo necesse est affici contuentem. Non legisti scilicet, vir optime, quod veteres *exemplari et umbræ deserviunt cœlestium* [78]. Quid? utrumque non imago est? non in imagine ad cœlestium contemplationem subvehebantur? non *in imagine pertransit* omni *homo* [79], ut cum Davide loquar? non ipse tu, Iconomache, Dei imago. et ad patris similitudinem genitus, et graphice depictus in tabula? An tu solus sine imagie es, tanquam non homo sis, sed partus abortivus, atque idcirco sic et de sanctis existimas? Verum ut majorem hæc oratio inveniat fidem, propria ratiocinatione prætermissa,
B ipsa exhibebit orbis terrarum lumina, quæ tibi ad interrogata respondeant. Gregorius Nyssenus: Vidi sæpenumero in pictura imaginem rei miserabilis, nec oculis siccis spectaculum præterii: adeo manifeste sub oculos rem gestam ars exhibebat [80]. Chrysostomus [81]: « Ego et in cera expressam amavi picturam, pietatis causa confectam. Vidi enim angelum in imagine Barbarorum copias dissipentem: vidi Barbarorum agmina conculcantem: Davidemque vere dicentem: *Domine in civitate tua imaginem ipsorum ad nihilum rediges* [82]. » Cyrillus Irinus: « Vidi ego in pariete picturam, puellam in stadio decertantem: nec licuit sine lacrymis ıllum contueri. Gregorius Theologus [83]:

' ἦν ὑπερκύπτων Πυλέμων ἐν εἰκόνι.
ν ἰδοῦσα [*supple*, ἑταιρίς] (καὶ γὰρ ἦν σεβασμία),
C [*venerabilis*;
.θεν εὐθύς· καὶ θέας ἠττημένη,
ντ' ἐπαισχυνθεῖσα τὸν γεγραμμένον.

Eminebat exinde Polemon in imagine:
Quam cum (scortum) videret; erat enim pictura
Repente abiit, nec ferre spectaculum potuit.
Cum puderet intueri quasi viventem qui pictus erat.

ς ὁ μέγας· « Ἀνάστητέ μοι νῦν, ὦ λαμ ἀθλητικῶν κατορθωμάτων ζωγράφοι· τὴν ατηγοῦ κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις ματε τέχναις· ἀμαυρότερον παρ' ἐμοῦ τὸν την γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας πεατε χρώμασιν. Ἀπέλθω τῇ τῶν ἀριστευμάῦ μάρτυρος νενικημένος γραφῇ. Χαίρω τῇ τῆς ὑμετέρας ἰσχύος σημερον νίκῃ ἡττώμεω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ραφομένην τὴν πάλην. Ἴδω φαιδρότερον ἐπὶ ετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. τωσαν δαίμονες καὶ νῦν ταῖς τοῦ μάρτυρος ἀριστείαις πληττόμενοι· ὀλεγομένη πάλιν ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. » Ὁρᾷς ὅπως D προτίθησι τῆς λογογραφίας τὴν ζωγραφίαν· λίκῃ ἡ ἐκθείασις, ὡς καὶ κλαίειν τοὺς δαί-

ὁ δὲ πηλίκως πῶς σεβαστὴν τὴν εἰκονουρ ἐκλῆκεν, ὡς ἑταιρίδος σωφρονισμὸν ὑπάρξα Εἶτα πάλιν πῶς ὁ ἕτερος οὐκ ἀδακρυς ἐκ τῆς ῆς θέας ἄπεισιν, ἐν τῇ γραφῇ ἀληθοῦσαν ν τὴν μάρτυρα; Πάλιν πῶς ὁ ἄλλος ἠγαπηκαλεῖ τὴν κηρόχυτον γραφὴν, ὡς ἐν αὐτῇ ἀ πρωτότυπα; Ἔπειτα καὶ ὁ μετ' αὐτοὺς, ὁ' αὐτὸς ἐκ τῆς γραφῆς τῆσγε ἀδακρυς ἄπει-

Basilius magnus: « Exsurgite mihi nunc, o præclari athleticorum gestorum pictores, mutilam ducis imaginem eximio vestro artificio illustrates: coronatum athletam, obscurius a me depictum, vestræ vos industriæ coloribus conspicuum reddite. Discedam rerum præclare a martyre gestarum pictura victus. Gaudeam tali vestræ solertiæ victoria hodierno die superatus. Liceat intueri manus hujusce cum igne luctam diligentius a vobis delineatam. Videam alacriorem pugilem vestra depictum imagine. Lugeant dæmones et nunc martyris inter vos virtute perculsi: ardens iterum ipsis manus, et victrix quidem, ostendatur [84]. » Viden', quemadmodum alter narrationi picturam anteponit, in qua tantum insit divinæ virtutis, ut dæmones ad lacrymas adigat: alter ut venerabilem picturam appellet, quod scortum adegerit ad continentiam? Mox ut alter iterum non sine lacrymis visa tabella abierit, quasi in pictura martyrem puellam decertantem vidisset? Rursum ut alius charissimam vocet picturam encausticam, quasi in ipsa prototypa intueretur? Postea et is qui cæteros subsequitur, ut nec ipse siccis ab aspectu hujusce tabulæ oculis abierit, perinde atque rem ipsam oculis usurpasset?

ibr. VIII, 5. [79] Psal. XXXVIII, 7. [80] Orat. in Abraham, t. II, pag. 908. [81] Serm. de diversis utrius stamenti locis. [82] Psal. LXXII, 20. [83] Iamb carm. 18. [84] Hom. 17 in S. Barlaam, in fine.

Videquot ex ea re recommoda: contemplare quantæ sint utilitates. Et postquam sciscitatus audiisti, non ab hoc vel illo ex hominum plebe ac fæce, sed ab iis qui cum Spiritu Dei loquerentur, orbem universum quasi tonitru terruere; subjice quod ex iis concluditur, o ratiocinator. *Sed perspicuum est inanem ejusmodi excogitationem esse, et diabolicæ artis inventum* [85]. Opportune hic licet contenta voce exclamare : *Obstupesce, cœlum, super hoc* [86]; quoniam frivola excogitatio ac diabolicæ artis inventum id appellatur, quod divini Patres docuere. At non ita est, impostorum nequissime : sed e diverso regerenda in te linguæ vibrantis jacula. Quandoquidem igitur tela est ad finem usque pertexta, illud pervelim te nosse, frater, has sententias ab Iconomachis proferri : quarum aliæ ab hæreticis manifeste petuntur : fieri enim, fieri omnino non potest, ut non interseratur mendacium veritati, ut frumento zizania ; aliæ ex sanctis Patribus, quas illi obducta tenebris cogitatione perversa accipiunt : aliæ denique a proposito alienæ, ea quæ idola spectant, Christi imagini accommodantes : quorum non oportet temere vocem admittere, neque, contra sanctionem. Cæterum salvus sis, fili : et ut salvus sim ora.

A σιν, ὡς αὐτὴν ὑπολαβὼν τὴν αὐτοψίαν ; Ἴδε ὅσα τὰ ὀνησιφόρα · σκόπησον πηλίκα τὰ ὠφέλιμα. Καὶ ἐπειδὴ ἐρωτήσας ἤκουσας, οὐ παρὰ τοῦδε καὶ τοῦδε σμικρῶν ἀνθρώπων καὶ οὐδαμινῶν, πρὸς αὐτῶν δὲ τῶν πνεύματι φθεγξαμένων Θεοῦ, καὶ βροντώντων τὴν ὑπ' οὐρανὸν, φράσον καὶ τὸ συμπέρασμα τοῦ λόγου, ὦ δογματιστά. Ἀλλ' εὔδηλον ὡς ματαία ἡ τοιαύτη ἐπίνοια, καὶ διαβολικῆς μεθοδείας εὕρεμα. Εὔκαιρον ἐνταῦθα ἐκβοῆσαι μέγα · Ἔκστηθι, οὐρανὲ, ἐπὶ τούτῳ · ὅτι ματαίαν ἐπίνοιαν, καὶ εὕρεμα μεθοδείας διαβόλου τὰ παρὰ τῶν θεοφόρων ἱερὰ δόγματα ἐκπέφασται. Ἀλλ' οὐχ οὕτως, ὦ πλάνων μέγιστε · τούναντίον δὲ ἐπὶ σοὶ ἀναθετέον τὰ τῆς γλώττης σου ἀμαρύγματα. Ἐπεὶ οὖν τέλος ἔχει τὸ ὕφος · ἐκεῖνο βούλομαί σε, ἀδελφὲ, εἰδέναι, ὅτι ἄσπερ προφέρουσι χρήσεις οἱ Εἰκονομάχοι · αἱ μὲν προδήλως αἱρετικῶν · οὐ γὰρ ἔστιν, οὐκ ἔστι, μὴ οὐχὶ παρυφίστασθαι τῇ ἀληθείᾳ τὸ ψεῦδος, ὡς καὶ τῷ σίτῳ τὰ ζιζάνια · αἱ δὲ Πατέρων ἁγίων, στρεβλῶς ὑπὸ τῆς ἐσκοτισμένης αὐτῶν διανοίας ἐκλαμβανόμεναι · αἱ δὲ παντάπασιν ἀλλόκοτοι, τὰ κατὰ εἰδώλων τῇ εἰκόνι Χριστοῦ ἀνάπτουσαι · ὧν οὐ δεῖ ὡς ἔτυχε προσίεσθαι φωνὴν, οὔτε μὴν συναίρειν λόγον αἱρετικοῖς παρὰ τὴν ἀποστολικὴν νομοθεσίαν. Τὸ λοιπὸν, σώζοιο, τέκνον · καὶ μὲ σώζεσθαι προσεύχου (1).

Ἡ τοῦ Θεοῦ ἐντολὴ ἡ ἀπαιτοῦσα ἡμᾶς ἀγαπᾷν ἀλλήλους, καὶ τοσοῦτον ὅσον τὴν ψυχὴν τιθέναι ὑπὲρ ἀλλήλων, ἠνάγκασέ με, ἀδελφὲ πνευματικὲ, καὶ πάλιν ἐπιστεῖλαί σοι, πονοῦντα περὶ τῆς σωτηρίας σου · καὶ ἀκούοντα διαίρεσιν εἶναι σχισματικὴν μεταξὺ ὑμῶν καὶ ἑτέρων ἀδελφῶν οὐ τὴν τυχοῦσαν, ἀλλὰ καὶ λίαν χαλεπὴν, ὥστε καὶ συναποῤῥαγῆναι εἰς δύο μέρη ἀντικείμενα τὸν ἀγελαῖον λαόν. ἑκατέρου ἑτέρῳ προσκειμένου, καὶ πόῤῥω ἀφισταμένου τῆς ἀλληλούχου κοινωνίας · καὶ τοῦτο ὅλον ἔργον τοῦ Σατανᾶ τοῦ ἀρχαίου ἀνθρωποκτόνου · καὶ τοῦτο σκάνδαλον μέγα · καὶ λέλεκται παρὰ τοῦ Κυρίου · Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. Καὶ πάλιν · Συμφέρει ἵνα μύλος ὀνικὸς δεθῇ περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ῥιφῇ εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τούτων τῶν ἐλαχίστων. Καὶ θαυμάζω πῶς ἡ τιμιότης σου, ἀσκοῦσα καὶ προσκειμένη Θεῷ ἐν τοσούτοις ἔτεσιν, ἀφροντίστως ἔχει περὶ τοῦ κινδύνου τούτου · ὃς εἰ μὴ διωρθωθῇ διὰ πάσης σπουδῆς σου καὶ ἐπιμελείας, οὐ μόνον κενὴν πᾶσάν σου τὴν ἄσκησιν ἐργάσεται, ἀλλὰ καὶ πόῤῥω σε Θεοῦ ποιήσει, ὃ μὴ γένοιτο. Διὰ τοῦτο, ἀδελφὲ φιλαδέλφως κινηθεὶς πρὸ τριῶν ἐτῶν, ἡνίκα ἐπλησίασα τοῖς αὐτόθι ἀπὸ Σμύρνης ἐπανιὼν καὶ τὸ σχίσμα μεμαθηκὼς, ἔγραψά σοι ἅπερ ἀκήκοα, καὶ ὡς δεῖ σε φρονεῖν περὶ τῆς ἀληθείας, καὶ ὡς φυγεῖν τὸν ἐπηρτημένον κίνδυνον τοῦ σκανδάλου. Καὶ οὐκ ἀντέγραψάς μοι · καὶ πάλιν δεδήλωκα, καὶ οὐκ ἀπεκρίθης μοι · καὶ τοῦτο κατηγορία ἐναργὴς, τοῦ μὴ θέλειν σε Θεὸν θεραπεύειν, μηδὲ ὀρθοποδεῖν περὶ τὴν ἀλήθειαν. Καὶ συγχώρησον. μὴ κατεγνωκατήσῃς

C

D

[28] Luc. XII, 48. [29] Matth. V, 13. [30] I Cor. XIV, 40. [31] Joan. XV, 12. [31a] Matth. XVIII, 7. [32] Ibid. 6.

NOTÆ.

(29) In cod. Reg. ρνγ'.

μου λέγοντος τὸ ἀληθές. Γέγραπται· Ἔλεγμῷ ἐλέγξεις τὸν πλησίον σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν. Ἰδοὺ ἐγὼ ὁ τάλας, καίπερ μὴ ἰδών σε πώποτε, ἀλλ' ὅτι ἀδελφὸς κατὰ Χριστόν, οὐκ ἤνεγκα τὴν ἀκοὴν φόβῳ· ἔλεγμῷ δὲ ἤλεγξα· παρακαλῶν παρεκάλεσα, ἀποδυόμενος τὸ κρῖμα, καὶ φιλῶν τὴν σωτηρίαν σου. Πῶς αὐτὸς ὁ ἐγκληθείς, καὶ τοῦ σχίσματος πατὴρ, οἴσεις τὸ κρῖμα; πῶς δὲ ἀπολογήσῃ τῷ Χριστῷ ὑπὲρ τοσούτου λαοῦ εὐθυνόμενος; Ἰωάννου τοῦ προδρόμου εἰ τὸ ἔργον ἔχοις, κενόν σε τῆς βασιλείας ἀποπέμψει τοῦ Θεοῦ, εἰ μὴ προκαταλάβοις διορθώσασθαι. Τίς δὲ ἡ διόρθωσις; εἰ μέν οἷόν τε, σοῦ αὐτοῦ παρόντος· εἰ δὲ μή, δι' ἀποστόλου σου ἀπολογίᾳ γραμματικῇ περὶ ὧν πρότερον ἐνεκλήθης. ἀθωῶν ἑαυτὸν διὰ τῆς ἀπολογίας, καὶ ὑποδεικνύων ὀρθὴν τὴν πίστιν, καὶ τὴν ἐφ' ἅπασιν ὀρθοτομίαν τοῦ λόγου τῆς ἀληθείας. Καὶ οὕτως γενομένης ὁμονοίας ἐν Κυρίῳ, οὐ λέγω μετὰ τοῦδε καὶ τοῦδε, ἀλλὰ μετ' ἐμοῦ μόνου τοῦ ταπεινοῦ, ἦρθη τὸ σκάνδαλον ἐκ μέσου, καὶ συνήφθη τὰ διεστῶτα· καὶ ὁ Κύριον ἐν μέσῳ ἡμῶν, καὶ οὐ βλασφημούμενον τὸ ὄνομα αὐτοῦ δι' ἡμᾶς· οὐ λέγω ἐν τοῖς ἔθνεσιν, ἀλλ' ἐν τοῖς Χριστιανοῖς. Κἂν τινες διαφέρωνται μετὰ τὴν εἰς ἀλλήλους συμφωνίαν διδαχθήσονται καὶ συναφθήσονται δι' ἡμῶν αὐτῶν τῶν ταπεινῶν ὑπερασπιζομένων σε, ὡς ἐμαυτόν. Καὶ ἵλεως ἔσται Θεὸς, καὶ ὁ βίος σου οὕτω μακάριος, καὶ τὸ τέλος σου αἰνετὸν, καὶ τὰ ἐγκαταλείμματά σου ἐν δικαιοσύνῃ. Ἰδοὺ δευτέρα ἡ ἐπιστολή μου αὕτη ἡ εὐτελής. Καὶ εἰ μὲν δράσεις τὰ δέοντα, δηλῶν καὶ ἀπολογούμενος περὶ πάντων ὧν ἐγκαλῇ, ἐκερδήθης ὁ ἀδελφὸς ἡμῶν, κυριολέκτως εἰκεῖν, καὶ χαίρομεν ἐπὶ σοὶ μέγα οἱ ταπεινοί. Εἰ δὲ, ὅπερ ἀπεῖη, ἐμμείνῃς ἐν τῇ αὐτῇ σιωπῇ καὶ ἀπειθείᾳ, βαστάσεις τὸ κρῖμα αἰώνιον, ἄπρακτα ἀσκῶν, μᾶλλον δὲ ὀλεθρίως σχίζων τὸν λαὸν τοῦ Θεοῦ, διὰ τῆς οἰκείας ἰδιοπραγίας. Ἡμεῖς δὲ προσίξομεν τῷ Ἀποστόλῳ λέγοντι· Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

A *lius*[33]. En ego miser, tametsi te nunquam vidi, hoc uno quod frater in Christo meus es, quod audieram metu non silui : sed arguens argui, hortans hortatus sum judicium exuens, et amans salutem tuam. Quomodo ipse qui accusaris, et schismatis es auctor, judicium sustinebis ? Quomodo Christo respondebis, pro tanto cœtu rationem reddens ? Licet Joannis præsursoris opera fecisses vacuum te a regno Dei amandabit, nisi matures correctionem. Quænam porro est correctio ? si quidem fieri potest, teipso præsente ; sin minus, ut per hominem abs te misum, insontem te scripta defensione comprobes in iis de quibus hactenus accusatus es, rectam fidem, rectumque in omnibus veritatis sermonem ostendens. Atque hoc modo facta B in Domino concordia, non dicam cum hoc vel illo, sed cum solo me humili, tolletur de medio scandalum, et coalescent quæ divulsa sunt : et Dominus in medio nostrum : et non blasphemabitur nomen ejus propter nos, non dico inter gentes, sed inter Christianos. Quod si qui post mutuam concordiam dissenserint, docebuntur, et unientur per nos humiles, qui te sicut nos ipsos defendemus. Et propitius erit Deus, et vita tua beata, et finis tuus laudabilis, et reliquiæ tuæ in justitia. Ecce hæc secunda est mea tenuis epistola. Ac si quidem quæ conveniunt egeris, declarans respondensque de omnibus quorum insimularis, lucrifactus es frater noster, ut Domini voce utamur [34], et de te humiles magnopere gaudemus. Sin vero, C quod absit, in eodem silentio et inobedientia perstiteris, judicium perferes sempiternum, incassum te exercens, aut potius exitiose dividens populum Dei per privatam tuam actionem. Nos vero Apostolum audiemus dicentem : *Hæreticum hominem post unam et secundam correptionem devita, sciens quia subversus est qui ejusmodi est, et delinquit, cum sit proprio judicio condemnatus* [35].

ΡΛΘ' (30). — Στεφάνῳ ἡγουμένῳ. [ψκ'.]

CXXXIX. — *Stephano præposito.*

Nihil vetare quominus mensis benedicant, qui post lapsum pœnitentiam egere.

Ἡ συχνότης τῶν γραμμάτων πυκνουμένην δείκνυσι τὴν ἀγάπην τῆς τιμιότητός σου, πατρικῷ ἔθει ἐπερειδομένην. Κἀκεῖνος γὰρ ὁ μακάριος πρὸς τοῖς ἄλλοις αὐτοῦ κατορθώμασι, καὶ τῷδε τῷ ἐπιτηδεύματι δημιουργῶν ἦν πρὸς τοὺς ἀδελφοὺς τὸ τῆς ἀγάπης καλόν. Γράφε τοίνυν, ὦ τριπόθητε, πατρῶζων ἐν τούτῳ, ἡμᾶς τε ἡδίους ποιῶν τῷ συνεχεῖ τοῦ φθέγματος. Μὴ μέντοι ἐπαίνει, μηδὲ σύγκρινε χρυσῷ μόλιβδον, μηδὲ μαργαρίτῃ πηλόν. Προσεύχου δὲ μᾶλλον, καὶ ὑμῶν τῶν ἐκείνου ὀπαδῶν κατόπιν ἐέναι· διὰ τὸ ἀχρεῖόν με εἶναι ἐν πᾶσι· κἂν αὐτὸς ὠφελεῖσθαι λόγοις πρὸς ἡμῶν τῶν ἀνωφελῶν ἀγαπη-

D Crebritas litterarum vehementem ostendit charitatem reverentiæ tuæ, in paterno more constantem. Nam et beatus ille, inter alia egregia facinora, hoc etiam pulchrum charitatis studium apud fratres fovebat. Scribe igitur, dilectissime, Patrem imitans hac in parte, nosque exhilarans assiduitate sermonis. Attamen ne lauda, nec plumbum cum auro compara, nec lutum cum margarita. Quin potius ora ut vos illius assectatores pone subsequamur ; quia inutilis ego sum in omnibus : tametsi amoris vi abreptus, juvari te dicas inutilibus sermonibus nostris. Quod si qua tibi utilitas

[33] Eccli. XIX, 17 ; XXII, 15. [34] Matth. XVIII, 15. [35] Tit. III, 10.

NOTÆ.

(30) In cod. Reg. ρνϵ'.

obtigit, Deo ascribendum est, qui quæ profutura sunt, inter hos illosque mutuo dispensat. Atque hæc ita sint. De eo autem quod ab iis qui per pœnitentiam erecti sunt, signum in mensa, aut alia quapiam occasione fieri approbaverint ii qui lapsum jam evaserant; jam a sanctis Patribus propa dixerim synodice inquisitum et decretum est, bene habere, si et nos humiles rem merito probandam custodiamus, et aliis tradamus.

Si ergo et ipse vis id servare, et laudamus et admittimus. Quod enim renuunt quidam, superstitionis opus est, quam reprehendit Apostolus, sed quæ nec legi consentanea sit, nec fraternæ dilectioni. Unde namque tutum id esse confirmabunt, cum nec canon exstet qui sanciat, nec divinus hierarcha noster hoc recipi a nobis velit? Annon potius destruit pœnitentiam, et desperationem affert salutis? ut, cui sacramenta participare conceditur, et signare seipsum crucem imagine, huic non liceat cibum communem vel privatim vel publice obsignare? An nescimus bonum Deum nostrum et Dominum, qui solus expers est peccati, et tollit peccatum mundi, pertulisse ut immaculatos ipsius pedes meretrix manibus tangeret, ungeretque lacrymis pariter et unguento? Sed et cum publicanis manducat, et apud publicanos, et publicanos habet discipulos: nihilque illi adeo charum est, ac conversio a peccato, et mutua dilectio. Inde et agnosci discipulos suos designat: et quidem beatum Petrum, post negationem, reliquorum apostolorum principem renuntiat: quo quid majus ad rei propositæ confirmationem? Quid vero dementius iis qui eos, qui ex pœnitentia meliores jam facti sunt, signare et orare, imperite et arroganter non admittunt? Nos itaque humiles sic sentimus, ut dictum est, et vobis id suademus. Alii qui aliter sentiunt, de hoc videbunt. Nos ad ea quæ Simeon frater noster interrogavit respondimus: cupimusque humiles, ut vobis, viris honorandis, ad quietem cedant in omnibus; et optamus illæsos vos in omnibus custodiri.

τικῶς φερομένος. Εἰ δὲ καί τι ὠφελιμώτερον σὺν γένοιτο, Θεῷ τὸ πρᾶγμα ἀναθετέον, τῷ δι' ἀλλήλων καὶ ἐν ἀλλήλοις οἰκονομοῦντι τὰ κατὰ χρείαν. Εἶεν δὴ ταῦτα. Πρὸς δὲ τῶν ἐκ μετανοίας ἀνασφηλάντων σφραγῖδα ἐπὶ τραπέζης, ἢ κατὰ ἄλλην τινὰ περιστασιν διδόχθαι τοὺς ἤδη διαπεφευγότας τὸν ὄλισθον· ἤδη ἐπὶ Πατέρων ἁγίων σχεδὸν εἰπεῖν συνοδικῶς συνεζητήθη καὶ συνεκρατήθη, εὖ ἔχειν καὶ ἡμῖν τοῖς ταπεινοῖς εὐσταθέστατον τὸ πρᾶγμα φυλαττόμενον, καὶ ἄλλοις μεταδιδόμενον.

Εἰ οὖν καὶ αὐτὸς οὕτω βούλοιο κρατεῖν, καὶ ἐπαινοῦμεν καὶ ἀποδεχόμεθα. Τὸ γάρ τινας ἀπαναίνεσθαι, ἐθελοθρησκείας ἐστὶν ἔργον παρηγορουμένης ὑπὸ τοῦ Ἀποστόλου, ἀλλ' οὐκ ἐχούσης οὔτε τὸ ἔννομον, οὔτε τὸ φιλάδελφον. Πόθεν γὰρ ἐρεῖσθαί τι ἀσφαλὲς ἔχειν, μήτε κανόνος θεσπίζοντος, μήτε τοῦ θεσπεσίου ἡμῶν ἱεράρχου ἀπείργοντος, ἡμᾶς τοῦτο δέχεσθαι; Ἢ οὐχὶ μᾶλλον ἀναιρετικὸν ἐστὶ μετανοίας, καὶ ἀπογνωστικὸν ἐστι σωτηρίας; τὸ τὸν ἀξιούμενον μετέχειν τῶν ἁγιασμάτων, καὶ σημαίνειν ἑαυτὸν τῇ σταυροειδεῖ εἰκόνι, μὴ ἐξεῖναι σφραγίζειν βρῶμα κοινὸν, εἴτε ἰδίᾳ εἴτε δημοσίᾳ; Ἢ οὐκ ἴσμεν ὅτι ὁ ἀγαθὸς ἡμῶν Θεὸς καὶ Κύριος, ὁ μόνος ἀναμάρτητος, καὶ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὸ πόρνης τοὺς ἀχράντους ποδας ἠνέσχετο καὶ χειραπτεῖσθαι, καὶ ὑπαλείφεσθαι δάκρυσιν, ὥσπερ καὶ μύρῳ; Ἀλλὰ καὶ μετὰ τελωνῶν ἐσθίει καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας· καὶ οὐδὲν αὐτῷ οὕτω φιλητὸν ὡς τὸ ἐπιτρεπτικὸν ἐξ ἁμαρτίας καὶ ἀγαπητικὸν ἐπ' ἀλλήλοις. Ἐντεῦθεν καὶ χαρακτηρίζεσθαι τοὺς μαθητὰς αὐτοῦ ὑπογράφει· καὶ γε τὸν μακάριον Πέτρον, μετὰ τὴν ἄρνησιν, πρώταρχον τῶν λοιπῶν ἀποστόλων ἀναδείκνυσιν· οὗ τί μεῖζον εἰς παράστασιν τοῦ προκειμένου λόγου; τί δὲ ἀσυνετώτερον τῶν ἀμαθῶς καὶ οἰηματικῶς μὴ κατασχημόνων, σφραγίζειν καὶ προστύχεσθαι τοὺς ἤδη τῇ μετανοίᾳ βελτιωθέντας; Ἡμεῖς τοιγαροῦν οἱ τοιοῦτοι οὕτως ἔχομεν, ὡς προείρηται, καὶ ὑμῖν συμβουλεύομεν. Ἄλλοι δὲ ἄλλως ἔχοντες, ὄψονται περὶ τούτου. Πρὸς ἃ δέ ὁ ἀδελφὸς ἡμῶν Συμεὼν ἠρώτησεν, ἐπεκρίθημεν καὶ ἐφιέμεθαι ἐν πᾶσι πρὸς ἀνάπαυσιν ὑμῶν εἶναι τῶν σεβασμίων οἱ ταπεινοί· καὶ εὐχόμεθα ἀσινεῖς ὑμᾶς διαφυλάττεσθαι ἐν πᾶσιν.

CXL. — *Catechetica ad Cyzicenos.*

PM' (31). — Κατηχητικὴ πρὸς τοὺς ἐν Κυζίκῳ. [ψβ'.]

Ad perseverantiam et monasticæ vitæ perfectionem hortatur.

Libenter vidimus cum iis qui una venerunt, Simeonem fratrem, qui vobis caput rectorque est constitutus: partim ob diuturnam absentiam, partim ob egregiam conversationem. Bona siquidem conversatio et ipsi et nobis, quod tam multi in unum fratres simul vivant temporibus persecutionis. *Ubi enim duo vel tres fuerint* [36], laude dignum est; cum Christus in medio sit, juxta promissionem. Tot vero numero esse totum monasterium, magnamque congregationem, encomium est sine contro-

[36] Matth. XVIII, 20.

Ἡδέως εἴδομεν τοῦ περὶ τὸν ἀδελφὸν Συμεὼν τὰ εἰς κεφαλὴν ὑμῶν τεταγμένον· τὸ μὲν διὰ τὴν πολὺν χρόνου ἀπουσίαν· τὸ δὲ διὰ τὴν καλὴν πολιτείαν. Ἀγαθὴ γὰρ πολιτεία καὶ αὐτῷ καὶ ἡμῖν· τὸ τοσούτους ἀδελφοὺς ἐπὶ τὸ αὐτὸ συζῆν ἐν δεδιωγμένοις χρόνοις. Ὅπου γὰρ δύο ἢ τρεῖς τυγχάνουσιν ἐν τῷ, ἐπαίνου ἄξιον, ὡς τοῦ Χριστοῦ μεσιτεύοντος, καὶ τὴν ἐπαγγελίαν. Τὸ δὲ τοσούτους εἶναι ὅλον μοναστήριον, καὶ μεγάλην συνοδίαν, ἀνεπιτίμητον καὶ ἐγκώμιον. Καὶ χάρις Κυρίῳ, ὃς ἔδωκεν ἡμῖν ἐν

NOTÆ.

(31) In cod. Reg. ρνς'.

πνεύματι, μιᾷ ψυχῇ συναθλεῖν τῇ πίστει τοῦ. Εὐαγγελίου, καὶ διαφέρειν ἐν ταυτῷ τὸν ἀσκητικὸν βίον ἆθλον καὶ διαγῇ, καὶ διαστεφῇ ἀγῶνα ἐν τούτῳ περαιοῦσθαι. Ἐβουλόμεθα δὲ καὶ ὑμᾶς αὐτοὺς τοὺς ἀπόντας κατ' ὀφθαλμοὺς ἰδεῖν, καὶ συμπαρακληθῆναι τῇ κοινωνίᾳ τοῦ πνεύματος· ὡς ἂν καὶ τοὔνομα, καὶ πρόσωπον, καὶ ἦθος, καὶ λόγους ἑνὸς ἑκάστου κατεμάθομεν. Ἀλλ' ἐπεὶ τοῦτο ἠδυνάτει γενέσθαι· εἴδομεν ὑμᾶς ἤδη διὰ τοῦ προηγουμένου καὶ τῶν ὁμοταγῶν ὑμῶν, ὧν ἡ θέα ἔθρεψεν ἡμῶν τὰς καρδίας εὐλαβείᾳ κεχαρακτηρισμένῃ. Τί οὖν ἐστι λοιπὸν εἰπεῖν; ἵνα καθὼς χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠθροίσθητε, καὶ συνηρτήθητε ἁρμονίᾳ πνευματικῇ, καὶ συμψυχίᾳ ὁμονοητικῇ διαλάμψαντες ἐν τοῖς αὐτόθι καθάπερ τινὲς ἀστέρες ἐν τῇ ζοφερᾷ τῆς αἱρέσεως νυκτὶ, καὶ πρὸς τὸ ἑξῆς οἱ αὐτοὶ διαμείνοιτε, σύμψυχοι, τὸ ἓν φρονοῦντες, ὁμογνώμονες, ὑποτακτικοὶ, πειθήνιοι, εὐήκοοι, εὐχάριστοι, εὔκλητοι, φλογνοι, σώφρονες, ἀπαρρησίαστοι, ἄρτιοι, κατηρτισμένοι ἐν παντὶ ἔργῳ ἀγαθῷ· ἔτι λάμποντες, ἔτι αὐγάζοντες, ἔτι φωτοβολοῦντες, ἔτι ἀλίζοντες, ὡς ἂν καὶ περὶ ὑμῶν εἰκότως ῥηθείη ὑπὸ τοῦ Κυρίου· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· καὶαῦθις· Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. Τάχα δὲ ἐπειδὴ τὴν ὀρεινὴν κατάλληλως ἐπάδοιτο κἀκεῖνο περὶ ὑμῶν· Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· ὄρους δηλαδὴ ὑψηλῆς πολιτείας, ἐφ' ἣ οἱ ἐπιβεβηκότες, ὡς ἐν οὐρανῷ, ἐπὶ τῆς γῆς διατρίβουσιν· ὧν οὐκ ἄξιος ὁ κόσμος, κατὰ τὸ ἀποστολικῶς εἰρημένον.

Βλέπετε, τέκνα καὶ ἀδελφοὶ, ὅπως ὑμᾶς ἦρεν ὁ λόγος τῆς ἀληθείας, ἄνω θεὶς τοῖς ἐγκωμίοις, καὶ ὑποδείξας ἀληθινοὺς εἶναι μοναστὰς, ὁμολογητὰς Χριστοῦ, φυγάδας κόσμου, ἄνδρας ἐπιθυμιῶν τῶν κρειττόνων, σαρκὸς πάθοκτόνους, στεφανίτας ἐν πνεύματι. Καὶ ταῦτα μὲν λόγοι γυμνοὶ τῆς ἀνταποδόσεως ἄρτι. Ἐὰν δὲ τὸν ἀγῶνα ὑμῶν τῆς τε ὑποταγῆς καὶ ὁμολογίας ἐκτελέσητε κυριώτατα· τηνικαῦτα μεταβαίνοντες τοῦ βίου τὴν τῶν ἔργων ἀπολήψεσθε μακαριότητα, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρισνοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

versia. Et Deo laus, qui nobis dedit in uno spiritu, anima una collaborare fidei Evangelii; et asceticam vitam simul ducere, et præclarum coronaque dignum hoc certamen peragere. Animus autem erat vos etiam ipsos, qui abestis, oculis cernere, et communione spiritus consolari: ut et nomen et personam uniuscujusque, et mores, et sermonem cognosceremus. Sed quia id fieri non poterat, vidimus jam vos per præpositum sodalesque vestros, quorum conspectus animos nostros expressione pietatis refecit. Quid ergo restat dicendum? ut quemadmodum gratia Domini nostri Jesu Christi congregati estis, et connexi concentu spirituali, et unanimi concordia conspicui, istis in locis velut stellæ quædam in caliginosa hæresis nocte refulgentes; sic deinceps iidem permaneatis, unanimes, idipsum sapientes [37], consentientes, subjecti, morigeri, obedientes, grati, boni nominis, casti, sobrii, timidi, integri, perfecti in omni opere bono, adhuc lucentes, adhuc splendentes, adhuc radiantes, adhuc condientes: ut et de vobis merito dictum sit a Domino: *Vos estis lux mundi* [38]; et rursum: *Vos estis sal terræ* [39]. Forsan etiam, quia montana incolitis, congruenter et illud de vobis occinatur: *Non potest civitas abscondi supra montem posita* [40]; montem scilicet excelsæ conversationis: ad quam qui conscenderunt, sic in terra tanquam in cœlo commorantur; *quibus dignus non est mundus* [41], sicut ab Apostolo dictum est.

Videtis, filii ac fratres, quo pacto vos sermo veritatis evexerit, in sublimi collocans encomiis, verosque monachos esse ostendens, confessores Christi, fugitivos mundi, desideriorum viros meliorum, carnis affectuum peremptores in spiritu coronatos. Et hæc quidem verba sunt adhuc remunerationis expertia. Postquam vero vestrum obedientiæ et confessionis certamen proprie peregeritis, tum e vita migrantes operum beatitudinem recipietis, quam utinam nobis omnibus adipisci contingat, gratia Domini nostri Jesu Christi, cui gloria et imperium in sæcula sæculorum. Amen.

ΡΜΑ' (32). — Ἡγουμένῳ. [ψθ'.]

CXLI. — *Præposito.*

Gratulatur de Ammone quem curator ad monasterium reduxerat.

Μέγιστον δῶρον δέδωκεν ὁ Θεὸς ἐν τῇ καθ' ἡμᾶς ἐπαρχίᾳ, τιμιώτατε ἀδελφὲ, τὸν εὐκλεέστατον κουράτωρα, καὶ κράτιστον ἐν εὐσεβείᾳ· ὅτι Χριστοῦ ἔκδικος γεγονὼς, εἷλκεν ὑπὸ χεῖρα τὸν ληστρικῶς πολιτευόμενον ἐν τοῖς Χριστιανοῖς, καίπερ ὄντα τὸ πρότερον ἀνάθημα Θεοῦ διὰ τῆς μοναδικῆς τελειώσεως. Ἀμμοῦν λέγω τὸν ποτε ἡμέτερον ἀδελφὸν, νῦν δὲ ὑπὸ χεῖρά σου τελοῦντα διὰ μεσιτείας τοῦ ἀξιαγάστου ἀνδρὸς, τῇ εὐδοκίᾳ αὐτοῦ Χριστοῦ, τοῦ χαίροντος ἐπὶ σωτηρίᾳ τοῦ ἀπολωλότος. Ὡς θαυμαστὸν ἔργον τετέλεσται πρὸς τοῦ θεοφιλοῦς κουράτωρος,

Maximum Deus provinciæ nostræ donum largitus est, frater honoratissime, gloriosissimum curatorem, et pietate præstantissimum: qui Christi defensor factus, sub potestatem redegit eum, qui prædonis more inter Christianos versabatur, quamvis antea Deo dicatus fuisset per monasticam perfectionem. Ammonem dico olim fratrem nostrum, nunc admirandi viri opera tibi subditum: quia Christo sic visum est, de illius qui perierat salute gaudentis. Quam admirandum opus a Dei amante curatore perfectum est, quamque ipsius

[37] Philipp. II, 2. [38] Matth. V, 14. [39] Ibid. [40] Ibid. [41] Hebr. XI, 31.

NOTÆ.

(32) In cod. Reg. ρξα'.

virtute dignum ; sed et te pariter spirituali patre, qui perditum sicut Chistus in humeros sustulisti ! Lætatus sum itaque humilis ego, et exsultavi, quoniam qui perierat inventus est, et qui ejectus fuerat, domum reductus [42]. Et gratia potestati ac misericordiæ gloriæ Dei, qui et illius misertus est, et me humilem mœrore liberavit. Mœrebam enim a multis annis ob filii mei ruinam. Tu igitur pater illius nunc Dei miseratione factus es, boni mediatoris opem ferens : et tu illum deinceps ad Deum adduces. Ecce enim illum in manus tuas, ac si coram ob oculos, commendo : et discipulus tuus vocetur, et a te discat usque in finem : tuque mercedem illius percipies in sæcula. Atque hanc epistolam leges ipsi, ut securus sit, quemadmodum ipsi scripsi ; et ut impleatur quod ab Apostolo scriptum est : *Alter alterius onera portate, et sic adimplebitis legem Christi* [43] ; qui te cum universa a Deo electa societate tua custodiat, meliora pro nobis etiam peccatoribus orantem.

A καὶ ἄξιον τῆς κατ' αὐτὸν ἀρετῆς . οὐ μὴν ἀλλὰ καὶ σοῦ τοῦ πνευματικοῦ πατρὸς, καὶ τὸν ἀπολωλότα ὡς Χριστὸς ἐπὶ τῶν ὤμων ἀναλαβόντος. Εὐφράνθην οὖν ὁ ταπεινὸς ἐγὼ, καὶ ἠγαλλιασάμην, ὅτι τὸ ἀπολωλὸς εὑρέθη, τὸ ἀπωσμένον εἰσῳκίσθη. Καὶ χάρις τῇ κρατεῖ καὶ ἔλεει τῆς τοῦ Θεοῦ δόξης, τοῦ κἀκείνου ἐλεήσαντος, κἀμὲ τὸν ταπεινὸν ἐκ τῆς ἀθυμίας ἐκκομίσαντος. Ἠθύμουν γὰρ ἀπὸ πολλῶν ἐτῶν ἐπὶ τῇ ἀπωλείᾳ τοῦ υἱοῦ μου. Σὺ οὖν ἄρτι πατὴρ αὐτοῦ ἔλεει Θεοῦ κεχρημάτικας, τῇ ἐπικουρίᾳ τοῦ ἀγαθοῦ μεσίτου · καὶ σὺ αὐτὸν προσάξεις Θεῷ πρὸς τὸ ἑξῆς. Ἰδοὺ γὰρ παραδίδωμι αὐτὸν εἰς χεῖράς σου, ὡς ἐπὶ αὐτοψίας ὀφθαλμῶν, καὶ καλείσθω σου μαθητὴς, καὶ μαθητεύσει σοι ἕως τέλους · καὶ κληρονομήσεις τὸν μισθὸν αὐτοῦ εἰς τοὺς αἰῶνας. Καὶ τήνδε τὴν ἐπιστολὴν ἐπαναγνώσεις αὐτῷ, ὡς ἂν ἔχοι τὸ ἀσφαλὲς, καθὰ κἀκείνῳ αὐτῷ γέγραφα · καὶ πληρούσθω τὸ τοῦ Ἀποστόλου · Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ· ὃς φυλάξειέ σε μετὰ πάσης τῆς θεολέκτου σου συνοδίας, προσευχόμενον καὶ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ κρείττονα.

B

CXLII. — *Basilio præposito.*

Arguit, quod ab imperatore haud satis orthodoxo munera acceperit.

Quæ supra meritum nostrum sint scribere, semper fraterna reverentia tua consuevit, tenuitatem nostram laudibus et encomiis exornans, nos vero propriis finibus nos continere didicimus, et nihili, quod sumus nos æstimare. Ac de his satis. Cæterum tarditas venerabilium litterarum tuarum minime nos contristavit. Cur enim ? aut quæ fuit necessitas ? Contristavit autem (aperienda enim quæ in animo sunt) tua in urbe commemoratio, et ad imperatorem sermo, ejusque allocutio, responsio, et tuus ex mandato discessus ; cum in iisdem nos iterum incommodis versemus, sub manu heterodoxorum detenti. Adjecerim autem et missionem œconomo ad principem eumdem, et cibi communionem, et abductionem. Hæc omnia nos contristarunt, reverendissime : et inhibet nos ignosce, deceptio vestra, congressio, et conversatio, munerum exceptio et donatio, et si qui benevolentiæ indicia alia usurpari consueta, *Ut quid enim*, inquit, *libertas mea judicatur ab aliena conscientia* [44] ? Et quandoquidem antehac satis dispensavimus, idque, ut Deus solus novit, cum magno affectu et misericordia ; nunc etiam dispensare oportet, et non utraque ex parte detrimentum pati, nec, aliena usurpantes ; nostra inconsulto projicere. Scientibus loquor : *Nemo potest duobus dominis servire* [45], veritas pronuntiavit. Domini estis et heri et rectores propriorum monasteriorum et consiliorum : nos vero humiles et errabundi hunc in locum ejecti ob persecutionem. Concedite hanc

PMB (35). — Βασιλείῳ ἡγουμένῳ. [ψιά'.]

Τὰ ὑπὲρ τὴν ἀξίαν ἡμῶν πάντοτε ἡ ἀδελφή τιμιότης σου ἐπιστέλλειν εἴωθε, τιμαῖς καὶ εὐφημίαις ἀποσεμνύνουσα τὴν οὐθένειαν ἡμῶν · ἡμεῖς δὲ τῶν οἰκείων μέτρων μὴ ἐξίστασθαι δεδιδάγμεθα, ἀλλ' ἡγεῖσθαι ἑαυτοὺς οὐθὲν, ὅπερ ἐσμέν. Καὶ τοίνυν μὴν ἄλις. Ἡ δὲ βραδύτης τῶν τιμίων σου γραμμάτων οὐ δή που λελύπηκεν ἡμᾶς. Διὰ τί γάρ ; καὶ ἐφ' ᾧτινι τὸ ἀναγκάζον ; Λελύπηκε δὲ, δεῖν γὰρ ἀναλύψαι τὰ παριστάμενα, ἡ ἐν τῷ ἄστει διατριβὴ, καὶ ἡ πρὸς τὸν κρατοῦντα φάσις καὶ ἀντίφασις, καὶ ἡ ὑπὸ κέλευσιν ἔξοδος · ἐπὶ τῶν αὐτῶν πάλιν ὄντων ἡμῶν πρακτικευμάτων, τῆς ὑποχειρίου τῶν ἑτεροδόξων κατοχῆς · προσθείημεν δ' ἄν, καὶ ἡ πρὸς τὸν οἰκονόμου ἐπ' αὐτοῦ τοῦ κράτους ἀποστολὴ, συστάσεις τε καὶ συναπαγωγή. Ταῦτα πάντα λελύπηκεν ἡμᾶς, ὦ τιμιώτατε, καὶ εἴργει ἡμᾶς, σύγγνωθι, ἡ πρὸς ὑμᾶς ἀπάτη, καὶ συνανάκρασις, καὶ συναναστροφὴ, λῆψίς τε καὶ δόσις, καὶ εἴ τι ἄλλο τῶν φιλικῶν, καὶ ἐξ ἔθους. Ἵνα τί γὰρ, φησὶ, ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; Καὶ ἐπειδὴ ἱκανῶς ᾠκονομήσαμεν ἐν τοῖς πρόσθοῦσι, καὶ, ὡς Θεὸς μόνος οἶδε, σὺν πολλῇ ἀνθέσει καὶ ἐλεημοσύνῃ · δεῖν ἄρτι καὶ οἰκοδομεῖσθαι, καὶ μὴ ἀμφοτέρωθεν ζημιοῦσθαι, μήτε τὸ ἀλλότριον προλαμβανομένους, καὶ τὸ οἰκεῖον ἀλόγως προΐσθαι. Εἰδόσιν ὁ λόγος · Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν, ἡ ἀλήθεια ἀπεφήνατο. Κύριοί ἐστε καὶ δεσπόται καὶ καθηγούμενοι τῶν ἰδίων μονῶν καὶ βουλευμάτων · ἡμεῖς δὲ ταπεινοὶ καὶ ἀλήτιμοι ὡδί που περιῤῥιμμένοι διὰ τὸν δια-

C

D

[42] Luc. xv, 24. [43] Galat. vi, 2. [44] I Cor. x, 29. [45] Matth. vi, 24.

NOTÆ.

(33) In cod. Reg. ρξβ'.

κρίσασθε ἡμῖν τὴν ἐλευθερίαν ταύτην, καὶ οἰκείοις ἐπιστυγνάζειν ἁμαρτήμασι. Καὶ ν ὅτι λυπηρὸν τὸ γράμμα τῇ τιμιότητί σου, ται ἡμῖν, ἀλλὰ τῆς τοῦ Θεοῦ ἀγάπης οὐδὲν τερον· δι' ἣν καὶ ἡμεῖς σὺν τοῖς ἁγίοις Πα- ἡμῶν ἐπὶ τῇ ὕβρει Χριστοῦ ἠρνησάμεθα ἃ εθα, καὶ προαιρούμεθα ἃ προϊσχόμεθα.

A nobis libertatem, ut nostris peccatis indoleamus. Et scio quidem injucundam reverentiæ tuæ hanc epistolam fore, sicut et nobis : sed nihil est anteponendum Dei charitati : propter quam et nos cum sanctis Patribus nostris, ob Christi contumeliam, negavimus quæ negavimus, et amplectimur quæ professi sumus.

PMΓ' (34). — Τῷ αὐτῷ. [ψιβ'.]

CXLIII. — *Eidem.*

Gratulatur, cum audivisset, ipsum, fidei causa, de præpositura decedere.

ὅ τι παρεμυθήθη τὸ περὶ ὑμᾶς τοὺς τιμιω- ιυπηρὸν τῆς ψυχῆς ἡμῶν· εἴγε ὡς γεγράφατε ὶ ὑποχωρεῖτε τῆς ἡγουμενικῆς διακρατήσεως. : γὰρ κοινωνία, ὦ φιλότης, δεδιωγμένοις καὶ ις, καὶ οὐ μόνον ἀδιώκτοις, ἀλλὰ καὶ ὑπο- τοῖς διώκταις καθημενιώντων ὥσπερ ἐξου- ι μοναστηρίων· εἰ μὴ ἄρα τις κοινωνία ὠμο- φωτὶ πρὸς σκότος. Ἀλλ' οὐκ ἀνδέχεται, ὡς λόγος ἀπεφήνατο. Τὸ γὰρ ἕως τοῦ παρόντος ει ἑαυτοὺς ἐν τοῖς ἁλοῦσι δι' ὑποπτώσεως ;, κατὰ τόνδε τὸν τρόπον γέγονε, τὸ λαβεῖν γγύας, μήτε λόγῳ, μήτε ἔργῳ, καθ' οἷον τρόπον ὑπαχθῆναι πάλιν τοῖς ἑτεροδόξοις, ν ἐν μεταιχμίῳ ἑστῶσι κρατήσεως καὶ οὐ ως τῶν μονῶν· καὶ τὸ ὅλον εἰπεῖν, ὡς ενέσθαι τὴν ὁμολογίαν διὰ τῆς τῶν ἐναντίων ιως, καὶ τῶν ἐνισταμένων ἀντιπράξεως. δὲ καιρὸς ἦκε τοῦ ζητουμένου, καὶ τὸ ὁμο- οὐκ ἐξηνύσθη ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ριβεστέραν τῆς προτέρας ὑποπτώσεως ἐξία- λὰ πάλιν ἀπαγωγὴ, καὶ πάλιν ἀπόπτωσις, ἣν ς καὶ ἔργοις· ὡς αὐτὰ τὰ πράγματα μαρτυ- ι τῶν εἰδότων ἀκηκόαμεν· καὶ πάλιν καθ- ; ἀπαρασάλευτοι, διὰ τῆς ἄρτι ὑπὸ τοῦ κρά- ποδοχῆς καὶ ἀποστολῆς. Ὁ λόγος δὲ ἐπὶ τῶν οὕτως πεπραχότων· καὶ γελοῖόν ἐστιν ι ἐπιτιμᾷν, μᾶλλον δὲ φρενοβλάβεια τῶν ἐπι- ιν, καὶ σκινδαλμὸς τῶν εὐσεβούντων, σύγχυ- καὶ ἀβλεψία ἐπὶ τῇ Χριστοῦ ὁμολογίᾳ. Δεῖν ποστόλου ἀκοῦσαι λέγοντος· Στέλλεσθε ὑμᾶς ιντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, ι κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον μῶν· μᾶλλον δὲ ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ προφή- ὄντος· Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ρθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ ιαι ὑμᾶς, τοὺς οὕτως διαστελλομένους δηλονότι, συγχέοντας τὴν Χριστοῦ ὁμολογίαν. Τί γὰρ ιν, ὦ τιμιώτατε, ὁ τε τῶν κωμῶν ἡγούμενος ιοῦ Γουλαίου, σὺν τοῖς ὁμοίως ἄρτι διωχθεῖσιν νστάσει· εἴπερ ὁρῶσιν ὑμᾶς τοὺς προδοσίᾳ ηθείας κατέχοντας τὰ μοναστήρια, καὶ ἡμᾶς ναπαγομένους ; τί δὲ οἱ ἐν τοῖς ὄρεσι τλημα- κατὰ τὸ τοῦ διωγμοῦ στενοχωρητικόν ; οὐ υσιν ; οὐκ οἰμώξουσιν ; οὐχ ἡγήσονται παιδιὰν

Nonnullam consolationem capit animæ noster de vobis reverendissimis tristitia : si verum est quod scripsistis, et præposituræ potestate ceditis. Nulla enim, amice, persecutionem passis communio est B cum iis, qui passi non fuerunt, quique non modo passi non sunt, sed et iis, qui insectantur tributum pendunt præsidentes monasteriis quæ possident : nisi forte societas aliqua esse dicatur luci ad tenebras[46] : quæ nulla esse potest, ut sermo sacer ostendit. Quod enim hactenus propensi fuerimus erga lapsos per medicam indulgentiam ; res hoc modo gesta est, quod promissum nobis esset, illos neque verbo, neque facto amplius adhæsuros ullo modo heterodoxis, et iis qui tanquam in medio positi erant, ut neque monasteria possiderent, neque non possiderent, ac denique ita ut legitima esset concessio, subtrahendo se ab adversariis, et oppugnantibus resistendo. Postquam vero advenit rei postulatæ tempus, tum vero id quod pactum C fuerat, expletum non fuit coram Deo et hominibus ad accurationem pristinæ ruinæ curationem ; sed rursum abductio, rursum ruina. et in verbis et in factis, sicut res ipsæ testantur, nosque ab iis qui viderunt accepimus : et præpositi rursum inconcussi, postquam et accepti benigne a principe, et remissi fuerunt. De omnibus sermo est, qui sic egerunt : ac ridiculum est pœnam modo imponere : imo id fieri non potest sine imponentium amentia, et piorum inani argutia et perturbatione, et inconsiderantia in Christi confessione. Audire oportet Apostolum præcipientem : *Subtrahite vos ab omni fratre ambulante inordinate et non secundum traditionem, quam acceperunt a nobis*[47] : vel potius Deum ipsum qui per prophetam clamat : *Exite* D *de medio eorum et recedite, et pollutum nolite tangere*[48] ; et ego recipiam vos ; eos videlicet qui se hoc modo subtrahunt, et confessionem Christi non confundunt. Quid enim dicent, reverendissime, tum vicorum præpositus, tum et Gulæi, cum aliis qui, quod resisterent, similiter vexati modo sunt ; si videant vos veritatis proditione monasteria retinere, et nos vobiscum pariter abripi ? Quid autem ii qui in montibus dura patientur ob persecutionis asperitatem ? Non lugebunt ? non plangent ? non lu

Cor. VI, 14. [47] II Thess. III, 6. [48] Isa. LII, 11.

NOTÆ.

In cod. Reg. ρξγ'.

dicram existimabunt confessionem Christi ? Quid vero qui monasteriis antea præfuerunt, et propter Christum nobiscum expulsi sunt ? Nonne confirmabunt ludicrum quiddam esse id quod patimur ? *Nolite errare,* inquit Apostolus, *Deus non irridetur* [49]. Christi confessio profanata non est, etsi nonnulli aliter sentire et loqui existimantur. Quare si vis, dilecte frater, nobiscum humilibus censeri, secede a monasterii possessione, sicut promisisti: hoc enim te hortamur : ob hanc causam oramus, ut sicut interius, ita etiam exterius sis orthodoxus, servans pretiosam animam tuam, quam æquiparare nihil potest eorum quæ oculis cernuntur. Dominus archiepiscopus plurimum te nobiscum salutat, salutem tuam amans impense ; itemque cæteri fratres.

A τὴν ὁμολογίαν τοῦ Χριστοῦ ; Τί δὲ οἱ ἡγουμενεύσαντες τῶν μοναστηρίων ἀπαρχῆς, καὶ διὰ Χριστὸν δεδιωγμένοι σὺν ἡμῖν ; οὐ καταγελασθήσονται, ὡς παιγνιῶδές τι πασχόντων ἡμῶν ; Μὴ πλανᾶσθε, φησὶν ὁ Ἀπόστολος, Θεὸς οὐ μυκτηρίζεται. Ἡ ὁμολογία Χριστοῦ οὐ κεκοίνωται · κἂν τινες οἴωνται ἄλλως φρονεῖν καὶ λέγειν. Ὥστε εἰ βούλει, ἀδελφὲ ἠγαπημένε, μεθ' ἡμῶν τῶν ταπεινῶν τετάχθαι, ὑποχώρησον τῆς κατοχῆς τοῦ μοναστηρίου, καθὼς καὶ ὑπέσχου · τοῦτο γὰρ καὶ παρακαλοῦμεν · εἰς τοῦτο καὶ προστυχόμεθα · ἵνα ὡς τὸ ἐντός, οὕτως καὶ τὸ ἐκτὸς ὀρθόδοξος ὑπάρχῃς, τὴν τιμίαν σου ψυχὴν σώζων, ἧς οὐδὲν ἀνταξιον τῶν ὁρωμένων. Ὁ κύριος ἀρχιεπίσκοπος σὺν ἡμῖν πλεῖστα προσαγορεύει σι, φιλῶν τὴν σωτηρίαν σου ἄγαν, ἐπεὶ καὶ οἱ λοιποὶ

B ἀδελφοί.

CXLIV. — *Theodoro patricio.*

ΡΜΔ' (35). — Θεοδώρῳ πατρικίῳ. [ψκά.]

Consolatur in obitu uxoris.

Sera nimis epistola : sed quia serius nuntium feralem accepimus de calamitate quæ domino nostro accidit. O gemebundam narrationem ! Dereliquit nos desiderabilis domina ; avulsus ab egregia conjuge ; abruptus a laudata carne, sicut sermo sacer loquitur : *Erunt duo in carne una* [50]. Quod si plane caro una, haud dubie separatio tantam plagam infert iis qui separantur, quantam gladius efficit, hominem unum in duas partes secans. Acerba prorsus sectio : fluitque quodammodo ab oculis vestris sanguis : nec est malagma quod imponatur, nec fascia quæ circumliget, quantum ad opem humanam attinet. Præter quam quod quæ obiit, conjux erat non vulgaris pretii, sed laudanda valde et admiranda. Primum quidem fidei pietatem habens firmam, virique amorem, si quæ alia : quod sanctus Apostolus ante omnia requirit in conjugiis [51]. Inde et pro viri capite preces ipsius et orationes clamoresque, et assiduitas apud Deum ; cum nocturna itinera nudis pedibus iniret beata mulier, ut Deus his rebus ad misericordiam flecteretur. Quid autem cura domus ? quid liberorum educatio ? quid protectio servorum ? morum candor, et gratia apud amicos ? generis conciliatio ? nulla adversus honore pares invidia ? in rebus autem omnibus gravitas et modestia ? quæ pro monilibus aureis, ordinibusque margaritarum, et vestibus pretiosis laudatissimam feminam revera ornabant, et domi manentem, et foras procedentem, et cum in regiis palatiis cernebatur. Attamen abierunt hæc omnia, factique sumus, ut ex vehementi affectu loquar, semineces et abrupti ; vel ut cum psalmis potius dicam, *sicut nycticorax in domicilio, et sicut passer solitarius in tecto* [52], domum conspicientes præside sua destitutam atque in oculis vestris liberos, qui vos amplectuntur et quos amplectimini, non habentes ubi eorum

Βραδὺς τοῦ καιροῦ τὸ γραμματεῖον, ἀλλ' ὅτι καὶ βράδιον ἠκουτίσθημεν τὴν ἀπευκταίαν ἀκοὴν τῆς ἐπελθούσης συμφορᾶς τῷ ἡμετέρῳ δεσπότῃ. Καὶ ὁ τῆς στεναχτικῆς ἀπαγγελίας ! Ἀπολέλοιπεν ἡμᾶς ἡ ποθητὴ κυρία · ἐτμήθης τῆς καλῆς ὁμοζύγου · ἀπερράγης τῆς ἐπαινουμένης σαρκός, ἥπερ φησὶν ὁ ἱερὸς λόγος · Ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Εἰ δὲ μία σὰρξ ὁμολογουμένως, δῆλον ὅτι ὁ διαχωρισμὸς τὴν αὐτὴν τὴν πληγὴν ἐνίησι τοῖς χωρισθεῖσιν, ὁποῖ μάχαιρα τέμνουσα εἰς δύο τὴν ἕνα ἄνθρωπον. Ἀλγεινὴ ἡ τομὴ τῷ ὄντι, καὶ τὸ αἷμα οἱονεὶ ῥεῖ πρ' ὀφθαλμοὺς ὑμῶν · καὶ οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὐδὲ καταδέσμους, ὅσον ἐξ ἀνθρωπείας βοηθείας. Ἄλλως ὅτι καὶ ἡ ἀπολιποῦσα, οὐχ ὡς ἔτυχε τῶν

C ὁμοζύγων, ἀλλὰ καὶ λίαν ἐπαινετὴ καὶ θαυμασία. Πρῶτον μὲν οὖν ἔχουσα τὸ εὐσεβὲς τῆς πίστεως εὐνῆς, τὸ φίλανδρον, εἰ καί τις ἄλλη · ὅπερ ἀκριβῶς πάντων ἐν ταῖς συζυγίαις ὁ ἱερὸς Ἀπόστολος. Ἐξ οὗ καὶ ὑπὲρ τῆς κεφαλῆς δεήσεις τε καὶ προσευχαὶ, βοήσεις τε καὶ προσεδρίαι Θεῷ, γυμνοποδούσης τὰς μακαρίας ἐν ταῖς νυκτοπορίαις, ὡς ἂν κἀντεῦθεν κάμπτοιτο πρὸς ἔλεον Θεός. Τί δὲ τὸ οἰκουρεῖν ; τί δὲ τὸ τεκνοτροφεῖν ; τί δὲ τὸ πρὸς τοὺς δούλους περιποιητικόν ; τό τε ἁπλοῦν τοῦ ἤθους, καὶ χρηστὸν πρὸς τοὺς φίλους ; καὶ συναπτικὸν τοῦ γάμου ; ἄφθονόν τε πρὸς τὰς ἰσοκλείς ; καὶ τὸ περὶ τὸν οἶκον σεμνοπρεπές τε καὶ κόσμιον ; ἅπερ ὑπὲρ ἐμπλοκὰς χρυσίων καὶ διακοσμήσεων μαργαριτῶν, καὶ ἐσθῆτος πολυτελῶν, διεκόσμει ὄντως τὴν ἀοιδίμον ἐκείνην, καὶ οἴκοι μένουσαν, καὶ προόδους ποιουμένην, καὶ ἐν βασιλείοις αὐλαῖς ὁρωμένην. Ἀλλ' ὅμως ἄρτι ταῦτα πάντα, καὶ ἐγενόμεθα, περιπαθῶς εἰπεῖν, ἠμιθνεῖς καὶ ἀπερώγοτες · μᾶλλον δὲ, ψαλμικῶς εἰπεῖν, ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, ὡς στρουθίον μονάζον ἐπὶ δώματι · ὁρῶντες τὴν οἰκίαν ἔρημον τῆς προστατούσης · τὰ τέκνα πρὸ ὀφθαλμῶν ὑμῶν

[49] Galat. VI, 7. [50] Gen. II, 24. [51] Tit. II, 4. [52] Psal. CI, 7.

NOTÆ.

(35) In cod. Reg. ρζε'.

ιλοῦντα καὶ περικυκλούμενα, οὐκ ἔχοντα ποῦ A manus innitantur, unde matris oscula, lacteam vitæ
τειε τὰς χεῖρας, ὅθεν λάβοιεν μητρικὸν ποπ-, γαλουχικὸν ἐμψύχωμα· στεγνὴ ἡ ἑστία, ἡλίου αὐτὴν ἀπολιπόντος· κελαδεῖ δὲ οὐδεὶς ἐν ὡσὶ σοῦ τε καὶ τῶν τέκνων καὶ πάντων τῶν ρίων, ἀπούσης ἐκείνης τῆς ὄντως καλλοφώνου, πούσης τοὺς ἐπαίοντας τῇ ὡς ἀληθῶς ἐμμελεῖ ι τε καὶ ὑπαντήσει. Ἐλεεινὰ ταῦτα ὄντως, καὶ τικὰ, καὶ τροπολογούμενα, καὶ διανοούμενα. ὰ τί πάθωμεν, ὦ δέσποτα; Θεοῦ πρόσταγμά ἄλλον δέ ἀπόφασις, διὰ τοῦ θείου Δαυὶδ ᾄδο- ὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ι θάνατον. Οὕτω πᾶς τις ἀπὸ Ἀδάμ τοῦ προ- ς ἡμῶν μέχρι τοῦ δεῦρο εἰσελθών εἰς τὸν διὰ γεννήσεως, πάλιν ἔξεισι δι' ἀναλύσεως ἐκεῖσε κόσμον ὑψηλότερόν τε καὶ θειοδέστε- B illum et sublimiorem et præstantiorem. *Seminatur* τείρεται γάρ, φησὶν, ἐν φθορᾷ, ἐγείρεται ἁρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ᾗ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἔν ει· σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται πνευματικόν. Ἰσάγγελοι γὰρ ἐσόμεθα, καὶ ς ἀναστάσεως, τοῦ θνητοῦ ὑπὸ τῆς ζωῆς κατά- ος. Ὁρᾷς, ὦ δέσποτα, ὅτι εἰ καὶ ἀπολέλοιπεν ἡμᾶς α, ἀλλ' εἰς φῶς ἐξελήλυθεν ἀπὸ σκότους, καὶ ῆς ἐπικήρου εἰς ἀθάνατον λῆξιν; ἐκεῖ αὐτὴν ικρὸν ὕστερον, μεταβαίνων καὶ αὐτός. Ὥστε πώμεθα καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ες ἐλπίδα· ἐλπίζοντες τῇ ἀναστάσει βελτιωθῆ- ἀπήμονα ζωήν. Εἰς ἑαυτοὺς δὲ μᾶλλον, ὑπομει-, γενώμεθα, καὶ τῆς οἰκίας ἀντεχώμεθα, καὶ τῶν φροντίσωμεν, καὶ πρό γε πάντων, τῆς οἰ- C propriæ, virtutibus, ad beatæ illius instar, ornati, τιμίας ψυχῆς, κατ' ἐκείνην τὴν μακαρίαν, et hoc nomine gaudentes, quod uxorem præmisi- κοσμούμενοι, καὶ τούτῳ χαίροντες, ὅτι παρ- mus quæ apud Deum supplicet, et quæ vitæ præclaræ μεν ὁμόζυγον ἱκέτιδα πρὸς Θεὸν, καὶ ὑπό- exemplum nobis et notis omnibus reliquit. καλοῦ βίου, ἐπαφήσασαν ἡμῖν τε καὶ πᾶσι ωρίμοις.

sed quid agimus, domine? Dei est præceptum, aut potius sententia, per divinum quoque David decantata: *Non est homo qui vivet, et non videbit mortem*[53]. Sic quicunque ab Adam progenitore nostro ad hanc usque diem, nascendo in mundum ingreditur, rursus per interitum migrat in mundum *enim*, ait, *in corruptione, surgit in incorruptione: seminatur in ignobilitate, surgit in gloria: seminatur corpus animale, surgit corpus spirituale*[54]. Pares enim angelis erimus, et filii resurrectionis, cum mortale hoc absorptum fuerit a vita. Vides, domine, quod etsi reliquit nos domina, in lucem tamen abiit ex tenebris, et ex vita mortali ad sortem immortalem? Ibi illam postmodum conspicies, emigrans et ipse. Quare *non contristemur sicut cæteri qui spem non habent*[55]; cum speremus per resurrectionem, nos in meliorem statum migraturos vitæ nullis malis obnoxiæ. Quin ad nos potius, suadeo, redeamus, et domum tueamur, et liberorum curam geramus, et præ omnibus pretiosæ animæ

36). — Τῇ Τουρμαρχίσσῃ τῆς Ἑλλάδος. [ψκβ'.]

CXLV. — *Turmachissæ Græciæ.*

Consolatur de morte filii, in bello interempti.

ν ἀπὸ λόγου ἀσυνοψίσεως, οὐκ ἐμέλλομεν λειν τῇ τιμιότητί σου, ἔγνωστοι ἀλλήλοις νήθεις. Ἀλλ' ἐπειδὴ ἐκ θεοφιλοῦς προσώπου ωσμένου ἡμῖν, λέγω δὴ τῆς ἀγχιστευούσης νεφγήμου Πατρικίας, καὶ τῆς τούτης κυρίας ιένης θυγατρὸς, ἡ προτροπὴ, εἶτα καὶ ἐξ τοῦ γραμματηφόρου Ἰγνατίου, τοῦ πνευματι- ῶν υἱοῦ, ἡ πρὸς ἡμᾶς σου τοὺς ταπεινοὺς ορία ἐγεγόνει· ἀναγκαίως ἤλθομεν ἐπὶ τὸ γρά- γον παρακλήσεως τῇ τετρυχωμένῃ σου ψυχῇ, συμπεσόντος αὐτῇ τεθνεῶτος ἐν τῷ πολέμῳ. ποῖον ἂν καὶ ἐξευρεθείη φάρμακον παραμυ- ς ἴασιν τῆς δυσιάτου πληγῆς; Ὦ τῆς καὶ ἐν ιόνῃ ἐξηγορουμένης συμφορᾶς! ὤχετο ἔντιμον , μητρῷος ὀφθαλμὸς, ἐγκάρδιον σπλάγχνον, εὐφυὴς, ὅλον δι' ὅλου τῆς τεκούσης τὸ φῶς, D

Hoc me deteruisset a scribendo excellentiæ tuæ, quod invicem ignoti neque unquam congressi simus. Sed postquam a religiosa persona nobisque nota, propinqua, inquam, tua, clarissima patricia, et ab hujus dominæ filia benedicta, mandatum, ac deinde per ipsum qui litteras attulit, Ignatium spiritualem filium nostrum, tua simul humilibus nobis allata est salutatio; necessario adducti sumus ad scribendam consolationem animæ tuæ afflictæ ob ærumnam quæ ipsi contigit, ex beati filii obitu, in bello interempti. Verum quodnam tandem solatii remedium inveniri queat sanando vulneri, cujus difficillima est curatio? O quæ vel auditu solo declaratur calamitas! Periit semen honoratum, oculus maternus, pars cordis intima, ramus virescens, totum prorsus lumen genitricis, paternas in se gerens

sal. LXXXVIII, 49. [54] I Cor. XV, 42. [55] I Thess. IV, 12.

NOTÆ.

In cod. Reg. ρλς'.

notas, et viduitatis solitudinem, quoad fieri poterat, A sublevans, qui totius vitæ solatium erat, tum erga propriam domum, tum erga consanguineos. Quid autem factum est avolavit ex oculis maternis excisus est a bona radice : ac neque in oculis mors contigit ; unde consolationem ex novissimis verbis et ex sancta sepultura capiunt qui domesticos præmittunt. Nunc vero, præter alia, hoc etiam levamento orbati sumus ; eximio surculo gladiis hostilibus exciso. O miserandam tragœdiam ! o casum inconsolabilem ! Fluctuat nunc animus hæretque, ærumnam considerans, ubi et quomodo res gesta sit, quam in corporis partem cruenta manus incubuerit, quo loco ipse cadens animam efflarit : an subito ; an uno ab ictu ; an quidpiam effatus. Heu spectaculum ! Proh horam illam ! Thesaurum cum B bona spe dimisimus, et luctum ineluctabilem collegimus.

Et quis ærumnam deplorans, dignum quidquam eloqui possit ? Fortasse et sol ipse insuavis, et invisus aer, et mare injucundum, et terra non optabilis, et cœlum odiosum, intellectualem stellam tuam non habens. Hæc atque his plura animam tuam concutientia, cor constringentia, et calentes lacrymas fundentia, et ejulatus edentia, et ad vitæ istius tædium redigentia. Verum age, domina, age, revalesce ; tempus est ut animum reficias. Aperi aures, divinas voces exaudiens. *Homo sicut fenum : dies ejus tanquam flos agri, sic deflorescet* [56]. — *Non erit homo qui vivet, et non videbit mortem* [57]. C — *Si credimus quod Jesus mortuus est et resurrexit ; ita et Deus eos qui dormierunt per Jesum, adducet cum eo* [58]. Non igitur prorsus amisimus filium ; sed paulo post, cum insonuerit novissima tuba, resurget in occursum Domini in aera, et ibi illum videbimus [59]. Lethali plaga istic cæsus est : at ibi mœrore sempiterno non afficietur, Christo indutus per baptismum, fidemque orthodoxam complexus, ac sæculi hujus voluptatibus vixdum summo digito per juvenilem ætatem degustatis. Quam ob causam credimus illum veniam eorum, quæ ut homo prætermisit vel admisit, per immaturam et injustam hanc mortem impetraturum. Quam multis enim, D domina, in carne manens, exercendus malis erat ? Annon tibi videtur hæc vita homini ad tentationem attributa ? conjugem accipere, liberos procreare, servis, aliisque rebus ad vitam utilibus abundare : addiderim et terrenæ gloriæ progressum. Quibus omnibus expeditus, magnam habiturus est animæ libertatem, Deo conjunctus, et salsis vitæ fluctibus animam leviter aspersus.

ἀπαλλαγείς, πολλὴν ἕξει τῆς ψυχῆς τὴν ἐλευθερίαν, τῷ Θεῷ προσοικειούμενος· καὶ ὀλίγα ῥαντι-

Hinc igitur remitte ac depone, domina, inconsolabilem dolorem : statue terminum ærumnæ congruentem : *Immola Deo hostiam laudationis* [60], con-

φέρον τοὺς πατρῴους ἐν ἑαυτῷ χαρακτῆρας·
τὴν ἐρημίαν τῆς χηρείας καθ' ὅσον οἷόν τε ὑ
μνόμενον, καὶ ὅλου τοῦ βίου ὃν παραμύθιον, κα
τὴν ἰδίαν ἑστίαν, καὶ τοὺς ἀφ' αἵματος. Καὶ τ
γονεῖς ; Ἀπέπτη τῶν μητρικῶν ὀφθαλμῶν, ἐξη
τῆς ἀγαθῆς ῥίζης· καὶ οὐδὲ κατ' ὀφθαλμοὺς ἐ
νατος· ἐφ' ᾧ καὶ παρηγορίαν διὰ τῶν ἐξοδίω
μάτων, καὶ τῆς ὁσίας ταφῆς ἐρανίζονται οἱ
οἰκείους προπέμποντες. Νῦν δὲ, μετὰ τῶν ἄλ
ἀφῃρέθημεν καὶ τῆσδε τῆς παρακλήσεως, τοῦ
θοῦ ἔρνους μαχαίρᾳ πολεμικῇ τμηθέντος. Ὦ
ἐλεεινῆς τραγῳδίας ! ὦ τῆς ἀπαραμυθήτου συμ
σεως ! Ἀστατεῖ ἄρτι ὁ νοῦς ἀναθεωρῶν τὸ πῶ
ποῦ καὶ πῶς ὑπήραθη, κατὰ ποῖον μέλος ἢ μ
χειρ ἐτάθη, κατὰ τίνα τόπον πεσὼν ἀπέπν
θάττον· ἆρα ἐκ μιᾶς πληγῆς· ἆρά τι ἐπεπν
τῆς ἱστορίας ! Ἀβάλε τῆς ὥρας ἐκείνης ! Ἀπω
λαμεν μετ' ἐλπίδος χρηστῆς τὸν θησαυρὸν
ἐτρυγήσαμεν ἀπαραμύθητον ὀδυρμόν.

Καὶ τί ἂν τις εἴποι ἄξιον θρήνους ἐλεεινολογη
πάθος ; Τάχα σοι καὶ ὁ ἥλιος στυγνός, καὶ ὁ ἀὴρ ἀ
ηφὴς, καὶ ἡ θαλασσα οὐχ ἡδεῖα, καὶ ἡ γῆ οὐκ ἐπ
καὶ ὁ οὐρανὸς ἐπαχθὴς, οὐκ ἔχων σου τὸν νοη
ἀστέρα. Τοσαῦτα καὶ ἔτι πλείω τούτων τὰ κραδ
νοντά σου τὴν ψυχήν, καὶ συνέχοντα τὴν καρδ
καὶ προχέοντα τὰ θερμὰ δάκρυα, καὶ ἐκσπ
ποντα τὰς οἰμωγὰς, καὶ ἐξαποροῦντα καὶ εἰς τὸ
ζῆν. Ἀλλὰ θεῦρο, κυρία, θεῦρο, ἀναψύχειν ἄρχ
γὰρ ἀνακλήσεως· ἄνοιξόν σου τὰ ὦτα, ἐπακρο
θείων φωνῶν. Ἄνθρωπος ὡσεὶ χόρτος ἡ ζωὴ
αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθ
σει. — Οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ
οὐκ ὄψεται θάνατον. — Εἰ πιστεύομεν ὅτι Ἰη
σοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτως καὶ ὁ θεὸς
τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν
αὐτῷ. Οὐ τοίνυν λοιπὸν ἀπολωλαμεν τὸν υἱὸν
μικρὸν ὕστερον, ἡνίκα ἡ ἐσχάτη σάλπιγξ φωνήσ
τήσεται εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα
τὸν ὀψόμεθα. Ἐπλήγη καιρίαν ἐνταῦθα πληγ
ἐκεῖσε ἀνίας αἰωνίου οὐ πειραθήσεται, Χριστ
δεδυμένος διὰ τοῦ βαπτίσματος, τήν τε πίστ
θόδοξον ἐσχηκώς, καὶ οὔπω ἐμπλησθεὶς τ
ἡδέων, ὅσον ἄκρῳ τῷ δακτύλῳ ἀπογευσαμένη
νεότητα. Οὐ χάριν πιστεύομεν καὶ τῶν ὡς ἐ
αὐτῷ παρεωραμένων καὶ πεπλημμεληκότων,
τοιοῦτον ἄωρον καὶ ἄδικον θάνατον συγχωρ
ψεσθαι. Πόσων γὰρ ἔμελλεν, ὦ κυρία, ἐπιμ
σαρκὶ ἐμφορηθῆναι κακῶν ; ἢ οὐ δοκεῖ σοι ἔτι
δὲ βίος πειρατήριον τῷ ἀνθρώπῳ καθέστη
ζύγου λῆψις, τέκνων κτῆσις, δούλων καὶ ἐλ
κατὰ τὸν βίον χρησιμευόντων περιουσία· πρ
δ' ἂν καὶ ἐπιγείου κλέους πρόοδος. Ὧν ἁ

Ἐντεῦθεν τοιγαροῦν, ἄνες, ἄφες, δέσποινα, τ
ρηγόρητον λυπηρὸν, πῆξον ὅρον τῷ πάθει
Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, ἀποδο

[56] Psal. CII, 15. [57] Psal. LXXXIII, 49. [58] I Thess. IV, 13. [59] Ibid. 15. [60] Psal. XLIX, 14.

ὰ τοῦ μακαρίου Ἰώβ· Ὁ Κύριος ἔδωκεν, ὁ ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ένετο. Φθέγξαι τὰ Δαυίδ· Ἐπίστρεψον, μου, εἰς τὴν ἀνάπαυσίν σου. Ψυχὴ γάρ οῦ υἱοῦ ἀποβίωσις· πρὸς δὲ τὴν χηρείαν ἀνα- ε [Reg. cod. ἀποβλέπουσα], ἀνάκραξον. Κύ- οὶ βοηθός· οὐ φοβηθήσομαι τί ποιήσ- ι ἄνθρωπος. Οὕτω γὰρ διατιθεμένη ἑαυτὴν, μὲν Θεὸν εὐφρανεῖς ὡς αὐθαιρέτως θυσίαν, κατὰ , τὸν υἱὸν προσφέρουσα. Εἶτα καὶ αὐτῷ τῷ φιλ- νῳ χαρίσῃ τὰ κράτιστα, ὁρῶντί σε εὐχαρίσ- ουσαν. Τοῖς τε ἄλλοις ἅπασιν ὑπόδειγμα ὑπομο- θῆς, καταστήσειας ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ν εὐχόμεθα ἀψάμενόν σού τῆς καρδίας ἐν ἐλέει στιρμοῖς, ἐμποιῆσαί σοι φῶς εὐπαρηγόρη- τελίσαι τε τὴν ζωήν σου εἰρηνεύουσαν· κἀν- κραμένην θεοτελῆ βίον καταξιῶσαι τῆς τε τοῦ συνοψίσεως, καὶ συναγαλλιάσεως αἰωνίου.

fessionis. Dic cum beato Job : *Dominus dedit, Dominus abstulit ; sicut Domino placuit, ita et factum est* [61]. Effare illud Davidis : *Convertere, anima mea, in requiem tuam* [62]. Anima enim tua, filii obitus. Ad viduitatem vero respiciens, exclama : *Dominus mihi adjutor : non timebo quid faciat mihi homo* [63]. Sic enim componens teipsam, primum quidem Deum oblectabis, tanquam voluntarie victimam, sicut Abraham, filium offerens. Deinde et ipsi charissimo filio gratissimam rem facies, cum te grato animo ferentem aspiciet. Cæteris etiam omnibus exemplum sanctæ patientiæ præbebis in Christo Jesu Domino nostro ; quem oramus ut cor tuum tangens *in misericordia et miserationibus* [64], lumen consolationis tibi infundat, ac vitam tranquillam peragere concedat ; vitaque hac secundum Deum peracta, filii tui conspectus, et æternæ cum eo exsultationis compotem faciat.

17). — Τῇ ἀδελφότητι Πελεκήτης. [ψκς'].

CXLVI. — *Fraternitati Pelecetes.*

Ut novo præposito rite obtemperent.

ρὸν μὲν τὸ συμβεβηκὸς τῇ τιμιότητι ὑμῶν, καὶ Πατέρες. Πῶς γὰρ οὔ ; ὅτι τὸν ποι- ιῶν ἀποβεβλήκατε, καὶ ἐγένεσθε ὡς ποίμνιον ινον, καὶ ταῦτα ἐν ἡμέραις τοιαύταις, ἐφ' αἷς ἁρεῖς ἐπὶ τὰ ποίμνια τοῦ Χριστοῦ ἐπερχό- καὶ συλαγωγεῖν ψυχὰς σοφιζόμενοι. Ἀλλ' τειδὴ παρὰ Θεοῦ τὸ συμβὰν, καὶ παρ' αὐτοῦ φθη ὁ ποιμὴν ὑμῶν, καθ' ὃν καιρὸν ᾔδει τὸ ν ἀμφοτέρων, ὁ τὰ πάντα ἐν τῇ αὐτοῦ σοφίᾳ Κύριος· εὐχαριστητέον, καὶ οὐκ ἀγαναχτη- τὸς γὰρ ἔδωκεν, αὐτὸς καὶ προσελάβετο, ς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. στι τὸ ἐπιζητούμενον ; Ἵνα εἰς ἑαυτοὺς ἄρτι · καὶ καθὼς ἠρετίσασθε εἱλέσθαι ποιμένα τὸν ἱέργιον τὸν εὐλαβέστατον ἀδελφὸν ἡμῶν · εἴπερ ί τι πρὸς τὸν κύριον Μακάριον τὸν πνευματι- ῶν Πατέρα ἐνδοιάζον· ἐπιμείνητε εὐθυνόμενοι ῥόμενοι ὑπ' αὐτοῦ, οὗ ἐξελέξασθε πνευματικοῦ εἰς ἐπισύστασιν ὑμῶν θεόσωστον, καὶ εἰς κίωσιν βίου θεοκλινοῦς· ὡς ἂν τὴν ζέλην τῶν ὧν πνευμάτων διαφύγοιτε, καὶ εἰς λιμένα σω- ἐμβιβάζοισθε· εἰς τὸ μὴ βλασφημηθῆναι δι' ὄνομα τοῦ Θεοῦ, μᾶλλον δὲ δοξασθῆναι· κατὰ κρατήσασαν εὐαγῆ διαγωγὴν τῆς ζωῆς ὑμῶν. ἀδελφοὶ ἀγαπητὲ, οὐκ ἔξω τοῦ εἰκότος πέπρα- τ' ἂν οὕτως ἐγένετο, κατελήλυθώς ἐκ τῆς πέτρας, καὶ ἡγησάμενος τῶν ἀδελφῶν. ιρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συγκατα- ρησάμενος, τὸ τῆς οἰκονομίας ἐξετέλεσε μυ- ἐπὶ σωτηρίᾳ τοῦ παντός. Στῆθι οὖν, καθὸ ς, καὶ κέκριται ὑπὸ τῶν ἀδελφῶν, ἕως ἡμέ- δείξεως τοῦ ἱεροῦ ἡμῶν ἀρχιερέως· καὶ τότε αι ὃ δεῖ γενέσθαι νομιμώτερόν τε καὶ κανο- ον. Ἕως δὲ ἂν μὴ παρῇ καιρὸς ἐπιζη-

Triste illud quidem quod vobis accidit, honorandi fratres Patresque. Qui enim secus ? cum pastorem vestrum amiseritis, factique sitis velut ovile destitutum, idque in his diebus, per quos lupi atroces Christi caulas ingrediuntur, et animas deprædari avent. Attamen, quoniam a Deo est quod contigit, ab eoque assumptus est pastor vester, quo tempore utrisque expedire noverat, qui omnia in sapientia sua disponit Dominus ; gratias agere convenit, non ægre fere. Ipse namque *dedit*, ipse *abstulit* ; et *sicut Domino placuit ita et factum est* [65]. Quid ergo exspectatur ? ut ad vos ipsos nunc redeatis : cumque vobis visum sit pastorem eligere dominum Sergium, religiosissimum fratrem nostrum ; nisi dubitationis aliquid a domino Macario spirituali Patre nostro intercedat ; pergatis ab illo dirigi et gubernari, quem spiritualem Patrem elegistis, ad salutarem constantiam vestram, et consummationem vitæ Deo devotæ ; ut procellam hæreticorum spirituum devitetis, et in salutis portum invehamini : ne blasphemetur propter vos nomen Dei, sed potius glorificetur, juxta eam quæ antea viguit, vitæ vestræ sanctam institutionem. Tu vero, frater charissime, non incongrue fecisti, quando ita res cessit, quod ex rupis caverna prodiisti, ac fratrum præfecturam suscepisti. Nam et Dominus noster Jesus Christus condescendendo incarnationis mysterium ad salutem universorum peregit. Sta igitur, quemadmodum decrevisti, decretumque est a fratribus, quoad designetur sanctus antistes noster ; et tunc exactius fient quæ juxta leges et canones præstanda sunt. Donec vero absit tempus expetitum, præsto fratribus, et prosperare in Domino, tanquam pro animabus illorum rationem redditurus,

ob 1, 21. [62] Psal. CXIV, 7. [63] Psal. CXVII, 6. [64] Psal. CII, 4. [65] Job I, 21.

NOTÆ.

In cod. Reg. ρο'.

sed et tanquam mercedem, eorum causa, recepturus. Quanto enim majus est jugum præfecturæ, tanto merces copiosior.

Tantum oculos habe ut videas, et aures quibus audias, cor vigilans et Deum quærens, affectum pastoralem, sermonem aptum ad docendum, mores compositos, statum et incessum fausta denotantem. Sermonem omni ex parte ratio observet ac regat. Ac beatus es, apostolicum opus peragens. Dominus siquidem, præcipuam amoris erga ipsum demonstrationem esse, Petro coryphæo apostolorum ostendit, virgam pastoralem : *Si diligis me*, inquit, *plus his, Petre, pasce oves meas*[66]. Pasce igitur oves Domini ; tutas illas præstans in mandra orthodoxæ fidei, nutriens illas gramine mandatorum ejus, et collocans prope aquam requietis voluntatis ejus. Vide ne aut abripiaris ipse, aut ulla ovium tuarum, ab hæreticis belluis. Sufficiunt quæ hactenus contigere. Nunc secure ambulemus et sine lapsu : nulli rei parcentes, si res postulat, nec ipsis etiam corporibus, nedum alteri cuipiam rei corruptibili, pro dilectione Dei ; cujus pax regnet in cordibus vestris et in cogitationibus vestris, et dirigat viam vestram in Christo Jesu Domino nostro.

A τούμενος, ἡγοῦ τῶν ἀδελφῶν, καὶ κατευοδοῦ ἐν Κυρίῳ, ὡς λόγον ἀποδώσων ὑπὲρ τῶν ψυχῶν αὐτῶν, Ἀλλὰ καὶ ὡς τὸν ὑπὲρ αὐτῶν μισθὸν κομιούμενος. Καθ' ὅσον γὰρ μέγας ζυγὸς τῆς προστασίας, κατὰ τοσοῦτον καὶ πολύμισθος.

Μόνον ἔχε ὀφθαλμοὺς τοῦ ὁρᾷν, καὶ ὦτα τοῦ ἀκούειν, καρδίαν ἄγρυπνον καὶ θεοζήτητον, ἕξιν ποιμαντικὴν, λόγον διδασκαλικὸν, εὔρυθμον ἦθος, εὔσημον στάσιν καὶ βάσιν · ὁ λόγος δι' ὅλου ὑπὸ τοῦ λόγου συντηρούμενος καὶ διευθυνόμενος. Καὶ μακάριος εἶ ἀποστολικὸν ἔργον διατελῶν. Καὶ γὰρ ὁ Κύριος ἀπόδειξιν τῆς εἰς αὐτὸν φιλίας προῦχουσαν ὑπέδειξε τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ, τὴν ποιμαντικὴν ῥάβδον · Εἰ φιλεῖς με γάρ, φησὶ, πλέον τούτων, Πέτρε, ποίμαινε τὰ πρόβατά μου. B Ποίμαινε οὖν τὰ πρόβατα Κυρίου. Ἀσφαλιζόμενος αὐτὰ ἐν τῇ μάνδρᾳ τῆς ὀρθοδοξίας, καὶ ἐκτρέφων αὐτὰ εἰς χλόην τῶν ἐντολῶν αὐτοῦ, καὶ κατασκηνῶν ἐπὶ ὕδατος ἀναπαύσεως τοῦ θελήματος αὐτοῦ. Βλέπε μή τι ὑφαρπαγῇς ἢ αὐτὸς, ἢ τῶν σαυτοῦ τι προβάτων, ὑπὸ τῶν αἱρετικῶν θηρῶν. Ἀρκεῖ τὰ προλαβόντα ἐν τοῖς προλαβοῦσι. Νῦν δὲ ἀσφαλῶς περιπατήσωμεν, καὶ ἀνεμπτώτως · πάντα δεύτερα ἡγούμενοι, καιρὸ καλοῦντος, καὶ αὐτὰ τὰ σώματα, μὴ ὅτι γε ἄλλο τι τῶν φθειρομένων, ὑπὲρ τῆς ἀγάπης τοῦ Θεοῦ · οὗ ἡ εἰρήνη βραβεύσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν · καὶ κατευθύναι τὴν ὁδὸν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

CXLVII. — *Catechetica ad suos discipulos.*

Ut Quadragesimam sancte peragant : ac præcipue mulierum colloquia fugiant.

Responsio. — Nullatenus in hujusmodi ecclesias ingrediendum est, juxta modos memoratos : quandoquidem scriptum est : *Ecce relinquetur domus vestra deserta* [6]. Simul enim atque introducta est hæresis, abscessit angelus loci præses, juxta magni Basilii vocem [7] : ac templum ejusmodi, communis et profana domus factum est : *Et non introibo*, inquit, *in ecclesiam malignantium* [8]. Et Apostolus : *Qui consensus templo Dei cum idolis* [9] ?

Ἀπόκρισις. — Οὐ χρὴ τὸ καθόλου εἰς τὰς τοιαύτας ἐκκλησίας εἰσιέναι, κατὰ τοὺς εἰρημένους τρόπους · ἐπειδὴ γέγραπται · Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. Ἅμα γὰρ τῷ εἰσαχθῆναι τὴν αἵρεσιν, ἀπέπτη ὁ ἔφορος τῶν ἐκεῖσε ἄγγελος, κατὰ τὴν φωνὴν τοῦ μεγάλου Βασιλείου · καὶ κοινὸς οἶκος ὁ τοιόσδε χρηματίζει ναός. Καὶ · οὐ μὴ εἰσέλθω, φησίν, εἰς Ἐκκλησίαν πονηρευομένων. Καὶ ὁ Ἀπόστολος · Τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων ;

Interrogatio IV. — De ecclesiis per eosdem sacerdotes pollutis, sed quæ ab ipsis non detinentur : num in illis psallere et orare oporteat.

Ἐρώτησις Δ'. — Περὶ τῶν τῶν κοινωθέντων ἐκκλησιῶν ὑπὸ τῶν αὐτῶν ἱερέων, καὶ μὴ κατεχομένων ὑπ' αὐτῶν · εἰ χρὴ ἐν ταῖς τοιαύταις ψάλλειν καὶ εὔχεσθαι.

Responsio. — Oportet sane in eas ecclesias intrare ad psallendum et orandum, si modo illæ non amplius polluuntur ab hæreticis, sed ab orthodoxis in perpetuum detinentur. Constitutum autem hic est, ut ab episcopo vel sacerdote sanæ fidei, solemnis apertio ecclesiæ, exhibita prece, fiat. Itaque si hoc fiat, et sacrum ibi celebrari non erit absonum. Exemplo sit sanctus Athanasius, qui, cum imperator Constantius ipsum hortaretur ut hanc unam gratiam concederet, tradendi scilicet Arianis apud Alexandriam templum unum ubi convenirent; annuit, modo ipse quoque gratiam eamdem Constantinopoli consequeretur, ut nempe orthodoxi convenirent in templum unum, ab Arianis detentum.

Ἀπόκρισις. — Χρὴ μὲν οὖν εἰσιέναι ἐν τοῖς τοιαύταις ἐκκλησίαις εἰς τὸ ψάλλειν καὶ εὔχεσθαι · ἀλλ' εἴπερ ἀσφαλῶς μηκέτι χραίνονται ὑπὸ τῶν ὀρθοδόξων εἰς τὸ ἀεί. Τετύπωται δὲ ἐνταῦθα, ὑπὸ σεσωσμένου ἐπισκόπου, ἢ ἱερέως τὰ ἀνοίξια τῆς ἐκκλησίας γίνεσθαι, ὑποφωνουμένης εὐχῆς. Ὥστε εἰ τοῦτο γένοιτο, καὶ τὸ λειτουργεῖν ἐκεῖσε οὐκ ἀπᾴδειν. Παράδειγμα, τὸ τὸν ἅγιον Ἀθανάσιον ὑπὸ Κωνστεντίου τοῦ βασιλέως παρακαλούμενον μίαν ταύτην χάριν παρασχέσθαι, τοῦ ἐν Ἀλεξανδρείᾳ ἕνα ναὸν παραδοῦναι τοῖς Ἀρειανοῖς εἰς τὸ συνάγεσθαι, κατανεῦσαι, ἅπερ ἐν Κωνσταντινουπόλει λήψεσθαι καὶτὴν αὐτὴν χάριν, τοῦ συνάγεσθαι τοὺς ὀρθοδόξους ἐν ἑνὶ ναῷ κατεχομένῳ ὑπὸ Ἀρειανῶν.

Interrogatio V. — De sanctis qui in corpore : utrum ingredi oporteat in eorum cœmeteria, ibique orare et adorare, dum ea pollutis sacerdotibus tenentur.

Ἐρώτησις Ε'. — Περὶ τῶν ἐν σώματι ἁγίων · εἰ χρὴ εἰσιέναι εἰς τὰ κοιμητήρια αὐτῶν, καὶ εὔχεσθαι, καὶ προσκυνεῖν αὐτοῖς κατεχομένων [*al.* κατεχομένοις, *al.* καταδεχόμενον] ὑπὸ τῶν μιανθέντων ἱερέων.

Responsio. — Non permittit canon, secundum ea quæ prius declarata sunt, in eorum cœmeteria introire. Scriptum est enim : *Ut quid libertas mea judicatur ab aliena conscientia* [10] ? nisi forte ex necessitate, tantummodo ad venerandas sancti reliquias, fiat ingressus.

Ἀπόκρισις. — Οὐ παραχωρεῖ κανών, κατὰ τὰ προδηλωθέντα, εἰσιέναι εἰς τὰ τοιαῦτα κοιμητήρια. Γέγραπται γάρ · Ἵνα τί ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως ; εἰ μή τι ἂν ἐξ ἀνάγκης, κατὰ μόνον τὸ ἀσπάσασθαι τὸ τοῦ ἁγίου λείψανον, ἡ εἴσοδος γένοιτο.

Interrogatio VI. — De iis qui habitum mona-

Ἐρώτησις ς'. — Περὶ τῶν λαβόντων τὸ μοναχι-

[6] Matth. XXIII, 38. [7] Epist. 191. [8] Psal. XXV, 5. [9] II Cor. VI, 16. [10] I Cor. X, 29.

ηχῆμα ἐκ τῶν κοινωθέντων ἱερέων · πῶς χρὴ
ας δέχεσθαι.

τόκρισις. — Ὁμολογοῦντας ἡμαρτηκέναι, καὶ
ηθέντας χρόνῳ τινὶ, εἶθ' οὕτως σφραγῖδα
ένους παρασεσωσμένου πρεσβυτέρου, προσδε-

ώτησις Ζ'. — Περὶ τῶν ὑπογραψάντων καὶ
ησάντων μοναχῶν καὶ κληρικῶν ἐν τῇ αὐ-
έσει · πῶς χρὴ τούτους δέχεσθαι · χωρὶς ἐπι-
, ἢ μετὰ ἐπιτιμίου · ἐὰν ὁμολογῶσι μηκέτι
ὶν ἐν τῇ ἱερατείᾳ · καὶ εἰ ἔξεστιν ἡμῖν, διδόναι
ια τοῖς τοιούτοις.

τόκρισις. — Δῆλον ὅτι μετὰ τῶν προσηκόντων
ίων. Πῶς γὰρ ἂν μὴ τοὺς καρποὺς τῆς μετα-
ἐπιδεικνύμενοι, εἶεν ἄξιοι συναφθῆναι τῷ ὀρθο-
σώματι ; διδόναι δὲ καὶ ἡμᾶς ἐπιτίμια τοῖς B
οις, οὐκ ἀποκριτέον. Γέγραπται γὰρ, Ἀλλή-
ὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπλη-
τε τὸν νόμον τοῦ Χριστοῦ.

ώτησις Η'. — Περὶ τῶν μοναχῶν τῶν ἀδιαφό-
αραβαλλόντων τοῖς τυχοῦσι, καὶ συνευχομένοις
νεσθίουσιν αὐτοῖς · εἰ χρὴ δέχεσθαι τοὺς τοιού-
ς συνεστίασιν καὶ ψαλμῳδίαν.

τόκρισις. — Τοῦ Ἀποστόλου λέγοντος · Στέλ-
ει ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως πε-
τοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν
λαβον παρ' ἡμῶν · πῶς οὐχὶ καὶ ἀφ' ἑαυτῶν τὸ
κρίνετε ; εἰ μὲν οὖν ἀπόσχοιντο τῆς ἐφαμάρ-
υνηθείας, καταδεχόμενοί τε καὶ ἐπιτιμίαν τὴν
κουσαν, δεκτέοι. Ἐπιτηρητέον δὲ τίνες εἰσὶν
ἵτε τυχόντας · ἄρα αἱρετικοί, ἢ προδήλως C
ωσμένοι ἐπὶ τῷ βίῳ ; περὶ τῶν τοιούτων γὰρ,
ὁ Ἀπόστολος · Ἐάν τις ἀδελφός ὀνομαζό-
πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης,
ἐξῆς · τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

ώτησις Θ'. — Περὶ τῶν πρεσβυτέρων, τῶν
τότων μετὰ τῶν αἱρετικῶν ἅπαξ καὶ δὶς, καὶ
ινωνησάντων, ἢ ὑπογραψάντων, ἢ συλλειτουρ-
των · εἰ χρὴ τοὺς τοιούτους δέχεσθαι εἰς συνα-
ιν, καὶ ψαλμῳδίαν, χωρὶς σφραγῖδος ἢ μετὰ
ῖδος.

όκρισις. — Ἐπὶ τῶν τοιούτων τηρητέον, εἰ οἱ
είτες ἱερεῖς μετὰ ἱερέων αἱρετικῶν ἢ λαϊκῶν
, καὶ ὁμολογουμένων ἢ ὀρθοφρονούντων μὲν,
ούντων δὲ τοῖς αἱρετικοῖς. Μεῖζον γὰρ τὸ κρῖμα
ῶν ἱερωμένων. Μετανοίᾳ δὲ ἀξιολόγῳ ἑκατέ-
προσδεκτέον κοινωνῆσαι αὐτοῖς ἀλῶν τε, καὶ D
χῶν [*al.* ἄλλων τε προσευχῶν] καὶ σφρα-

ώτησις Ι'. — Περὶ τῶν ὑπογραψάντων κο-
ν ἐν τῇ αἱρέσει καὶ κοινωνούντων · εἰ χρὴ
οιούτοις κοσμικοῖς ὀρθοδόξους κοσμικοὺς συν-
.

όκρισις. — Ἡ ἀδιαφορία, τῶν κακῶν τὸ αἴ-
Ἀναμέσον γὰρ, φησὶ, καθαροῦ καὶ βεβήλου
ιέστελλον. Χρὴ οὖν, εἴπερ ζηλωταί εἰσιν οἱ ὀρ-
οῦντες, μὴ προσίεσθαι τοὺς τοιούτους εἰς συν-

A sticum a contaminatis sacerdotibus acceperunt: quomodo recipi debeant.

Responsio. — Si confiteantur se peccasse, et ad aliquod tempus pœnitentiam egerint, atque ita consignationem deinde ab rectæ fidei presbytero acceperint, admittendi sunt.

Interrogatio VII. — De monachis et clericis qui eidem hæresi subscripserunt communicaruntque : quomodo recipiendi sint : sine pœnitentia, an cum pœnitentia : si professi fuerint se non amplius sacra munia obituros : et num liceat nobis pœnitentias talibus imponere.

Responsio. — Utique cum pœnitentiis convenientibus ; quo enim modo, nisi exhibitis pœnitentiæ fructibus, digni sint qui orthodoxo corpori uniantur? His autem et a nobis pœnitentias injungi, non est B improbandum. Scriptum enim est : *Alter alterius onera portate, et sic adimplete legem Christi* [11].

Interrogatio VIII. — De monachis qui promiscue cum obviis quibuslibet conveniunt, unaque orant ac cibum sumunt : utrum ad communem cibum et psalmodiam admitti debeant.

Responsio. — Cum Apostolus dicat : *Ut subtrahatis vos ab omni fratre ambulante inordinate et non secundum traditionem quam acceperunt a nobis* [12] ; quomodo non ex vobis ipsis quod bonum est judicatis ? Itaque, si a prava consuetudine destiterint, acceperintque convenientem pœnitentiam, admittendi sunt. Observandum autem est quinam sint ii C quos vocatis *obvios quoslibet :* num hæretici, aut palam culpatæ vitæ ? De talibus quippe Apostolus ait : *Si is qui frater nominatur, est fornicator, aut avarus, aut idolis serviens,* et quæ sequuntur*; cum ejusmodi nec cibum sumere* [13].

Interrogatio IX. — De presbyteris qui semel aut iterum cum hæreticis cibum sumpserunt, non tamen communicaverunt vel subscripserunt, aut una sacris operati sunt : sintne ad communem cibum et psalmodiam admittendi, absque consignatione, vel cum consignatione.

Responsio. — In istis observandum est, an sacerdotes qui cibum sumpserunt, cum hæreticis sacerdotibus, an cum laicis sumpserint, et num cum iis qui recte quidem sentirent, sed communicarent cum hæreticis. Majus enim crimen D est in sacratis hominibus. Utrique porro cum pœnitentia condigna suscipi debent, et admitti ad communionem salis, et precum, et consignationis.

Interrogatio X. — De sæcularibus qui in hæresi subscripserunt communicaruntque utrum cum illis sæcularibus sæculares orthodoxos cibum sumere conveniat.

Responsio. — Usus promiscuus causa est malorum. Ait enim : *Inter mundum et profanum non habuerunt distantiam* [14]. Itaque orthodoxi debent, si zelo flagrant, tales ad communem cibum non ad-

alat. IV, 2. [12] II Thess. III, 6. [13] I Cor. V, 11. [14] Ezech. XXII, 26.

mittere, nisi prius pœnas pro improba subscriptione dederint, seque ab hæretica communione abstraxerint. Sed quoniam aliqui ob angustias, dum pericula fugiunt, hæretica communione polluntur : hos, casu factum id esse confitentes, oportet ad convictum admittere : non tamen indiscriminatim, sed indulgentia quadam tempori accommodata, et quæ utriusque afferat emolumentum, non autem animæ detrimentum.

Interrogatio XI. — De iis qui baptizari volunt, si non reperiatur sacerdos orthodoxus aut inculpatus : baptizari oporteat a sacerdotibus pollutis minimeque proclamatis, præcipue si mors immineat.

Responsio. — Hujusmodi formula istic a confessoribus, episcopis, et præpositis promulgata est : iis presbyteris, qui propter communionem cum hæreticis, a sacris officiis exclusi sunt, permitti ut, si non inveniatur sacerdos inculpatæ fidei, et baptizent, et sacramenta tradant : quæ per sacerdotem minime culpæ affinem consecrata fuerint. Habitum quoque monasticum dent, ac preces faciant in exsequiis, et Evangelium in matutinis pronuntient, et aquam Theophaniornm benedicant, ut ditum est, cum rerum angustiæ urgent : quo populi non permaneant prorsus absque Evangelii auditione, minimeque baptizati. Si ergo vobis etiam placet hæc formula, illis quoque in locis observetur.

Interrogatio XII. — De iis qui per schisma secesserunt, et pœnitentia ducti accurrunt : utrum nobis liceat pœnitentias talibus injungere, aut ipsos suscipere.

Responsio. — Jam in superioribus declaratum est, injungi debere : ac superfluum est, idipsum bis retexere.

Interrogatio XIII. — Si episcopus in crimen lapsus, a synodo depositus fuerit, postea tamen presbyterum ordinaverit ; iste autem presbyter, postquam in monasterium venerit, pœnitentiam a suo præposito acceperit ad tempus, et postea sacerdotio functus sit : doceri expetimus an ejusmodi sacerdotem, si inculpatus est, suscipere oporteat.

Responsio. — Cum manifesta sit absurditas, ne interrogationem quidem a uobis de hoc crimine fieri oportuit. Dixit quippe Christus : *Non potest arbor mala fructus bonos facere* [15]. Itaque, non quia a proprio præposito, sed neque si a quopiam sancto, pœnitentiam acceperit, ideo soiutus est ut sacrum facere possit. Neque enim ipse sacerdos, neque qui solvit, sanctus : quoniam sic omnes canonicæ constitutiones subvertentur ac disperibunt.

[15] Matth. vii, 17.

εστίασιν, εἰ μὴ πρότερον ὑπὲρ τῆς πονηρᾶς ὑπογραφῆς ἐπιτιμηθεῖεν · εἶτα καὶ ἀπόσχοιντο τῆς αἱρετικῆς κοινωνίας. Ἐπειδὴ δὲ κατὰ περίστασιν φεύγοντες τοὺς κινδύνους, χραίνονται τῇ αἱρετικῇ κοινωνίᾳ τινές · ὁμολογοῦντας τὴν περιπέτειαν καὶ μετανοοῦντας προσδεκτέον εἰς συνεστίασιν · καὶ τοῦτο οὐκ ἀδιαφόρως, ἀλλὰ κατὰ τινα σύμβασιν περιστατικήν, καὶ φέρουσαν ἐντεῦθεν κέρδος ἀμφοτέροις, ἀλλ' οὐ ζημίαν ψυχικήν.

Ἐρώτησις ΙΑ'. — Περὶ τῶν θελόντων βαπτισθῆναι, ἐὰν μὴ εὑρεθῇ ὀρθόδοξος ἱερεὺς, ἢ ἄμεμπτος · εἰ χρὴ βαπτισθῆναι ὑπὸ τῶν κοινωθέντων ἱερέων, ἢ ἀκηρύκτων · μάλιστα ἐὰν θάνατος κατεπείγῃ.

Ἀπόκρισις. — Τύπος τοιοῦτος ἐξεφωνήθη ἐνταῦθα παρά τε ὁμολογητῶν, ἱεραρχῶν τε καὶ καθηγουμένων · τοὺς εἰρημένους πρεσβυτέρους τῆς λειτουργίας διὰ τὴν αἱρετικὴν κοινωνίαν, συγχωρεῖσθαι, μὴ εὑρισκομένου σεσωσμένου ἱερέως, καὶ βαπτίζειν, καὶ μεταδιδόναι τῶν ἁγιασμάτων προτετελεσμένων εἰ ἐξ ἀκρατήτου [f. ἀχράντου] ἱερέως. Σχῆμά τε δίδοναι μοναχοῦ, εὐχήν τε ποιεῖσθαι ἐπὶ ἐκκομιδῇ, Εὐαγγέλιόν τε ἐκφωνεῖν ἔπὶ ὄρθρου, καὶ τὸ τῶν Θεοφανίων ὕδωρ εὐλογεῖν, ὡς εἴρηται, κατὰ περίστασιν · διὰ τὸ μὴ ἐναπομένειν τοὺς λαοὺς παντάπασιν ἀνηκόους τοῦ Εὐαγγελίου, καὶ ἀφωτίστους. Εἰ οὖν συναρέσκει ὑμῖν, κρατείτω ὁ τοιοῦτος τύπος καὶ ἐν τοῖς αὐτόθι.

Ἐρώτησις ΙΒ'. — Περὶ τῶν ἀποσχισάντων καὶ τῇ μετανοίᾳ προστρεχόντων · εἰ ἔξεστιν ἡμῖν τοῖς τοιούτοις ἐπιτίμια δοῦναι, ἢ δέχεσθαι αὐτούς.

Ἀπόκρισις. — Ἤδη ἐν τοῖς ἀνωτέρω δεδήλωται, ὅτι χρὴ δοῦναι · καὶ παρέλκον, δὶς τὸ αὐτὸ ἐπικυκλοῦν.

Ἐρώτησις ΙΓ'. — Κἂν ἐπίσκοπος εἰς ἔγκλημα περιπεσών, ὑπὸ συνόδου καθαιρεθῇ, εἶτα πάλιν μετὰ καθαίρεσιν χειροτονήσῃ πρεσβύτερον · ὁ δὲ αὐτὸς πρεσβύτερος ἐν μοναστηρίῳ παραγενόμενος, ὑπὸ τοῦ ἰδίου ἡγουμένου δέξηται ἐπιτίμιον πρὸς χρόνον [al. πρὸ χρόνων, *jam pridem*], καὶ μετὰ ταῦτα ἐκπέσῃ ἐν τῇ ἱερωσύνῃ · εἰ χρὴ δέχεσθαι τὸν τοιοῦτον ἱερέα, εἰ ἀνέγκλητός ἐστι, διδαχθῆναι ἐσμεθα.

Ἀπόκρισις. — Προφανοῦς οὔσης τῆς ἀτοπίας οὐδὲ ἐπερωτῆσαι ὑμᾶς ἔχρῆν περὶ τοῦ τοιούτου ἐγκλήματος. Εἴρηκε γὰρ ὁ Χριστός · Οὐ δύναται σαπρὸν δένδρον καρποὺς καλοὺς ποιεῖν. Ὥστε οὐχ ὅτι ὑπὸ τοῦ ἰδίου ἡγουμένου, ἀλλὰ κἂν ὑπό τινος, ἐπιτιμηθεὶς ὁ τοιοῦτος ἀπολέλυται τοῦ λειτουργεῖν. Οὐχ ἱερεύς, οὐδὲ ὁ λύσας, ἅγιος · ἐπεὶ οὕτω περιτραπήσεται πάντα κανονικὰ παραγγέλματα, καὶ οἰχήσεται (11).

NOTÆ.

(11) Quæ sequuntur hujus epistolæ, non exstant in codice Regio n. 1987, sed exstant in apographis Sirmondi et Frontonis Ducæi, tum et in editione Cotelerii.

Ἐρώτησις ΙΔ'. — Περὶ τῶν πρεσβυτέρων τῶν ὑπὸ ὀρθοδόξων χειροτονηθέντων, μὴ ὑπογραψάντων δὲ, μηδὲ κοινωνησάντων, συναγαγόντων, δὲ μόνον μετὰ Γρηγορίου τοῦ μητροπολίτου.

Ἀπόκρισις. — Ἐν τοῖς ἀνωτέρω κατέλεκται ὁ περὶ τούτου λόγος. Εἴτε οὖν μετὰ Γρηγορίου, εἴτε μεθ' οἱουδήποτε τῶν ἑτεροδόξων, ἐ συνεστίασε γέγονε· μετανοίᾳ ἐξιλάσκεται ὁ συνεστιαθεὶς τοῦ ἐγκλήματος ἀπολύοντα, οὐ μόνον πρὸς συνεστίασιν τῶν περιλαμβάνουσα, ἀλλὰ καὶ πρὸς ἐν ἐξιώθησιν ἱερωσύνης. Τὸ δὲ μέτρον τοῦ ἐπιτιμίου οὐ δυνατὸν ὡρισμένως ὑποβαλλεσθαι, διὰ ποιότητα καὶ προσώπου καὶ τρόπου· ὥστε ἐν δυσὶν ἢ τρισὶ τεσσαρακοσταῖς ἀρκεῖσθαι τὸν ἐπιτιμηθέντα.

Ἐρώτησις ΙΕ'. — Περὶ πρεσβυτέρων ὁμοίως ὑπὸ ὀρθοδόξων χειροτονηθέντων, καὶ κατὰ ἄγνοιαν συναγαγόντων μετὰ πρεσβυτέρων βεβρωκότων μετὰ τοῦ αὐτοῦ μητροπολίτου.

Ἀπόκρισις. — Γέγραπται· Πᾶν τὸ ἐν ἀγνοίᾳ, καθαρισθήσεται. Ὥστε ἀνένοχοί εἰσι κατὸς ἐπιτιμίου.

Ἐρώτησις ΙϚ'. — Περὶ πρεσβυτέρων ὀρθοδόξων, ἤγουν Ἱλαρίωνος, καὶ Εὐστρατίου μοναχοῦ· ἐν ἔχουσιν ἐξουσίαν τοῦ διδόναι ἐπιτίμια.

Ἀπόκρισις. — Προείρηται καὶ τοῖς ἀνωτέρω, ὅτι χρὴ διδόναι. Ἐπειδὴ δὲ ἐμφαίνει ἡ ἐρώτησις, εἰ δεῖ καὶ τὸν μὴ ἔχοντα ἱερωσύνην, διδόναι κατὰ ἀκρίσιαν πρεσβυτέρων, καὶ πίστιν τοῦ προσιόντος· οὐκ ἔξω τοῦ εἰκότος, καὶ τὸν ἁπλῶς μοναχὸν ἐπιτίμια διδόναι.

Ἐρώτησις ΙΖ'. — Περὶ μονάζοντος τοῦ λαβόντος τὸ ἱερὸν σχῆμα κατὰ ἄγνοιαν ἀπὸ πρεσβυτέρου χειροτονηθέντος ὑπὸ καθῃρημένου.

Ἀπόκρισις. — Εἴρηται ἐν ἑτέρῳ κεφαλαίῳ, ὅτι Πᾶν τὸ κατὰ ἄγνοιαν, καθαρισθήσεται. Καὶ οὐκ ἐξὸν ἀποστρέφεσθαι τὴν μετὰ τοῦ τοιούτου συνεστίασιν, καὶ ἐπὶ ἄλλων τὴν σύμβασιν ποιούντων ὁμοίως καὶ φιλίαν.

Ταῦτά σοι μὲν ὡς συμψύχῳ καὶ συμπόνῳ ἡμεῖς κατὰ τὸ ἐφικτὸν ἀνεπτύξαμεν. Αὐτὸς δὲ μετωδοίης εὐφρόνως τοῖς ἐπερωτήσασιν ἀδελφοῖς. Οὐ γὰρ πάντων ἡ πίστις· οὐδὲ πολλοῖς ἐκπέφρασται τὰ τοιάδε· οὐ μόνον διὰ τὴν ἄνοιαν τῶν ἀνομησάντων, ἀλλὰ καὶ διὰ τοὺς πειρασμοὺς τῶν κρατούντων. Ἀνθ' ὧν δὴ οἱ εὐλαβέστατοι ἀπεστάλκασιν ἀποστόλων πολλῶν τε καὶ καλῶν, ἀμείψοιντο παρὰ Θεοῦ τὴν ἀξίαν μισθαποδοσίαν, καὶ τάδε δύο μαλακίσκια εἰς ὑπόμνημα φιλίας. Ἐρρωσθε ἐν Κυρίῳ, τιμιώτατοι, προσευχόμενοι ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας.

Interrogatio XIV. — De presbyteris qui similiter ab orthodoxis ordinati sunt, et neque subscripserunt, neque communicarunt, sed duntaxat cibum sumpserunt cum Gregorio metropolita.

Responsio. — Jam in superioribus de ista re lex est tradita. Sive igitur cum Gregorio, sive cum quolibet ex heterodoxis cibus sumptus sit; qui sumpserit, a crimine per pœnitentiam congruam solvitur, non modo ut cum iis qui se immunes culpæ servarunt, cibum sumat, sed etiam ut sacerdotio quo insignitus est fungatur. Pœnitentiæ autem modum definite subjicere, non est possibile ob qualitatem personæ et morum: ita ut duabus trisbusve quadragesimis multatum fuisse sufficiat.

Interrogatio XV. — De presbyteris qui similiter ab orthodoxis ordinati sunt, ac per ignorantiam cibum sumpserunt cum presbyteris qui cum eodem metropolita cibum sumpserat.

Responsio. — Scriptum est: *Omne quod in ignorantia, mundabitur*[16]. Quocirca nulli pœnæ sunt obnoxii.

Interrogatio XVI. — De presbyteris orthodoxis, puta Hilarione, et Eustratio monacho: habeantne potestatem injungendi pœnitentias.

Responsio. — Jam dictum est et in superioribus, injungi oportere. Quia vero innuit interrogatio, an qui sacerdos non est, debeat, ubi presbyteri non sunt, injungere propter fidem accedentis: præter fas non est ut vel simplex monachus pœnitentias imponat.

Interrogatio XVII. — De monacho qui per ignorantiam sacrum habitum accepit a presbytero per depositum ordinato.

Responsio. — In alio capite dictum est: *Omne quod per ignorantiam, mundabitur*. Nec licet aversari communem cum isto cibum, neque alia similiter quæ concordiam et amicitiam fovent.

Atque hæc quidem tibi tanquam unanimi et laborum socio nos pro viribus explicuimus. Tu vero ea caute tradito fratribus qui interrogaverunt. *Non enim omnium est fides*[17]: neque hæc exposita sunt multis: non modo propter dementiam eorum qui deliquerunt; sed etiam propter tentationes eorum qui dominantur. Pro iis autem multis præclarisque muneribus quæ religiosissimi homines miserunt, dignam a Deo remunerationem accipiant, et has duas sportellas in amicitiæ monumentum. Valete in Domino, reverendissimi, pro nobis peccatoribus precantes *meliora et viciniora saluti*[18].

ΣΙϚ' (12). — Ἰωάννῃ κληρικῷ. [ωμγ'.]

CCXVI. — *Joanni clerico.*

Potius non peccare curet, quam qualis pœna peccato statuenda sit.

Τὸ μὲν τῆς ἀγάπης σου δῶρον ἀπεδεξάμεθα, φίλε

Dilectionis tuæ munus accepimus, amice since-

[16] Levit. IV, 2. [17] II Thess. III, 2. [18] Hebr. VI, 9.

NOTÆ.

(12) In cod. Reg. σιθ'.

rissime. Ad interrogationem vero tuam, qua scire aves, quæ pœna sit luenda, si contigerit te cum hæreticis convivari; hoc respondemus: in omni quidem peccato paratam esse veniam idoneæ pœnitentiæ: cæterum ante peccatum pœnam statuere non licere, peccatique januam hoc modo aperire. Neque enim si perconteris: Si mœchatus fuero, quod nolim, quænam erit pœna? de hac respondere debeo: incitatio enim est ad peccandum. Sed ita respondendum est: Cave ne peccatum admittas, pedemve ad lapidem offendas, sive intellectu, sive sensu. Ubi autem offenderis, tunc medicus obsecranti et pœnitenti idoneum ad sanationem remedium adhibebit. Hæc tibi magna cum attentione scripsi, orans, dilecte, ut ab omni malo libereris.

γνησιώτατε. Τὸ δὲ αἴτημα ὅπερ (12) ἠτήσω πρὸς τὸ, ἐὰν φθάσῃ συνεστιαθῆναι αἱρετικοῖς, εἰδέναι τὸ ἐπιτίμιον, ἐκεῖνο λέγομεν, ὅτι ἐπὶ παντὸς ἁμαρτήματος ἡ ἀξιόλογος μετάνοια τὴν συγχώρησιν ἔχει· οὐ μὴν πρὸ τοῦ ἁμαρτήματος ἔξεστιν ἐπιτίμια τιθέναι, καὶ ἀνοίγειν ἐντεῦθεν τὴν θύραν τῆς ἁμαρτίας. Οὐδὲ γὰρ ἐὰν ἐρωτήσῃς· Εἰ φθάσω πορνεῦσαι, ὡς οὐ βούλομαι, τί τὸ ἐπιτίμιον; χρή με ἀποκριθῆναί σοι τόδε· προτροπὴ γὰρ γίνεται τοῦ ἁμαρτεῖν. Ἀλλὰ τοῦτο ἀποκριτέον· Μὴ ποιῆσαι τὴν ἁμαρτίαν, μηδὲ προσκόψαι πρὸς λίθον τὸν πόδα, καὶ νοητῶς, καὶ αἰσθητῶς. Ὅταν δὲ προσκόψῃς, τότε ὁ ἰατρὸς παρακαλοῦντι καὶ μετανοοῦντι ἐπιδίδωσι τὸ θερακευτικὸν ἴαμα. Ταῦτά σοι γέγραφα σὺν πολλῇ προσοχῇ, εὐχόμενος ῥυσθῆναί σε, ἠγαπημένε, ἀπὸ παντὸς κακοῦ.

CCXVII. — *Thomaidi virgini* (*).

ΣΙΖ′ (13). — Θωμαΐδι παρθενευούσῃ. [ωμζ′.]

De eo quod nequaquam latria colitur imago Domini.

Propositionem reverentiæ tuæ, ex viva voce admodum honorandi domini archiatri lætus accepi, utpote a propinquo Deique amante expositam. Nec recuso vel a femina discere interdum quod me latet. Attamen de venerandarum imaginum adoratione, qualis esse debeat, ignorasse non videor. Nos itaque, reverendissima, ut de aliis in præsens dicere omittam, imaginem Domini nostri Jesu Christi sic adoramus, ut ipsum Dominum nostrum Jesum Christum. Hoc autem, *Sicut*, similitudinis est, non confirmationis: alioquin, non imago Christi, sed Christus ipse esset. At vero imago Christi est: et ille in sua imagine adoratus est, et tanquam alterum in altero est ostensus. Ait enim Chrysostomus[19]: « Vidi angelum in imagine: » et Gregorius Theologus rursum[20]: « Hanc autem intente prospiciebat Polemon in imagine. » Igitur et Christus in ea imagine cernitur et adoratur: verum etsi per similitudinem; non tamen ideo, quia ipse adoratur et ipse latria colitur, imago latria colenda est: siquidem nullum foret discrimen imaginis et prototypi. Itaque hæc sunt duo, essentiæ differentia, sed non hypostasis similitudine. Ad hæc, si sola Trinitas latria colitur, quo pacto queat etiam imago latria coli? quaternitas enim facta Trinitas invenietur, additione suscepta, quod impium est. Quod si proprie ac peculiariter habet imago Christi ut latria colenda sit; hoc etiam modo latriæ duæ deprehensæ, ad creaturæ cultum nos adducent, perinde ac hæresis Arianorum. Sed apage impium sensum. Te vero bonus Deus noster servet illæsam, et sine offensione, tum in orthodoxa fide, tum id honesta vitæ conditione, quam per virginitatem elegisti, ut placeas Domino.

Περιχαρῶς ἐδεξάμην τὴν πρότασιν τῆς τιμιότητός σου, διὰ φωνῆς ζώσης τοῦ ὑπερτίμου κυρίου ἀρχιάτρου, ἅτε παρὰ συγγενοῦς καὶ θεοφιλοῦς προσφωνηθείσης. Καὶ οὐκ ἀπαναίνομαι καὶ παρὰ γυναικὸς μανθάνειν ἔσθ' ὅτε τὸ λανθάνον. Οὐ μὴν δοκῶ ἠγνοηκέναι τὴν περὶ τῶν σεπτῶν εἰκόνων προσκύνησιν, ὅπως ὀφείλει εἶναι. Ἡμεῖς τοιγαροῦν, ὦ τιμιωτάτη, ἵνα περὶ τῶν ἄλλων ἐάσω τὸ παρὸν λέγειν, τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὕτως προσκυνοῦμεν, ὡς αὐτὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Τὸ δέ, Ὡς, τοῦτο ὁμοιώσεώς ἐστιν, ἀλλ' οὐ βεβαιώσεως· ἡ γὰρ ἄν, οὐκ εἰκὼν Χριστοῦ, ἀλλ' αὐτὸς Χριστός ἐστιν. Ἀλλὰ μὴν εἰκὼν Χριστοῦ ἐστιν, καὶ ἐν τῇ αὐτοῦ εἰκόνι προσκεκύνηται, καὶ ὡς ἕτερον ἐν ἑτέρῳ δέδεικται. Φησὶ γὰρ ὁ Χρυσόστομος· « Εἶδον ἄγγελον ἐν εἰκόνι· » καὶ ὁ Θεολόγος Γρηγόριος πάλιν· « Τῇ δ' ἦν ὑπερκύπτων Πολέμων ἐν εἰκόνι. » Οὐκοῦν καὶ ὁ Χριστὸς ἐν τῇ ἐκείνῃ [*al.* οἰκείᾳ] εἰκόνι καὶ ὁρώμενός ἐστι καὶ προσκυνούμενος. Ἀλλ' εἰ καὶ ὁμοιωματικῶς, ὅμως, ὅτι αὐτὸς προσκυνεῖται καὶ αὐτὸς λατρεύεται, οὐ μὴν ἡ εἰκὼν αὐτοῦ λατρευτή· ἐπεὶ οὐδὲν διάφορον εἰκόνος καὶ πρωτοτύπου. Καίτοιγε ταῦτα δύο, τῇ διαφορότητι τῆς οὐσίας οὐ τῇ ὁμοιότητι τῆς ὑποστάσεως. Ἔπειτα, καὶ ἡ Τριὰς μόνη ἐστὶ λατρευομένη, πῶς δύναιτ' ἂν καὶ ἡ εἰκὼν λατρεύεσθαι; εὑρεθήσεται γὰρ τετρὰς ἡ Τριάς, προσθήκην δεξαμένη· ὅπερ ἐστὶν ἀσεβές. Εἰ δὲ καὶ ἰδιαζόντως ἔχει τὸ λατρευτὸν ἡ εἰκὼν Χριστοῦ· καὶ οὕτω δύο λατρεῖαι εὑρισκόμεναι εἰς κτισματολατρίαν ἡμᾶς ἀγάγοιεν, ἐπίσης τῆς τῶν Ἀρειανῶν αἱρέσεως. Ἀλλὰ ἄπαγε τοῦ ἀσεβοῦς φρονήματος. Σὲ δὲ ὁ ἀγαθὸς Θεὸς ἡμῶν περιφυλάξειεν ἀσινῆ καὶ ἀπρόσκοπον τῇ τε ὀρθοδόξῳ πίστει, καὶ τῇ σεμνοπρεπεῖ πολιτείᾳ, ἣν διὰ παρθενίας προείλου, πρὸς εὐαρέστησιν Κυρίου.

[19] Sermo 1 de diversis utriusque Testamenti locis. [20] Iamb. 18.

NOTÆ.

(*) Dogmatica.

(13) In cod. Reg. σκ′.

ΣΙΗ' (14). — Δημητρίῳ ὑπάτῳ. [χμβ'.] A CCXVIII. — *Demetrio consuli* (*).

itantinum Iren. fil. ob nuptias adulterinas merito Herodem alterum dici, attamen ipsius mentionem in re divina fieri posse.

ικροῦ καὶ προτερον διὰ τοῦ γράμματος ἀπελο-
ίμεθα, ὡς πολλὴ καὶ ὑπὲρ τὴν ἀξίαν ἡμῶν ἡ
ις σου, Δέσποτα, ἥ τε τιμὴ καὶ ἡ ἀγάπησις.
ῖς δὲ οὐχ οὕτως ἐσμὲν καθὰ ὑπολαμβάνετε·
ἁμαρτωλοὶ εἰς οὐδὲν ἔφελος, οὔτε ὑμῖν, κλαδοις·
ἄλλοις ὑπάρχοντες. Εἴη δὲ ὑμῖν κατὰ τὴν πε-
ησιν ὁ μισθὸς καὶ ὁ ἔλεος παρὰ Κυρίου, σὺν τῇ
α ὑπατίσσῃ, καὶ τοῖς εὐγενέσιν ὑμῶν οὔτε
αὶ τὰς προσφορὰς δεξάμενοι προσηνέγκαμεν Κυ-
τὰ χαριστήρια. Ἀλλ' ἐπὶ τὸ κατεπεῖγον ὁ λόγος.
πήθησαν, φησὶ, τινὲς διὰ τὸν δεύτερον Ἡρώδην,
ὀρθόδοξος ἦν καὶ ἡ Ἐκκλησία μνημονεύει αὐτοῦ.
τον μὲν Ἡρώδην σύνηθες λέγειν τοὺς κρατοῦν-
καθά φησιν ὁ Θεολόγος· « Ἐὰν Ἡρώδῃ παρά-
, σιώπησον. » Ἔπειτα σκοπείτωσαν οἱ ἐπισκή-
τες, εἰ μὴ εἰκότως ἡ ἀφομοίωσις. Ὁ πρῶτος
δης γυναῖκα ἔχων τὴν θυγατέρα Ἀρέτα τοῦ βα-
ως, καὶ ταύτην ἐκβαλὼν, εἵληφε τὴν γυναῖκα
που τοῦ ἀδελφοῦ αὐτοῦ εἰς δεύτερον συνοικέ-
· καὶ ἐπειδὴ παρὰ τὸν νόμον τοῦτο, ἐλέγχεται
τοῦ Προδρόμου· καὶ μὴ φέρων τὸν ἔλεγχον, κτεί-
τὸν προφήτην. Εἶτα μετὰ μικρὸν ὑπὸ τοῦ ἰδίου
ἀνασοβευθεὶς φονεύεται· τοῦ δικαιοκρίτου Θεοῦ
ν ἐπαγαγόντος δίκην τῷ φονευτῇ, ἀντὶ θανάτου
ν θάνατον οἰκτιστον. Ἔλθωμεν ἐπὶ τὸν περὶ οὗ
γος.

γναῖκα καὐτὸς ἔχων Μάριαν τὴν νομίμως συν-
ῖσεν αὐτῷ ἐκ νεότητος, ἐκβαλὼν ταύτην, μοι-
ς, κατὰ τὸν λόγον τοῦ Κυρίου, εἵληφε γυναῖκα
ότητα κουβικουλαρίαν εἰς δεύτερον συνοικέσιον·
ἐπειδὴ παρὰ τὰ Εὐαγγέλια τοῦτο, ἐλέγχεται
ωνος κατὰ πρόσωπον· καὶ μὴ φέρων τὸν ἔλεγ-
κλείει τὸν ὅσιον ὡς τεθαμμένον· εἶτα μετὰ μι-
ὑπὸ τοῦ ὑπηκόου ἀνασοβευθεὶς τυφλοῦται, τοῦ
οδότου Θεοῦ προσήκουσαν ἐπαγαγόντος δίκην
ουριστῇ, ἀντὶ φυλακῆς ὁσίας πήρωσιν ὀφθαλ-
Ἐνωτισάσθω οὖν πᾶς ἔχων νοῦν, ὡς ἄρα δι-
ς δεύτερος Ἡρώδης Κωνσταντῖνος, ἐπ' ἂν οὐκ
ἔκτοτε μέχρι τοῦ δεῦρο πέπραχε τοιοῦτον, ὀνο-
στο· αὐτὸς ἑαυτῷ προξενήσας πρακτικῶς τὸ
π. Καὶ περὶ τούτου πράγματα μὴ παρεχέτωσαν
. Οὐ δύναται Χριστὸς ἡ ἀλήθεια ψεύσασθαι· ὅτι
ος ἐστιν, οὐδὲ ὁ ἀντιπίπτων, ὅτι μὴ οὐχὶ θεομα-
Καὶ οὐ λήξει λαλούμενον ὃ ἐποίησεν ὁ μοιχεύσας,
συντελείας τοῦ αἰῶνος. Ἀλλ' ἐπειδὴ οἱ λυπού-
συναπήχθησαν τῇ μοιχείᾳ. ἀνιῶνται κακῶς
πομνήσει· δέον αὐτοὺς ὁμολογεῖν τὸ ἀληθὲς, καὶ
πίπτειν καὶ προσκλαίειν τῷ Θεῷ ὑπὲρ τῆς ἀπ-
γῆς ἐφ' ᾗ καὶ δωσουσι λόγον ἐν ἡμέρᾳ κρίσεως
μετανοοῦντες. Οἱ δὲ πρὸς τὸ παροξύνειν τὸν Θεὸν,
ἁμαρτίας ἐφ' ἁμαρτίᾳ ἐπισπῶνται· ἢ λέληθεν

Et paulo antea per litteras commemoravimus, quanta esset et quam supra meritum nostrum fiducia tua, Domine, observantia item, ac dilectio. Nos vero non ii sumus quos esse arbitramini, sed peccatores, quorum inanis tum vobis tum aliis opera est. Si autem vobis secundum fidem vestram merces et misericordia a Domino, cum domina consulissa, nobilique sobole vestra : quorum oblationibus acceptis obtulimus Domino munera. Sed ad negotium urgens ac necessarium oratio convertatur. Ægre fuit nonnullis, inquit, ob Herodem alterum, quod orthodoxus fuerit, et Ecclesia ipsum commemoret. Primum quidem, solenne est Herodis appellatione principes indicare. Ad quem modum B Theologus ait: « Si coram Herode steteris, sile. » Perpendant deinde qui accusant, annon conveniens comparatio sit. Primus Herodes uxorem habens filiam Aretæ regis, ea dimissa, conjugem Philippi fratris sui accepit in alterum connubium : et quoniam id præter legem, arguitur a Præcursore ; ac reprehensionem non ferens, prophetam occidit : deinde haud multo post a proprio populo ejectus occiditur : justo Deo vindice debitam rependente homicidæ ultionem, pro viri sancti nece miserabilem interitum. Ad eum porro veniamus, de quo sermo est institutus.

Uxorem et hic cum haberet Mariam legitime sibi ab adolescentia copulatam ; hac ejecta, per adulterium, juxta verbum Domini, accepit conjugem Theodoten cubiculariam secundo connubio : C et quoniam id contra Evangelium est, a Platone coram reprehenditur ; cumque non ferret reprehensionem, virum sanctum, tanquam sepultum, includit : deinde paulo post a subdito pulsus excæcatur : justo judice Deo congruas sumente pœnas a carcerario, pro viri sancti carcere orbitatem luminis. Audiat itaque quisquis est mentis suæ compos, annon tanquam alter Herodes Constantinus, cum nihil aliud ex eo tempore usque in hunc diem egerit, merito sic nominetur, hanc ipse sibi reapse appellationem adoptans. Ac de re ista ne nobis illi facessant negotium. Non potest Christus, qui veritas est, mentiri : quoniam mœchus est qui non obsistit : quinetiam Dei hostis est. Nec ulla silebit ætas id quod mœchus egit, usque ad consummationem sæculi. Sed quoniam ii qui conqueruntur, D mœchiæ obsecundarunt ; hujus rei mentionem acerbe ferunt. Debentii verum confiteri, prosternere se et coram Deo lugere ob sanctorum captivitatem, de qua et redditurі sunt rationem in die judicii, nisi ipsos pœniteat. Si vero ad irritandum Deum pecca-

NOTÆ.

14) In cod. Reg. ρϐ'. (*) Dogmatica.

ta peccato adjiciant : anlatet ipsios quanta persecutio hinc ubique conflagraverit, et quam multi mœchati sint propter insigne hoc exemplum? Sed alia mitto dicere, nomullorum hominum reverentia. Desinant, quicunque illi sunt, dolorem præ se ferre qui Deo exosus est. *Deus enim personam hominis non accipit* [21]. Ac, præter id quod ex Evangelio accepimus, si quis aliud evangelizet, vel si angelus sit, anathemati subjicitur, quemadmodum beatus Apostolus clamat [22]. Hæc cum religiosissimus præpositus probe norit ; ne conqueratur, quod sanctus Theophanes in hoc negotio accusationem non effugerit. Veritati enim nihil anteponendum. Nec ipse negat, cum audit : sicut neque magnus apostolus Petrus negationem suam, nec sanctus David mœchiam, nec sacer martyr Cyprianus magiam. Quod autem tanquam orthodoxus in Ecclesia commemoratur; nequaquam id Evangelio adversatur : quandoquidem commemoratur et Valentinianus : at non eo quod duas simul uxores habuerit præter legem, sed propter rectam fidem : et Jovianus, at non quod masculorum corruptor fuerit, quemadmodum narrant : et Nicephorus, at non eo quod avarus fuerit. Plura dici et de aliis possunt, qui quanquam aliis criminibus accusati, tamen ob rectam fidem duntaxat, memoria ecclesiastica perfruuntur. Sed de his hactenus. Tu vero, Domine, hanc epistolam serva sedulo, nec pervulgari sinas : renuntiat. Dominus cum spiritu vestro. Amen.

A αὐτοὺς οἷος διωγμὸς ἐντεῦθεν ἀνήφθη πανταχοῦ· καὶ ὅσοι ἐμοίχευσαν ἐκ τοῦ προὔχοντος παραδείγματος ; καὶ τἄλλα σιωπῶ λέγειν, αἰδοῖ τινων προσώπων. Παυσάσθωσαν λυπεῖσθαι λύπην θεοστυγῆ, οἵτινες ἂν εἶεν. Πρόσωπον γὰρ Θεὸς ἀνθρώπου οὐ λαμβάνει. Καὶ, παρ' ὃ ἐκ τοῦ Εὐαγγελίου παρελάβομεν, ἐάν τις εὐαγγελίζηται ἕτερον, μέχρι καὶ ἀγγέλου, ἀναθέματι ὑποβάλλεται, καθὰ βοᾷ ὁ μακάριος Ἀπόστολος. Ταῦτα εἰδὼς καὶ ὁ εὐλαβέστατος ἡγούμενος, μὴ ἐγκαλείτω περὶ τοῦ ἁγίου Θεοφάνους, ὅτι ἠτιάθη ἐν τῷ πράγματι. Ἀληθείας γὰρ οὐδὲν προτιμότερον. Καὶ οὐκ ἀπαναίνεται ἀκούων, ὡς οὐδὲ Πέτρος ὁ μέγας ἀπόστολος τὴν ἄρνησιν, οὐδὲ Δαβὶδ ὁ ἅγιος τὴν μοιχείαν, οὐδὲ Κυπριανὸς ὁ ἱερόμαρτυς τὴν γοητείαν. Περὶ δὲ τοῦ ὅτι ὡς ὀρθόδοξος μνημονεύεται ἐν τῇ Ἐκκλησίᾳ,

B οὐδὲν προΐσταται τῷ Εὐαγγελίῳ· ἐπεὶ μνημονεύεται καὶ Οὐαλεντινιανός· ἀλλ' οὐ κατὰ τὸ δύο ὁμοῦ γυναῖκας ἔχειν παρανόμως, ἀλλὰ κατὰ τὴν ὀρθὴν πίστιν· καὶ Ἰοβιανός, ἀλλ' οὐ καθὼς ἱστορεῖπται ὅτι ἀῤῥενοφθόαος ἦν· καὶ Νικηφόρος, ἀλλ' οὐ καθὸ πλεονέκτης. Καὶ πολλοῦ ἐστι λέγειν περὶ τῶν ἄλλων, οἳ, κἂν τὰ ἄλλα διαβεβλημένοι, διὰ δὲ τὴν ὀρθοδοξίαν μόνον μνήμης ἔτυχον ἐκκλησιαστικῆς. Ταῦτα ἐχέτω ὧδε. Αὐτὸς δέ, Δέσποτα, κάτεχε ἀσφαλῶς τὸ σύγγραμμα· μὴ ἔκφορον αὐτὸ ποιῶν, ἐπειδὴ κίνδυνος, καθὰ ἀναγγελεῖ ὁ γραμματηφόρος. Ὁ Κύριος μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

non enim res periculo vacat, sicut tabellarius

CCXIX. — *Solutiones diversorum capitum.*

Interrogatio I. — De presbytero, et diacono, et lectores, qui cum recta fide essent, hæreticis tamen communicarunt ex humano metu : an oporteat pro ipsis oblationem facere, aut pervigilium, aut precationem.

Responsio. — Si usque ad obitum hæreticis communicantes perseverarint, nequaquam. Sin autem in exitu, et resipuerunt, et confessi sunt se timore victos, ac tertio, si sacra mysteria ab orthodoxis perceperunt, indulgendum ut pro ipsis fiant ea quæ prius commemorata sunt.

Interrogatione II. — De monachis et monialibus qui similiter in commumione hæreticorum e vita decesserunt.

Responsio. — Superior responsio et in his servetur. Similiter et in laicis, viris, feminis, pueris. Hæc autem de mortuis dicta sunt. Nam si vivit adhuc quivis ex omnibus ante appellatis, ac resipiscit, ex eo die metum deponens, eligensque pro recto et honesto dura pati ; si quidem presbyter sit vel diaconus, sacro ministerio prohibeatur usque ad tempus synodi orthodoxæ : post convenientem vero pœnitentiam, particeps esto sacræ Eucharistiæ ab orthodoxo consecratæ. Pœnitentiæ

C ΣΙΘ' (15).—Λύσεις διαφόρων κεφαλαίων. [ωμθ'.]

Ἐρώτησις Α'. — Περὶ πρεσβυτέρου, διακόνου τε καὶ ἀναγνώστου ἐσχηκοτων φρόνημα ὀρθὸν, τοῖς αἱρετικοῖς δὲ κοινωνησάντων ἐξ ἀνθρωπίνου φόβου· εἰ χρὴ προσφορὰν ὑπὲρ αὐτῶν ποιεῖν, ἢ παννυχίδα, ἢ εὐχήν.

Ἀπόκρισις. — Εἰ μέχρις ἀποβιώσεως κοινωνοῦντες τοῖς αἱρετικοῖς διέμειναν, οὐδαμῶς. Εἰ δὲ ἐν τῇ ἐξόδῳ καὶ μετεμελήθησαν, καὶ ὡμολόγησαν φόβῳ κεκρατῆσθαι, καὶ τρίτον εἰ ἐκοινώνησαν τῶν ὀρθοδόξων ἁγιασμάτων· συγχωρητέον γίνεσθαι ὑπ' αὐτοῖς τὰ προειρημένα.

Ἐρώτησις Β'. — Περὶ μοναχῶν καὶ μοναζουσῶν ὁμοίως τῇ κοινωνίᾳ τῶν αἱρετικῶν ἀποβιωσάντων.

D Ἀπόκρισις. — Ἡ προειρημένη ἀπόκρισις φυλαττέσθω καὶ ἐπὶ τοῖσδε. Ὁμοίως καὶ ἐπὶ λαϊκῶν, ἀνδρῶν τε, καὶ γυναικῶν, καὶ παίδων. Εἰρηται δὲ ταῦτα περὶ τῶν τεθνεώτων. Εἰ γὰρ ἔτι ζῶν ἐστιν ἐκ πάντων τῶν προειρημένων, καὶ μεταμέλητο, ἔξω ῥίπτων τὸν φόβον ἀπὸ τοῦ δεῦρο, καὶ αἱρούμενος ὑπὲρ τοῦ ἀγαθοῦ κακοπαθεῖν· εἰ μὲν πρεσβύτερος ἢ διάκονος, εἰργέσθω τῆς ἱερουργίας ἕως καιροῦ συνόδου ὀρθοδοξίας· μετὰ δὲ ἐπιτιμίαν τὴν προσήκουσαν, μετεχέτω τῶν ὀρθοδόξων ἁγιασμάτων. Ἡ

[21] Galat. II, 6. [22] Galat. I.

NOTÆ.

(15) In Cod. Reg. σκθ'.

δὲ δύναμις τῆς ἐπιτιμίας, ἀμεθεξία ἐστὶ τῶν ἁγιασμάτων, καθ' ὃν καιρὸν ἢ καιροὺς ὁ ἐπιτιμῶν οἰκονομοίη. Οὐ γὰρ ὁριστικῶς ἔστιν ἀποφήνασθαι· διὰ τὸ ἄλλον ἄλλου διαφέρειν καὶ προσώπῳ, καὶ γνώσει, καὶ σπουδῇ, καὶ ἡλικίᾳ. Εἰ δὲ μονάζων εἴη, ἢ ἀναγνώστης, ἢ μονάζουσα· τοῦ ἐπιτιμίου πληρουμένου εὐθὺς διδόσθω ἡ θεία μέθεξις· ὡσαύτως καὶ ἐπὶ λαϊκῶν, ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων. Δῆλον δὲ κἀν τούτοις διαφορότης, κατά τε πρόσωπον καὶ τὸ ἀξίωμα καὶ ἡλικίαν· ὡς καὶ μιᾷ τεσσαρακοστῇ ἱκανοῦσθαι τὴν ἐπιτιμίαν τῷ λαμβάνοντι. Φανερὸν δὲ ὅτι τὸ ἐπιτίμιον τῆς ἀμεθεξίας τῶν ἁγιασμάτων συνεπιλαμβάνεται καὶ προσευχῶν, καὶ γονυκλισιῶν, καὶ ἐγκρατείας βρωμάτων, κατὰ τὴν ὑποκειμένην φύσιν τοῦ ἐπιτιμωμένου.

Ἐρώτησις Γ'. — Περὶ τοῦ διδόναι δῶρα ἐν μοναστηρίοις ἀνδρείοις τε καὶ γυναικείοις.

Ἀπόκρισις. — Δοτέον, εἰ εἰσὶ πεφυλαγμένοι τῆς αἱρετικῆς κοινωνίας.

Ἐρώτησις Δ'. — Περὶ τοῦ ἀφ' ἑαυτῶν κοινωνεῖν ἢ μονάζοντας ἢ μοναζούσας τῶν ἁγιασμάτων.

Ἀπόκρισις. — Οὐκ ἐξὸν ἅπτεσθαι οὐδὲ τῶν θείων ἀναθημάτων τοὺς ἔξω ἱερωσύνης· πλὴν εἰ μή τι κατὰ πᾶσαν ἀνάγκην, μὴ εὑρισκομένου πρεσβυτέρου ἢ διακόνου, ἀφ' ἑαυτῶν μετέχειν τοῦ δώρου. Τοῦτο δὲ πῶς; τιθεμένης βίβλου ἱερᾶς, καὶ ἐφαπλουμένης ὀθόνης καθαρᾶς, ἢ ἱερᾶς ἐπικαλυμματίδος, ἐκεῖσε τοῦ δώρου ἀπὸ χειρὸς σὺν φόβῳ προτεθέντος μετὰ τὴν ὑμνῳδίαν, ἀπὸ στόματος λῃπτέον· εἶθ' οὕτως διακλύσεως οἴνου γινομένης τῷ λαμβάνοντι.

Ἐρώτησις Ε'. — Περὶ λαϊκῶν, ἀνδρῶν τε καὶ γυναικῶν ὀρθοδόξων ἐξ ὀρθοδόξου κοινωνούντων, φόβῳ δὲ ἀνθρωπίνῳ τἆλλα πάντα τοῖς αἱρετικοῖς συναναμιγνυμένων· πῶς χρὴ τοὺς ἀκριβευομένους περὶ αὐτῶν ἔχειν.

Ἀπόκρισις. — Ἀπὸ μὲν ἱερατικοῦ ἥγουν πρεσβυτέρου καὶ διακόνου, μονάζοντός τε καὶ μοναζούσης, ἀφεκτέον συνεσθίειν τὸν ἠκριβωμένον· οὐκ οἶδα εἰ μή τι οἰκονομίας τρόπῳ, καὶ τοῦτο σπανιώτερον. Ἀπὸ δὲ τῶν λαϊκῶν, ἀδιάφορον τὸ συνεσθίειν· κἂν μύχῃ πολλάκις καὶ κοινωνεῖν αὐτὸν φόβῳ τῇ αἱρέσει, ἔχοντα δὲ ὅμως ὀρθόδοξον τὸ φρόνημα. Πλὴν ἵνα μὴ ἐκόλαστον εἴη τὸ ἁμάρτημα, μικρὸν ἐπιτίμιον ἐπιδιδόσθω τοῖς ἀδιάφοροῦσιν ἐκ φόβου τοῖς αἱρετικοῖς. Τὸ δὲ ἐπιτίμιον, γονυκλισίαι πεντεκαίδεκα, εὐχαὶ ὡσαύτως· Κύριε, συγχώρησόν μοι τὴν ἁμαρτίαν· Κύριε, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· Κύριε, ἐλέησόν με· ἀπὸ πεντήκοντα, ἤτοι ἑκατόν.

Ἐρώτησις ς'. — Εἰ χρὴ τοῖς συμψάλλουσι τοῖς αἱρετικοῖς, ἀπεχομένοις δὲ τῆς κοινωνίας αὐτῶν, ἄν τε πρεσβυτέρῳ, ἄν τε διακόνῳ, ἄν τε λαϊκῷ, ἄν τε γυναικί, μεταδιδόναι τῶν ἁγιασμάτων τὸν ὀρθόδοξον ἱερέα.

Ἀπόκρισις. — Τὸ μὲν οὖν μεταδιδόναι, μεταδιδότω· τοῖς μὲν ἱερωμένοις, οἰκονομικῶς μετὰ ἐπιτιμίου, διὰ τὴν πρὸς τοὺς αἱρετικοὺς ἀπαγωγὴν ἐν τοῖς ἄλλοις· τοῖς δὲ λαϊκοῖς ἄνευ ἐπιτιμίου. Περὶ δὲ τοῦ διετίαν ἔχοντος ἀναγνώστου ἐν τῇ ἀποχῇ τῆς

A autem pars est, Eucharistiæ dilata perceptio, quanto temporis spatio censuerit is qui pœnam statuit. Neque enim præcise definire aut statuere licet; quod alius ab alio differat dignitate, doctrina, negotiis, et ætate. Si vero monachus sit, aut lector, aut monialis: pœnitentia peracta, sta tim divina Eucharistia donetur: quemadmodum et de laicis censendum, viris, feminis, puerisque. Manifestum est autem et in his discrimen esse personarum, dignitatis, et ætatis: ut vel una quadragesima satis ei sit qui pœnitentiam accipit. Liquido constat autem pœnitentiam, una cum dilata perceptione Eucharistiæ, complecti et orationes, et genuum flexiones, et abstinentiam a cibis, juxta illius qui pœnam subit, facultatem ac vires.

B *Interrogatio* III. — De donis, an monasteriis tum virorum tum feminarum dari debeant.

Responsio. — Danda sunt, si quidem ii sint hæreticæ communionis expertes.

Interrogatio IV. — De communione sacræ Eucharistiæ, quam per se ipsi monachi vel moniales accipiant.

Responsio. — Ne sacra quidem donaria tangere licitum est iis qui sacerdotes non sunt: nec, nisi forte necessitate urgente, si desit presbyter vel diaconus; per seipsum sumere Eucharistiam. Istud autem quo pacto? Posito sacro libro, extensoque puro linteo, aut sacro velamine, deposita prius illic e manu cum metu sacra Eucharistia, post hymnorum recitationem, ore sumi debet. Postea,
C qui accepit, abluere os vino debet.

Interrogatio V. — De laicis, viris ac feminis orthodoxis, qui ab orthodoxo communicant, humano autem timore in cæteris omnibus cum hæreticis miscentur: quomodo illos oporteat, qui exactioris disciplinæ studiosi sunt, cum his se gerere.

Responsio. — Sacro quidem homini, hoc est, presbytero et diacono, deinde monacho et moniali, cavendum ex disciplina exactiore ne cum his cibum sumat: nisi forte per dispensationis quemdam modum, et hoc ipsum rarius. Laicis vero licitum est, cibum cum his capere: etiamsi sæpe contingat hos ex metu communicare hæresi; dum rectam interim fidem animo teneant. Tamen, ne impunitum sit dilectum, exigua imponatur pœna iis qui
D cum hæreticis ex metu promiscue agunt. Pœna vero, quindecim flexiones genuum, precationes totidem: *Domine, ignosce mihi hoc peccatum; Domine, propitius esto mihi peccatori; Domine, miserere mei;* quinquagies vel centies.

Interrogatio VI. — An oporteat iis qui cum hæreticis simul psallunt, ab ipsorum autem communione abstinent, sive presbytero, sive diacono, sive laico, sive mulieri, Eucharistiam impertiri ab orthodoxo sacerdote.

Responsio. — Quod ad impertiendum attinet, impertiatur utique: sacerdotibus quidem ex dispensatione cum pœnitentia, quod ab hæreticis in aliis rebus se abstrahant: laicis autem sine pœnitentia. Lector vero si jam per biennium hæretica

communione abstinuit, æquum est eum participem fieri sacræ Eucharistiæ, etsi in aliis abreptus fuerit. Ex dispensatione autem hæc dicta sunt propter hominum imbecillitatem; ne dum eos optamus efficere omni hæretica conspersione puros, incaute ipsos in eadem pericula conjiciamus.

Interrogatio VII. — An oporteat una psallere cum iis qui hæreticis non communicant quidem, sed cum iis libere agunt in aliis rebus : aut accipere oblationes ab ipsis, seu ceram, seu oleum.

Responsio. — Si quidem sacerdotes fuerint, nec heterodoxis offerant, accipienda ab iis oblata, cum pœnitentia aliqua. Si vero laici, sine pœnitentia porro pergendum. Oportet enim discrimen esse, propter sacerdotis dignitatem.

Interrogatio VIII. — An licet nobis precationem adhibere iis qui poscunt, aut oleum benedicere, aut ceram accendere, aute sacro calice bibere ?

Responsio. — Si heterodoxi sunt, minime : etsi cum fide accedant. *Nulla enim societas luci ad tenebras* [18].

Interrogatio IX. — Si monachus aut monialis ad nos venerit divinæ Eucharistiæ causa, quænam exigenda confessio est, ubi, quo sint illi statu, lateat ?

Responsio. — Omni venienti impertienda communio, si quo in statu sit ignoratur, rogandus an venerandam Christi imaginem et sanctorum colat: an fugiat hæreticorum communionem, nec aliam ullam hæreticam animo sententiam teneat. Atque ubi omnia confessus fuerit, et confessio tenebitur omnem detestata hæresim; tunc impertienda ei sacræ Eucharistiæ communio est.

Interrogatio X. — An liceat moniali aquam e sacro calice bibere. [Ut puta sanitatis causa.]

Responsio. — In summa sacerdotis aut monachi penuria, ob urgentem necessitatem, bibat.

Interrogatio XI. — In transitu num ingredi fas in Ecclesiam quam hæreticus obtineat ?

Responsio. — Si penes hæreticum Ecclesia est, omnino non licet ingredi orationis causa : nisi ob aliam circumstantiam quæ excuset.

Interrogatio XII. — Ignotum abbatem ad nos venientem, an fas ante examen, ut sanctum compellare, ac precationem ab eo poscere.

Responsio. — Quandoquidem tempus est hæresis, ante examen non oportet neque, *Benedicite, sancti,* dicere, nec precationem ab eo poscere. Communis vero deneganda non est salutatio, secundum sancti Basilii constitutionem.

Interrogatio XIII. — De puteo, si pollutus sit, an precem peragere oportea orthodoxum sacerdotem.

A αἱρετικῆς κοινωνίας, δίκαιον μετέχειν αὐτὸν τῶν ἁγιασμάτων, κἂν ἐν τοῖς ἄλλοις συναπάγηται. Οἰκονομικῶς δὲ ταῦτα εἴρηται διὰ τὴν ἀσθένειαν τῶν ἀνθρώπων · ὡς ἂν μὴ πάντη ζητοῦντες αὐτοὺς καθαροὺς ποιεῖν τῆς αἱρετικῆς συμφύρσεως, λάθωμεν εἰς αὐτὰ τὰ καίρια παραλύοντες αὐτούς.

Ἐρώτησις Ζ'. — Εἰ δεῖ συμψάλλειν τοῖς μὴ κοινωνοῦσι τοῖς αἱρετικοῖς, ἀδιαφοροῦσι δὲ ἐν τοῖς ἄλλοις · ἢ δέχεσθαι προσφορὰς παρ' αὐτῶν, ἢ κηρούς, ἢ ἔλαιον.

Ἀπόκρισις. — Εἰ μὲν ἱερωμένοι εἶεν, καὶ οὐ τοῖς ἑτεροδόξοις προσφέρουσι, προσδεκτέον τὰ παρ' αὐτῶν προσενηνεγμένα μετ' ἐπιτιμίου τινός. Εἰ δὲ λαϊκοὶ, ἄνευ ἐπιτιμίου προσιτέον. Δεῖ γὰρ διαφορότητα εἶναι διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα.

B Ἐρώτησις. Η'. — Εἰ ἔξεστι ποιεῖν τοῖς αἰτοῦσιν ἡμῖν εὐχὴν, ἢ εὐλογεῖν ἔλαιον, ἢ κηροὺς ἀνάπτειν, ἢ ἀπομυρίζειν ἅγια ;

Ἀπόκρισις. — Ἐὰν ἑτερόδοξοί εἰσιν, οὐδαμῶς · κἂν πίστει προσέρχωνται. Οὐθεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος.

Ἐρώτησις Θ'. — Ἐὰν μονάζων ἢ μονάζουσα ἥκοι πρὸς ἡμᾶς ἐπὶ τῇ θείᾳ κοινωνίᾳ · ποταπὴν ὁμολογίαν ἀπαιτητέον διὰ τὸ ἀδιάγνωστα εἶναι τὰ κατ' αὐτούς ;

Ἀπόκρισις. — Πάντα τὸν ἐρχόμενον κοινωνῆσαι. Εἰ ἀγνοεῖται τὰ κατ' αὐτὸν, ἐρωτητέον εἰ προσκυνεῖ τὴν σεπτὴν εἰκόνα Χριστοῦ καὶ τῶν ἁγίων · εἰ μὴ κοινωνεῖ τοῖς αἱρετικοῖς, καὶ εἰς ὅ τι ἂν ἄλλο
C ὑποπτεύηται φρόνημα ἑτερόδοξον. Καὶ ὅταν κατὰ πάντα ὁμολογήσῃ, καὶ ἡ ὁμολογία σώζοιτο ἐπὶ πάσης αἱρέσεως ἀπαγορευτική · τότε μεταδοτέον καὶ συγκοινωνητέον αὐτῷ τῶν ἁγιασμάτων.

Ἐρώτησις Ι'. — Εἰ ἔξεστι μοναστρίᾳ ἀπομυρίζειν.

Ἀπόκρισις. — Ἐξ ἀπορίας πάσης ἱερωμένου ἢ μονάζοντος, ἀπομυριζέτω, διὰ τὴν κατεπείγουσαν ἀνάγκην.

Ἐρώτησις ΙΑ'. — Εἰς ἐκκλησίαν κατὰ πάροδον ὑπὸ αἱρετικοῦ κρατουμένην εἰ δεῖ εἰσιέναι ;

Ἀπόκρισις. — Ἅπαξ, εἰ ὑπὸ αἱρετικοῦ κρατουμένη ἐκκλησία ἐστὶν, οὐ δεῖ εἰσιέναι προσευχῆς χάριν · εἰ μή τι κατὰ ἄλλην περιστατικὴν πρόφασιν.

D Ἐρώτησις ΙΒ'. — Ἀββᾶν ἐρχόμενον πρὸς ἡμᾶς ἀγνώριστον, εἰ χρὴ πρὸ ἀνακρίσεως ἁγιολεκτῶν αὐτὸν, καὶ αἰτεῖσθαι πρὸς αὐτοῦ εὐχήν.

Ἀπόκρισις. — Ἐπὰν ὁ καιρὸς αἱρέσεώς ἐστι, πρὸ ἀνακρίσεως οὐ δεῖ · οὔτε, Εὐλογεῖτε, ἅγιοι, λέγειν · οὔτε εὐχὴν αἰτεῖν παρ' αὐτοῦ. Τὸν δὲ κοινὸν ἀσπασμὸν οὐκ ἀπαγορευτέον, κατὰ τὴν νομοθεσίαν τοῦ ἁγίου Βασιλείου.

Ἐρώτησις ΙΓ'. — Περὶ φρέατος, ἐὰν μιανθῇ, α δεῖ ποιῆσαι εὐχὴν τὸν ὀρθόδοξον ἱερέα.

[18] II Cor. VI, 14.

Ἀπόκρισις. — Ἐκεῖ δεῖ ποιεῖν τὴν εὐχήν, οὗ ἐστιν ἡ ὀρθόδοξος κοινωνία. Πρὸς δὲ τοὺς κοινωνοῦντας τοῖς αἱρετικοῖς οὐκ ἰτέον. Ἐν οἷς γὰρ μιαίνονται κατὰ ψυχὴν διὰ τοῦ ἄρτου αὐτῶν, μιανθήσονται καὶ κατὰ σῶμα.

Ἐρώτησις ΙΔ'. — Περὶ βαπτίσματος, ὡς οὐκ ἔστιν ἐκκλησία κρατουμένη ὑπὸ ὀρθοδόξου, ἐὰν αἰτήσηται ἡμᾶς τις παρ' οὗ χρὴ σφραγίζειν, κατηχεῖν, καὶ βαπτίζειν· ποταποὶ δὲ οἱ γονεῖς καὶ οἱ ἀνάδοχοι.

Ἀπόκρισις. — Οὐκ εἰσιέναι, καθὰ προείρηται, εἰς ἐκκλησίαν κρατουμένην ὑπὸ αἱρετικοῦ δεῖ· πόσῳ γε μᾶλλον τὰ λελεγμένα πρᾶξαι; ἀλλὰ διὰ τὴν ἀπορίαν ἀναγκαῖον εἰς τόπον καθαρώτατον οἰκίας· ἐφ' ᾧ διὰ θυσιαστηρίου καθηγιασμένου, ἤτοι τραπέζης, τὴν ἱερουργίαν ὁ μέλλων ἐπιτελεῖν τὸ φώτισμα βαπτιζέτω. Ἀναδόχους δὲ ἐκείνους προσιτέον, τοὺς οὐ τοῖς αἱρετικοῖς κοινωνοῦντας, καὶ γονέας τοὺς ὡσαύτως πεφυλαγμένους.

Ἐρώτησις ΙΕ'. — Εἰσὶν ἐκκλησίαι ἔχουσαι δύο κόγχας ἢ καὶ τρεῖς· ἔστι δὲ ἐξ αὐτῶν μία ἀνενθρονίαστος· χρὴ ἐκεῖσε λειτουργῆσαι, ἢ οὔ;

Ἀπόκρισις. — Ἐὰν ὑπὸ τὸν ἀναφερόμενον αἱρετικὸν ἐστιν ἡ τοιαύτη ἐκκλησία, κἂν μία κόγχη οὐ καθιέρωται, οὐ χρὴ λειτουργεῖν ἐκεῖ· εἰ δὲ κρατεῖται ὑπὸ ὀρθοδόξου, ποιείτω λειτουργίαν εἰς τὴν κόγχην ἥτις οὐ καθιέρωται.

Ἐρώτησις ϛ'. — Εἰ δύναταί τις κρατῆσαι τὴν ἐκκλησίαν αὐτοῦ, ἵνα μὴ λειτουργῆται ὑπὸ αἱρετικοῦ· πόσον χρόνον ἔξεστι σφαλισθῆναι· καὶ τί ὀφείλει περὶ αὐτῆς;

Ἀπόκρισις. — Τοῦτο ὑφ' ἡμῶν οὐ λέλυται τὸ κεφάλαιον· ἐπισκόπου γάρ ἐστι τοῦ λύοντος τὰς ἐκκλησίας.

Ἐρώτησις ΙΖ'. — Ἐὰν δὲ εἰσὶν ἄνδρες τε καὶ γυναῖκες, λαϊκοὶ αἱρετικοὶ εἴτε ἀπὸ χωρικίας, εἴτε ἔμφυτον ἔχοντες τὴν αἵρεσιν· εἰ ἔξεστιν ἐσθίειν μετ' αὐτῶν, ἢ λαμβάνειν ἐξ αὐτῶν τί ποτε.

Ἀπόκρισις. — Οὔτε εἰ ἐκ κακονοίας εἰσὶν αἱρετικοὶ, οὔτε εἰ ἐξ ἀμαθίας, ἔξεστιν ἢ ἐσθίειν ἢ λαμβάνειν τὰ παρ' αὐτῶν προσενηνεγμένα· οὐκ εἰδὼς εἰ μή τι οἱ ἀμαθεῖς βελτιωθέντες ὀρθοδοξεῖν ἐπαγγέλλονται.

Ἐρώτησις ΙΗ'. — Περὶ τοῦ πατρός μου, εἰ ἔστιν ἄξιος εἰς λειτουργίαν μνημονεύεσθαι;

Ἀπόκρισις. — Εἴτε πατὴρ, εἴτε μήτηρ, εἴτε ἀδελφὸς, ἢ ὁστισοῦν ἄλλος κατελείφθη μέχρι θανάτου κοινωνῶν τῇ αἱρέσει, προείρηται ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ, μὴ μνημονεύεσθαι ἐν τῇ λειτουργίᾳ· εἰ μή τι ἕκαστος κατὰ διάνοιαν ἕλοιτο εὔχεσθαι περὶ τῶν τοιούτων, καὶ ὑπὲρ αὐτῶν ποιεῖν ἐλεημοσύνας. Πῶς γὰρ ἂν ὁ ἔτι ζῶν, μετέχων τε τῆς αἱρετικῆς κοινωνίας, καὶ οὕτως ἐκκομισθείς, ληφθήσεται ἐν μνημοσύνοις κατὰ τὴν μυσταγωγίαν τῶν ὀρθοδόξων; οὐδαμῶς.

Ταῦτα οὐ κανονικῶς ἐφθεγξάμην· ἐπισκόπων γὰρ τοῦτο· ἀλλὰ συμβουλευτικῶς ἐξ ἀγάπης· οὐδὲν γὰρ ἀγάπης ἀναγκαιότερον, φθεγξάμενος. Εἰ δέ τι τῇ εὐλαβείᾳ σου ἄλλως δοκιμάζεται οἰκονομεῖσθαι· ἡμεῖς περὶ τούτου λόγον οὐκ ἔχομεν, ἢ τὸ ἐξαιτεῖ-

Responsio. — Ibi precatio peragenda, ubi orthodoxa communio est. Ad eos autem qui cum hæreticis communicant, non eundum. In quibus enim animo polluti sunt ob panem ipsorum, et corpore polluentur.

Interrogatio XIV. — De baptismo, ubi non est Ecclesia quam orthodoxus obtineat, si quis a nobis poscat, ubi signare oporteat, docere, et baptizare : quales autem parentes ac patrini.

Responsio. — Nefas, ut dictum est, in ecclesiam ingredi, quæ ab hæretico detineatur : quanto vero magis quæ modo commemorata sunt agere ? sed propter loci penuriam, in locum ædium mundissimum necesse est abire : ubi super altari consecrato vel mensa, qui sacro fungi ministerio debet, baptismum illuminationis impertiat. Patrini autem illi admittendi, qui cum hæreticis non communicent : parentes similiter integræ fidei.

Interrogatio XV. — Sunt ecclesiæ, quæ duas habent aut tres ædiculas ; ex his autem una est quam nemo occuparit : utrum fas ibi sacrum faceret annon ?

Responsio. — Si penes hæreticum declaratum ejusmodi ecclesia est, etsi una ædicula sit non dedicata, nefas ibi sacrum facere : si vero penes orthodoxum fuerit, sacrum peragatur in ædicula quæ non est dedicata.

Interrogatio XVI. — Si potest qui ecclesia sua potiri, ut ne sacrum in ea hæreticus faciat ; quanto tempore debet exspectare : et quid de ea statuendum ?

Responsio. — Non nostrum est huic capiti satisfacere : est enim episcopi, a quo solvuntur ecclesiæ.

Interrogatio XVII. — Si qui autem sunt viri ac mulieres e laicis qui vel ob rusticitatem, vel ob innatam hæresim sint hæretici : an liceat cum ipsis edere, aut accipere quidquam ab ipsis.

Responsio. — Neque si ex animi pravitate hæretici sunt, neque si ex ignorantia, aut edere licet, aut accipere quæ sunt ab iis oblata : nisi forte rudiores emendati, recte sentire se profitentur.

Interrogatio XVIII. — De patre meo, utrum par est eum in re divina commemorari ?

Responsio. — Sive pater, sive mater, sive frater, seu quivis alius, deprehensus fuerit ad obitum usque communicavisse hæresi ; antea dictum est in superiore capite, non esse memoriam illius in re sacra faciendam : sed tamen quisque secum in animo precari pro his si lubet potest, ac pro iisdem eleemosynas erogare. Quomodo enim, qui dum viveret, particeps fuit hæreticæ communionis, et sic elatus sepultusque, locum habebit in diptychis, dum rem sacram peragunt orthodoxi ? minime sane.

Hæc ego non tanquam sanciens legem : nam hoc munus episcoporum est : sed ex charitate consilio juvans dico : nihil enim charitate magis necessarium est. Si vero aliter dispensandum videtur pietati tuæ : nos de ea re nihil habemus dicere,

nisi quod sanctas vestras preces flagitamus, quoniam homines peccatis obnoxii sumus.

σθαι ὑμῶν τὰς ἁγίας προσευχὰς, ὅτι ἁμαρτωλοὶ ἄνθρωποι τυγχάνομεν.

CCXX. — *Sancti Patris nostri et confessoris Theodori præsidis monachorum Studii epistola ad spatharium, cui nomen Machara.*

ΣΚ'. — Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἡγουμένου τῶν Στουδίου ἐπιστολὴ (1) πρὸς τὴν σπαθαρίαν (2), ἧς τὸ ὄνομα Μαχαρά.

(Ang. Mai, *Biblioth. nov. Patr.*, t. IV, p. 99.)

De græcis Typicis, eorumque multitudine ac varietate, docte more suo Allatius in peculiari opusculo de libris ecclesiasticis Græcorum. Et quidem nominatim *Typicon Studiticum* memorat Nico apud Cotelerium, *Monum. Eccl. Gr.*, t. III, p. 440. Ego notitiam codicis Vaticani 1609 lectoribus non invidebo, cui Græce Latineque inscribitur titulus : *Typicon Theodori Studitæ*. Ipsum vero Typicon sic incipit : Σὺν Θεῷ Τυπικὸν περιέχον τὴν ἅπασαν ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς καταστάσεως Θεοδώρου τοῦ Στουδίτου καὶ τῶν λοιπῶν. Hoc ego ms. Studitæ Typicon cum Hierosolymitano sancti Sabæ conferens, longe brevius esse comperiebam. Oblatus autem fuit hic codex anno 1585 pontifici maximo Sixto V, cum supremus tunc esset bibliothecæ Vaticanæ protector Antonius cardinalis, a quodam Francisco Græcorum catholicorum in urbs Messana protopapa, ut testatur epigraphe, quæ ita se habet : Ὁ κύριος Φραγκίσκος Ἀκκ..ς τοῦ Ἐμμανουὴλος χωρεπισκόπου Ῥοδίου υἱός, πρωτονοτάριος καὶ πρωτοπάπας καθολικὸς Μεσήνης τῆς Σικελίας, ἐκ πολλῆς εἰς τὴν ἀποστολικὴν καθέδραν προθυμίας, τοῦτο τὸ βιβλίον πολλῷ πόνῳ καὶ δαπάνῃ συνάξας ἐκ τῶν ἀνατολικῶν, προσέφερε τῷ μακαριωτάτῳ πάπᾳ Σίξτῳ πέμπτῳ, ἐν τῇ Βατικανῇ βιβλιοθήκῃ φυλαχθησόμενον, ἐπὶ μεγάλου φύλακος τῆς βιβλιοθήκης τοῦ ἐκλαμπροτάτου καὶ αἰδεσιμωτάτου κυρίου Ἀντωνίου Καρδηνάλι Καράφα · ἔτει αφπε'.

NOTÆ.

τῶν διακόνων ἱσταμένων εἰς τύπον τῶν ἀγγέλων. IV. Sacerdos, seu episcopus, intra βημόθυρον phelonio albo (de quo idem Sophr. p. 36.) indutus, manibus extensis orans : post quem diaconus stichario et oratio ornatus, legens. Quia vero angeli a Græcis liturgicis et a Patribus (adi Chrysostomum *De Sacerd.* lib. VI, 4) assistere huic tanto mysterio dicuntur, idcirco a pictore duo hic sunt additi angeli, nempe ut dicunt inscriptiones : ἔφη Μιχαὴλ ὁ ἄρχων, σοφία (id est, ut explicat Sophronius, p. 48. θεέ) καὶ ὁ Γαβριὴλ πρόσχωμεν. In superioribus Christus Dominus de nube benedicens : ὁ Δεσπότης ἔφη, Εἰρήνη πᾶσι. Ibidem David cum harpa, ob indicandam psalmodiam. (Confer rursus Sophr. p. 45.) V. Sacerdos ad altare liturgia fungens, manibus passis. Altari imminet curvum lacunar, Græce κόγχη, κατὰ τὸ ἐν Βηθλεὲμ σπήλαιον, ut ait Sophronius p. 32. Sustinent κόγχην quatuor παρακιόνια, columnæ, κατὰ μίμησιν των τεσσάρων ζώων τῶν ὀφθέντων τῷ προφήτῃ, ut scribit idem Sophronius, p. 33. Ignis de altari in cœlum conscendens, quia, ut ait epigraphe, ἕκαστος λόγος τοῦ ἁγίου Εὐαγγελίου ὡς πῦρ ἐγένετο, καὶ ἔφθασεν μέχρι τοῦ οὐρανοῦ. Vel quia, ut ait Sophronius, p. 33, ἁρμόζει τὸν ἱερέα ὡς πὺρ φλέγον εἶναι. Cui miris verbis consonat S. Cyrillus Alex. (*De ador. in sp. et ver.* lib. XII, opp. t. I, p. 437) : Πρέπει ἄνδρας τοὺς ἱεροὺς, καὶ Χριστῷ τὴν οἰκείαν ἀναθέντας ζωὴν, θερμοὺς καὶ ζέοντας ὁρᾶσθαι τῷ πνεύματι, καὶ τοῦτο διὰ παντὸς, οὐκ εἰς ἀπόψυξιν καταφερομένους διὰ κοσμικῶν ἡδονῶν, ἀναζωπυροῦντας δὲ μᾶλλον ἐν ἁγιασμῷ τὸν νοῦν εἰς φιλοθεΐαν καὶ ἔφεσιν ἀρετῆς: *Decet sacros vivos, qui Christo vitam suam dicarunt, calentes ferventesque spiritu conspici, idque perpetuo : neque ad refrigerium delabi per mundanas voluptates, sed mentem potius sanctitate ad Dei amorem et virtutis appetitionem exsuscitare.* Adest monasteri abbas in parvo throno sub minore lacunari rectus stans. Item Michael archangelus diabolum expellens εἰς τὸ ἐξώτερον πῦρ ; ut significet, malæ conscientiæ homines nec non catechumenos ecclesia sanctisque mysteriis esse excludendos, quod satis colligitur ex epigraphe. VI. Sacerdos sacrum calicem gestans gestatus ipse ab angelis, ut ait inscriptio : Ἄγγελοι βαστάζοντες τὸν ἱερέα μετὰ τῶν ἁγιασμάτων. Rursus sacerdos ad altare, ubi calix, asteriscus, et candelabra ardentia duo. Astat Michæl archangelus, desuperque æternus Pater benedicens, duoque angeli preces hominum suscipientes vel deferentes. VII. Sacerdos ad altare manibus passis, retro diaconus legens. In superiore parte insignis pictura angelorum et seraphinorum, medium habentium puerum Jesum, tanquam in rota splendidissima. Ignis (de quo diximus supra) sacerdotem involvens, ut ait epigraphe : Πυρὸς φλὸξ ἔπεσεν ἐπὶ τον ἱερέα, καὶ ἐγένετο ὁ ἱερεὺς φλογάπυρος ἀπὸ τῆς κορυφῆς ἕως τῶν ὀνύχων αὐτοῦ. VIII. Sacerdos, seu episcopus, stans in bematis janua, sanctificatis et dignis divinam eucharistiam de calice sumptam distribuit sacro cochleari. Astant inclinati, diaconus cum oratio in crucis formam disposito, et duo pueri cerophorarii. Qui communicant, non genu flectunt, sed more Græco stant: οἱ παριστάμενοι μεταλαμβανουσι. IX. Eulogiarum, id est panis benedicti in disco positi, distributio a sacerdote extra bematis januam fit. In supernis angeli, imitantes quasi distributionem terrestrem, oblationes Ecclesiæ ad Deum deferunt : Αἱ τῆς Ἐκκλησίας ἀπαρχαὶ εἰς τὸν οὐρανὸν ἀνερχόμεναι, ut ait inscriptio. Hactenus de his novem pulchris eruditisque picturis, quæ luce publica dignissimæ sunt.

—

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ

ΔΙΔΑΣΚΑΛΙΑ ΧΡΟΝΙΚΗ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΣΤΟΥΔΙΟΥ

(Πολλαὶ γὰρ κατηχήσεις εἰσὶ τοῦ Στουδίτου, ἀλλ' αὕτη λέγεται Κατήχησις χρονική [12].)

S. P. N. THEODORI STUDITÆ

DOCTRINA CHRONICA MONASTERII STUDII.

(Et multæ quidem sunt Studitæ catecheses, sed hæc dicitur *Catechesis chronica*.)

α. Ἀδελφοὶ καὶ Πατέρες, νῦν ἐπιχειρῶ πᾶσιν ὑμῖν τοῖς ἐθέλουσι βιῶναι ὀρθῶς καὶ θεοφιλῶς, ἀριδήλοτατα ὑποδεῖξαι, ὡς ἐφικτόν, τὸ πῶς δεῖ τηρεῖν τὴν κυκλοτερικὴν τοῦ χρόνου περίοδον· ὅσον δὲ πρὸς εὐσέβειαν τῶν πιστῶν, καὶ ὅσον πρὸς ἀνατροπὴν τῶν αἱρετικῶν. Καλὸν τὸ ἅλας, καλὸν τὸ φῶς· εἰ δέ τις ἐκτὸς τούτων τυφλὸς ὤν, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, καθὼς ὁ ἡμέτερος Κύριος εἶπεν. Ὀρθοδοξίας μὲν οἶκον οἰκοδομῆσαι ἐπιχειρῶν, θεμέλιον ἄσειστον ἐμπῆξαι δέοι, ἐκ τῶν θείων ἀποστόλων, καὶ τῶν θεοφόρων Πατέρων τοῖς παραδοθεῖσι κανόσι· καὶ πρό γε πάντων εἴδωμεν ἄν, τί τὸ ἱερὸν λόγιον ἔφησεν. Λέγει μὲν πάλαι ὁ Κύριος πρὸς τὸν ἱεροφάντην Μωσέα· « Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ φυλάξατέ μοι, νηστείαν ἁγίαν, ἀπὸ μικροῦ ἕως μεγάλου ὑμῶν· τὴν ἑορτὴν τῶν ἀζύμων τῷ πρώτῳ μηνὶ, ἡμέρας ἑπτὰ ταπεινώσατε τὰς ψυχὰς ὑμῶν, καὶ ἄρτον κακώσεως ἔδεσθε· εἶτα ἀριθμήσονται ὑμῖν ἑβδομάδες ἑπτά, ὁλόκληραι ἡμέραι πεντήκοντα, καὶ καλέσατε αὐτὴν κλητὴν ἁγίαν ἡμέραν νηστείαν δεκτήν. Καὶ τῇ δεκάτῃ ε' μεσοῦντος τοῦ ἐνιαυτοῦ, ἑορτὴ ἁγία σκηνοπηγία ἔσται ὑμῖν καὶ ταπεινώσετε τὰς ψυχὰς ἐνώπιον τοῦ Θεοῦ ὑμῶν· καὶ πᾶσα ψυχὴ ἥτις οὐ ταπεινωθήσεται, ἐξολοθρευθήσεται ἐξ ὑμῶν αὐτῶν. » Ἐντεῦθεν, ὡς ἔοικεν, καὶ παρ' ἡμῖν τρεῖς νηστεῖαι φυλάττονται, ἃς προετύπουν ἑορταὶ ἐκεῖναι. Τί δ' ἂν βούλεται ἐν ἡμῖν, ἀδελφοὶ, τὸ Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ φυλάξατέ μοι νηστείαν ἁγίαν ἀπὸ μικροῦ ἕως μεγάλου ὑμῶν; τύπος δ' ἂν, ὡς οἶμαι ἀκραιφνὴς εἴη τοῦτο τῆς μιᾶς καὶ μόνης θεότητος, καὶ ἐν τρισὶ χαρακτῆρσιν ὁρωμένης τε καὶ λατρευομένης παρ' ἡμῶν τῶν τῆς ἀληθείας προσκυνητῶν. Διὸ τρεῖς παρ' ἡμῖν νηστεῖαι νενομοθέτηνται εἰς τύπον τῆς ζωαρχικωτάτης Τριάδος ἐκ τῶν θείων μαθητῶν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ (13)· καὶ αὖ ἡμέραι

1. Fratres mei ac Patres. Nunc aggredior vobis omnibus recte et religiose vivere volentibus, perspicue prout fieri poterit demonstrare, quomodo observanda sit circularis anni periodus, tum quod attinet ad fidelium pietatem, tum etiam quod ad hæreticorum refutationem refertur. Bonum sal, et bona lux : a quibus si quis abest, cæcutit nec quo vadit scit, sicut Dominus noster dixit. Qui orthodoxiæ domum ædificare aggreditur, fundamentum immobile ponere debet, ex traditis a divis apostolis et inspiratis Patribus regulis. Atque in primis videamus, quid sacra oracula dicant. Ait olim Dominus hierophanti Moysi : « Tribus anni temporibus sanctum jejunium mihi observabitis, a parvo inter vos ad magnum. Festum azymorum primo mense; diebus septem humiliabitis animas vestras, et panem afflictionis manducabitis. Deinde numerabuntur vobis hebdomadæ septem, omnino dies quinquaginta; et appellabitis hunc proprio nomine diem sanctum, jejunium acceptabile. Et decima quinta mensi septimi, medio anno, festum sanctum scenopegiæ vobis erit, et animas vestras humiliabitis coram Deo vestro. Et omnis anima, quæ se non humiliaverit, delebitur de medio vestrum [1]. » Hinc, ut videtur, apud nos quoque tria jejunia observantur, quæ a solemnitatibus illis denotabantur. Quid enim significant apud nos, a fratres, verba : tribus anni temporibus observate sanctum jejunium a parvulo ad adultum inter vos? Figura hæc est, ut arbitror, accurata unicæ ac solius deitatis in tribus personis spectatæ cultæque a nobis veritatis adoratoribus. Ideo tria apud nos jejunia sancita fuerunt a divis discipulis unigeniti Filii Dei ob figurandam vivificam Trinitatem. Et quidem duæ sanctæ erunt vobis in hebdomada feriæ,

[1] Exod. XXIII ; Deut. XVI.

NOTÆ.

(12) Incognita est hæc catechesis, quæ in neutra catechesium Studitæ collectione nominatur.

(13) De tribus quadragesimis scribit Anastasius Sinaita apud Coteler. *Monum. Eccl. Gr.* t. III, p. 425.

quarta et sexta. Quid porro hoc quoque significat, ex septem diebus duo observabuntur, sanctificati? Ut arbitror, in periodico tempore rotæ heptacyclicæ, duæ res sanctæ observabuntur, divinitas et humanitas unius et sublimi ratione uniti Filii Dei, et sanctæ Matris. Aliunde etiam videtur, hebdomadario cyclo trinus denotari typus per dies, sicut in anno a fidelibus manifeste honoratur genuinus Trinitatis typus.

δύο ἁγναὶ ἔστωσαν ὑμῖν ἐν ἑπτὰ ἡμέραις, τετράδι φημὶ καὶ τῇ ἕκτῃ. Τί δὲ καὶ τοῦτό ἐστι δηλοῦν, τό, Ἐν ἑπτὰ ἡμέραις δύο τηρηθῶσιν ἁγναί; ὡς οἶμαι τοῦτο, τῷ περιοδικῷ χρόνῳ τῆς ἑπτακύκλου τροχοῦ, δύο τηρηθώσιν ἁγναὶ, θεότης καὶ ἀνθρωπότης τοῦ ἑνὸς καὶ ὑπερηνωμένου Υἱοῦ Θεοῦ τε, καὶ Μητρὸς ἁγίας. Ἄλλως δ' αὖ δοκεῖ, ὅτι καὶ τῷ ἑβδομαδικῷ κύκλῳ ὁ τριαδικὸς χαρακτηρίζεται τύπος διὰ τριῶν ἡμερῶν, ὡς τῷ ἐνιαυτῷ παρὰ τῶν πιστῶν ἀριδήλως τιμᾶται ὁ ἀκραιφνὴς τῆς Τριάδος τύπος.

2. Primus quadragesimæ terminus. Prima est ipsa Christi nativitatis solemnitas, quæ in Patris typum assumitur, quatenus ipse sciens complacuit sibi de Filii sui conceptione ac nativitate. Quamobrem et quadraginta dierum numerus præscriptus est, ut jejunio Moysis et Eliæ.

β'. Ὅρος τεσσαρακοστῆς πρῶτος. Ἔστι μὲν οὖν αὐτή τε ἡ πρώτη ἑορτὴ τῆς Χριστοῦ γεννήσεως, ἣ εἰς τύπον ἂν εἴληπται τοῦ Πατρός, ὡς οἶδεν ὁ εὐδοκήσας αὐτὸς τὴν τοῦ Υἱοῦ σύλληψίν τε καὶ γέννησιν. Διότι καὶ τεσσαράκοντα ἡμέρας νενομοθέτηνται, ὡς Μωϋσέως ἡ νηστεία καὶ Ἠλίου.

3. Secundus terminus. Post illam secunda, quæ magna quadragesima dicitur, typum refert Unigeniti; quam quidem ipse etiam manifeste ostendit, dum tribus annis eam observavit, postquam a baptismo ascenderat. Unde autem id innotescat, intelligat mecum et certo agnoscat auditor: nempe trigesimo ætatis anno baptismum suscepit Dominus, et triennio posthinc mortem subiit. Quare, ut e probe gnaris rescivimus, ter hoc anno jejunium observavit.

γ'. Δεύτερος ὅρος. Ἡ δὲ μετ' αὐτὴν β', ἣ καὶ μεγάλη τεσσαρακοστὴ λέγεται, εἰς τύπον εἴη τε τοῦ Μονογενοῦς· ἣν καὶ αὐτὸς ἀριδήλως ὑπέδειξεν, τρεῖς ἐνιαυτοὺς τοῦτο ποιῶν, μετὰ τὴν τοῦ βαπτίσματος ἄνοδον. Καὶ πόθεν δῆλον τοῦτό ἐστι, συνίῃ μοι ὁ ἀκροατὴς, καὶ ἰδέτω καλῶς· τριακονταετὴς δηλονότι ὁ Κύριος βαπτισμα ὑπεδέξατο, καὶ ἐν ἄλλοις τρισὶ τῷ θανάτῳ ὑπέστη· διὸ ὡς ἔγνωμεν ἐν τοῖς ἄκρως ἐπισταμένοις, τρὶς τοῦ ἐνιαυτοῦ τὴν παροῦσαν νηστείαν ὑπέδειξεν.

4. Tertius terminus. Tertia vero post hanc quadragesima, quæ etiam apostolorum a nonnullis appellatur, typus habeatur vivificantis Spiritus, qui etiam apostolos docuit omnia quæ ipsi a Patre Filioque significate fuerint. Et vero trium unum nomen deitas, in tribus tamen personis agnita et adorata.

δ'. Τρίτος ὅρος. Ἡ δὲ μετ' αὐτὴν τρίτη, ἣ καὶ παρά τισι τῶν ἀποστόλων κηρυττομένη, τύπος ἂν εἴη καὶ αὐτὴ τοῦ ζωοποιοῦ Πνεύματος, τό καὶ τοὺς ἀποστόλους διδαξαν πάντα ἃ παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ μεμυσταγώγηται. Ὄνομα δὲ τῶν τριῶν ἓν, ἡ θεότης, ἀλλ' ἐν τρισὶν ὑποστάσεσι γνωριζομένη τε καὶ προσκυνουμένη.

5. Sed age jam sermo ad propositum suum accedat, et singula proprio tempori deputemus, tam diebus quam hebdomadis, et qua de causa ita constitutum sit. Quarta sane et sexta feria jejunio semper sanctificentur jejunando a caseo, piscibus et oleo, quemadmodum divi Apostoli, et post illos divinitus inspirati Patres constituerunt. Sed tamen in purissimæ Deiparæ Natvitatem, ejusque in templum Ingressu, et in alio festo quod Hypapante dicitur, insuper in Annuntiatione, et in mirabili Assumptione, utimur oleo et piscibus, si forte in prædictos dies incidant, nempe in quartam aut sextam feriam. Similiter etiam in Præcursoris et supremorum apostolorum Petri et Pauli Nativitatibus. Haud tamen in festis sanctorum martyrum aut pontificum piscibus utimur, si forte occurrant in quarta vel sexta feria.

ε'. Ἀλλ' ἰτέον· ὁ λόγος καὶ τῷ κειμένῳ πελάσει, καὶ ἕκαστα τῷ ἰδίῳ καιρῷ παραθήσομεν, ἔν τε ἡμέραις καὶ ἑβδομάσι, καὶ διὰ ποίαν αἰτίαν νενομοθέτηνται· τετράς τε καὶ παρασκευὴ παντελῶς ἁγναὶ εἰς νηστείαν ἀεὶ τηρηθῶσι, τυροῦ, ἰχθύων, ἐλαίου, καθὼς οἱ θεῖοι ἀπόστολοι, καὶ οἱ μετ' αὐτοὺς θεοφόροι Πατέρες ἐνομοθέτησαν. Τὴν γὰρ γέννησιν τῆς παναχράντου Θεοτόκου, καὶ τὴν αὐτῆς εἰς ναὸν εἴσοδον, καὶ τὴν ἑτέραν ἡ καὶ ὑπαπαντὴ λεγομένη, καὶ αὖ τὴν τοῦ εὐαγγελισμοῦ, καὶ τὴν θείαν μετάστασιν, διαλύομεν εἰς ἔλαιον καὶ ἰχθύας, εἰ τύχωσι ταῖς γεγραμμέναις ἡμέραις, τῇ τε τετράδι καὶ παρασκευῇ. Ὡσαύτως καὶ τὸ τοῦ Προδρόμου γενέσιον, καὶ τῶν κορυφαίων Πέτρου καὶ Παύλου· τῶν δὲ ἁγίων μαρτύρων καὶ ὁσίων ἱεραρχῶν οὐ διαλύομεν εἰς ἰχθύας, εἰ τύχωσι δ' ἢ ς'.

6. Et monachi quidem in honorem ac laudem crucis, quatuordecim dies observant, alii duodecim, alii quatur. Sed universus Christi populus sanctificati omnes observant diem Exaltationis, id est XIV Septembris. Verumtamen Nativitatis Christi jejunium tribus diebus observetur in hebdomada, id est secunda, quarta, sextaque feria, et cavendo a piscibus oleoque, jejunium strenue transigatur: parique

ς'. Οἱ μὲν οὖν μονάζοντες εἰς δόξαν καὶ ἔπαινον τοῦ σταυρικοῦ ξύλου, δέκα καὶ τέσσαρας ἡμέρας διαφυλάττουσιν, ἄλλοι ιβ', ἄλλοι δ'· ὁ δὲ σύμπας λαὸς τοῦ Χριστοῦ, ἁγνοὶ πάντες διατηρῶσιν αὐτὴν τὴν ἡμέραν τῆς ὑψώσεως, ἤτοι τὴν ιδ' τοῦ Σεπτεμβρίου μηνός (14). Τὴν δὲ αὖ νηστείαν τῆς τοῦ Χριστοῦ γεννήσεως, τὰς τρεῖς ἡμέρας διαφυλαττέσθω τῆς ἑβδομάδος, ἤτοι β', δ', καὶ ς', ἰχθύας καὶ ἔλαιον, καὶ νη-

NOTÆ.

(14) Videsis Niconem apud Cotelerium Op. cit. t. III, p. 438 et seqq.

στείαν ἐνθέως ποιείτω· ὡσαύτως καὶ τῶν ἁγίων ἀποστόλων ποιείτω, καὶ τὴν τῆς Θεομήτορος ἁγίαν νηστείαν (15). Ἐν μὲν οὖν τῇ παραμονῇ τῆς τοῦ Χριστοῦ γεννήσεως, νήστεις κιατελοῦμεν, καὶ τὴν ἡμέραν ἀγεύοντες (16) εἰς ἰχθύας καὶ ἔλαιον, πάρεξ Σαββάτου ἢ Κυριακῆς· τότε ταῦτα ἐσθίομεν. Ὡσαύτως ποιοῦμεν καὶ τὰς ἄλλας παραμονὰς τῶν τοῦ Χριστοῦ πανηγύρεων· τῇ δὲ ἐπαύριον διαλύομεν ἐν οἱᾳδηποτοῦν ἡμέρᾳ τύχῃ· καθὼς ἄνωθεν εἰρήκαμεν, εἰς δόξαν τοῦ εὐδοκήσαντος Πατρὸς, καὶ τοῦ γεννηθέντος Υἱοῦ· καὶ γὰρ ὡς αὐτὴν τὴν ἡμέραν καὶ ἑτέρας ἓξ διαλύομεν, ἵνα μὴ σκυθρωποὶ φανῶμεν, ὡς οἱ ἀγνώμονες Ἰουδαῖοι, ἐν τῇ γεννήσει τοῦ ἡμᾶς ἀναπλάσαντος.

ζ'. Τὴν δὲ αὖ παραμονὴν τῶν φώτων, καὶ αὐτὴν ὁμοίως νήστεις διαπεραιοῦμεν ἔκ τε ἐλαίου καὶ ἰχθύων καὶ ἑτέρων εἰδῶν τὴν πᾶσαν ἡμέραν· ταύτην δέ γε τὴν ἡμέραν τῶν Θεοφανείων, οἱανοῦν ἡμέρα τύχῃ, διαλύομεν εἰς πᾶν, εἰς χάριν καὶ δόξαν τοῦ βαπτισθέντος, καὶ ἀρχὴν ἁγίαν τῆς τοιαύτης χάριτος, καὶ τὸν βυθισμὸν θεατρίζοντες. Ἔστι δὲ ἡ τοιαύτη χαρμονὴ ἡμῖν τοῦ βροτοκτόνου τοιούτῳ τρόπῳ, ὡς οἷά τις εἰληφὼς χάριν τινὰ πλούτου ὑπό τινος βασιλέως, καὶ ἔχων ἐν ἑαυτῷ καὶ χαίρων ἐν τοῖς καλοῖς οἷς εἴληφε· μετὰ δέ τινα χρόνον, ἕτερός τις ἐχθρὸς ἀντάρτης καὶ ἀλαζὼν πηδήσας ποθὲν, καὶ τοῦ ἔχοντος πλούτου τοῦδε ἀποστερήσει, προσέτι καὶ τιμωρήσει βιαίως· εἴτε οὖν τοῦτο κατάδηλον τῷ βασιλεῖ γεγονός· ὁ δὲ ἥκει, καὶ τὸν ἀποστάτην ἐκεῖνον τιμωρήσας ἀνηλεῶς, καὶ τὸν ἀφελόμενον πλοῦτον τῷ ἔχοντι ἀποδώσει· καίτοι καὶ πλεῖον τοῦ προτέρου ἐπιχαρήσει σημεῖον βασιλικὸν, ὃ καὶ φοβερὸν γίνεται τοῖς ὑπεναντίοις· ποιούτῳ τοιγαροῦν παραδείγματι καὶ ὁ ἡμέτερος Κύριος τοιήσας τῷ ἀποστάτῃ ἐχθρῷ, δέδωκεν ἡμῖν πλείω τοῦ προτέρου ἐκείνου τὴν χάριν τῆς παλιγγενεσίας. Εἰς γοῦν τὴν ἀναγέννησιν δι' ὕδατός τε καὶ Πνεύματος, διττὴ ἡμῖν γίνεται ἡ παροῦσα κάθαρσίς· διὰ μὲν τοῦ ὕδατος τὸ σῶμα σμήχεται, καὶ διὰ τοῦ Πνεύματος τὸ πνεῦμα ἀνακαινίζεται. Πῶς γὰρ οὐ δυνατὸν εὐφρανθῆναί τε καὶ χορεῦσαι τὴν ἡμῶν σωτηρίαν; καὶ γὰρ, ὡς ἔγωγε οἶμαι, ὁ μὴ εὐφραινόμενος τὴν παροῦσαν ἡμέραν τοῦ ἁγίου βαπτίσματος, οὐ σωτήριος αὐτῷ φαίνεται ἡ παροῦσα χάρις, ἀλλὰ σκυθρωπῶς ὑπογαίνεται, καὶ ἀθέως διάκειται καὶ πονηρῶς ἐπὶ τῇ σωτηρίῳ δόσει.

ratione sanctorum quoque apostolorum ac Deiparæ sanctum servetur jejunium. Nativitatis Christi pervigilium jejuni peragimus, et hunc diem sanctificamus absque piscibus et oleo, excepto Sabbato ac die Dominico, quibus his vescimur. Simili ratione transigimus cætera quoque pervigilia Christi solemnitatum: festo tamen sequente jejunium solvimus, quacunque demum die obvenerit, ut supra diximus, in honorem Patris cui complacuit, et nati Filii. Jam sicut ipsum illum diem, ita et alios sex peragimus, ne tristes appareamus, sicut ingrati Judæi, in ejus, qui nos reformavit, nativitate.

7. Porro in pervigilio quoque luminum jejunamus similiter ab oleo, piscibus, aliisque condituris, toto die. At vero ipsum diem Epiphaniæ, quilibet dies sit, absque ulla abstinentia agimus, ad gratiam et gloriam baptizati; atque ob tantæ gratiæ exordium, mersionem quoque publicam facimus. Hoc autem nostrum de homicida diabolo gaudium ejusmodi est; ceu si quis opum gratia a rege accepta, ea potitus apud se lætabundus fueretur: at enim post tempus aliquod, nescio quis alius hostilis adversarius atque superbus eum alicunde aggrediens, possessis opibus spoliaret, insuperque violenta pœna affligeret: quo mox facinore regi nuntiato, is superveniret, ac rebellem illum sine misericordia puniret, et ereptam prædam priori domino restitueret. Et quidem magis etiam quam antea lætabitur ob hoc regium facinus, quod formidabile adversariis fit. Pari ergo modo Dominus quoque noster contra rebellem hostem se gerens, dedit nobis majorem quam illi priori homini gratiam regenerationis. Ergo in hac per aquam et Spiritum regeneratione duplex nobis fit purificatio: etenim per aquam corpus lavatur, per Spiritum spiritus renovatur. Quidni igitur lætandum ac gestiendum salutis nostræ causa sit? Namque, ut ego existimo, si quis hoc die sancti baptismi non lætatur, huic nequaquam affulget præsens gratia, sed mœstus apparet, et irreligiose improbeque se habet, dum salutare donum tribuitur.

Περὶ τῆς ἑβδομάδος τῆς προφωνησίμου (17).

De hebdomada proclamationis (Latinis septuagesima).

η'. Ὡσαύτως τὴν τῆς προφωνῆς ἑβδομάδα, ἐν ᾗ ἀναγινώσκεται τὸ ἱερὸν Εὐαγγέλιον τοῦ τελώνου καὶ τοῦ Φαρισαίου, διαλύομεν καὶ αὐτὴν εἰς πᾶν εἶδος, καθὼς ἄρα παρελάβομεν ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων Πατέρων· οὐχὶ διά τινα ὀρθόδοξίαν ἡ νῦν ἑβδομὰς

8. Similiter etiam proclamationis hebdomadam in qua legitur sacrum evangelium publicani et Pharisæi, peragimus omni abstinentia liberam, sicut a sanctis nostris traditum Patribus accepimus. Neque ob aliquam orthodoxiam hanc hebdoma-

NOTÆ.

(15) De jejunio Deiparæ appellato agit Anastasius apud Cotelerium Op. et tom. cit.

(16) Quia fortasse ambiguus est hic locus, eu ejus declarationem ex alio scripto de jejuniis in eodem codice, p. 163: Τῇ παραμονῇ τοῦ Χριστοῦ γεννήσεως καὶ τῶν ἁγίων θεοφανείων νήστεις διατηροῦμεν, καὶ οὐ καταλύομεν ἔλαιον ἢ ἰχθύας, ἐκτὸς εἰ τύχωσι Σαββάτῳ ἢ Κυριακῇ.

(17) Scribitur aliquando etiam προσφ. Sic autem dicitur, quia tunc admonentur fideles de venturo jejunio. Super hac Dominica et hebdomada Allatius dissert. mox citanda, col. 1414 seq.

dam ita transigimus, sed ut irreligiosum illud dogma explodatur impurissimi Petri Armeniorum episcopi, quem Lycopetrum vulgo dicunt. Quippe ille plane maledictus dogma statuit sectatoribus suis, ut hanc hebdomadam ceu sanctam observarent totam, propter lupum nescio quem pessimum et abominabilem. Nos vero Dei plebs liberam totam transigimus, ob illorum cum suo irreligioso stultoque dogmate refutationem. Testatur autem alicubi ipsorum absurditatem magnus etiam in theologia Gregorius sic[1] : Haud simplex mihi comperta est Armeniorum gens, sed latebrosa et subdola ; quibus verbis horum fidem ceu obvolutam sugillat. Similiter et in hebdomada, caseoprivii, post horam nonam caseo et ovis vescimur, ut ab impio ritu recedamus Jacobitarum et Tetraditarum. Nam in tyrophagiæ hebdomada, idcirco vetiti sumus, ut ego arbitror, a sanctis Patribus carne vesci, vel ob monastici ordinis memoriam, vel ob typum novæ puræque vitæ exhibendum.

A διαλύσεται, ἀλλ' ἵνα ὅπως τὸ ἄθεσμον ἐκεῖνο δόγμα διαλυθῇ τοῦ παμβεβήλου Πέτρου ἐπισκόπου Ἀρμενίων (18), ὃν καὶ Λυκόπετρον οἶδεν ὁ λόγος καλεῖν. Ἐκεῖνος τοίνυν ὁ τρισκατάρατος ἐνομοθέτησε δόγμα τοῖς αὐτῷ συνεπομένοις, ἵνα τὴν ὧν ἑβδομάδα ἀγνὴν πᾶσαν διατηρῶσιν, διά τινος λύκου (19) σκαιοῦ καὶ μυσαρωτάτου. Ἡμεῖς δὲ ὁ τοῦ Κυρίου λαὸς διαλύομεν πᾶσαν, πρὸς ἀνατροπὴν ἐκείνων καὶ τοῦ ἀθέου καὶ ἀνοήτου δόγματος. Συμμαρτυρεῖ που τούτων τὴν ἀπανθρωπότητα καὶ ὁ ἐν θεολογίᾳ μέγας Γρηγόριος λέγων· Οὐχ ἁπλοῦν γένος εὑρίσκω τῶν Ἀρμενίων, ἀλλὰ μᾶλλον κρυπτόν τε καὶ ὕφαλον (20) · διακωμῳδῶν τούτων τὴν τῆς πίστεως ὑφαλότητα. Ὡσαύτως καὶ τὴν τῆς τυροαποθέσεως ἑβδομάδα διαλύομεν καὶ αὐτὴν μετὰ τὴν ἐννάτην εἰς τυρὸν καὶ ὠά, ἵν' ἀνατρέψωμεν τὴν δυσσεβῆ θρησκείαν τῶν Ἰακωβιτῶν καὶ Τετραδιτῶν (21) · αὕτη τοίνυν ἡ τυροφάγος ἑβδομάς, ὡς ἔγωγε οἶμαι, ἐκωλύθη τοῦ μὴ ἐσθίειν αὐτὴν κρέα ὑπὸ τῶν ἁγίων Πατέρων, δι' ἀνάμνησιν τῆς μοναχικῆς τάξεως, ἢ διὰ τύπου τῆς νέας καὶ καθαρᾶς πολιτείας (22).

B

9. Jam in sancta magnaque quadragesima semel in die vescimur, hora nona, et quidem aridis, aut etiam leguminibus absque oleo; neque vino utimur, excepto Sabbato et die Dominico. Comedimus et omne genus testaceorum, et ossibus carentium, et salsamenta, indubitanter: pisces nequaquam per hoc sanctum jejunium, excepto Sabbato, et die palmarum Dominico, ad honorem ejus qui a jejunio veniens, convivio interfuit post Lazari suscitationem : vel omnino etiam, quia et hæc una est de sacris Christi solemnitatibus. At enim sancta magna hebdomada jejuni omnino perstamus, si fieri potest, absque etiam oleo et vino; nisi quod in nocturna vigilia sanctæ passionis, bibimus aliquid ob necessitatem ac laborem. Jejunium pariter usque ad vesperam magno Sabbato continuamus, hoc, inquam, solo totius annis Sabbato. At vero totam diacænesimi (lat. in albis) hebdomadam jejunio liberam agimus, ad honorem ejus qui nos vivificavit Filii Dei. Quod si quis in hac haud indubitanter comedat, sed judaice tristem se gerat, sanctorum Patrum anathemati subjiciatur.

θ'. Τὴν δὲ ἁγίαν καὶ μεγάλην τεσσαρακοστὴν ἅπαξ ἐσθίομεν τῆς ἡμέρας ἐν τῇ θ' ξηροφαγίαν, ἤ τι ὄσπρια ἄνευ ἐλαίου · οὔτε οἶνον, πάρεξ Σαββάτου καὶ Κυριακῆς · ἐσθίομέν τε καὶ ὀστρακοδέρματα πάντα ἀνόστατά τε καὶ ταρύχια ἀνενδοιάστως · ἰχθῦς δὲ οὐδαμῶς ἐσθίομεν τὴν ἁγίαν αὐτὴν νηστείαν, πλὴν τῇ ἡμέρᾳ τοῦ Σαββάτου, καὶ τῇ Κυριακῇ τῶν βαΐων, εἰς δόξαν τοῦ κατελθόντος ἐκ τῆς νηστείας, καὶ συνεσθιασθέντος ἐπὶ τῇ τοῦ Λαζάρου ἐγέρσει · ἥ καὶ ἀριδήλως ὡς μία οὖσα καὶ αὐτὴ τῶν τοῦ Χριστοῦ θείων ἑορτῶν. Τὴν δὲ ἁγίαν μεγαλην ἑβδομάδα νήστεις πάντως διατηροῦμεν, εἰ δυνατόν, οὔτε ἔλαιον, οὔτε οἶνον, πάρεξ τῇ ἀγρυπνίᾳ τῶν ἁγίων παθῶν, πίειν τι πρὸς τὴν χρείαν διὰ τὸν κόπον · ὁμοίως νήστεις ἕως ὀψὲ τῷ μεγάλῳ Σαββάτῳ διατηροῦμεν, αὐτῷ καὶ μόνῳ, οὐποτοῦν ἄλλῳ τῷ ὅλῳ ἐνιαυτῷ · τὴν δέ γε ἅπασαν ἑβδομάδα τῆς διακαινησίμου (23), διαλύομεν καὶ αὐτὴν εἰς δόξαν τοῦ ζωοποιήσαντος ἡμᾶς Υἱοῦ τοῦ Θεοῦ · εἰ δέ τις οὐκ ἐσθίει αὐτὴν ἰουδαίστως, ἀλλὰ ἰουδαϊκῶς σκυθρωπάζων, τῷ ἀναθέματι πιπτέτω τῶν ἁγίων Πατέρων.

C

10. At enim a secunda Thomæ (dom. in albis) incipimus defunctos fratres commemorare, et feriis quarta et sexta abstinentiam observamus a carne et caseo. Verumtamen quartam feriam Mesopentecostes visum est nonnullis ante nos sanctis Patribus, propterea quod est solemnitas Domini,

ι'. Ἀπὸ δὲ τῆς β' τοῦ Θωμᾶ ἀρχόμεθα μνημονεύειν τῶν κεκοιμημένων ἀδελφῶν, καὶ διατηροῦμεν ἐν τῇ δ' καὶ ς' εἰς κρέα καὶ εἰς τυρόν. Τὴν δέ γε τετράδα τῆς Μεσοπεντηκοστῆς (24) ἔδοξέ τισι τῶν πρὸ ἡμῶν ἁγίων Πατέρων διὰ τὸ εἶναι ἐσπερινὴν, καὶ διὰ τοῦτο τὸ παράδειγμα διαλῦσαι ὑπ-

D

[1] Orat. XLIII, 17.

NOTÆ.

(18) De hoc Armeniorum jejunio, cui nomen artziburium, docte inter alios multos Allatius *De Dominicis et hebd. Græcorum*, post opus De consensu dissert. col. 1515 seqq.

(19) Lupum dicit, qui canem Sergii hæresiarchæ devoravit. Allat. dissert. cit. col. 1418.

(20) In codicis margine glossa est : ὕφαλον λέγει τὸ λανθανόμενον.

(21) Ita etiam Nicephorus patriarcha can. 33 apud Coteler. op. cit. t. III. d. 449.

(22) Confer Callisti Synaxarium, nec non Balsamonem apud Allatium dissert. cit. col. 1424.

(23) Hebdomada, quæ festum Paschæ proxime sequitur, dicitur διακαινήσιμος, quod nomen habuit ex Christi resurrectione, qua omnia renovata fuerunt. Ita sanctus, Epiphanius serm. *De Pasch* Ἐν ταύτῃ καινοὺς ἐπήξατο τῇ κτίσει ὅρους καὶ νόμους.

(24) De Mesopentecoste Allatius dissert. d col. 1459.

τὴν (25). Ὥσπερ γοῦν ὁ Χριστὸς λίθος ἀκρογωνιαῖος λέγεταί τε καὶ ἔστιν, καὶ ὁμοῦ τὰς δύο διαθήκας εἰς ἓν συνάπτων, οὕτως καὶ ἡ παροῦσα ἡμέρα ἐπισυνάπτει τήν τε ἀνάστασιν, καὶ τὴν τοῦ Πνεύματος ἐπιφοίτησιν· καὶ ἐπιφαίνεται χαρμόσυνος ἡ νῦν ἑορτὴ τοῦ Μονογενοῦς, ὡς μέσον θεότητός τε καὶ ἀνθρωπότητος αὐτὸς δοξαζόμενος καὶ προσκυνούμενος· διά τοι τοῦτο οἱ πρὸ ἡμῶν αὐτὴν ἀνενδοιάστως ἑορταζόν τε καὶ εἰς πᾶν ἔσθιον. Νῦν δὲ ὁ χωρῶν, χωρείτω ἐν ταύτῃ, εἰ δυνατόν (26)· τὴν δέ γε πάλιν ἑβδομάδα τοῦ ἁγίου Πνεύματος, διαλύομεν καὶ αὐτὴν εἰς πᾶν, διὰ τὴν τοῦ Πνεύματος ἐπιφοίτησιν. Ὥσπερ γὰρ δεῖ χαίρειν ἐπὶ τῇ τοῦ Υἱοῦ γεννήσει, καὶ ἐπὶ τῇ τούτου ζωοποιῷ ἀναστάσει, δεῖ χαίρειν καὶ ἐπὶ τῇ τοῦ Πνεύματος καθόδῳ.

ια΄. Ἴστω δέ μοι πᾶς, ὅτι αἱ μὲν οὖν τρεῖς ἑβδομάδες, δηλονότι τῆς γεννήσεως, καὶ τῆς ἀναστάσεως, καὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως, εἰς τύπον ἂν ἡμῖν εἴληπται τῆς ζωαρχικῆς καὶ τρισυποστάτου Τριάδος. Αἱ δὲ μετ' αὐτὰς δύο τῆς προφωνῆς καὶ τῆς τυροαποθέσεως, διά τε τὰς αἱρέσεις, ἃς ἄνωθεν εἰρήκαμεν, ὅπως μὴ συνεπόμενοι φαίνοιμεν ταῖς τῶν εἰρημένων ἀνοσιωτάταις διδασκαλίαις. Τὴν δέ γε νηστείαν, ἣ καὶ τῶν ἀποστόλων κηρυττομένη, διατηροῦμεν ὡς καὶ τῆς Χριστοῦ γεννήσεως ἐν τῇ β΄, δ΄, ς΄· τὴν δὲ ἡμέραν τῶν ἀποστόλων τῶν δυο ἢ τῶν δώδεκα οὐ διαλύομεν εἰς κρέα καὶ εἰς τυρόν, εἰ τύχῃ δ΄ ἢ ς΄, ἀλλ' ἢ μόνον ἰχθύας καὶ ἔλαιον. Ὡσαύτως καὶ τὴν τῆς Θεοτόκου νηστείαν διατηροῦμεν· καὶ αὐτὴν τὴν ἡμέραν τῆς μεταμορφώσεως διαλύομεν εἰς ἰχθύας καὶ ἔλαιον· εἰ καὶ ἔδει διαλύσαι αὐτήν ἀλλοτρόπως, ἀλλὰ διὰ τὴν νηστείαν κεκώλυται. Τὴν δὲ αὐτὴν ἡμέραν τῆς ἁγίας κοιμήσεως τῆς παναμωμήτου καὶ Θεομήτορος, εἰ τύχῃ δ΄ ἢ ς΄, οὐ διαλύομεν εἰς κρέα, ἢ εἰς τυρόν, διὰ τὸ μέγα θαῦμα καὶ φρικτὸν τοῦ παραδόξου τούτου ὕπνου. Οἱ γὰρ θεῖοι τότε τοῦ Σωτῆρος ἀπόστολοι, ὡς εὕρομεν ἐν τοῖς θείοις συγγράμμασι Κλήμεντος τοῦ Ῥωμαίου, τρεῖς πλήρεις ἡμέρας τῷ τάφῳ προσμένοντες ἦσαν, ἕως οὗ ὑπὸ θείου ἀγγέλου τὸ πᾶν ἐμυήθησαν (27). Ἐν δέ γε τῇ ἀποτομῇ τοῦ θείου Προδρόμου, εἰ τύχῃ δ΄ ἢ ς΄, οὐ διαλύομεν ὡσαύτως (28), διότι καὶ αὐτὴ φόνον ἀνόσιον καὶ θάνατον ἐπιφέρουσα.

ιβ΄. Ἕως ὧδε ἡ παρ' ἐμοῦ, ἀδελφοί, συγγραφή, ἣν τε ἀνέγνων ἐν τῶν ἀποστολικῶν καὶ ἁγίων Πατέρων θείοις συγγράμμασι καὶ ἐννομωτάτοις κανόσι· καὶ τὸν τῆς ὀρθοδοξίας οἶκον βεβαίως ᾠκοδομήκαμεν, ὃ ἐξ ἀρχῆς ὁ λόγος ἐπιχειρῶν ἱμείρετο· θαρρῶ τοίνυν παγίως καὶ ἀραρότως τῷ μόνῳ καὶ ἐν τριάδι προσκυνουμένῳ Θεῷ, ὅτι εἰς ὀρθοδοξίαν τὸ

ad hujus ritus normam transigere. Sicut ergo Christus dicitur et est angularis lapis, et utrumque testamentum conjugens, ita hic dies conjugit resurrectionem cum Spiritus adventu: apparetque læta hæc solemnitas Unigeniti, qui ut divinitatis et humanitatis mediator glorificatur et adoratur. Propterea majores nostri ipsam indubitanter solemnem habebant, et quolibet cibo utebantur. Nunc vero qui capit capiat in hac, si potest. Rursus sancti quoque Spiritus hebdomadam liberam omnino habemus, propter Spiritus adventum. Nam sicuti lætandum est in Filii nativitate. et in ejusdem vivifica resurrectione, ita etiam in Spiritus descensu gaudendum est.

11. Omnes autem mecum agnoscant, tres hebdomadas scilicet nativitatis, resurrectionis, et sancti Spiritus, adventus, in typum esse assumptas supersubstantialis Trinitatis, quæ et vitæ omnis fons est. At duæ, posthas, hebdomadæ proclamationis (septuagesimæ) et caseoprivii (quinquagesimæ), propter supradictas hæreses, liberas agimus, ne videamur prædictorum sectari irreligiosissimas doctrinas. Porro jejunium, quod etiam apostolorum dicitur, observamus, quemadmodum Christi quoque nativitatis, feriis secunda, quarta et sexta. Attamen die apostolorum duorum vel duodecim carne non utimur neque caseo, si forte sit quarta vel sexta feria, sed piscibus tantum et oleo. Pari ratione Deiparæ quoque jejunium observamus: et ipso die transfigurationis piscibus et oleo utimur: et quanquam hunc aliter transigere oporteret, nihilominus id per jejunium velatur. Ast ipso die dormitionis immaculatæ Deiparæ, si contingat feria quarta vel sexta, non utimur carne vel caseo, propter magnum tremendumque somni hujus admirandi prodigium, Tunc enim venerabiles Salvatoris apostoli, ut in sacris scriptis comperimus Clementis Romani, tres integros dies apud sepulcrum manserunt, donec a divo angelo de re tota certiores facti fuerunt. In decollatione autem divi Præcursoris, si ejus memoria contigerit quarta vel sexta feria, æque jejunium non solvimus, quia et ipsa cædem impiam necemque menti oggerit.

12. Hactenus mea, fratres, scriptura, qualem tum in aposticolorum sanctorumque Patrum sacris libris et apprime legitimis canonibus; atque ita orthodoxiæ domum firmiter ædificavimus, quod jam inde ab exordio sermo noster sibi faciendum proposuerat. Confido igitur firmiter enixeque uni et in Trinitate adorato Deo, nos omnia ad ortho-

NOTÆ.

(25) In codice f. 162. b. Alius auctor, Studitam nostrum citans, de hac quarta feria Mesopentecostes ita scribit: Λύοντες εἰς πᾶν τὴν τετράδα τῆς Μεσοπεντηκοστῆς, καθὼς ὁ θεοφόρος Πατὴρ ἡμῶν Θεόδωρος ὁ Στουδίων παρέδωκεν ἡμῖν.

(26) Nempe qui potest ferre, ferat, id est jejunet; ex Matth. XIX. 12: ὁ δυνάμενος χωρεῖν, χωρείτω; quod dictum videtur mihi pulchre illuminari a Didymo in II ad Cor. VIII, 2, apud nos T. IV. part. II, p. 134.

(27) Recole dicta a nobis ad sermonem V Studitæ nostri (supra col. 723 et 727).

(28) De jejuniis Græcorum promittebat se scripturum esse Allatius in dissert. cit. col. 1460.

doxiæ regulam conscripsisse ; cui omnis gloria debetur, honor, atque adoratio, in sæcula sæculorum. Amen.

πᾶν συνεγράψαμεν · ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΥΠΟΤΥΠΩΣΙΣ
ΚΑΤΑΣΤΑΣΕΩΣ ΤΗΣ ΜΟΝΗΣ ΤΩΝ ΣΤΟΥΔΙΟΥ (29).

DESCRIPTIO.
CONSTITUTIONIS MONASTERII STUDII.

1. Cum multæ diversæque sint in sacris monasteriis perseverantes antiquitus traditiones, atque alii aliis regantur, dum ad regnum cœlorum tendunt, constitutionibus ; una est ex omnibus nostra quoque stabilita traditio, quam accepimus a magno Patre nostro et confessore Theodoro ; neque nos tantummodo, verum etiam pars magna meliorum monachorum hanc eligunt, ceu optimam et regalissimam, et excessus defectusque vitantem. Utique et nos hodie Patris impulsi præceptis, ut hanc in chartis regulam, quo ejus indelebilis sit memoria, posteris ætatibus, pro viribus, relinquamus, docilem animum fleximus ; Deo scilicet, pastoris nostri pro nobis precibus, nobis concedente congruam orationis compagem, ita ut integre et utiliter ac salubriter theophori Patris nostri constituta exponamus, ad gloriam Patris et Filii et Spiritus sancti, custodiamque et salutem illorum qui cum fide hanc observantiam amplecti voluerint. Igitur Deo favente initium lucubrationis faciamus.

[Cod. vat. 2029, f. 179.] α'. Πολλῶν ὄντων καὶ διαφόρων τῶν ἐν τοῖς ἱεροῖς μοναστηρίοις κεκρατηκυιῶν ἄνωθεν παραδόσεων, καὶ ἄλλων ἄλλαις διοικουμένων τε καὶ ἰθυνομένων πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν ὑποτυπώσεσι, μία τίς ἐστι τῶν πασῶν καὶ ἡ καθ' ἡμᾶς κρατοῦσα παράδοσις, ἣν παρειλήφαμεν πρὸς τοῦ μεγάλου Πατρῶν ἡμῶν καὶ ὁμολογητοῦ τοῦ Θεοδώρου · καὶ οὐχ ἡμεῖς μόνοι, ἀλλὰ δὴ καὶ οἱ πλείους τῶν ἐγκρίτων μοναστῶν ταύτην αἱροῦνται, ὡς ἀρίστην τε καὶ βασιλικωτάτην, καὶ τὰς ὑπερβολὰς καὶ ἐλλείψεις ἐκκλίνουσαν. Ἀμέλει καὶ ἡμεῖς σήμερον πατρικαῖς προσαχθέντες ἐντολοῖς, ταύτην ἐν χάρταις εἰς ἄληστον μνήμην ταῖς μετέπειτα γενεαῖς καταλιπεῖν, ὡς ἡ δύναμις, πρὸς τὴν ὑπακοὴν ἑαυτοὺς καθήκαμεν · Θεοῦ θηλασθὴ παρέχοντος ἡμῖν ταῖς τοῦ ποιμένος ὑπὲρ ἡμῶν προσευκαῖς τὴν καταλληλον ἁρμογὴν τῆς τοῦ λόγου συνθέσεως, εἰς τὸ ἐκθέσθαι ὑγιῶς τὰ ὀνησιφόρα τε καὶ σωτήρια τοῦ θεοφόρου Πατρὸς ἡμῶν ἐνταλματα, εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ φυλακὴν τε καὶ φυλάττειν. Ἔστω τοίνυν ἀρχὴ τῆς συντάξεως αὕτη

σωτηρίαν τῶν ταῦτα μετὰ πίστεως προαιρουμένων σὺν Θεῷ.

Quomodo nos geramus in synaxibus sanctæ et gloriosæ triduanæ resurrectionis Servatoris nostri. De ligno.

Ὅπως διοικούμεθα ἐν ταῖς συνάξεσι τῆς ἁγίας καὶ ἐνδόξου τριημέρου ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν. Περὶ τοῦ ξύλου (30).

2. Sciendum est quod transacta noctis secunda custodia, seu post horam sextam, incipiente septima, rato hydrologii puncto, crepitante signo, surgit is qui exspergiscendi officium habet, et cubicula circumit cum lucerna, fratres excitans ad matutinam doxologiam. Statimque ligna dant signum susdeque, tuncque fratribus cunctis in ecclesiæ narthece congregatis, et cum silentio orantibus, sacerdos thuribolum manu tenens thurificat primo sacrum bema, deinde ex anteriore cancello egressus,

β'. Ἰστέον ὅτι μετὰ τὸ παρελθεῖν δευτέραν φυλακὴν τῆς νυκτὸς, ἤτοι τὴν ς' ὥραν, ἀρχομένης τῆς ς', πίπτει τοῦ ὑδρολογίου τὸ σύσσημον, καὶ τῷ τούτου σημασίᾳ ἐγείρεται ὁ ἀφυπνιστὴς, καὶ περιέρχεται τοὺς κοιτῶνας μετὰ φανοῦ, προτρεπόμενος τοὺς ἀδελφοὺς εἰς ἐξανάστασιν τῆς ἑωθινῆς δοξολογίας · σημαίνουσι δὲ πσραυτίκα καὶ τὰ ξύλα ἄνω τι καὶ κάτω · καὶ τῶν ἀδελφῶν πάντων ἀθροιζομένων ἐν τῷ νάρθηκι τοῦ Κυριακοῦ, καὶ προσευχομένων ἡσυχῇ, ὁ ἱερεὺς τὸ πύριον μετὰ χεῖρας ἐπιλαβόμε-

NOTÆ.

(29) Hypotyposin Studitanam appelat Allatius in dissert. cit. col. 1460.

30) De hoc ligno semanterio, itemque de tuba, apud Græcos præsertim monachos, legatur cardinalis Bona *Rer. liturg.* lib. 1, 22, qui et Allatii recitat descriptionem prædicti semanterii.

ιᾷ πρῶτον τὸ ἱερον βῆμα · κἀκεῖθεν διὰ
:ροσθεν κιγκλίδος ἐξελθών, διέρχεται τὸ βό-
ιὸν τὸ τοῦ ναοῦ, καὶ φθάσας τὴν βασιλικὴν
θυμιᾷ τοὺς ἀδελφούς, καὶ εὐθέως ἀνατρέχε
νοτίου μέρους ὅθεν ἐξῆλθεν · οἵ τε ἀδελφοὶ
αὐτοῦ εἰσέρχονται εἰς τὸν ναόν. Αὐτὸς δὲ τὸ
ἀποθέμενος εἰς τὸ ἅγιον βῆμα, ἐξελθὼν ἵστα-
ὰ πρόσωπον τοῦ ἱλαστηρίου, καὶ ἄρχεται
ν, ὁ ἦχος πλ. α', Χριστὸς ἀνέστη ἐκ νε-
Οπερ μετὰ τὸ ψαλθῆναι τρίτον παρὰ τ' ἐκεί-
τῶν ἀδελφῶν, λέγει ὁ πρεσβύτερος στίχον,
μέρα ἣν ἐποίησεν ὁ Κύριος · οἱ ἀδελφοὶ
οπάριον στιχ. β', Συστήσασθε ἑορτὴν, ἕως
καὶ πάλιν ὁ λαὸς τὸ τροπάριον δοξάζει. Καὶ
συμπλήρωσιν τούτου, ἄρχεται εὐθὺς ὁ κα-
), καθότι ἐξάψαλμον πᾶσαν τὴν ἑβδομάδα
οὐ ψάλλομεν. Γίνονται δὲ δύο ἀναγνώσεις,
ἀπὸ τῆς β' ἀναγνώσεως· καὶ μετὰ τὴν συμ-
ν τοῦ ὄρθρου, γίνεται ὁ ἀσπασμὸς καὶ ἡ
ς · εἰς δὲ τὰ λυχνικὰ ταύτης τῆς ἑβδομάδος
τὸ, Χριστὸς ἀνέστη · καὶ εὐθέως τὸ, Κύριε,
ξα, καὶ ἀπολυτικὸν τὸ, Χριστὸς ἀνέστη ·
ἐν τοῖς ἀποδειπνίοις τὸν τρισάγιον ὕμνον,
Κύριε, ἐλέησον, ιβ' · τῷ δὲ Σαββάτῳ τῆς δια-
κου, καὶ τῇ Κυριακῇ ὀψὲ τῆς λαμπροφόρου,
ἀποδείπνια ἀπὸ τοῦ, μεθ' ἡμῶν ὁ Θεος, καὶ
:.

transit per boreale latus templi, et cum ad regiam portam venerit, thurificat fratres, statimque per meridianum latus revertitur unde discesserat; simulque fratres post illum ingrediuntur in templum. Ipso autem thuribolo deposito in sancto bemate, egressus sistit coram propitiatorio, fitque initium troparii, tono obliquo primo : *Christus surrexit a mortuis.* Quod postquam ter ab illo patribusque cantatum fuerit, dicit presbyter stichum : *Hæc est dies quam fecit Dominus.* Fratres autem troparium stich. 2 : *Constituite diem solemnem,* usque ad finem. Rursusque populus troparium canit. Et post hujus finem, statim incipit canon; quoniam hexapsalmum tota hac hebdomada non cantamus. Sed fiunt duæ lectiones, et dicitur psalmus quinquagesimus post secundam lectionem. Completo autem matutino, fit salutatio et absolutio. Jam in lychnico hujus hebdomadæ dicimus illud : *Christus resurrexit.* Et mox : *Domine, clamavi;* et conclusionem extremam : *Christus resurrexit.* Similiter in completoriis hymnum trisagium; et *Domine, miserere,* duodecies, Sabbato autem hebdomadæ diacænesimi, et Dominica lamprophora (in albis) vespere completorium ab illis verbis *nobiscum Deus,* cum sequentibus.

ῇ δὲ Κυριακῇ τῆς λαμπροφόρου ἄρχεται καὶ
ψαλμον (32), καὶ λέγομεν τὸ, Θεὸς Κύριος
δ' · καὶ εὐθὺς τοὺς ἀναβαθμοὺς εἰς τὸν αὐτὸν
τό τε προκείμενον (33) · καὶ τὸ πᾶσα πνοὴ ·
Εὐαγγέλιον, καὶ τὸ, ἐν ταῖς νυξί. Καὶ μετὰ
ἄρχεται ὁ κανών · γίνονται δὲ ἀναγνώσεις β'.
Κυριακῇ ἑσπέρᾳ ἄρχεται τὸ, μακάριος ἀνήρ.
β' εἰς τὸν ὄρθρον ψάλλομεν πάλιν τὸ, Θεὸς
ς, εἰς πρῶτον ἦχον, καὶ ἐν κάθισμα (34)
, εἶτα τὸν κανόνα ἀναστάσεως · γίνονται δὲ
τεις γ' · ἐκ τότε τὰ ἀποδείπνια ὁλόκληρα
ν, πλὴν Σαββάτου ἑσπέρας, καὶ ἑορτῆς δε-
ίς, καὶ μνήμης ἁγίου, ἀργίαν ἡμῖν τῶν ἕρ-
καὶ τῶν ὡρῶν καὶ τῶν μετανοιῶν ὅτε γίνον-
οξενούσης · ἐν ταύταις γὰρ ἀπὸ τοῦ, μεθ'
ὁ Θεὸς, καὶ ἐπέκεινα. Κάμνουσι δὲ καὶ αἱ
αι ἀπὸ πρωΐ, τῇ γ' τῆς β' ἑβδομάδος ἀρχομέ-
ας δὲ τῆς ν' ἐν τῷ λυχνικῷ προκείμενα ψάλ-
άστης ἡμέρας.
ρὴ γινώσκειν ὅτι ἐν τοῖς λυχνικοῖς (35) πᾶσι
ποτικῶν ἑορτῶν τὸ, Μακάριος ἀνὴρ ἄρχεται
δ' · εἶτα ἡ δευτέρα ἔναρξις καὶ ἡ τρίτη εἰς τὸν
ἧς ἡμέρας · εἶτα τὸ Κύριε, ἐκέκραξα εἰς τὸν
ὧν στίχων τῆς ἑορτῆς.

3. Porro in Dominica lamprophora incipit etiam hexapsalmum, et dicimus *Deus Dominus* tono obliquo quarto. Et mox graduales psalmos eodem tono; nec non procimenon; et illud : *omnis spiritus.* Deinde evangelium, et illud : *in noctibus.* Et post quinquagesimum psalmum incipit canon. Fiunt autem duæ lectiones. Et die Dominico ad vesperas incipit : *beatus vir.* Et feria secunda ad matutinum psallimus rursus : *Deus Dominus,* primo tono, et unum cathisma psalmi; deinde canonem resurrectionis. Et fiunt lectiones tres. Exin completoria integra recitamus, excepto Sabbato vespere, et Domini solemnitate, et alicujus sancti commemoratione quæ feriari nos faciunt ab horis et metanœis; post illa scilicet verba : *nobiscum Deus,* et sequentia. Laborant autem etiam officinæ a mane, feria tertia secundæ hebdomadæ incipientis. Porro usque ad Pentecosten procimena psallimus quotidie.

4. In omnibus lychnicis solemnitatum Domini, psalmus *Beatus vir* incipit tono obliquo quarto. Deinde secunda inchoatio, et tertia tono diei. Deinde illud : *Domine, clamavi* tono stichorum solemnitatis.

NOTÆ.

Canon est determinata quædam mensura
orum canendorum. Goar. p. 331.
lta Studita constanter genere neutro; quam
iem præfero aliis scribentibus gen. masc.
utem psalmi III, XXXIII, LXII, LXXX, VII, CII,
jusque diei versiculos ex psalterio decerptos. Vide Cangium.

Procimenon intelligit Goarius proprios cu-

(34) Cantio quæ a sedentibus concinitur. De tonis autem Græcorum Allatius *De lib. eccl. Gr.* in Octoecho.

(35) Lychnicum proprie pars prior officii vesperarum. Goar. edit. Ven. p. 24.

5. Usque ad Ascensionis solemnitatem stichira anastasima præeunt cathismatibus catanycticis et apostolicis.

ε'. Δεῖ εἰδέναι ὅτι ἄχρι τῆς Ἀναληψίμου ἑορτῆς προηγοῦνται τὰ ἀναστάσιμα στιχηρὰ (36) καθισμάτων τῶν τε κατανυκτικῶν καὶ ἀποστολικῶν (37).

6. A Paschate usque ad Ascensionem dicimus: *resurrectionem Christi.* Deinde pari modo psalmum quinquagesimum; et martyrica in psalmodia. Nequaquam ulterius.

ς'. Χρὴ γινώσκειν ὅτι ἀπὸ τοῦ Πάσχα ἕως τῆς Ἀναληψίμου, τὸ ἀνάστασιν Χριστοῦ λέγομεν, εἶθ' οὕτως τὸν ν'. καὶ μαρτυρικὰ (38) ἐν τῇ ψαλμῳδίᾳ· ἐξ ἐκείνου δὲ οὐκέτι.

7. Usque ad Pentecosten quanquam horas non psallimus, neque genu flectimus, mortuales tamen canones in Sabbatis psallimus. Et alio etiam die, si commemoratio fiat fratris alicujus, psallimus.

ζ'. Ἱστέον δὲ ὅτι ἕως τῆς ν', εἰ καὶ ὥρας οὐ ψάλλομεν, οὐδὲ γόνυ κλίνομεν, ἀλλ' οὖν κανόνας νεκρωσίμους ἐν τοῖς Σάββασι ψάλλομεν· καὶ ἐν ἄλλῃ δὲ ἡμέρᾳ, εἰ τύχοι μνημόσυνον ἀδελφοῦ, ψάλλομεν.

8. Sabbato Pentecostes ad exapostilarium psallimus: *memoriam mortuorum, Domine:* atque id cantantes ad fratrum sepulcra venimus, ibique stantes psalimus diei illius stichira. Atque ita absolvitur matutinum. Id autem facimus etiam in Sabbato Carnisprivii.

η'. Δεῖ εἰδέναι ὡς τῷ Σαββάτῳ τῆς ν' εἰς τὸ ἐξαποστειλάριον (39) ψάλλομεν, ἡ μνήμη τῶν κεκοιμημένων, Κύριε· καὶ τοῦτο ψάλλοντες κατερχόμεθα εἰς τοὺς τάφους τῶν ἀδελφῶν, κἀκεῖ ἱστάμενοι ψάλλομεν τὰ τῆς ἡμέρας στιχηρά· καὶ ἀπολύει ὁ ὄρθρος· τοῦτο δὲ ποιοῦμεν καὶ τῷ Σαββάτῳ τῆς Ἀποκρέου.

9. Vespere Dominici diei sanctæ Pentecostes ad lychnicum, in quo etiam ter genua flectimus, post procœmium statim dicitur: *Domine, clamavi.* Et mane ad matutinum post hexapsalmum dicimus: *Deus Dominus;* statimque canonem, et duas lectiones. Hanc vero etiam hebdomadam sine cantu horarum transigimus.

θ'. Χρὴ γινώσκειν ὅτι ὀψὲ τῇ Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς εἰς τὸ λυχνικόν, ἐν ᾧ καὶ τὰς γ' γονυκλισίας ποιοῦμεν, μετὰ τὸ προοίμιον (40) εὐθέως τὸ, Κύριε, ἐκέκραξα· καὶ τῇ ἑωθεν εἰς τὸν ὄρθρον μετὰ τὸ ἐξάψαλμον τὸ, Θεὸς Κύριος λέγομεν· καὶ εὐθὺς τὸν κανόνα, καὶ ἀναγνώσεις β'· ἄγομεν δὲ καὶ τὴν ἑβδομάδα ταύτην μὴ ψάλλοντες ὥρας.

10. Sequitur sancta apostolorum sanctorum quadragesima, et jam incipimus horas quoque psallere semper cum cathismate. Tum in fine psalmodiæ dicimus: *Domine, miserere; Christe, miserere.* Et in primis facimus tres metanœas pari cuncti celeritate præsidem subsequentes: quas inter extendimus etiam aliquantum manus ad Deum. Deinde sic alias viginti, quanta quisque celeritate potest. Ita agimus in unaquaque synaxi. Ad com pletorium autem genua flectimus quinquagies, et ad matutinum quadragies.

ι'. Εἶτα ἐπέρχεται καὶ ἡ ἁγία τεσσαρακοστὴ τῶν ἁγίων ἀποστόλων, καὶ ἀρχόμεθα ψάλλειν καὶ τὰς ὥρας μετὰ καθίσματος πάντοτε. Μετὰ γοῦν τὸ τέλος τῆς ψαλμῳδίας, λέγομεν τὸ, Κύριε, ἐλέησον, Χριστὲ, ἐλέησον. Καὶ βάλλομεν ἐν πρώτοις γ' μετανοίας ἰσοταχῶς ἅπαντες τῷ προεστῶτι ἑπόμενοι· ἐν αἷς καὶ μικρὸν τὰς χεῖρας ἐκτείνομεν πρὸς τὸν Θεόν. Εἶθ' οὕτως ἄλλας κ' ὡς ἔχει τάχους ἕκαστος. Οὕτως οὖν καθ' ἑκάστην σύναξιν. Εἰς δὲ τὸ Ἀποδείπνιον, γονυκλισίαι ν', καὶ εἰς τὸν ὄρθρον μ'.

11. In omnibus matutinis post finem lectionis surgentes, duodecies, dicimus: *Domine, miserere.* Atque ita denuo incipit psalmodia.

ια'. Χρὴ γινώσκειν ὅτι εἰς ἕκαστον ὄρθρον μετὰ τὸ τέλος τῆς ἀναγνώσεως ἐγειρόμενοι δωδεκάκις λέγομεν τὸ, Κύριε, ἐλέησον. Καὶ οὕτως ἄρχεται πάλιν ἡ ψαλμῳδία.

12. Omni Sabbato ac die Dominico, quotiescunque in his non occurrit vel solemnitas Domini, vel alicujus sancti memoria, ex Epistolis Pauli legimus. Sabbatis autem ad matutinum psallimus cathisma ante psalmum *immaculati.* Deinde *immaculati,* et subinde psalmum quinquagesimum, postea canonem; et fiunt lectiones tres. Namque ad psalmum *immaculati,* non legimus. Loco autem exapostilarii dicimus, *In memoria æterna erit justus, ab auditione mala non timebit.* Hæc quantitas qualitasque psalmodiæ protenditur usque ad vivifici ligni exaltationem.

ιβ'. Δεῖ εἰδέναι ὡς καθ' ἕκαστον Σάββατον καὶ Κυριακὴν, ὅτε οὐκ ἔστιν ἐν αὐταῖς ἤτοι ἑορτὴ Δεσποτικὴ, ἢ μνήμη ἁγίου, τὸν Ἀπόστολον ἀναγινώσκομεν. Ἐν δὲ τοῖς Σάββασιν εἰς τὸν ὄρθρον ψάλλομεν τὸ, πρὸ τοῦ ἀμώμου κάθισμα. Εἶτα τὸν Ἄμωμον· εἶτα τὸν ν'· εἶτα τὸν κανόνα· γίνονται δὲ ἀναγνώσεις γ'. Εἰς γὰρ τὸν Ἄμωμον οὐκ ἀναγινώσκομεν. Ἀντὶ δὲ τοῦ ἐξαποστειλαρίου λέγομεν τὸ, Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Αὕτη ἡ ποσότης τε καὶ ποιότης τῆς ψαλμῳδίας διατείνει μέχρι τῆς ὑψώσεως τοῦ ζωοποιοῦ ξύλου.

13. Postridie dormitionis sanctissimæ Deiparæ in lychnico post procœmium statim dicitur: *Domine, clamavi.* Et mane ad matutinum post hexapsalmum

ιγ'. Ἱστέον ὅτι εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου ἤγουν εἰς τὸ λυχνικὸν τὸ μεθέορτον μετὰ τὸ προοίμιον εὐθέως, Κύριε, ἐκέκραξα. Καὶ τῇ ἑν-

NOTÆ.

(36) Cantica pœnitentiala vel in honorem apostoli.

(37) Stichira, troparia, seu versus longiores.

(38) Ita intelligo sigla codicis. Sunt autem *martyrica,* hymni in honorem martyrum.

(39) Hymnorum genus, de quorum appellatione disputat Cangius

(40) Est psalmus cm. Videsis Goarium, p. 23.

θρον μετὰ τὸ ἐξάψαλμον πάλιν τὸ, καὶ εὐθὺς ὁ κανὼν, ἀναγνώσεις β'. γενέθλιον τῆς αὐτῆς · ὁμοίως εἰς τὴν · ὡσαύτως εἰς τὰ Φῶτα · ὡσαύτως τὴν τοῦ Κυρίου. Ἐν ἄλλαις δὲ ἑορ- προγεγραμμένων, διπλῶς ἑορτάζειν δὲ τῆς ὑψώσεως ἕως τῆς μεγάλης μ', ἕτερον κάθισμα ἐν τοῖς ὄρθροις, καὶ τῶν καθισμάτων διπλοῦνται, λεγο- ου · γίνονται δὲ ἀναγνώσεις δ'. Ἐν δὲ ούτοις ψάλλομεν τὰ πρὸ τοῦ ἀμώμου εἶτα τὸν ἄμωμον, εἶθ' οὕτως τὸν κα- θ' ἀναγνώσεων, καθότι εἰς τὸν ἄμω- ώσκομεν.

A rursus dicitur : *Deus Dominus ;* statimque canon, et lectiones duæ. Similiter et in nativitate ejusdem ; necnon in Christi Natalibus, et in festo Luminum, et in Hypapante Domini. In aliis autem solemnitatibus, exceptis prædictis, duplicare solemnem ritum non licet. A crucis vero exaltatione usque ad magnam quadragesimam, præponitur etiam aliud cathismata in matutinis, et cathismatum troparia duplicantur, dicto mesostícho ; et fiunt lectiones quatuor. In his autem Sabbatis psallimus duo cathisma ante psalmum *immaculati :* deinde psalmum *immaculati :* postea canonem factis quatuor lectionibus, quandoquidem ad psalmum *immaculati* non legimus.

ῆς ἁγίας Τεσσαρακοστῆς.

De sancta Quadragesima.

B

ώσκειν ὅτι τῇ ἁγίᾳ καὶ μεγάλῃ μ' ματα δ', καὶ τὸ τριῴδιον · γίνονται δ'. Καὶ τῶν ἀδελφῶν μικρὸν ἀναπαυ- τὸ διάφαυσμα σημαίνει ὁ ἐκκλησιάρ- των συναθροισθέντων ἐν τῷ κυριακῷ, , μετὰ καθίσματος · οὐ μὴν καὶ ἀνα- ὑτῇ. Ἐν δὲ τῇ γ' καὶ ς' καὶ θ' ἀνα- θ' ἕκαστον ἀντίφωνον, ἤγουν δόξαν, ρά τε τοῦ πρεσβυτέρου καὶ διακόνου. ιτα]οίας εἰς μὲν τὰς ὥρας καὶ τὸ λυ- εἰς δὲ τὸ ἀποδείπνιον ρ', καὶ εἰς τὸν

14. In sancta magna Quadragesima psallimus cathismata quatuor, et triodium, fiuntque lectiones quatuor. Et fratribus paululum requiescentibus, circa diluculum signum dat ecclesiarcha : cunctisque in ecclesia congregatis, primam horam cantamus cum cathismate, neque tamen in eadem fit lectio. Horis autem tertia, sexta, et nona fit lectio. Ad singulas antiphonas, id est *glorias,* oratio recitatur a presbytero et diacono. Facimus autem metanœas in horis et lychnico, triginta ; in completorio, centum ; et in matutino octoginta.

ι ὅτι τῇ μεγάλῃ ἑβδομάδι ὅλῃ ψαλ- ς ὁμοίως ταῖς πρὸ αὐτῶν, πλὴν τοῦ ⁄ · καὶ μετανοίας δὲ ποιοῦμεν ἕως C ὁ ἑωθινὸν τρισάγιον, ὅπερ λέγεται μει τοῦ στίχου · μεθ' οὗ προκείμενον, καὶ προφητείαν καὶ Εὐαγγέλιον.

15. Tota magna hebdomada psallimus horas, sicut antea, Sabbato sancto excepto ; et metanœas facimus donec incipiat matutinum trisagium, quod dicitur post stichirum stichi : simulque procimenon, et lectio Pauli fit, nec non prophetiæ, et Evangelii.

ώσκειν ὅτι δ' καὶ Παρασκευῇ καὶ Κυ- δελφῶν ἱσταμένων μετὰ πάσης εὐλα- ν ἀπόλυσιν τοῦ ὄρθρου ἀναγινώσκεται τοῦ θεοφόρου Πατρὸς ἡμῶν Θεοδώ- : λέγει καὶ τὰ παρ' ἑαυτοῦ ὁ ἡγούμενος ἀδελφούς. Καὶ μετὰ τὴν συμπλήρωσιν ς, δοξάζουσιν, καὶ λέγεται τὸ Πάτερ ὐλογεῖτε, ἅγιοι, εὐλόγησον, Πά- ει. Οὕτως καθόλου τοῦ ἐνιαυτοῦ.

16. Feria quarta et sexta et die Dominico, astantibus cum omnimoda devotione fratribus, post absolutum matutinum legitur catechesis theophori Patris nostri Theodori. Postea facit propriam abbas ad fratres adhortationem. Et finita catechesi, dicunt *gloria,* cum *Pater noster,* et *benedicite, sancti, benedic, Pater,* et finis fit. Sic toto anno usuvenit.

ώσκειν ὅτι τῷ Σαββάτῳ εἰς τὸ Κύριε, ἀναστάσιμα στιχηρὰ τρισσεύονται· εἰς ; δισσεύονται. Ὁμοίως καὶ ἐν ταῖς D οταῖς.

17. Sabbato ad psalmum *Domine, clamavi,* triplicantur anastasima stichira : ad laudes autem duplicantur. Sic etiam in solemnitatibus Domini.

ὅτι καὶ ἐπιστημοάρχαι εἰσὶν εἰς οὓς τῶν μικροτέρων ἀδελφῶν ἀναφερόμενα δέχεται. Καὶ ταξιάρχαι δύο κατὰ χο- ἀδελφοὶ κοσμίως ἵστασθαι ἐν τοῖς χο- σκονται. Καὶ ἀφυπνιστὴς ἕτερος, ὁ ἐν εσι τοῦ ὄρθρου, ἠρέμα περιερχόμενος , καὶ τοὺς κοιμωμένους ἐξυπνίζων. ιτηρηταὶ καθ' ἑσπέραν δύο τάσσονται τινες μετὰ τὴν φωνὴν τοῦ ξύλου προ- ; νωθροὺς συνδραμεῖν εἰς τὰ ἑσπερινά

18. Sunt etiam disciplinæ præfecti, ad quos culpæ minorum fratrum emendandæ deferuntur. Item sunt chorales moderatores duo, a quibus fratres admonentur ut decore in choris se gerant. Præterea excitator alter, qui dum fiunt, matutinæ lectiones, tacite fratres circumiens, obdormientes vigilare facit. Quin etiam speculatores duo constituuntur alternatim, qui post ligni sonitum urgent pigriores ut ad vesperas et completorium concurrant. Rursusque absoluto completorio, iidem se-

NOTÆ.

catechesium Studitæ incipiebat in Dominica Septuagesimæ. Allat. op. cit., col. 1420.

cretos monasterii locos invisunt, et si quos ad intempestiva colloquia coire compererint, convenienter increpitos dissociant.

καὶ εἰς τὰ ἀποδείπνια καὶ πάλιν μετὰ τὴν ἀπόλυσιν τοῦ ἀποδειπνίου περινοστοῦσιν τοὺς κρυπτοὺς τοῦ μοναστηρίου τόπους, καὶ τοὺς συνδυάζοντας εἰς ἀκαίρους συντυχίας διαλύουσι μετὰ τῆς προσηκούσης σὺν φότητος.

Pandens salutis et viam mortalibus,
Omnes beato cœlitum gregi insere.

LXXIII. — *In sanctum Cyrillum.*

Tuus arte multa congerens sacras opes.
Ditavit orbem postmodum egregius labor:
Profana retegens præsumum et mysteria,
Sincera populis prædicasti dogmata.

LXXIV. — *In sanctum Gregorium Nyssenum.*

Sermonum aperiens, Dive, fontem dulcium,
Omnem fugasti lumine ingenii hæresim:
Novique Mosis inclytum nomen gerens,
Ductor gubernas optimus populum Dei.

LXXV. — *In sanctum Theodorum Siceoten.*

O grande munus cœlitus mundo datum,
Malas fugasti dæmonum turmas, Pater.
Fulsisti ut almum sidus: ipsisque angelis
Eximia vitæ sanctitas fecit parem.

LXXVI. — *In sanctum Antonium.*

Ignis columna visus es, vitæ novo
Splendore, monstrans omnibus cœli viam.
Erebique diros proterens satellites,
Sic prorsus ut Eden angelus eremum incolis.

LXXVII. — *In sanctum Hilarionem.*

Vitæ refulsit haud secus splendor tuæ,
Ac mane primo stella luciferi micat:
Clarisque mundum recreans miraculis,
Abigis nocentem dæmonum caliginem.

LXXVIII. — *In sanctum Euthymium.*

Eremus abs te civitas facta est Dei.
Ibi namque cogis densa Christiadum agmina:
Miraculis et ipse, ceu radiis, nitens,
Lætitiam, ut alter phosphorus, mundo paris.

LXXIX. — *In sanctum Sabbam.*

Exculta eremus tibi labore plurimo,
Operum inde fructus protulit pulcherrimos:
Piosque cogens astra ceu totidem incolas,
Hos ipse medius inter, ut Titan, micas.

LXXX. — *In sanctum Dalmatium.*

Et tu coruscum sidus es, sole editus,
Compar et ipsi sanctitatis lumine;
Veræque columen uterque doctrinæ fuit:
Et tu paternis legibus monachos regis.

LXXXI. — *In sanctum Pachomium,*

Quondam Abrahami nobilem imitatus fidem,
Felix fuisti prolis aureæ Pater.
Te sacra postquam docuit arcana angelus,
Leges dedisti, ceu novus Moses, tuis.

LXXXII. — *In sanctum Arsenium.*

Jugi rigatus imbre lacrymarum tibi
Animus, perire nescios fructus tulit:
Et usque sancta flagitans Deum prece,

A ΟΑ'. — Εἰς τὸν ἅγιον Ἀθανάσιον.

Τίς τοὺς ἀγῶνας τῶν πόνων τῶν σῶν φράσοι,
Ὦ πενταθλητὰ, τῶν διδασκάλων κλέος;
Ὑπὲρ Θεοῦ γὰρ ὡς γίγας δραμὼν μέγας,
Στεφηφορῶν καθεῖλες ἐχθροὺς παγκάκους.

ΟΒ'. — Εἰς τὸν Χρυσόστομον.

Πηγὴν ἅληκτον παγχρύσων λόγων βλύσας,
Ὅλην κατάρδοις τὴν ὑφήλιον, μάκαρ·
Θύρας δ' ἀνοίγων τοῖς βροτοῖς σωτηρίας,
Εἰς οὐρανοὺς τὸν κόσμον ἐκπέμπεις ὅλον.

ΟΓ'. — Εἰς τὸν ἅγιον Κύριλλον.

Θησαυρίας τὰ θεῖα ποικιλοτρόπως,
Ἐπλούτισας τὸν κόσμον ἐνθέοις λόγοις·
Καὶ τὰς βεβήλους αἱρέσεις κατασπάσας,
Κήρυξ πέφηνας ὀρθοδόξων δογμάτων.

B ΟΔ'. — Εἰς τὸν ἅγιον Γρηγόριον τὸν Νύσσης.

Βρύων ἀκβυσον παγγλύκων λόγων, μάκαρ,
Πᾶσαν νοητῶς ἐξετίναξας πλάνην·
Καὶ χρηματίζων Μωϋσῆς ἄλλος μέγας.
Ἄγεις ἄριστα τὸν λεὼν τοῦ Κυρίου.

ΟΕ'. — Εἰς τὸν ἅγιον Θεόδωρον τὸν Σικεώτην.

Θεοῦ σὺ δῶρον τοῖς βροτοῖς δοθεὶς μέγα,
Ἅπαν καθεῖλες δαιμόνων στίφος, Πάτερ.
Λάμψας γὰρ εὐθὺς ὡς ἑῷος φωσφόρος,
Ἰσάγγελος πέφηνας ὕψει τοῦ βίου

ΟϚ'. — Εἰς τὸν ἅγιον Ἀντώνιον.

Στύλος πυρὸς πέφηνας αἴγλῃ τοῦ βίου,
Κόσμον ποδηγῶν εἰς τρίβον σωτηρίας.
Τῶν δαιμόνων δὲ τὰς φάλαγγας πτερνίσας,
Ἔρημον ᾤκεις ὡς Ἐδὲμ τις ἀγγέλων

C ΟΖ'. — Εἰς τὸν ἅγιον Ἱλαρίωνα.

Τῇ λαμπρότητι τοῦ φαεινοῦ σου βίου,
Ἑωσφόρος τὸ πρωῒ λάμπων σὺ πέλεις·
Καὶ θαυμάτων ἀκτῖσι κόσμον φαιδρύνων,
Ζόφον διώκεις βλαπτικὸν τῶν δαιμόνων.

ΟΗ'. — Εἰς τὸν ἅγιον Εὐθύμιον.

Σὺ τὴν ἔρημον εἰργάσω Θεοῦ πόλιν.
Πυκνοῖς γὰρ αὐτὴν πλήθεσι Χριστοφρόνων·
Βολαῖς ἀπαστράψας δὲ ταῖς τῶν θαυμάτων
Τὸν πάντα κόσμον φαιδρύνεις ὡς φωσφόρος.

ΟΘ'. — Εἰς τὸν ἅγιον Σάββαν.

Ἥρωσας ὄντως τὴν ἔρημον τοῖς πόνοις.
Ὡραιότατα ποικίλων ἔργων βρίθων.
Πλήσας δὲ ταύτην τῶν νοητῶν ἀστέρων,
Ὡς ἥλιός τις ἐν μέσῳ τούτων θέεις.

D Π'. — Εἰς τὸν ἅγιον Δαλμάτιον.

Ἐξ ἡλίου τις αὐγάσας ἀστὴρ μέγας,
Λάμπεις σὺν αὐτῷ παμφαεῖς εὐπραξίας.
Ἔρεισμα δ' ἀμπέφηνας ὀρθοδοξίας.
Μανδραρχαίζεις τῶν μοναστῶν πατρόθεν.

ΠΑ'. — Εἰς τὸν ἅγιον Παχώμιον.

Τὸν Ἀβραὰμ πως ἐκμιμούμενος, μάκαρ,
Πολλῶν Πατὴρ γέγονας, ὧν χρυσοῦν γένος.
Ἐξ ἀγγέλου δὲ μυσταγωγίας φέρων,
Τῷ σῷ λεῷ τέθεικας, ὡς Μωσῆς, νόμους.

ΠΒ'. — Εἰς τὸν ἅγιον Ἀρσένιον.

Τῶν δακρύων σου τὴν ψυχὴν ἀρδων χύσει,
Καρποὺς ἀνεβλάστησας ἀφθάρτους μάλα·
Εὐχαῖς δὴ λαμπραῖς προσλαλῶν Θεῷ σφόδρα,

Τῶν ἡσυχαστῶν ἄγγελος πέλεις μέγας.

ΠΓ'. — Εἰς τὸν ἅγιον Θεοδόσιον.

Ὡς οὐρανὸν ὑψηλὸν ἐκτείνας βίον,
Κατάστερος πέφηνας ἐν πλήθει τέκνων.
Τὰς ἀστραπὰς δὲ πληθύνων τῶν θαυμάτων.
Ἐσκόρπισας παντοῖα δαιμόνων νέφη.

ΠΔ'. — Εἰς τὸν ἅγιον Δῖον.

Ταῖς λαμπρότησι τῶν θεαυγῶν σου τρόπων,
Ἐκ τῆς ἑῴας φαιδρὸς ἀστὴρ ἐκθέεις·
Καὶ φωτίσας ἄριστα τὴν Βυζαντίδα,
Πρῶτος μοναστῶν ποιμενάρχεις ὑξίως.

ΠΕ'. — Εἰς τὸν ὅσιον Χριστοφόρον.

Οἰκεῖον αἷμα τῷ Θεῷ δοὺς, ἀντέχει
Ὁ Χριστόμαρτυς Χριστόφορος Χριστοφόρος
Κρήνην χέουσαν θαυματουργίας ῥύσιν.
Ἥνπερ πίνοντες οἱ νοσοῦντες βηχίον,
Καταψύχουσι τοῦ πάθους, δίψης δίκην·
Μᾶλισθ' ὅταν φοιτῶσι πιστῶς ἐνθάδε.

ΗΣ'. — Εἰς ναὸν τοῦ ἁγίου ἀποστόλου Πέτρου.

Ὧ περ δέδωκας, Χριστὲ, τὰς κλεῖς τῶν ἄνω,
Ἔδειμα τούτῳ τόνδε τὸν δόμον κάτω.

ΠΖ'. — Εἰς τὸν ἅγιον Ἀνδρέαν τὸν ἀπόστολον.

Ὦ πρωτόκλητε, τῶν ἀποστόλων κλέος,
Ὁ παμμέγιστος τῶν Πατρῶν φαεσφόρος·
Τὸν σὸν λαὸν φύλαττε σὺν τῷ ποιμένι.

ΠΗ'. — Εἰς τὸν ναὸν τοῦ Χρυσοστόμου.

Τοῖς τὸν σὸν οἶκον παμπόθως ἠγερκόσι
Πρισβευτικὴν πρόσνειμε δωρεὰν, Πάτερ.

ΠΘ'. — Εἰς τὸν ναὸν τῆς Πανευφήμου.

Τοὺς ἐκ πόθου σου τὸν ναὸν δειμαμένους,
Μάρτυς, φύλαττε πημονῆς ἐλευθέρους.

ϛ'. — Εἰς τὸ τετρακάμαρον.

Θαυμαστὸν ὤφθης ἔργον ὡραῖον πάνυ.
Ὡς ἐμψύχῳ σε προσλέλεγμαί σοι νεώς.
Φέρεις γὰρ ἔνδεον εἰκόνων θεωρίαν.
Ἄῤῥητον ὄψιν τῶν ἄνω θεσμάτων.
Αὐτὸν δέχοιο, τῶν ἀποστόλων κλέος,
Εὐαγγελιστὰ παμμάκαρ, θεολόγε·
Καὶ τοῖς πόθῳ σοι τοῦτον ἐξηγερκόσι,
Χάριν παράσχου, καὶ λύσιν τῶν πταισμάτων.

ϛΑ'. — Εἰς τὸν ναὸν τῆς ἁγίας Θεοτόκου, εἰς τὸν Τρίτωνα.

Ἡ πᾶσιν ἐγγὺς εἰς βοήθειαν τάχους,
Τὸν πλοῦν διευθέτησον ὧν θερμῶς ἔχεις.
Προσκειμένων σοι, ταῖς λιταῖς σου, Παρθένε.

ϛΒ'. — Εἰς ῥάκος ἱστορημένον.

Φρικτὸν τὸ θαῦμα, Χριστὸν ἐν γραφῇ βλέπειν,
Δράσαντα πάντα πρὸς βροτῶν σωτηριαν.
Ἐν τοῖς καθ' ἡμᾶς αὐτὸς ὤφθη γὰρ ξένος,
Ἄσαρκος ἐλθὼν, καὶ βροτὸς βαίνων ἄνω.
Μνήμης χάριν δὲ προσφέρει δῶρον τόδε,
Ὁ κλεινὸς ὄντως Συμεὼν τῷ Δεσπότῃ.

ϛΓ'. — Εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ.

Ὁ Χριστός εἰμι, τῇ γραφῇ δεδειγμένος.
Καὶ τὸν πεποιθὼς εἰκονουργήσαντά με.
Ὡς αἵρεσιν μισοῦντα τῶν ἐναντίων,
Λέοντα Πατρίκιον, ἐν πᾶσι σκέπω.

ϛΔ'. — Εἰς ἔγκλειστον.

Ἔγκλειστός ἐστιν, ὃς παθῶν ἔξω μένων,

A Pacis sequester maximus mundo clues.

LXXXIII. — *In sanctum Theodosium.*

Super astra notum sanctitatis gloria,
Te filiorum turba, ceu claram facem,
Mirata; tuque fulgurans miraculis,
Tartarea ubique dissipasti nubila.

LXXXIV. — *In sanctum Dium.*

Virtute clarus, morum et excellentia,
Lætificum eoo sidus ortum limite,
Lucem attulisti plurimam Byzantiis,
Monachisque rite primus es pastor datus

LXXXV. — *In sanctum Christophorum.*

Deo litavit sanguine proprio, assecla
Christi atque martyr Christophorus: inde huic sacer
Fons dat salutem crebra per miracula:
B Et quos fatigat tussis ægros improba,
Morbum levare, ceu sitim, hac solent aqua:
Tunc maxime, cum pura venientum est fides.

LXXXVI. — *In templum sanctis apostoli Petri.*

Cui tu dedisti, Christe, claves ætheris,
Ego hanc eidem condidi in terris domum.

LXXXVII. — *In sanctum Andream apostolum.*

O qui vocatus ante cæteros, decus
Apostolorum es luxque Patrum maxima:
Esto tuis horumque pastori salus.

LXXXVIII. — *In templum Chrysostomi.*

Struxere magno qui tuam studio domum,
Divina per te munera impetrent, Pater.

LXXXIX. — *In templum sanctæ Euphemiæ.*

Templum tibi construere queis cordi fuit,
C Hos, martyr, omni liberos serves malo.

XC. — *In ædem quatuor fornicum.*

Pulchrum refulges ut opus ac mirabile.
Tibi sum locutus, compos animæ ceu fores:
Habes enim intus imaginum spectaculum,
Cœlestiumque scenam inenarrabilem.
Ædem illam habeto, decus apostolici chori,
Evangelista dive, necnon Theologe:
Utque hanc lubente struximus animo tibi,
Sic ipse nobis gratiam et veniam impetres.

XCI. — *In templum sanctæ Dei Genitricis, in Tritonem.*

Adesse celeri quæ soles cunctis ope,
Fac prospere illi navigent quos diligis,
Qui te perurgent, Virgo, supplici prece.

XCII. — *In fragmentum historicum.*

D Stupenda res, in scriptione cernere,
Hominum ad salutem Christus ut cuncta egerit.
Namque hic apud nos hospes ipse visus est,
Cœlo absque carne lapsus; homo, cum illuc redit.
Porro, memoriæ gratia, Domino dicat
Donum hocce Symeon, laude vir multa inclytus.

XCIII. — *In imaginem Christi.*

Christus ego, quem pictura spectandum dedit.
Utque hæc imago fieret, ipse auctor fui.
Contrarium perosus omne, ut hæresim,
Me sospes est custode Patricius Leo.

XCIV. — *In inclusum.*

Inclusus ille est, qui procul ab affectibus,

Toto reclusit in Deum se pectore:
Freno coercens mentis errores vagos
Animumque curis erigens cœlestibus:
Precibus inhærens, quæ perurunt dæmones,
Et, quo retrusæ res patent, silentio.
Non spe fatiscens, non inerti gaudio,
Labore corpus et fame exercens gravi,
Hymnos gemente spiritu juges canens.
Hic, angeli ritu, ore conspicuo nitens,
Dia intuentum corda collustrat face.
Nil unquam inane suetus ad risum loqui,
Sed quo juvari sentiant se, qui audiunt;
Nec sic profusæ vela dans loquentiæ.
Hæc assequi si potis es, in tuto est salus.
Sin, ad gregalem protinus vitam redi,
Ubi rursum agones excolas asceticos.

XCV. — *In recte viventem.*

Sapit inter omnes, qui Dei vivit metu.
Purgatus animus potior est cumulis opum.

XCVI. — *In monachos, carmen dactylicum et elegiacum.*

O fortes salvete viri, queis cedat Achilles,
Hectora magnanimum straverit ille licet.
Vobis firma fuit lorica, monastica vita:
Et docilis pietas optimus ensis erat.
Fregistis Beliar, tenebrarum et regna superba:
Postque obitum cœlo parta corona fuit.
Deque vobis hic remansit sola pellis mortua.

XCVII. — *Epigramma ad seipsum.*

Anima misella, prope ades et verba excipe.
Tempus volucripes, cursor ut velox, abit,
Propinqua meta est, nec licet prætervehi.
Non ergo curæ nos inanes occupent,
Ut perfluentem qui replent aqua cadum,
Ignemve fodiunt, quæ mera est insania.
Divina potius ac saluti congrua,
Et cogitare, et persequi votis juvet:
Ut ad tribunal stemus imperterriti,
Domini potentis omnium atque judicis:
Proculque flammis æstuantis tartari,
Ad lumen evolemus haud effabile.

XCVIII. — *Epigramma in Chalcitæ custodia.*

Alienus ille est a Deo, terræ bona
Qui non reputat aliena præ cœli bonis:
Terræ bonorum namque Dominus sic erit.

XCIX. — *In eadem custodia.*

Spem, cella, præter, hospitem me detines:
At te benigna perfruor colonia.
Byzantis huc me civitas exterminans,
Pravo, quod ipsa nescit, affectu eximit.

C. — *In eadem custodia.*

Mihi vera corpus et unica est custodia:
Locus habitandi quilibet pariter datus:
Me namque nullus et Deo disjunxerit.

A Ὅλην καθεῖρξε πρὸς Θεὸν τὴν καρδίαν·
Κλείων λογισμοὺς τοὺς γυρευτὰς τῆς πλάνης,
Νοῦν πέμπων ταῖς ἄνω θεωρίαις,
Ἔχων προσευχὴν καυστικὴν τῶν δαιμόνων,
φέρων σιωπὴν μυσταγωγοῦσαν βάθη,
Ψυχὴν ἄθλιπτον ἐν χαρᾷ τῶν ἐλπίδων,
Ἔργων τε χειρῶν, καὶ κόπου λαιμοῦ τόνῳ·
Ὠδὴν ἄπαυστον, πνεῦμα συντετριμμένον.
Οὕτως ἀνοίγων ἀγγελοπρεπεῖ θέᾳ,
Ἀκτινολαμπεῖ τοὺς ὁρῶντας ἐνθέως.
Λέγων μὲν οὐδὲν τῶν ἀχρήστων εἰς γέλως,
Ἀλλ' ὑπὲρ ἐστιν ὠφελεῖσθαι τὸν ξένον.
Καὶ ταῦτα φεύγων μακρορημεῖν εἰς κόρον·
Ἂν οὖν δύνῃ πρὸς ταῦτα, σωστικῶς τρέχεις
Εἰ μὴ δέ· φεύγοις εἰς βίον ζώντων ἅμα,
B Ἐν ᾧ πλειόνως τοὺς ἀγῶνας λαμπρύνεις.

ζΕ'. — Εἰς εὖ βιοῦντα.

Σώφρων κράτιστος, ὃς Θεοῦ βιοῖ φόβῳ.
Ψυχῆς κάθαρσις κρεῖσσον [i] ἢ πλοῦτος ῥέων.

ζϚ'. — Εἰς μοναχούς, δακτυλικὸς ἐλεγεῖος.

Χαίρετε, ἄνδρες ἀριστῆες τοῦ Ἀχιλῆος ὕπερθεν·
Κτεῖναι μὲν Ἕκτορα οὗτος κρατερὸν ξιφέρη.
Οἱ δὲ, μοναζόντων θωρηξάμενοι πολιτείαν,
Χεῖρε λαβόντες ἄορ εὐπειθοῦς τῆς ὁσίας.
Σφάξατε τὸν Βελίαρ, σκοτεος μεγαλαύχεα νοῦα·
Ἔνθεν ἀπήρκατε εἰς οὐρανὸν ἀθλοφόρως.
Δερματίδα προσαφέντες τανθάδε τὴν νεκρὰν μόνην.

ζΖ'. — Ἐπίγραμμα εἰς ἑαυτόν.

Ψυχὴ ταπεινὴ, δεῦρό μοι, δέξαι λόγον.
Ὁ καιρὸς ὀξὺς ὡς δρομεὺς διατρέχων·
C Ἐγγὺς τὸ τέρμα, καὶ παρελθεῖν οὐκ ἔνι.
Μὴ δὴ κάμοιμεν ταῖς ματαίαις φροντίσιν,
Ἀντιλοῦντες ὄντως εἰς πίθον τετριμμένον,
Ξαίνοντες εἰς πῦρ, ὡς γελοιωδῶς ἔχει.
Ἀλλ' εἴ τι θεῖον, εἴ τι σωστικὸν πέλει,
Ταῦτα σκοποῦντες καὶ διώκοντες πόθῳ.
Ὡς ἂν παρασταίημεν ἐν παῤῥησίᾳ.
Τῷ τῶν ἁπάντων καὶ Κριτῇ καὶ Δεσπότῃ.
Τὸ πῦρ φυγόντες τῆς γεέννης, ὡς γράφει,
Καὶ προστρέχοντες τῷ παῤῥήτῳ φάει.

ζΗ'. — Ἐπίγραμμα ἐν τῇ φυλακῇ τῆς Χ κίτου [j].

Ξένος Θεοῦ πέφηνεν, ὅστις οὐ ξένα
Ἔχει τὰ τῇδε πάντα τῶν ἄνω σχέσει.
Οὕτω γὰρ ὤφθη Δεσπότης καὶ [k] τῶν κάτω.
D ζΘ'. — Ἐν τῇ αὐτῇ φυλακῇ.

Ἔσχες με, κελλὴ τὸν ξένον παρ' ἐλπίδα.
Εὗρον δ' ἐγὼ σε φιλτάτην παροικίαν.
Βυζαντὶς ἡ πόλις με βάλλει κἀνθάδε.
Λασθοῦσά τ' αὐτὴ προσπαθείας ἐξάγει.

Ρ'. — Ἐν τῇ αὐτῇ φρουρᾷ.

Ἐμοὶ τὸ σῶμα φρουρὰ καὶ μόνον πέλει·
Τόπος δὲ πᾶς τις ἐξ ἴσου δεδωμένος.
Πάμπαν Θεοῦ γὰρ οὐ πάροικος τυγχάνω.

VARIÆ LECTIONES.

i Cod. Reg. κρείσσων. j. Reg. Cod. Χαλκήτου. k Reg. Cod. πως.

ΡΑ'. — Ἐν τῇ αὐτῇ εἱρκτῇ.

Ὥραν καθ' ὥραν τοῦ βίου τέλος σκόπει,
Καὶ μακρὰν ἐκ σοῦ τὴν ἀκηδίαν βλέποις.
Τῶν δαιμόνων γὰρ τὸ λέγειν· Ἕως πότε;
Καὶ μὴ τὸ δοῦναι τεθνάναι καθημέραν.

ΡΒ'. — Ἐπίγραμμα εἰς τὰς φάνας.

Δοχεῖόν εἰμι τῆς ἀκοιμήτου φάνης,
Ὑπερφαεῖς τὰς αὐγὰς ἐν ψυχαῖς φέρον.
Ὦ λαμπαδοῦχε τοῦ τριλαμποῦς ἡλίου,
Ἀστραψον ἡμῖν φέγγος ἀστραπῆς πλέον,
Φωτός με τεύξας, ὁ προσοίσας δ' εὐχάδε.
Εὕροις μ' ἐκεῖθεν λάμψιν ἀῤῥήτου φάους.

ΡΓ'. — Πρὸς τὸ ἐπιμελῶς ἀναγινώσκειν τὰ ἐν τοῖς τοίχοις.

Γνῶθι παριὼν τῶν ἀναγράπτων μέρος.
Θεῖον γὰρ οὐδὲν ῥῆμά σοι παροπτέον.

ΡΔ'. — Ἐπίγραμμα εἰς οἶκον γυναικῶν φιλοξένων.

Σπλάγχνοις ξενισμῶν εὐρυχωροῦσαι λίαν,
Ὥσπερ τις ἄλλος Ἀβραὰμ πατροκράτωρ,
Αἱ δεσποτοῦσαι τῇσδε τῆς παροικίας,
Πλῆθος μοναστῶν δεξιοῦνται σὺν πόθῳ·
Μισοξενούντων τὸ στενόψυχον πάθος
Καταισχύνουσαι τῇ πολυσπλάγχνῳ σχέσει,
Καὶ τὴν ἄνωθεν κτώμεναι σκηπτουχίαν,

ΡΕ'. — Ἐπίγραμμα εἰς ξένους.

Χριστὸν ξενίζει πᾶς διατρέφων ξένους.
Ὑπερ μεθῆκε Χριστὸς ἐν φθορᾶς ἄνω,
Ἀλλά γε συνταξοιεν ἐν ζώντων μέρει,
Τούτης τὸ πνεῦμα, τῶν ὅλων ὁ Δεσπότης.

ΡΣ'. — Εἰς μοναστήριον ἀνδρῶν.

Θεοῦ πόλιν τις εἰ καλοίη τὸν τόπον,
Οὐκ ἂν διαπταίσειε τῆς θεωρίας.
Ὁρᾷς γὰρ αὐτὸν, κυκλικῶς διαβλέπων,
Νεοὺς φαεινοὺς, ὡραϊσμένους ἄγαν,
Οἴκους ἐπ' οἴκοις καλλισυνθέτους λίαν,
Κήπους φυτείας, ὡς Ἔδεμ, κεκασμένους.
Πὰν εἴ τι τούτοις τερπνοειδῶς ἐμβλέπων·
Ἀγαθῶν θεωρὶ δοξασον θεοφρόνως,
Μιμνημένος Λέοντος ἀξιοχρέως,
Τοῦ κτισματουργοῦ σὺν Θεῷ τῶν ἐνθάδε.

ΡΖ'. — Εἰς τὸ δοχεῖον τῆς αὐτῆς μονῆς.

Μονῆς ἀγαστῆς, τῆς καλουμένης νέας,
Δοχεῖόν εἰμι, καὶ προαύλιον ξένον·
Πολλοὺς ξενίζον εἰς ἀμειψιν αἰσίαν
Λέοντος ἐσθλοῦ, Δεσπότου τῶν ἐνθάδε.

ΡΗ'. — Εἰς τὸ αὐτό.

Ὧδε ξενισθεὶς δεξιᾷ προμηθείᾳ,
Ἀντίξενον φέροιμι δῶρον ὁ ξένος,
Ὧν εὐπορίην τὸ κράτιστον εὖ μάλα,
Ὁμοῦ σὺν εὐχαῖς τοὐσδε τέτταρας στίχους.

ΡΘ'. — Εἰς τάφους.

Τὸ τερπνὸν εἰδὼς καὶ σκιῶδες τοῦ βίου,
Λέων ἔγωγε τῆς μονᾶς ὁ συστάτης,
Καλὸν τέτευχα τοῖς φιλήλιοις τέγος,
Τὸ τῇδε δῶμα τέρματος μνήμην φέρον·
Ἅπας γὰρ ἐσθλὸς θανάτου μεμνημένος,
Φῶς εἰσδέχοιτο, καὶ παρέρχεται σκότους.

A CI. — *In eodem carcere.*

Ex hora in horam terminum vitæ inspice,
Omnisque longe fugiet a te ignavia.
Quousque tandem? dicere, est cacodæmonis;
Nec vitæ in horas præstolari clausulam.

CII. — *Epigramma in lampades.*

Perennis ego sum luminis domicilium,
Splendore penitus corda multiplici replens.
O! triplicis qui solis accendis facem,
Nostris in animis fulgura ingemines tua,
Me lumine armans, atque ad orandum instruens,
Sic jubare fulgens fiam inexplicabili.

CIII. — *Ut diligenter legantur quæ in parietibus descripta sunt.*

Dum præteris, inscripta raptim perlege.
B Divina nusquam verba contemni decet.

CIV. — *Epigramma in domum mulierum hospites excipientium.*

Lata hospitalis charitatis viscera,
Ut quondam Abramus ille populorum pater,
Sic et domus hujusce rectrices gerunt.
Illic recipiunt sponte monachorum agmina:
Angusta nimium corda, et inimica hospitum,
Pudefacientes liberali pectore,
Sibique regna comparantes cœlitum.

CV. — *Epigramma in hospites.*

Quicunque pascit hospites, Christum excipit,
Quam de sepulcro Christus ad cœlum extulit.
Sed et reposuit sedibus viventium,
Hujusce spiritus, Dominus est omnium.

C CVI. — *In monasterium virorum.*

Si quis Dei urbem dicere hunc locum velit,
Nempe ille vanis haud aberret sensibus.
Quocunque flexus luminum circumferas,
Fabrefacta miro templa cultu conspicis,
Connexa pulchro tecta tectis ordine,
Hortosque plantis, velut Edem, virentibus.
In his amœno quidquid obtutu vides;
Primam bonorum principi laudem refer:
Tum quam Leoni jure debes gratiam,
Cujus opus omne conditum est industria.

CVII. — *In hospitium ejusdem monasterii.*

Hic clarioris, quam vocant novam, domus
Monachis parata hospitia, et ædes advenis
Multis patescunt; recipiat faustam ut vicem,
D Hujusce dominus qui loci est, Leo optimus.

CVIII. — *In idem.*

Hic hospitatus commode atque prospere,
Donum vicissim gratus hospes offeram,
Longe omnium, quæ suppetunt mihi, optimum,
Cum precibus istos nempe versus quatuor.

CIX. — *In sepulcra.*

Umbram esse vitæ gaudium gnarus probe,
Fundator hujus ego monasterii Leo,
Decora posui tecto solem amantibus,
Hanc, quæ memoriam finis ingerit, domum;
Nam vir probus quicunque mortis est memor,
Lucemque recipit, ac tenebras effugit.

CX. — *Aliud.*

O tumule amare gaudiorum sæculi,
Nil te potest satiare, cum cunctus trahas,
Inopes, beatos, maximos et infimos,
Pulchrosque, deformesque, doctos et rudes :
Molis universos pariter, ac cinerem efficis,
Nihil auferentes præter ea quæ gesserint,
Dei ad tribunal exhibenda judicis :
Quæ recta si sint, gloria his quorum hæc erunt :
Si prava, miser heu ! qui nefaria egerit.
Proinde reputes, o homo, quæ te sors manet.

CXI. — *Epigramma in Stephanum.*

Mortale corpus Stephanus hic recondidit.
Ter quinque cum vixisset annos ac decem :
Germen probatum, decore abundans hinc et hinc,
Splendore præstans quippe clari sanguinis,
De stirpe regum gloriosa surculus.
Probitate vero morum amabilis omnibus,
Connubii expers, atque virgo perpetim.
Quem providente cura, ut ex spinis rosam,
Postquam hocce propere Christus ex mundo abstulit,
Inter alios dextra coronavit manu.

CXII. — *In domum.*

Grata atque dulcis videor omnibus domus
Viri optimi, multoque laudatissimi,
Monachis novam præbere qui studet domum,
Pretiumque, noxas quo redimat, offert Deo.

CXIII. — *In sepultum.*

Isto, viator, conditus tumulo jacet
Vir ter beatus Theophylactus nomine :
Eunuchus equidem, genere sed fausto satus,
Vultu decorus juvenis, ac valde pius.
Qui primus inter nobiles Spatharios,
Longis diebus imperatorum fuit.
Templum hoc, beatamque hanc monasticam domum,
Munus Deo Dominoque gratum, condidit,
Errata vitæ quo piarentur suæ.

CXIV. — *In monasterium Ignas.*

Leo clarus inter cæteros, virque optimus,
Amore Christi, conjuge avulsus sua,
Vitam monastæ ter beatam amplexus est,
Cœlestis in qua hæreditas acquiritur :
Ac universam familiam adduxit Deo,
Ædes mulierum quoque monasticas struens.
Deo probatæ nactus et vitæ exitum,
Isto sepultus est loco, exspectans diem,
Qua Christus aderit mundum ut omnem judicet.

CXV. — *In ipsius uxorem.*

Annæ sepulcrum proxime hic situm vides,
Ut quæ marito pariter assensa est suo,
Divortium perferre, Christi gratia,
Monasticam et cum liberis amplectier
Viiam inclytam, cui parta cœli gloria,
Atque hinc et ipsa spem sinu certam fovet,
Adfore diem, qua Christum ad ipsum convolet,
Cum nempe veniet ille ut omnes judicet.

CXVI. — *In sepultam.*

Fidei atque morum laude mulier præstitit,
Illustre quæ reposuit hoc corpus loco,

ΡΙ'. — Ἄλλο.

A Ὦ τύμβε πικρὲ τῶν βίου γλυκασμάτων,
Πάντας κατασπῶν οὐκ ἐπαρκεῖ χορτάσει,
Μικροὺς, μεγίστους, ὄλβίους, ἀνεστίους.
Σοφοὺς, ἀμύστους, δυσπροσώπους, εὐθέτους,
Ὅλους, ἀλήθων τέφραν ἴσχεις ἐξίσου,
Μηδὲν φέροντας, ἢ μόνον τὰ πρακτέα,
Ἅπερ παραστῆ τῷ Θεοῦ κριτηρίῳ.
Εἰ μὲν κράτιστα, δῶξα τῷ κεκτημένῳ·
Εἰ δ' αὖ κάκιστα, φεῦ τε τῷ φαυλοπράττῃ.
Ἄνθρωπε, λοιπὸν πρόσχες, οἷον σοι μένει.

ΡΙΑ'. — Ἐπίγραμμα εἰς Στέφανον.

Ὧδε Στέφανος ἐγκατέκλεισε δέμας,
Εἰκοστόπεμπτον ἐν βίῳ ζήσας χρόνον·
Ῥάδαμνος εὐθὺς ἀμφικαλλὴς δ' ἐττόθεν.
B Ἐξ εὐγενοῦς μὲν αἵματος διαπρέπων,
Ἑλὼν δὲ ῥᾴδον ἐξ ἀνακτόρων κλέος
Πᾶσι ποθητὸς χρηστότητι τῶν τρόπων,
Γυναῖκα μὴ γνοὺς, ἀλλὰ παρθένος μένων.
Ὅνπερ προμηθῶς, ἐξ ἀκανθῶν ὡς ῥόδον,
Τοῦ τῇδε κόσμου Χριστὸς ἐξάρας τάχει,
Ἔχει σὺν ἄλλοις δεξιᾷ χειρὶ στέφων.

ΡΙΒ'. — Εἰς οἰκίαν.

Οἶκος δέδειγμαι τερπνοειδὴς εὖ μάλα,
Ἀνδρὸς κρατίστου καὶ πανευφήμου λίαν.
Ὃς καὶ νεουργεῖ τὴν ὅλην μονὴν πόθῳ,
Θεῷ προσοίσας λύτρον ἀνθ' ἁμαρτάδων

ΡΙΓ'. — Εἰς κοιμηθέντα.

Ὧδε προελθὼν ἐντέθαπται τῷ τάφῳ,
Θεοφύλακτος ὁ τρισόλβιος μέροψ·
C Εὐνοῦχος μὲν ὤν, ἀλλὰ δεξιοῦ γένους,
Εὔοπτος ἡλιξ, εὐσεβής γε καὶ μάλα.
Ὃς πρωτοβαθρεῖ ἐν Σπαθαρίοις στάσει,
Ἐν μακρότησιν ἡμερῶν ἀνακτόρων.
Τὸν τῇδε ναὸν, καὶ μονὴν παναισίαν,
Ἤγειρε τερπνως τῷ Θεῷ καὶ Δεσποτῃ,
Εἰς λύτρον αὐτοῦ πταισμάτων τῶν ἐν βίῳ.

ΡΙΔ'. — Εἰς Ἴγνας τὴν μονήν.

Λέων ὁ κλεινὸς καὶ κράτιστος ἀνδράσιν,
Τμηθεὶς συνεύνου Χριστοσυμπλόκῳ πόθῳ,
Εἵλε μονήρους τὸν τρισόλβιον βίον,
Ὡς προξενοῦντα τὴν ἄνω κληρουχίαν·
Ὅλην προσάξας τῷ Θεῷ τὴν οἰκίαν,
Μονὴν γυναικῶν σχηματίζειν αἰσίαν.
Καὶ τερματισμῷ τοῦ θεοκλεοῦς δρόμου,
D Ὧδε τέθαπται, προσμένων τὴν ἡμέραν,
Ἐν ἧπερ ἥξει Χριστὸς εἰς πάντων κρίσιν,

ΡΙΕ'. — Εἰς τὴν αὐτοῦ σύμβιον.

Ἄννης τὸ σῆμα συμφυῶς ὧδε βλέπεις,
Ὡς τῷ συνεύνῳ συμφρονησάσης ἴσα,
Παθεῖν χωρισμὸν εἵνεκα Χριστοῦ μάλα,
Καὶ τὸ μονήρους ἀσπάσασθαι σὺν τέκνοις,
Βίον φαεινὸν οὐρανοκτήτου κλέους.
Ὅθεν γε καὐτὴ προσμένει τὴν ἐλπίδα,
Πρὸς Χριστὸν αὐτὸν οὐρανοδραμεῖν τότε,
Ὅτ' ἂν περ ἥξῃ τοῦ κρίναι βροτοὺς ὅλους.

ΡΙ[ϛ]'. — Εἰς κοιμηθεῖσαν.

Ἐσθλὴ γυναικῶν ἔν τι πίστει καὶ βίῳ,
Ἡ τῇδε θεῖσα τὸ κλεῶδες σαρκίον,

Καὶ πνεῦμα δοῦσα τῷ Θεῷ καὶ Δεσπότῃ.
Ὅς εὐδόκησεν, Εὐδοκίαν εἰκότως
Ταύτην καλεῖσθαι τῷ φερωνύμῳ τρόπῳ,
Ὡς εὐδοκηθεῖσάν γε παγκάλοις τρόποις,
Σὺν ἀνδρὶ κλεινῷ σεμνὸν ἐξοῖσαι βίον.
Κἂν τῷ τελευτάν, εὐδωθεῖσαν κλίναι
Πρὸς πίστιν ὀρθὴν τὸν φύσαντα πατέρα.

PIZ'. — Εἰς κοιμηθεῖσαν.

Εὔχρηστον ὄντως σκεῦος ἡγιασμένον,
Ἰσοστατοῦν γε χρυσοκολλήτῳ στέφει,
Ῥαντοῖς καλοῖσι μαργάροις ηὐγασμένῳ,
Ἥ τῇδε θεῖσα τὸ τρισολβιον δέμας.
Νέου γὰρ ἀνδρὸς ἐκτομὴν ὑποστάσα,
Ἥρωος ἄλλου τῷ σθένει καὶ τῷ κλέει,
Πρὸς Ἀρμενίας τοῖν δυοῖν ὡρμημένων,
Ἄριστον ἦδε τοῦτο κέκρικεν μάλα,
Τὰ πάντα δοῦναι τῷ Θεῷ καὶ Δεσπότῃ,
Ῥακοστολεῖν δὲ τῷ μοναστικῷ τρόπῳ.
Ἴοι κράτιστα τοιγαροῦν ἐν τῷ βίῳ,
Κόσμον φέρουσαν τὴν ταπεινὴν καρδίαν,
Ἰσοσμάραγδον τὴν ῥοὴν τῶν δακρύων,
Ἄγρυπνον ὄμμα, καὶ προσευχὴν ὡς φάος·
Ταύτῃ τελειοῖ καὶ γε θείως τὸν δρόμον,
Ἀπροσπέλαστον αἱρετιζόντων πλάνῃ.
Διπλοῦν δὲ δῶρον τῷ Θεῷ προσηγμένη.
Ἔχει τὸ χαίρειν σὺν δικαίοις εἰς ἅπαν.

PIH'. — Τῇ αὐτῇ.

Ὁ χῶρος ἐσθλός (καὶ γὰρ Εἰρήνης τάφος)
Εἰρηνοποιὸν πρὸς Θεὸν σχούσης βίον.

PIΘ'. — Εἰς Διονύσιον.

Τάφος πέφηνα Διονυσίου μάλα,
Ξένου μοναστοῦ, πυκτικοῦ, κατηκόου,
Πολλοὺς δραμόντος ὀρθοδοξίας δρόμους,
Καὶ μαρτύραθλον ἐξαποίσαντος τέλος.

PK'. — Εἰς εἴσοδον μοναστηρίου.

Ἄννης ἀπαρχὴ τῷ Θεῷ, καὶ Δεσπότῃ,
Ἥ τῇδε μάνδρα καὶ μονὴ σεβασμία,
Ἐπωνυμοῦσα τῆς πανάγνου Παρθένου,
Καὶ παρθένους φέρουσα νυμφικλεέως,
Ἀσκητικῶς ζῆν ἔνθεως διαπρέπειν.
Ὑπέρ τε λύτρον τῶν ὅλων ἁμαρτάδων,
Αὐτῆς γε ταύτης, καὶ Λέοντος συζύγου,
Μεθ' ὧν Ἰωάννου τε, φιλτάτου τέκνου.

PKA'. — Εἰς Θεόφιλον διάκονον.

Πολλὴ πρόσεστιν ἡ σεβαστή σοι χάρις,
Ὅτι πρὸς ἡμῶν οὐδὲν ἰσχηνυῖά τι,
Εἰ μὴ προσευχῶν τῶν ἁμαρτωλῶν γέρας·
Οὔπω πέπαυται προσφέρειν ἡμῖν δόσεις.
Ἄσπερ λαβόντες καὶ πάλιν φιλοφρόνως,
Προσοίσωμέν σοι τῷ φίλῳ τὰ τῶν φίλων

PKB'. — Εἰς Πάμφιλον τὸν Τριμαλέθοντα.

Ψυχοφθόρος θὴρ Πάμφιλος δειχθεὶς νέος,
Ἐξωστρακίσθη τῆς μονῆς τοῦ Προδρόμου.

PKΓ'. — Ἐπιστολὴ εἰς γραμματικόν.

Τῇ τριστίχῳ σου χρυσομαργάρῳ [l] φράσει,
Σμαραγδότιμον ἀντεπεξάγω χρέος.
Αὐτὸς δ' ᾄδοις μοι μουσικοπρεπῶς πάλιν [m].

[l] *al.* χρυσομαρμάρῳ. [m] γρ πάλαι.

A Cum tradidisset spiritum Domino ac Deo :
Cui jure gratum fuerat Eudociam optimo
Dici, atque nomen convenire moribus :
Quos propter illa placuit unice omnibus,
Præclaro honestam cum viro vitam exigens.
Cursuque moriens evolavit prospero
Hinc ad parentem, qui fidem rectam indidit.

CXVII. — *In sepultam.*

Vas, hæc, sacratum idemque pretiosum fuit,
(Quale et coronæ non sit impar aureæ,
Distincta gemmis quæ sit etiam lucidis)
Quæ ter beatum corpus istic condidit.
Juvenis mariti namque mortem sustinens,
Qui robore heros alter ac fama exstitit,
Tunc cum referrent ambo ab Armenia pedem :
B Sibi esse factu judicavit optimum,
Deo atque Domino cuncta prorsus tradere,
Et veste vili, more monachorum, indui.
Exinde vitæ tempus egit prospere,
Cor humile, cultus instar eximii, gerens :
Similes smaragdis lacrymasque funderet,
Insomnis oculus pro face et preces forent :
Quarum ope sacratum rite cursum absolveret,
Intacta penitus hæresum fallaciis.
Cumque illa geminum munus obtulerit Deo,
Permista sanctis, gaudia æterna obtinet.

CXVIII. — *Eidem.*

Locus auspicatus hic, ubi Irene jacet,
Quæ pacis usque cum Deo cultrix fuit.

CXIX. — *In Dionysium.*

C Jacet hoc sepulcro conditus Dionysius,
Qui monachus, hospes, ac pugil docilis fuit,
Multo et labore pro fide est exercitus,
Clausitque puguans, martyr, extremum diem.

CXX. — *In monasterii aditum.*

Deo atque Domino has Anna primitias dedit.
Mandram hanc, monasteriisque venerandam domum,
Quæ nacta nomen Virginis sanctissimæ,
Titulisque sponsi virgines claras habet,
Cœlestis illic studia quas vitæ excolant :
Utque redimantur munere hoc piacula
Cuncta ipsiusmet, ac Leonis conjugis,
Joannis etiam, filii charissimi.

CXXI. — *In Theophilum diaconum.*

Tua, vir colende, maxima est benignitas.
D Haud ulla namque dona dederimus licet,
Nisi quas miselli fundimus pro te preces ;
Largiri at ipse munera haud cessas nova.
Quæ nos benevolo rursus animo accepimus,
Quæcunque amantum sunt, repensuri tibi.

CXXII. — *In Pamphilum Trimalethontem.*

Pestis animarum bellua nova, Pamphilus,
Magnis abdicatus prodromi ab domo fuit.

CXXIII. — *Epistola ad grammaticum.*

Gemmatæ in auro tristichæ phrasi tuæ.
Smaragdini pretii repono debitum ;
Tu mihi canora rursus edis carmina.

CXXIV. — *Epigramma in sanctum Patrem nostrum Theodorum.*

Numinis æterni donum regisque supremi,
Clarum et dulce simul nomen Theodorus, ob acta
Prudentis vitæ : custos mansuetus ovilis,
Assidue fundensque preces, præceptaque tradens
Egregia, hymniferos divino psallere ritu
Studitas docuit : quæ fortunata vocatur
Rite domus, prodromo Joanni sacra, beavit
Quem Christi uberior præ cunctis gratis sanctis.

ΡΚΔ'. — Ἐπίγραμμα εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Θεόδωρον.

Δῶρον ἀειζώοιο Θεοῦ, μεγάλοιο ἄνακτος,
Ἱμερόεν περίπυστον, ἐπ' εὐλαβέῃ βιότοιο,
Οὔνομα Θεόδωρος, ποίμνης ἠγεύμενος ἦκα,
Νωλεμέως νυχίῃσι λιτῇς ἴδε τάξεσιν ἄλλαις,
Ὑμνοπόλων θεότευκτον ἀγήνορα ὧρσεν ἀοιδήν,
Στουδίου ἣν κλῃΐζουσιν ἀριπρεπέ' ὄλβιον οἶκον,
Ἱρὸν Ἰωάννοιο Χριστοῦ προδρόμοισι σοφοῖο,
Ὅν κεν ἐπ' ἐσθλοῖς [m] πλῆσεν πλείστῃς χαρίτεσσι.

VARIÆ LECTIONES.

m ἐσθλοῖσι.

SANCTI THEODORI STUDITÆ.

SERMO LXVIII (1).

DOMINICA IV JEJUNII. DE ANIMOSE SANCTA TRANSEUNDA QUADRAGESIMA, ET IN EXERCITATIONEM CALCAR SEQUENTEM.

Fratres Patresque, sancti Spiritus nos benignitas ad hodiernum diem valentes, nec paucis præclaris editis facinoribus deduxit, qui et labetur, credo, atque ad vivificam ac prælustrem Resurrectionem mactos pulcherrimis profectus nostri incrementis provehet. Nam repetite, sultis, anteactæ memoriam vitæ, et intuemini statum, qui fuerit aliquando, ac quo nunc evaserit : animus enim parta salutis semel occasione, clam ocyus grassatus, fastigiis virtutum superatis, cœlum peragrat sublimis. Ita nos, filii, ad frugem reversi, remoris et impedimentis amotis, gradum fecimus, recto itinere profecti, aliique sumus ex aliis, modestiam complexi, ac præceptis serio obeundis, nequaquam rite amisimus quæsita. Equidem cepi gaudium, et animo triumpho, postquam divinum vestrum increvit opus studiumque sacrum, quod urgetis, perspicue potiorum est, et si id omne *non currentis, neque volentis*, ut apostolice dicam, *sed miserantis est Dei* [1], qui et victos confirmet, et imbelles viribus accingat. Enimvero haud contenti iis quæ jam pepererimus, filii, quasi quodam juvenili calore altius nitamur, animorum tanquam subole instar aquilæ renovanda progressi semper, mactique, qui virtutis, atque eximii ascensus modum arbitremur nullum, dum per mortem abierimus e temporariis ad æterna. Sane cum erimus beati, tum beatorum sortem sanctorum erciscemur. Jam quæ in hac obeunda vita posita laus, et adorea est? gaudet vos contuens arbiter cunctorum, lætique sancti ac gratulabundi, plaudunt, et cœlitus coronant. Quippe ut in stadio currentes corporeis spectamus oculis, sic nostra Deus, totusque angelorum consessus, ac sanctorum respublica cernunt, et explorant assidue. Ut jam porro cursandum serio sit, fratres, ingenti hoc viæ decurrendo diaulo, quæ in cœlum ferat e terra, devincendus inimicus ac multandus, simul congredi tentat, longeque animositate quadam excita abigendus. Scilicet timidus est, rejiculus, imbellis; ea propter Dei germanus clamat Jacobus · *Resistite diabolo, et fugiet a vobis; appropinquante Deo, et appropinquabit vobis* [2]. Neque vero in posticum feramur prorsum, quod nequaquam acriter currentum sit insigne, neu tepescamus postquam id indicium non est vincere nitentum, quin nuditum ab rebus tum ab voluntate, sursumque velut in cœlos intuentes, cursum exigamus, dicturi et nos cum Paulo : *Bonum certamen certavi, cursum consummavi, fidem servavi, de reliquo reposita est mihi corona justitiæ* [3]. Sane alii alia re quapiam, et aliter, instar solis, fulgebunt ante Deum, nos habitum gerentes apostolicum circa apostolorum contubernia deprendemur, filii, quemadmodum existimo, ut ovandum sit ac lætandum, et animis oppido triumphandum. Ac beatam eam mentem, quam haud satietas capiat divini studii et futurorum desiderii ac præsentium repudii. Vos enimvero cum iis bonis fruemini, tum meorum nanci verborum recordamini, quam vos adamarim, quam a vobis in Domino adjumentum quæsierim, quam vos divina gloria sategerim præstare per Christum Jesum Dominum nostrum, cui laus ac imperium nunc et semper in omnemque perpetuitatem. Amen.

[1] Rom. IX, 16, [2] Jac. IV, 7. [3] II Tim. IV, 7.

NOTÆ.

(1) Circa hanc homiliam vide quid dicat Lævinæus in præfatione ; supra col. 507.

SANCTI THEODORI STUDITÆ.

TESTAMENTUM.

(Editionis Sirmondianæ pag. 63.)

Τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου, ἡγουμένου Στουδίου Διαθήκη. Ἀναγινώσκεται δὲ αὕτη πρὸ τῆς κοιμήσεως αὐτοῦ.

A *Sancti ac Deiferi patris nostri et confessoris Theodori Studiensis præpositi Testamentum* (1). *Legitur autem ante dormitionem ejus.*

Ἀκούων τοῦ θείου Δαβὶδ λέγοντος, Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην· καὶ πάλιν φάσκοντος, Ἑτοίμη ἡ καρδία μου· ἐπειδήπερ εἰς συνεχῆ ἀσθένειαν τὴν τοῦ δυστήνου σώματος ἐμπεπτωκὼς, οὐχ οἷός τέ εἰμι πάντας ὑμᾶς, τέκνα μου καὶ ἀδελφοὶ καὶ Πατέρες, κατὰ πρόσωπόν μου ἀγαγεῖν ἐν καιρῷ ἐξόδου, διὰ τὸ ἐν διαφόροις τόποις καθιστάναι τὰ μοναστήρια, ἄλλως τε καὶ διὰ τὸ ἀποδημίαις χρήσασθαί τινας, ὡς ἤδη ἐληλυθυίας τῆς ὥρας τῆς ἀπὸ τοῦδε τοῦ βίου μεταστάσεώς μου, προφθάνω διαθέσθαι ὑμῖν ταύτην τὴν διαθήκην· ἁρμόδιον καὶ ἀσφαλὲς τοῦτο ἡγησάμενος· πρὸς τὸ ἀκούσαντάς μου τῆς τελευταίας φωνῆν διεγνωκέναι, ὅπως τε πιστεύω καὶ φρονῶ, καὶ οἷον ἀφίημι τὸν καθηγησόμενον μετ' ἐμέ· ἵνα ἐντεῦθεν συμφωνίαν ἄγοιτε καὶ εἰρήνην τὴν ἐν Χριστῷ· ἣν εἰς οὐρανοὺς μέλλων ἀναφοιτᾶν, ἀφίησι τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις ὁ Κύριος.

I. Davidicam vocem audiens, *Paratus sum, et non sum turbatus* [1]; et iterum, *Paratum cor meum* [2]. cum assidua miseri corporis infirmitate captus, non possim vos omnes, filii mei, et fratres, atque patres sub excessus mei tempus adducere; propterea quod monasteria ista in diversis locis sita sunt, et quidam præterea peregre profecti: velut instante jam migrationis ex hac vita meæ articulo, testamentum hoc vobis prius condere institui; rem congruam atque utilem me facturum arbitratus; ut cognoscant qui supremam meam vocem audient, quemadmodum credam et sentiam; et qualem post me futurum præpositum relinquam; tum ut concordiam inde, pacemque in Christo servetis, quam ascensurus in cœlos Dominus sanctis discipulis suis et apostolis reliquit.

Περὶ πίστεως.

Πιστεύω τοιγαροῦν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν ἁγίαν καὶ ὁμοούσιον καὶ ἀρχικὴν Τριάδα, καθὼς βεβάπτισμαι καὶ ἀναγεγέννημαι, καὶ τετελείωμαι· Θεὸν τὸν Πατέρα ὁμολογῶν, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, ἓν τὰ τρία τῇ θειότητι, ὡς καὶ ἐμπαλιν τρία τὸ ἓν ταῖς ὑποστάσεσιν. Εἷς γὰρ Θεὸς ἡ Τριὰς, διὰ τὸ ὁμοούσιον· εἰ καὶ διῄρηται διὰ τὸ ἑτεροϋπόστατον. Αὖθίς τε ὁμολογῶ τὸν ἕνα τῆς Τριάδος τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ φιλανθρωπίαν ἄμετρον ἐν σαρκὶ ἐληλυθέναι, εἰς σωτηρίαν τοῦ καθ' ἡμᾶς γένους δηλονότι, ἐκ τῆς ἁγίας καὶ πανάμωμου Θεοτόκου τὴν σάρκα ἀνειληφέναι δίχα σπορᾶς ἀνθρωπίνης, καὶ ἐκ γαστρὸς αὐτῆς κατὰ τὸ θεῖον λόγιον νόμῳ φύσεως γεγεννημένον· διπλοῦν τε ὄντα τὸν αὐτὸν ὅλον τέλειον τῇ θειότητι, καθὸ οὐκ ἐτράπετο τοῦθ' ὅπερ ἦν, καὶ ὅλον τέλειον τῇ ἀνθρωπότητι, καθὸ οὐκ ἐλλείπτό τι, τοῦθ' ὅπερ προσείληφε. Τὸν αὐτὸν ἕνα καθ' ὑπόστασιν, ὅσπερ ἐν δύο φύσεσι γνωριζόμενον, οὕτω θελήσεσί τε καὶ ἐνεργείαις· ἐν αἷς ἔδρασε καταλλήλως τά τε θεῖα καὶ τὰ ἀνθρώπινα.

De fide.

II. Credo igitur in Patrem, Filium ac Spiritum sanctum, sanctam et consubstantialem et sempiternam Trinitatem, sicut baptizatus fui, regeneratus, et consummatus: Deum Patrem confitens, Deum Filium, Deum Spiritum sanctum, unum tria deitate, sicut vice versa tria unum subsistentiis. Unus enim est Deus Trinitas, propter consubstantialitatem, licet distincta sit propter subsistentiarum distinctionem. Confiteor deinde unum e Trinitate Dominum nostrum Jesum Christum per immensam erga homines charitatem suam in carne venisse ad salutem generis nostri, ex sancta et immaculata Deipara sine humano semine carnem sumpsisse, atque ex utero secundum divinum oraculum naturæ lege natum esse, duplicem ipsum exsistentem, totum perfectum deitate, quatenus non immutatum est id quod erat; et totum perfectum humanitate, quatenus non dimisit quidquam ex eo quod assumpsit. Eumdem unum juxta hypostasim, sicut in duabus naturis cognitum, sic in totidem voluntatibus atque operationibus; per quas divina et humana congruenter operatus est.

[1] Psal. CXVIII, 60. [2] Psal. LVI, 8.

NOTÆ.

(1) Hæc inscriptio indita est a Studitis, sicut notavit Baronius ad an. 826, n. 50.

Ad hæc omnem hæreticæ communionis errorem aversor et abominor, sex sacris œcumenicis synodis inhærens ; necnon illi quæ in Nicæa civitate iterum contra Christianorum accusatores coacta nuper fuit, adorans et amplectens venerandas sacrasque imagines Domini nostri Jesu Christi, Deiparæ, apostolorum, prophetarum, martyrum, et omnium sanctorum atque justorum. Quinetiam sacras istorum intercessiones, quæ propitium Deum reddunt, exposco : sanctissimas etiam reliquias, ut Dei gratia refertas, cum fide et timore colo et amplector.

Omnem quoque divinitus inspiratam Veteris et Novi Testamenti Scripturam recipio : omniumque item divinorum Patrum, doctorum, et monachorum vitas et divina scripta (2). Hoc vero dixerim propter vesanum illum Pamphilum, qui ex Oriente prodiit, et hos sanctos traduxit, Marcum, inquam, Isaiam, Barsanuphium, Dorotheum, et Hesychium : non quidem Barsanuphium, et Isaiam, et Dorotheum, illos qui cum Acephalis [3] coacephali pariter fuerunt et Decacerati [4], quod dicebatur, quasi concornes ; quique a beato Sophronio in ejus libello [5] anathemate damnantur : cum diversi haud dubie isti fuerint a prædictis, quos ego ex paterna traditione recipio, post interrogationem Tarasii patriarchæ sanctissimi, aliorumque fide dignorum hominum, tum indigenarum, tum Orientalium : cum et Barsanuphii imaginem in sacro magnæ Ecclesiæ Vestiario, una cum Antonio, Ephraim, aliisque sanctis Patribus exstare constet : et eorum doctrina nullum impietatis vestigium offenderim : sed e contra, magnum spiritualis animæ compendium : quoad nimirum per synodicam inquisitionem error quispiam in illis deprehendatur. Nam si illos ipsos esse liquebit, qui anathemate notati fuerunt, aut ab iis diversi sint, hæresi tamen illa infectos ; anathema illis, et catathema, et pantanathema a Patre et Filio et Spiritu sancto.

Confiteor insuper monasticum statum sublimem esse, et excelsum, et angelicum, qui et peccata omnia expurget absolutæ vitæ perfectione, tum nimirum si ex divini magnique Basilii asceticorum legibus plene exigatur et non dimidiata ex parte ; ut solent quidam, qui aliqua desumunt, alia, ut placet, omittunt : ita ut extra tres gradus qui in divina scala ostensi sunt, vitam hanc legitime ducere non liceat : non servum possidere, non jumentum sexus feminei quorum utrumque ab instituto alienum est, et animæ periculosum. Atque hæc ego cursim paucis perstrinxi, neque enim tempus patitur, ut pluribus exponam, ne quis forte mihi pravam opinionem attribuat, contra quam recte sentio et doceo.

Πρὸς τούτοις ἀποτρέπομαι πᾶσαν αἱρετικῆς κοινωνίας πλάνην · ἑπόμενος ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ συνόδοις · ἔτι τε καὶ τὴν ἔναγχος συναθροισθεῖσαν ἐν Νικαίᾳ τὸ δεύτερον κατὰ τῶν Χριστιανοκατηγόρων, προσκυνῶν καὶ ἀποδεχόμενος τὰς σεπτὰς καὶ ἱερὰς εἰκόνας τοῦ τε Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς Θεοτόκου, ἀποστόλων, προφητῶν, μαρτύρων, καὶ πάντων τῶν ὁσίων τε καὶ δικαίων. Οὐ μὴν ἀλλὰ καὶ τὰς αὐτῶν ἀχράντους πρεσβείας ἐξαιτοῦμαι ἱλεωποιουμένας τὸ Θεῖον · προσκτύσσομαι πίστει τε καὶ φόβῳ τὰ πανάγια αὐτῶν λείψανα, ὡς χάριτος θείας ἀνάπλεα.

Προσίτι καὶ πᾶσαν Βίβλον θεόπνευστον Παλαιᾶς τε καὶ Καινῆς Διαθήκης ἀποδέχομαι · ἔτι μὴν καὶ ἁπάντων τῶν θεσπεσίων Πατέρων, διδασκάλων τε καὶ ἀσκητῶν τοὺς βίους καὶ τὰ θεῖα συγγράμματα. Τοῦτο δὲ ἐρῶ διὰ τὸν φρενοβλαβῆ Πάμφιλον τὸν ἀπὸ Ἀνατολῆς φοιτήσαντα, καὶ τούσδε τοὺς ὁσίους διαβάλλοντα, λέγω δὴ Μάρκον, Ἡσαΐαν, Βαρσανούφιον, Δωρόθεον, καὶ Ἡσύχιον. Οὐ μὴν Βαρσανούφιον, καὶ Ἡσαΐαν, καὶ Δωρόθεον, τοὺς τῶν Ἀκεφάλων συνακεφάλους, καὶ τοῦ λεγομένου Δεκακεράτου συνομοκερώτους · καὶ ὑπὸ τοῦ ἐν ἁγίοις Σωφρονίου ἐν τῷ λιβέλλῳ αὐτοῦ ἀναθεματιζομένους · ἑτέρων δηλονότι παρὰ τούσδε ὄντων τῶν προειρημένων, οὓς ἐγὼ πατροπαραδότως ἀποδέχομαι · δι' ἐρωτήσεως τοῦ ἤδη ἀρχιερατεύσαντος Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου, ἑτέρων τε ἀξιοπίστων ἀνθρώπων αὐτοχθόνων τε καὶ ἀνατολικῶν · κατὰ τὸ καὶ τὴν εἰκόνα Βαρσανουφίου ἐν τῇ θείᾳ ἐνδυτῇ τῆς μεγάλης Ἐκκλησίας ἑνίστασθαι ἁγίοις Πατράσιν, Ἀντωνίῳ, Ἐφραὶμ, καὶ ἑτέροις · καὶ ὡς μή τι ἐν ταῖς διδασκαλίαις αὐτῶν εὑρηκὼς ἀσέβημα · τουναντίον δὲ καὶ πολλὴν ψυχικὴν λυσιτέλειαν · μέχρις ἂν καὶ ἐπὶ τούτων διὰ συνοδικῆς ἐπιζητήσεως ἀποδειχθείη τι ἔγκλημα. Εἰ γὰρ αὐτοὶ ἐκεῖνοι φανείησαν οἱ ἀναθεματιζόμενοι, ἢ ἕτεροι παρ' αὐτοῦς αἱρέσει ὑποβληθέντες, ἀνάθεμα αὐτοῖς, καὶ κατάθεμα, καὶ παντανάθεμα ἀπὸ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος.

Συνομολογῶ δὲ πρὸς τούτοις καὶ τὸ μοναδικὸν σχῆμα ὑψηλόν τε εἶναι καὶ ἐπαρμένον, καὶ ἀγγελικὸν, καθαρτικόν τε πάσης ἁμαρτίας διὰ τελείας ἐπιδιώσεως · εὔδηλον κατὰ τὴν νομοθεσίαν τῶν ἀσκητικῶν τοῦ θείου καὶ μεγάλου Βασιλείου διεξαγόμενον, καὶ οὐκ ἐξ ἡμισείας · ὥς πή τινες τὰ μὲν αἱρούμενοι, τὰ δὲ ἐπαφιέντες · ὥστε μὴ εἶναι ἄνευ τῶν ἐν τῇ θείᾳ κλίμακι ἀποδεδειγμένων τριῶν καταστάσεων, αἱρετὸν ἄλλως πως νομίμως ἐπιδιῶναι · οὐ μὴν οὔτε δοῦλον κεκτῆσθαι, οὔτε κτῆνος τῶν ἐκ τοῦ θήλεως γένους, διὰ τὸ ἀνοίκειον τοῦ ἐπαγγέλματος · καὶ ἐπικίνδυνον ταῖς ψυχαῖς. Καὶ ταῦτα διῆλθον ἐν ἐπιδρομῇ · οὐ γὰρ καιρὸς τῆς τῶν τοιούτων ἐξαπλώσεως · ἀλλὰ διὰ τὸ μή τινας εἰς ἐμὲ τὴν χείρονα δόξαν ὑπολαμβάνειν, παρ' ὃ φρονῶ ὀρθῶς καὶ δοξάζω.

[3] Sine capite. [4] Decem cornuum hæresis principes. [5] In concilio VI, art. 11, pag. 990.

NOTÆ.

(2) Hic Theodori locus recitatur in Præfatione ad *Doctrinas* B. Dorothei, *Bibliothecæ Patrum Græco-Latinæ*, tom. I, pag. 744. b.

Περὶ τοῦ καθηγουμένου.

Τούτων μὲν οὕτως ἐχόντων, δεύτερόν ἐστιν εἰπεῖν καὶ περὶ τοῦ καθηγουμένου. Ἀφίημι τοίνυν πρῶτον μὲν τὸν κύριον καὶ Πατέρα μου καὶ Πατέρα ὑμῶν τὸν ὁσιώτατον Ἔγκλειστον, καὶ Πατέρα, καὶ φωστῆρα, καὶ διδάσκαλον. Αὐτὸς κἀμοῦ καὶ ὑμῶν προκαθέστηκεν ἐν Κυρίῳ, καὶ καθίσταται κεφαλή, εἰ καὶ ὑπεξήγαγεν ἑαυτὸν, διὰ Χριστομίμητον ταπείνωσιν τελῶν ἐν ἡσυχίᾳ· οὗ ταῖς ὁδηγίαις τε καὶ προσευχαῖς πιστεύω ὑμᾶς σωθήσεσθαι· εἴπερ καὶ τὴν δέουσαν πρὸς αὐτὸν ἀντεισφέροιτε εὐπείθειάν τε καὶ ὑπακοήν. Ἔπειτα ὃν ἐκ κοινοῦ ψήφου θεοπρεπῶς, προηγουμένης τῆς πάτρικῆς βουλῆς, προστήσεσθε. Ἐφ' ᾧ γὰρ εὐδοκεῖ πᾶσα ἡ ἀδελφότης, ἐπόμενόν ἐστι καὶ τὸ ἐμὸν θέλημα. Ἀλλὰ δεῦρο, ὦ Πάτερ καὶ ἀδελφὲ, ὅστις ἂν εἶης· ἰδοὺ παρατίθημί σοι ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων αὐτοῦ πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα· ὅπως αὐτὴν εἰσδέξῃ. Πῶς δὲ προσλάβῃς; ἡλίκως δὲ ὁδηγήσεις; ποδαπῶς δὲ διαφυλάξεις; Ὡς ἄρνας Χριστοῦ· ὡς μέλη σου φίλτατα· θάλπων καὶ περιέπων, καὶ ἱμειρόμενος ἑνὸς ἑκάστου, κατὰ τὸ ἴσον τῆς ἀγάπης μέτρον· ὅτι ἐπίσης ἡ στοργὴ τῶν μελῶν τοῦ σώματός ἐστιν ἐν ἑκάστῳ ἀνθρώπῳ. Διάνοιξον σου τὰ σπλάγχνα ἐν συμπαθείᾳ· εἰσοίκισαι τοὺς πάντας ἐν ἐλεημοσύνῃ· τιθήνησαι αὐτούς· ἀναμόρφωσον αὐτούς· τελείωσον αὐτοὺς ἐν Κυρίῳ. Ὀξυνόν σου τὴν διάνοιαν φρονήσει· διέγειρόν σου τὸ πρόθυμον ἐν ἀνδρείᾳ· στερέωσόν σου τὴν καρδίαν ἐν πίστει καὶ ἐλπίδι· προπόρευσαι αὐτῶν ἐν πάσῃ ἀγαθοεργίᾳ· προπολέμησον κατὰ τῶν νοητῶς μαχομένων· ὑπεράσπισαι· διευθέτησον· εἰσάγαγε αὐτοὺς εἰς τὸν τῆς ἀρετῆς τόπον· κληροδότησαι τὴν γῆν τῆς ἀπαθείας. Διὸ καὶ ἐντέλλομαί σοι τὰς ἐντολὰς ταύτας, ἅσπερ διακρατῆσαι ὀφείλεις κατὰ τὸ ἀναγκαῖον.

A

B

C

De præposito.

His autem ita constitutis, proximum est, ut dicam de præposito. Primum igitur dominum et patrem meum ac patrem vestrum relinquo sanctissimum Reclusum, eumdem et patrem, et lumen, et magistrum. Ille mihi et vobis præfuit in Domino, caputque nostrum est, quamvis seipsum subduxerit, ob Christi æmulam humilitatem degens in silentio : cujus ductu ac precibus confido vos salvos fore, si modo congruentem erga illum fidem obedientiamque præbeatis. Deinde quem ipsi communi calculo divinitus, paterno consilio præeunte, præficietis. In quo enim consenserit fraternitas universa, et huic ego libens volensque suffragor. Verum ades, pater ac frater, quicunque futurus es : en fidei tuæ trado in oculis Dei, electorumque angelorum ejus, totam in Christo fraternitatem, ut eam suscipias. At quomodo accipies? quo pacto reges? qua ratione custodies? Tanquam agnos Christi, tanquam membra tua charissima, fovens, procurans, et diligens unumquemque, juxta æquam charitatis mensuram; quoniam ex æquo membra corporis diligit unusquisque. Aperi viscera tua in commiseratione : introduc omnes in misericordia : lacta illos : reforma illos : perfice illos in Domino. Acue mentem tuam prudentia, excita diligentiam fortitudine : confirma pectus fide ac spe : præcurre illis ad omne opus bonum; propugna adversus spiritales inimicos : defende, dirige; perduc illos ad virtutis sedem : divide illis terram tranquillæ affectuum vacuitatis. Propterea mandata hæc tibi do, quæ observare necessario debes.

Ἐντολαὶ τῷ καθηγουμένῳ.

α'. Οὐ διαλλάξεις οὖν ὃν προσέλαβες τύπον καὶ κανόνα παρὰ τῆς ταπεινώσεώς μου ἐν ἅπασιν, ἄνευ κατεπειγούσης ἀνάγκης.

β'. Οὐ κτήσῃ τοῦ κόσμου τούτου τι, οὐδὲ ἀποθησαυρίσεις ἰδιορίστως εἰς ἑαυτὸν μέχρι καὶ ἑνὸς ἀργυρίου.

γ'. Οὐ διαμερίσεις τὴν ψυχὴν καὶ τὴν καρδίαν σου ἐν σχίσει καὶ φροντίδι, παρὰ τοὺς ὑπὸ Θεοῦ πεπιστευμένους καὶ ὑπ' ἐμοῦ παραδεδομένους, καὶ γενομένους σου πνευματικοὺς υἱοὺς καὶ ἀδελφούς. Οὔτε εἰς τοὺς ποτε κατὰ σάρκα ἰδίους, ἢ συγγενεῖς, ἢ φίλους, ἢ συνεταίρους, χρήσῃ τοῖς τῆς οἰκείας μονῆς, οὔτε ζῶν, οὔτε μετὰ θάνατον, ἐλεημονητικῶς ἢ κληρονομικῶς, εἰς τοὺς ἤδη προειρημένους. Οὐ γὰρ ἐκ τῶν τοῦ κόσμου εἶ, ἵνα μετέχῃς τῶν ἐκ τοῦ κόσμου. Πλὴν εἰ μήπου μεταβαίέν τινες ἐκ τοῦ κοινωνικοῦ βίου πρὸς τὸ καθ' ἡμᾶς τάγμα· καὶ οὕτω φροντίσεις κατὰ μίμησιν τῶν ἁγίων Πατέρων.

δ'. Οὐ κτήσῃ δοῦλον, οὔτε εἰς τὴν οἰκείαν χρείαν, οὔτε εἰς τὴν οἰκείαν μονὴν, οὔτε εἰς ἀγροὺς, τὸν κατ' εἰκόνα Θεοῦ γεγονότα ἄνθρωπον· τοῦτο γὰρ μόνοις τοῖς ἐν τῷ βίῳ συγκεχώρηται, ὡς ὁ γάμος· σοὶ δὲ χρεὼν παρασχεῖν σεαυτὸν δοῦλον τοῖς ὁμοψύχοις σου ἀδελ-

D

Mandata præposito tradita.

1. Non igitur immutabis, absque urgente necessitate, formam et regulam, quam ab humilitate mea in omnibus accepisti.

2. Non possidebis ex mundo hoc quidquam : nec tibi ipsi proprie repones vel unicum argenteum.

3. Non divides animum et cor tuum aliis curis et sollicitudinibus, propter eos qui tibi a Deo commissi, et a me traditi sunt, spiritales filios et fratres tuos. Non erogabis in tuos olim secundum carnem aut propinquos, aut amicos, aut sodales ex proprii monasterii rebus quidquam, nec vivens, nec post mortem, eleemosynæ vel hæreditatis nomine : neque enim ex sæculo es, ut consortium habeas cum sæcularibus; nisi qui forte ex cœnobio in ordinem nostrum transierint, atque ita eorum curam geras ad exemplum sanctorum Patrum.

4. Non possidebis servum, nec tuos in usus, nec proprii monasterii, nec denique ad agros. hominem qui ad Dei imaginem factus est : hoc enim solis sæcularibus concessum est, sicut nuptiæ. Tu vero fratribus tuis unanimis seipsum famulum ani-

mo præstare debes, licet externa specie tanquam Dominus et magister reputere.

5. Nec habeas jumentum feminei sexus ad ministeria necessaria, tu qui feminis omnino renuntiasti : neque in monasterio, neque in agris : cum nec quisquam sanctorum patrum nostrorum usus sit, nec natura ipsa permittat.

6. Non superveheris equis aut mulis absque necessitate ; sed Christi exemplo, pedibus iter facies. Sin minus, pullus asini erit jumentum tuum.

7. Curabis omnino, ut inter fratres communia et indivisa sint omnia, et nihil cujusquam proprii jure dominii, usque ad acum. Tibi vero et anima et corpus, nec præterea quidquam, æqua lance charitatis divisa sunto in omnes tuos spiritales filios ac fratres.

8. Non habeas cum sæcularibus adoptiones aut consiliationes, tu qui mundum fugis ac nuptias. Non enim reperitur in patribus ; et, si reperitur, raro : neque id lex est.

9. Non epulare cum mulieribus, excepta matre tua secundum carnem, et sorore tua, sive canonicæ fuerint, sive sæculares : nisi vis aliqua et necessitas impellat, sicut admonent sancti Patres.

10. Ne frequens sis in egressibus et circumcursationibus, proprium ovile deserens sine necessitate: melius enim est et optabilius, ut vel otiosus in caula degens, servare possis variabiles et late errantes rationales oves.

11. Observabis prorsus, ut catechesin ter qualibet hebdomada facias vesperi, vel per temetipsum, vel per alium quempiam e filiis ; quoniam a Patribus traditum est, et salutare.

12. Non dabis parvum habitum, quem vocant, postea veluti magnum : unus enim est habitus, sicuti et baptisma, quemadmodum in more fuit sanctorum Patrum.

13. Non transilies leges et regulas sanctorum Patrum, præcipue ante omnes divini magnique Basilii : sed quidquid facies aut dices, tanquam testimonium habens ex Scripturis facies, aut ex paterna consuetudine absque mandati divini prævaricatione.

14. Non derelinques gregem tuum, ut ad alium transeas; aut ad dignitatem non revertere, nisi ex consensu et approbatione fraternitatis.

15. Non ineas amicitiam cum canonica ; neque ingredi re monasterium feminarum, nec solus colloquare cum monacha vel sæculari, nisi necessitas trahat ; idque cum duabus ab utraque parte personis astantibus : unius enim, ut aiunt, facilis est calumnia.

16. Non aperies ostium monasterii ad intromittendam feminam ullam sine magna necessitate. Si vero potes citra mutuum aspectum excipere, id quoque minime negligendum.

17. Non statues tibi diversorium, aut spiritualibus filiis, sæcularem domum, in qua sint etiam mu-

A φοῖς τῇ προθέσει, κἂν τῇ ἔξω ἐπιφανείᾳ, ὡς Δεσπότης λογίζῃ καὶ διδάσκαλος.

ε'. Οὐ σχοίης ζῶων τῶν ἐκ τοῦ θήλεως γένους εἰς χρείαν ὑπουργικὴν, ὁ τῷ θήλει παντάπασιν ἀποταξάμενος · οὔτε ἐν τῇ μονῇ, οὔτε ἐν τοῖς ἀγροῖς. Καθὼς οὐδεὶς τῶν ὁσίων καὶ ἁγίων Πατέρων ἡμῶν ἐχρήσατο, οὔτε ἡ φύσις αὐτὴ ἐπιτρέπει.

ς'. Οὐκ ἐποχούμενος ἔσῃ ἐπὶ ἵπποις καὶ ἡμιόνοις δίχα ἀνάγκης · ἀλλὰ Χριστομιμήτως πεζοπορήσεις. Εἰ δ' οὖν, πῶλός σοι τὸ ὑποζύγιον ἔστω.

